Digitized by Google



ΑΝΘΟΛΟΓΙΑ ΔΙΑΦΟΡΩΝ ΕΠΙΓΡΑΜΜΑΤΩΝ ΠΑΛΑΙΩΝ

ὡς ἑπτὰ βιβλία διῃρημένη.

FLORILEGIVM

HOC EST

Veterum Græcorum Poëtarum Epigrammata comprehensa libris septem.

Interprete Eilhardo Lubino.

In Bibliopolio Commeliniano.

ANNO CIↃ IↃ CIV.

ILLVSTRISSIMO, POTENTISSIMOQ. PRINCIPI AC DOMINO, DN.

MAVRITIO

LANTGRAVIO HASSIÆ, COMITI IN CATZENELNBOGEN, DIETZ, ZIEGENHAIN ET NIDDA,

DOMINO MEO CLEMENTISSIMO.

RÆSENS hoc Epigrammatum Græcorum Florilegium, cum Græcolatinum edere, publiciq; iuris facere decernerem, inque hâc patronorum raritate, Mæcenatem quendam circumspicerem, sub cuius felicibus patrocinij auspiciis præclarum hoc, & nunquam satis laudandum opus, lucem cerneret: Tu cum primis oblatus es, Principum doctissime, & doctorum nostro sæculo patrone incomparabilis, præ reliquis omnibus præsenti operi mihi deligendus: idque multis quidem nominibus, sed duobus potissimum, tum huius operis, tum tuo. Et de utroque sanè satiùs fortè sit, nihil, quàm parùm dicere. Certè ad præsens opus hoc quod spectat, magno sanè illud verborum ambitu prolixè Illustri tuæ Celsitudini laudarem & commēdarem, nisi pudor me revocaret, æstimantem, me ad illum verba facere, qui quid de hoc opere, aliisque autoribus tum Græcis tum Latinis judi-

candum sit, me longè rectiùs, longè exactiùs pervideat: Principem, inquam, quem præsens nostrum sæculum in Celsissimâ illâ fortunâ sine pari habet, in Sapientiæ studiis, & tanto principe dignis, ad miraculum usq; eruditum,

Et meritò, nostro cui sæclo doctior orbis
Submissis defert fascibus imperium.

Idque eò impendiò magis, quod non solum in laudatissimo illo tuo principatu, ad omnia bona & salutaria te subditis tuis ducem præbeas, sed viris etiam doctis in toto Mundo, in illis Virtutis & Sapientiæ studiis. Vanus enim ego meo judicio, parumq; cordis & frontis mihi ipsi habere viderer, si multis verbis Celsitudinem tuam exhortarer, vt quà DEI ductu & auspicio, fausto pede feliciter hactenus contendisti, strenuè & gnaviter in posterùm pergas: Cum tu omni studio, omni conatu, vento pariter & remigio, quod dicitur, Hoc agas, vt in tuo Principatu liberalium artium, Virtutis ac Sapientiæ studia loco sint, quantum fieri potest, optimo: & quæ non tam sumtibus & patrocinio tuo liberalissimè & magnificentissimè promoves, quàm exemplo, in tam Illustri fortunâ nostro sæculo nũquam satis laudando. Quo sanè tuo facto tu multis, tuæ tam excelsæ fortunæ ac conditionis aliis viris principibus cautior ac prudentior, quorum plerorumque nomen vnà cum tumulo obrutum, æterna caliginis ac silentij nocte premetur. Cum tu contra vtrisque literarum & armorum, artis & Martis studio, nomen & gloriam in mundo inveneris, & inventurus sis, quam diu vel literarum vel literatorum quicquam in mundo supererit. Per literarum enim studia illarumque tutelam & patrocinium ad immortalem nominis famam & gloriam semita sternitur compendiosissima pariter & certissima. Plurimi contra omnibus mundi sęculis summi Principes, Reges, Imperatores inventi, quorum inter tot historicorum monumenta, ne nomen quidem reliquum invenimus, idque non tam quod desides & ignavi, nullisque Sapientię & humanitatis studiis exculti vitam somno, aut verius, morti similem peregerint; vitam minimè vitalem, & vt cum Sapiente loquar, βίον ἀβίωτον, quàm quòd suarum virtutum factorumque præcones nõ habuerint. Duplici ergò nomine illi felices & beati iudicãdi summi

mi Heroës & Principes, quos clementior DEI benignitas armorum pariter & literarum studiis voluit inclarescere, nec suorum præclarorum facinorum & egregiè factorum præcone indigere. Memorabile illud Caij Iulij Cæsaris exemplum est, quem an rerum gestarum gloriâ, an Eloquentiæ & Sapientiæ laudibus, quibus res suas præclarè gestas ipse posteritati transmisit commentariis admirandis, magis suspicias ac venereris, non iniuria ambigas. Tale quicquam futuris sæculis etiam posteritas in te demirabitur, nisi Sapientiæ ac virtutis studiis nulli acceptum referendum. Sed ne quod in Proverbio dicitur, Noctuas Athenas deportem, ad Sapientiorem Principem, de hisce fusiùs dicere erubesco. Porrò præsens hoc Græcorum Epigrammatum Florilegium inprimis Illustri Celsitud. Tuę, Principi in tam excelso Virtutis ac Sapientiæ fastigio per literarum studia evecto cumprimis offerendum fuit, nectareum illud Apollinis, Musarum, Venerum, Gratiarum & Nympharum mellificium. Nimirum in quo totum illud, sive Sapientiæ sive deliciarum, & gratiarum (in vtroq; præ omnibus mũdi nationibus Græcia felicissima fuit & plurimum valuit) quicquid in hoc genere festivissima pariter & sapientissima Græcia, & ipsæ Ἑλλάδος Ἑλλὰς Ἀθῆναι habuere, copiosissimè pariter & vberrimè congestum est. Adeoque si Horatij verum illud; quod

Omne tulit punctum qui miscuit vtile dulci,

hoc Epigrammatum Græcorum volumen omnis Græcanicę pariter Sapiẽtiæ & festivitatis thesaurum jure merito judicaverimus. Nimirum quæ auctorũ & argumentorũ varietate & nobilitate, invẽtionum solertiâ & acumine admirando, sententiarum gravitate & dignitate, dictionis rotundâ elegantiâ & ingeniosâ brevitate legenti dulcedinem cum vtilitate sic miscẽt, sic temperant, vt in hoc genere reliquis omnibus, quicquid in vllis linguis vnquam proditum fuit, omnium sapientum & rectè judicantium calculo palmam haud dubiè præripiat. Si quis enim Epigrammatum argumenta consideret non possunt legenti non immensam jucunditatem pariter & vtilitatem adferre. Continent enim non memorabilia solum, verum etiã varia admodum & diversissima rerum admirandarum partim verè gestarum, partim more Poëtis proprio effictarum. Hoc

enim Epigrammate vel historia aut eventus memorabilis,aut sententia aut proverbium præclarum pertractatur; altero magnorum virorũ, summorũ Heroum laus & Encomium celebratur; alio deniq; vel jocus quispiã vel festivum & salsum scõma non sine incredibili lectoris voluptate pertractatur. Si quis jam dictionis munditiem,& accuratam ac solertem cõpositionem velit spectare:tam mira in illis eruditio,tam festiva sermonis elegantia,tam ingeniosa & rotunda brevitas,vt omnes Musas,omnes Veneres & Gratias, quicquid ingenij, suavitatis, & leporis habuerint, certatim dotes suas omnes & opes universas huc contulisse, videantur. Ut jam nihil de horum Epigrammatum autoribus dicam, quorum alij sunt summi Consules,Duces,Principes,Reges,imò verò Imperatores, Cæsares, & Monarchæ: Alij summi & admirandi philosophi,omnes Sapientiæ,eloquentiæ, virtutis & doctrinæ laudibus in mundo famigerabiles. Cum verò horum Epigrammatum plæraq; vel propter abstrusiores fabulas, eventus & historias, vel ob occultiores adlusiones, vel denique ob ingeniosam brevitatem (quæ cum ipsa obscuritatem gignat,in Epigrammatibus tamen cum primis commendatur)obscuriora sint,factum est,ut nostrâ præsertim ætate, quâ studium Græcæ linguæ in plerisque friget paucos lectores inveniant;& plurimi (vt fit)non intellecta parum curent. Non ergo omnino oleum & operam mihi perditurus videbar,si illa κατὰ λέξιν,verbum, quod aiũt, verbo explicarem,& è regione Græca Græcis opposita in Græcanicæ Sapientiæ & Venustatis studiorum gratiam publici juris facerem,omnino fore sperans,vt hâc ratione plurimi ad hasce Græcorum delicias degustandas invitarentur. Quo ipso si etiam Illustrissimæ Tuæ Celsitudini operæ pretiũ fecisse videar, laborum meorum fructus plenissimos & vberrimos consecutus mihi videbor. Accipe ergo Celsissime Princeps, quem ob raram omnibus mundi sæculis felicitatem tacito amoris & honoris adfectu submissè ac reverenter jam dudum colo, nectareum hoc tot Heliconis & Himetti ingeniosissimarum apum Florilegium dicam an mellificium, quo summi Philosophi, Consules,Principes, Reges, Imperatores, & Monarchæ Symbolas

bolas

bolas suas certatim contulerunt: Meumque hunc submissum amoris ac honoris erga Celsitudinem Tuam adfectum favoris ac clementiæ tuæ aurâ clementissimè fove. Sic Deorum ille Optimus & Maximus conatus tuos patriæ ac subditis tuis salutares efficiat, & Heroïcas tuas virtutes benignâ favoris sui aurâ clementer adspiret, ut litterarum pariter & armorum studiis (ut dextro sidere feliciter cœpisti) toto vitæ tempore porro auctus, patriæ tuæ utibilis ac salutaris esse possis. Salve & Vale Illustriss. Princeps. Rostochij, Anno à Christo nato M D CIII. 2. Septemb.

Illustriss. tuæ Celsitudini

Devotissimus
Obsequentissimus

EILHARDUS LUBINUS *Academiæ Rostochiensis hoc tempore Rector.*

ΑΝΘΟΛΟΓΙΑΣ ΔΙΑΦΟΡΩΝ ΕΠΙΓΡΑΜ-
μάτων, εἰς ἑπτὰ βιβλία διῃρημένης,

ΤΟ ΠΡΩΤΟΝ, ΜΕΤΑΦΡΑΖΟΝΤΟΣ
ΕΙΛΑΡΔΟΥ ΛΟΥΒΙΝΟΥ.

FLORILEGII VARIORVM EPIGRAM-
matum in ſeptem libros diſtributi,

PRIMVS, INTERPRETE
EILHARDO LVBINO PROFESSORE
Poëſeωs in Academiâ Roſtochinâ publico.

A

A. j.

ΕΙΣ ΑΓΩΝΑΣ ΚΑΙ ΑΓΩΝΙΣΤΑΣ.

Κεφάλαιον Α.

ΑΡΧΙΟΥ εἰς τοὺς τέσσαρας ἀγῶνας.

ΕΣΣΑΡΈΣ εἰσὶν ἀγῶνες ἀν' Ἑλλάδα, τέσσαρες ἱροί·
Οἱ δύο μὲν, θνητῶν· οἱ δύο δ', ἀθανάτων·
Ζηνός, Λητοΐδαο, Παλαίμονος, Ἀρχεμόροιο.
Ἆθλα δὲ τῶν κότινος, μῆλα, σέλινα, πίτυς.

IN CERTAMINA ET CERTATORES.

Caput I.

ARCHII, in quatuor Certamina.

Epigramma I.

VATVOR sunt certamina in Græciâ, quatuor sacra:
Duo quidem mortalium, duo verò immortalium:
Iouis, Apollinis, Palæmonis, Archemori.
Prĕmia verò illorum olea, poma, apium, pinus.

ΔΙΟΤΙΜΟΥ εἰς Ἡρακλέα καὶ Ἀνταῖον.

Ταὶ ἧβαι ἐς ἄεθλα πάλας ἤσκησε κραταιᾶς
Ἀντὶ Ποσειδῶνος, καὶ Διὸς αἱ γενεαί.
Κεῖται δέ σφιν ἀγών, οὐ χαλκέου ἀμφὶ λέβητος,
Ἀλλ' ὅς τις ζωὰν οἴσεται ἢ θάνατον.
Ἀνταίου τὸ πτῶμα. πρέπει δ' Ἡρακλέα νικᾶν
Τὸν Διός. Ἀργείων ἁ πάλα, οὐ Λιβύων.

Epigramma 2.

DIOTIMI, In Herculem & Antæum.

Iuuentam ſuam in certamine luctę fortis exercuit,
Et Neptuni,& Iouis progenies.
Propoſita autem illis eſt pugna non ob ęneum lebetem,
Sed vter vitam auferat, aut mortem.
Antæi fuit ruina. Fas enim eſt Herculem vincere
Iouis filium. Argiuorum enim lucta eſt, non Libycorum.

ΑΝΤΙΠΑΤΡΟΥ εἰς Ἀρίαν.

Ὁ σταδιεὺς Ἀρίης ὁ Μενεκλέος οὐ κατελέγχει
Περσέα σὸν κτίστην Ταρσὲ Κίλισσα πόλι.
Τοῖοι γὰρ παιδὸς πτηνοὶ πόδες. οὐδ' ἂν ἐκείνῳ
Οὐδ' αὐτὸς Περσεὺς νῶτον ἔδειξε θέων.
Ἢ γὰρ ἐφ' ὑσπλήγων ἢ τέρματος εἶδέ τις ἄκρου
Ἠΐθεον, μέσσῳ δ' οὔποτ' ἐνὶ σταδίῳ.

ANTIPATRI, In Ariam. 3

Curſor in ſtadio Arias Meneclis filius, non redarguit
Perſea conditorem tuum, ô Tarſe, ciuitas in Ciliciâ.
Adeo enim illius iuuenis volucres pedes. Neque ipſi
Vel ipſe Perſeus tergum demonſtraſſet currens.
Aut enim in carceribus, aut metâ vidit aliquis vltimâ
Illum iuuenem. medio autem nunquam in ſtadio.

ΛΕΟΝΤΟΣ φιλοσόφου εἰς τὸ μονημέριον.

Τοξότα, Πιερίδων μεδέων, ἑκατηβόλε Φοῖβε,
Εἰπὲ κασιγνήτῃ καρτερόθυμ' ἵνα θῆρας ἀγείρῃ,
Ὅσσον ἐπιψαῦσαι μερόπων δέμας, ὅσσον ἀδῆσαι
Λαῶν τερπομένων ἱερὸν στόμα· μηδὲ νοήσω
Ζωῆς μειλιχίοιο λαχὼν θρόνον, ἀνέρος οἶνοι.

LEONTIS Philoſophi in vnius diei ſpectaculum. 4

Sagittarie, Muſarum rex, eminus iaculans, Apollo,

Dic ſorori validas vt feras excitet,
Quæ tantum tangant hominum corpus, quæ accendant
Populi delectati diuinum os: Neque vnquam videam,
Iouis clementis thronum aſſecutus, alicuius viri mortem.

ΑΝΤΙΠΑΤΡΟΥ.

Ταύρου βαθὺν τένοντα, καὶ σιδηρέοις
Ἄτλαντος ὤμοις, καὶ κόμην Ἡρακλέους,
Σεμνήν θ' ὑπήνην, καὶ λέοντος ὄμματα,
Μιλησίου γίγαντος, οὐδ' Ὀλύμπιος
Ζεὺς ἀτρόμητος εἶδεν, ἄνδρας ἡνίκα
Γυγμῶ ἐνίκα Νικοφῶν Ὀλύμπια.

ANTIPATRI. 5

Tauri craſſam ceruicem, & ferreos
Atlantis humeros, & comam Herculis,
Verendámque barbam, & leonis oculos,
Mileſij Gigantis ne quidem cæleſtis
Iupiter ſine horrore vidit, cum viros
Luctando vinceret Nicophon Olympia.

ΔΑΜΑΓΗΤΟΥ.

Οὔτ' ἀπὸ Μεσσήνας, οὔτ' Ἀργόθεν εἰμὶ παλαιστάς·
Σπάρτα μοι Σπάρτα κυδιάνειρα πατρίς.
Κεῖνοι τεχνάεντες· ἔγωγε μὲν (ὡς ἐπέοικε
Τοῖς Λακεδαιμονίων παισί) βίᾳ κρατέω.

DAMAGETI. 6

Neque Meſſanâ ortus, neque Argis ſum palæſtrita,
Sparta mihi Sparta clara viris patria eſt.
Illi arte & dolis vincunt. ego autem (vt conuenit
Lacedæmoniorum pueris) vi ſupero.

ΣΙΜΩΝΙΔΟΥ.

Γνῶθι Θεόκριτον προσιδὼν τὸν Ὀλυμπιονίκαν,
Παῖδα, παλαισμοσύνας δεξιὸν ἡνίοχον,
Κάλλιστον μὲν ἰδεῖν, ἆθλεῖν δ' οὐ χείρονα μορφῆς,
Ὃς πατέρων ἀγαθῶν ἐστεφάνωσε πόλιν.

SIMONIDIS. 7

Cognoſce Theocritum aſpiciens, qui Olympia vicit,
Puer adhuc, qui in lucta inſignis moderator erat:
Pulcherrimum quidem aſpectu, pugnando verò non peiorem (formâ:
Qui bonorum parentum coronauit vrbem.

Τοῦ αὐτοῦ.

Ἴσθμια καὶ Πυθοῖ Διοφῶν ὁ Φίλωνος ἐνίκα,
Ἅλμα, ποδωκείην, δίσκον, ἄκοντα, πάλην.

Ejuſdem. 8

Iſthmia & Pythia Diophon Philonis filius vicit
Saltu, curſu, diſco, iaculo, lucta.

ΕΙΣ ΑΜΠΕΛΟΝ, κεφ. β.

ΦΙΛΙΠΠΟΥ.

Τίς σε πάγος δυσέρημος, ἀνήλιος, ἐξέθρεψεν;
Ἢ Βορέου Σκυθίης, ἀμπελὸν ἀγελάδα,
Ἢ Κελτῶν νιφοβλῆτες ἀεὶ κρυμώδεες Ἄλπεις,
Τῆς τε σιδηροτόκου βῶλος Ἰβηριάδος;
Ἢ καὶ ὀμφακοεργὰς ἐγείναο καὶ ἀπεπάντους
Βότρυας, οἳ στυφελὴν ἐξέχεον σταγόνα.
Δίζημαι, Λυκοεργὲ, τεὰς χέρας, ὡς ἀπὸ ῥίζης
Κλήματος ὠμοτόκου, βλαστὸν ὅλον θερίσῃς.

IN VITEM, Cap. II.

PHILIPPI. 1

Quis te rupes deſerta, ſole carens produxit?
An Borealis Scythiæ, agreſtem racemum,
An Celtarum niuibus conſperſæ ſemper frigidæ Alpes,
Atque ferrum gignens ager Iberiæ?
Quæ acerbos acinos produxeris immaturas
Vuas, quæ ingratam profuderunt guttam.
Deſidero, Lycurge, tuas manus, vt radicitus
Sarmenti immaturi germen totum demetas.

Ἀδήλου.

Τίς ποτ' ἀκηδίστως οἰνοτρόφον ὄμφακα Βάκχου
 Ἀνὴρ ἀμπελίνου κλήματος ἐξέταμεν.
Χείλεα δὲ στυφθεὶς, χαμάδις βάλεν, ὡς ἂν ὁδίταις
 Εἴη νεσσομένοις ἡμιδαὲς σκύβαλον.
Εἴη οἱ Διόνυσος ἀνάρσιος οἷα Λυκούργῳ,
 Ὅττι μιν αὐξομένας ἔσβεσεν εὐφροσύνας.
Τοῦδε γὰρ ἂν τάχα τις διὰ πώματος ἢ πρὸς ἀοιδὰς
 Ἤλυθεν, ἢ γοεροῦ κήδεος ἔσχε λύσιν.

Incerti. 2

Quíſnam temerè vinum gignentem vuam crudam Bacchi
 Vir viteo palmite abſcidit,
Et labra ſtrictus humo proiecit, vt viatoribus
 Sit prætereuntibus ſemeſum putamen.
Sit illi Dionyſus inimicus, quemadmodum Lycurgo,
 Quòd ipſi creſcentem exſtinxerit lætitiam.
Huius enim plerunque aliquis per potum, aut ad cantum
 Venit, aut flebilis curæ liberationem habet.

ΕΙΣ ΑΝΑΘΗΜΑΤΑ, κεφ. γ΄.

ΛΕΩΝΙΔΟΥ.

Οὐκ ἐμὰ ταῦτα λάφυρα· τίς ὁ θριγκοῖσιν ἀνάψας
 Ἄρηος, ταὐτὴν τὴν ἄχαριν χάριτα.
Ἄκλαστοι μὲν κῶνοι, ἀναίμακτοι δὲ γεγυῶσαι
 Ἀσπίδες, ἄκλαστοι δ' αἱ κλαδαραὶ κάμακες.
Αἰδοῖ πάντα πρόσωπ' ἐρυθαίνομαι, ἐκ δὲ μετώπου
 Ἱδρὼς πιδύων στῆθος ἐπισταλάει.
Παστάδα τὶς τοιοῖσδε, καὶ ἀνδρεῶνα, καὶ αὐλὰν
 Κοσμείτω, καὶ τὸν νυμφίδιον θάλαμον·
Ἀρὰς δ' αἱματόεντα Διωξίπποιο λάφυρα
 Νηὸν κοσμοίη· τοῖς γὰρ ἀρεσκόμεθα.

IN DONARIA, Cap. III.

Leonidæ. 1

Non mea hæc ſunt ſpolia. quis parietibus ſuſpendit
Martis hoc ingratum munus?
Infractæ enim galeæ, ſine ſanguine etiam ſplendentia
Serta, & infracta vibranda haſtarum ligna.
Pudore tota facie rubeo: E fronte autem
Sudor ſcaturiens ſuper pectus diſtillat.
Nuptialem his aliquis, & conclaue, & aulam
Exornet & ſponſalem lectum.
Martis verò cruenta Dioxippi ſpolia
Templum ornent. His enim delectamur.

ΑΝΤΙΠΑΤΡΟΥ εἰς τὸ αὐτό.

Τίς τάδε μαρμαίροντα βοάγρια; τίς δ' ἀφόρυκτα
Δούρατα, καὶ ταύτας ἀρραγέας κόρυθας
Ἀγκρεμάσας Ἄρηϊ μιάστορι, κόσμον ἄκοσμον;
Οὐκ ἀπ' ἐμῶν ῥίψει ταῦτά τις ὅπλα δόμων;
Ἀπτολέμων τάδ' ἔοικεν ἐν οἰνοπλῆξι περαίνοις
Κεῖσθαι, οὐ θριγκοῖς ἐν τοῖς Ἐνυαλίου.
Σκῦλά μοι ἀμφίδρυπτα, καὶ ὀλλυμένων ἅδε λύθρος
Ἀνδρῶν, εἴπερ ἔφυν ὁ βροτολοιγὸς Ἄρης.

Antipatri. In idipſum. 2

Quis poſuit ſplendida ſcuta è corio boum? quis autem incruenta
Ligna & haſce infractas galeas?
Suſpendiſti Marti homicidæ ornamentum deforme.
Nónne meis eiiciet hæc aliquis arma è templis?
In imbellium hæc conueniunt ebrioſis tabernaculis
Poni: non parietibus Martis.
Spolia mihi vndique lacerata, & pereuntium placet ſanguis
Virorum, poſtquam natus ſum homicida Mars.

ΜΝΑΣΑΛΚΟΥ τῇ Ἀφροδίτῃ.

Ἁ σύριγξ, τί ποι ὧδε παρ' Ἀφροδίταν ὄρουσας;
Τίπτ' ἀπὸ ποιμενίου χείλεος ὧδε πάρει;

Οὔτι

Οὔτι πάρεστ' ἔθ' ᾠδή, οὐδ' ἄγκεα, πάντα δ' ἔρωτες,
Καὶ πόθος· ἁ δ' ἀγρία Μοῦσ' ἐν ὄρει νέμεται.

MNASALCI, Ad Venerem. 3

Fistula quî huc ad Veneris fanum prosiluisti?
Quid a pastoris labris hîc præsto es?
Non hic colles amplius, neque valles: at cuncta amores,
Et desiderium. Hęc verò rustica Musa in monte pascitur.

ΕΡΜΟΚΡΕΟΝΤΟΣ ταῖς νύμφαις.

Νύμφαι ἐφυδριάδες, ταῖς Ἑρμοκρέων τάδε δῶρα
Εἵσατο, καλλινάου πίδακος ἀντιάσας,
Χαίρετε, καὶ στείβοιτ' ἐρατοῖς ποσὶν ὑδατόεντα
Τόνδε δόμον, καθαροῦ πιμπλάμεναι πόματος.

HERMOCREONTIS, Nymphis. 4

Nymphæ fontanæ quibus Hermocreon hæc dona
Posuit, pulcrè fluentis fontis obuiam factus.
Saluete, & calcate iucundis pedibus aquosam
Hanc domum, puro implentes potu.

ΛΕΩΝΙΔΟΥ Ταραντίνου τοῖς ἀγρέταις θεοῖς.

Αὔλια, καὶ νυμφέων ἱερὸς πάγος, αἵ θ' ὑπὸ πέτρῃ
Πίδακες, ἥ θ' ὕδασι γειτνιέουσα πίτυς,
Καὶ σὺ τετράγλωχιν μηλοσσόε Μαιάδος Ἑρμᾶ,
Ὅς τε τὴν αἰγιβότην Πὰν κατέχεις σκόπελον,
Ἵλαοι, τὰ ψαιστά, τό τε σκύφος ἔμπλεον οἴνης
Δέξασθ', Αἰακίδεω δῶρα Νεοπτολέμου.

LEONIDÆ Tarentini, agrestibus diis. 5

Domicilia ruri; & Nympharum sacer collis, & sub saxo
Fontes, & aquis vicina pinus,
Et tu quadrate ouium custos Maiæ fili, Mercuri,
Quique caprarum pastor Pan tenes scopulum,
Beniuoli hæc liba, & hunc scyphum plenum vino
Accipite, Æacidæ dona Neoptolemi.

ΕΙΣ ΑΝΑΠΗΡΟΥΣ, κεφ. δ.

ΦΙΛΙΠΠΟΥ, ὡς δὲ, ΙΣΙΔΩΡΟΥ.

Πηρὸς ὁ μὲν γυίοις, ὁ δ᾽ ἄρ᾽ ὄμμασιν· ἀμφότεροι δὲ
　Εἰς αὑτοὺς τὸ τύχης ἐνδεὲς ἠρανίσαμεν.
Τυφλὸς γὰρ λιπόγυιον ἐπωμάδιον βάρος αἴρων,
　Ταῖς κείνου φωναῖς ἀτραπὸν ὀρθοβατεῖ.
Πάντα δὲ ταῦτ᾽ ἐδίδαξε πικρὴ πάντολμος ἀνάγκη,
　Ἀλλήλοις μερίσαι τοὐλλιπὲς εἰς ἔλεον.

IN MVTILATOS, Cap. IIII.

PHILIPPI, vt alij, ISIDORI. 1

Mutilus hic quidem membris, ille oculis: ambo autem
　In se inuicem quod fortuna abstulerat contulerunt.
Cæcus enim claudum humeris sublatum onus tollens
　Ipsius vocibus semitam rectè ingreditur.
Hęc autem omnia docuit amara omnia audens necessitas,
　Aliis mutuari id quod deest in misericordiam.

ΛΕΩΝΙΔΟΥ εἰς τὸ αὐτό.

Τυφλὸς ἀλητεύων χωλὸν πόδας ἠέρταζεν,
　Ὄμμασιν ἀλλοτρίοις ἀντερανιζόμενος.
Ἄμφω δ᾽ ἡμιτελεῖς πρὸς ἑνὸς φύσιν ἡρμόσθησαν,
　Τοὐλλιπὲς ἀλλήλοις ἀντιπαρασχόμενοι.

LEONIDÆ, in idem. 2

Cæcus errans claudum pedibus portabat,
　Oculis alienis remuneratus.
Ambo autem semiperfecti ad vnius naturam apti sunt,
　Quod deerat sibi inuicem retribuentes.

Εἰς τὸ αὐτὸ, ΠΛΑΤΩΝΟΣ νεωτέρου.

Ἀνέρα τις λιπόγυιον ὑπὲρ νώτοιο λιπαυγὴς
　Ἦγε, πόδας χρήσας, ὄμματα χρησάμενος.

In idem PLATONIS iunioris adhuc. 3

Virum aliquis claudum in dorſo cæcus
Portauit, pedes commodatò dans, oculos accipiens.

ΑΝΤΙΦΙΛΟΥ Εἰς τὸ αὐτό.

Ἄμφω μὲν πηροὶ καὶ ἀλήμονες, ἀλλ' ὁ μὲν, ὄψεις,
Ὃς δὲ, βάσεις· ἄλλου δ' ἄλλος ὑπηρεσίη.
Τυφλὸς γὰρ χωλοῖο κατωμάδιον βάρος ἄρας,
Ἀτραπὸν ὀθνείοις ὄμμασιν ἀκροβατεῖ.
Ἡ μία δ' ἀμφοτέροις ἤρκει φύσις. ἐν γὰρ ἑκάστῳ
Τοὐλλιπὲς, ἀλλήλοις εἰς ὅλον ἠράνισαν.

ANTIPHILI in idem. 4

Ambo quidem mutili, & mendici: ſed hic quidem oculis
Ille autem pedibus. Alterius autem alter auxilium eſt.
Cæcus enim claudi ex humeris dependens onus portans
Semitam alienis oculis erectus ambulat.
Vna vtrique natura ſatis fuit. In vnoquoque enim
Quod deerat illis inuicem in totum communicauit.

Εἰς ἡμίξηρον αἰτήσαντα Ἀδριανὸν τὸν
βασιλέα τροφήν.

Ἥμισύ μου τέθνηκε, τὸ δ' ἥμισυ λιμὸς ἐλέγχει.
Σῶσόν μου βασιλεῦ μουσικὸν ἡμίτονον.

In ſemitabidum ab Adriano rege cibum
petentem. 5

Dimidium mei mortuum eſt, & dimidium fames premit.
Serua quod in me eſt, rex, ſemitoni ſonitus.

Ἀπόκρισις τοῦ βασιλέως.

Ἀμφοτέρους ἀδικεῖς, καὶ Πλουτέα καὶ Φαέθοντα,
Τὸν μὲν, ἔτ' εἰσορόων, τοῦ δ' ἀπολειπόμενος.

Reſponſio regis. 6

Vtrumque iniuria afficis & infernum & ſolem:
Hunc, quòd adhuc intueris, illum autem quòd abes ab illo.

ΑΝΤΙΦΙΛΟΥ Εἰς τυφλὸν ἀναβάντα εἰς τὸ ἐν Ἐλευσῖνι ἱερόν.

Σκίπων με πρὸς νηὸν ἀνήγαγεν, ὄντα βέβηλον
    Οὐ μοῦνον τελετῆς, ἀλλὰ καὶ ἠελίου·
Μύστην δ' ἀμφοτέρων με θεαὶ θέσαν, οἶδα δ' ἐκείνῃ
    Νυκτὶ καὶ ὀφθαλμῶν νύκτα καθηράμενος.
Ἄσκιπος δ' εἰς ἄστυ κατέστιχον, ὄργια Δηοῦς
    Κηρύσσων γλώσσης ὄμματι τρανοτέρῳ.

ANTIPHILI, In cæcum qui ingressus erat in vrbe Eleusine templum. 7

Baculus me ad templum duxit profanum existentem
    Non solùm ad sacrificium, sed etiam ad solem.
Sacerdotem vtriusque me Deæ fecerunt. Noui autẽ quod ipsâ
    Nocte etiam ab oculorum nocte expiatus sim.
Sine baculo autem in vrbem redij Orgia Cereris
    Prædicans oculo magis perspicuo, quàm linguâ.

ΕΡΥΚΙΟΥ.

Αὐά τοι ἐκτάμνοντι γεράνδρυα, κάμμορε Μείδων,
    Φωλὰς ἀραχναίη σκαιὸν ἔτυψε πόδα,
Νέρθεν ἀντιάσασα· χυδὴν δ' ἔβρυξε μελαίνη
    Σηπεδὼν χλωρὴν σάρκα καὶ ἀστραγάλους.
Ἐτμήθη δ' ἀπὸ τῆς στιβαρὸν γόνυ, καί σε κομίζει
    Μουνόποδα, βλωθρῆς σκηπτάνιον κοτίνου.

ERYCII. 8

Ligna sicca secanti tibi veteris arboris, infelix Midon,
    Latens lacerta sinistrum pupugit pedem,
Ab imo obuiã prorepens: valde autem dente mordebat nigra
    Putredo pallidam carnem, & talum pedis.
Dissectum autem est ab hac validum genu, & te portat
    Vnipedem proceræ baculus oliuæ.

ΕΙΣ ΑΝΔΡΙΑΝ, ΚΑΙ ΑΝΔΡΕΙΟΥΣ, κεφ. ε.

Ἀδήλου, εἰς Λάκαιναν.

Γυμνὸν ἰδοῦσα Λάκαινα παλίνδρομον ἐκ πολέμοιο
 Παῖδ' ἑὸν ἐς πάτραν ὠκὺν ἱέντα πόδα·
Ἀντίη ἀΐξασα, δι' ἥπατος ἤλασε λόγχην,
 Ἄῤῥενα ῥηξαμένη φθόγγον ἐπὶ κταμένῳ·
Ἀλλότριον Σπάρτας (εἶπεν) γένος, ἔῤῥε ποθ' ᾅδην·
 Ἔῤῥ', ἐπεὶ ἐψεύσω πατρίδα καὶ γενέτην.

IN FORTITVDINEM ET FORTES, Cap. V.

Incerti, in Lacænam. 1

Nudum cùm vidisset Lacæna reuertentem ex bello
 Suum filium in patriam celerem mittentem pedem:
Ex aduerso impellens per epar transuerberauit hastam
 Virile rumpens verbum super interfecto.
Alienum à Spartâ, dixit, genus, malè peri ad orcum,
 Peri, postquam mentitus es patriæ, & ortui tuo.

ΠΑΛΛΑΔΑ, Εἰς τὸ αὐτό.

Φεῦγε Λάκων ποτὲ δῆριν· ὑπαντιάσασα δ' ἡ μήτηρ
 Εἶπε, κατὰ στέρνων ἄορ ἀνασχομένη,
Ζώων μὲν σέο ματρὶ διαμπερὲς αἶσχος ἀνάπτεις,
 Καὶ κρατερᾶς Σπάρτας πάτρια θεσμὰ λύεις·
Ἢν δὲ θάνῃς παλάμῃσιν ἐμαῖς, μάτηρ μὲν ἀκούσω
 Δύσμορος, ἀλλ' ἐν ἐμῇ πατρίδι σωζομένα.

PALLADÆ, in idipsum. 2

Fugit Lacon aliquando pugnam: occurrens autem mater
 Dixit illi per pectus ensem transadigens:
Viuens quidem tuæ matri vtrinque traiectum dedecus alligas,
 Et fortis Spartæ paterna iura soluis.

Iam autem mortuus meis manibus, mater quidem audiam
 Infelix: sed in meâ patriâ seruata.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων Αἰγυπτίου ὅμοιον.

Μήτηρ υἷα λιπόντα μάχην μετὰ πότμον ἑταίρων
 Ἔκτανεν, ὠδίνων μνῆστιν ἀναινομένη.
Καὶ γὰρ γνήσιον αἷμα διακρίνει Λακεδαίμων
 Ἀλκῇ μαρναμένων, οὐ γενεῇ βρεφέων.

IVLIANI ex præfectis Ægypti, simile. 3

Mater filium fugientem pugnam post mortem commilitonũ,
 Interfecit, dolorum partus memoriam recusans.
Etenim genuinum sanguinem æstimat Lacedæmon
 Virtute pugnantium, non generatione puerorum.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ εἰς τὸν Αἴαντος λίθον.

Μή με τὸν Αἰάντειον ἀνοχμάσσειας ὁδῖτα,
 Πέτρον, ἀκοντιστὴν στήθεος Ἑκτορέου.
Εἰμὶ μέλας, τρηχύς τε· σὺ δ' εἴρεο θεῖον Ὅμηρον
 Πῶς τὸν Πριαμίδην ἐξεκύλισα πέδῳ.
Νῦν δὲ μόλις βαιόν με προοχλίζουσιν ἀρούρης
 Ἄνθρωποι, γενεῆς αἴσχεα λευγαλέης·
Ἀλλά με τὶς κρύψειεν ἐπὶ χθονός· αἰδέομαι γάρ,
 Παίγνιον, οὐτιδανοῖς ἀνδράσι γιγνόμενος.

AGATHII Scholastici in Aiacis saxum. 4

Ne me Aiacis tollas, ô viator,
 Saxum, percussorem pectoris Hectorei.
Sum niger aspérque: tu autem interroga diuinum Homerum
 Quomodo Priamidem deuoluerim ad terram.
Iam verò vix parum me vecti mouent ex agro
 Homines generationis dedecora inualidę.
Verùm me aliquis abscondat sub terram. Vereor enim
 Ne ludus vilibus hominibus euadam.

Εἰς Γερμανικόν, ΒΑΣΣΟΥ.

Οὔρεα Γερμανία, καὶ αἱ βαθυαύλακες Ἄλπεις,

Αἳ Ῥήνου προχοὰς ἐγγὺς ἀποβλέπετε,
Μάρτυρες ἀκτίνων Γερμανικὸς ἃς ἀνέτειλεν,
Ἀστράπτων Κελτοῖς πουλὺν Ἐνυάλιον.
Οἱ δ' ἄρα δουπήθησαν ἀολλέες. εἶπε δ' Ἐνυὼ
Ἄρει, τοιαύταις χερσὶν ὀφειλόμεθα.

In Germanicum BASSI. 5

Montes Pyrenæi,& profundis vallibus Alpes
Quæ Rheni flumina propius intuemini,
Testes estis radiorum ignis Germanicus quos excitauit,
Fulminans Celtis copiosum Martem.
Hi autem sanè obstrepebant conglobati. Dixit autem Bellona
Marti: Talibus manibus debemur.

Εἰς Ῥώμην ΚΡΙΝΑΓΟΡΟΥ.

Οὐδ' ἢν Ὠκεανὸς πᾶσαν πλημμῦραν ἐγείρῃ,
Οὐδ' ἢν Γερμανίη Ῥῆνον ἅπαντα πίῃ.
Ῥώμης οὐδ' ὅσσον βλάψει σθένος ἄχρι κε μίμνῃ
Δεξιὰ σημαίνειν Καίσαρι θαρσαλέην.
Οὕτω καὶ ἱεραὶ Ζηνὸς δρύες ἔμπεδα ῥίζαις
Ἑστᾶσιν, φύλλων δ' αὖα χέουσ' ἄνεμοι.

In Romam CRINAGORI. 6

Neque si Oceanus omnem inundationem excitaret,
Ne que si Germania Rhenum omnem bibat,
Romæ ne tantillũ quidẽ nocebit robori, quousq; perseuerabit
Dextera imperans Cæsari confidens.
Sic etiam sacræ Iouis quercus firmiter radicibus
Consistunt,folia autem arida diffundunt venti.

ΠΑΡΜΕΝΙΩΝΟΣ.

Τὸν γαίης καὶ πόντου ἀμειφθείσαισι κελεύθοις,
Ναύτην ἠπείρου, πεζοπόρον πελάγους,
Ἐν τρισσαῖς δοράτων ἑκατοντάσιν ἔστυγεν Ἄρης
Σπάρτης. αἰσχύνεσθ' οὔρεα καὶ πελάγη.

PARMENIONIS. 7

Illum terræ & maris perambulatis viis,

Nautam in terrâ firmâ; & peditem in pelago
In trecentis hastis sustinuit Mars
Spartæ. Erubescite montes, & maria!

ΑΡΧΙΟΥ.

Οἱ πόλεμος δεδιὼς οὐκ ὤλεσε, νῦν ὑπὸ νούσου
Θλίβομαι· ἐν δ' ἰδίῳ τήκομ' ὅλος πολέμῳ.
Ἀλλὰ διὰ στέρνων ἴθι φάσγανον· ὡς γὰρ ἄριστος
Θνήξομ', ἀπωσάμενος καὶ νόσον ὡς πόλεμον.

ARCHII. 7

Quem bellum reformidans non perdidit, nunc à morbo
Tribulor, & in proprio tabesco totus bello.
Sed per pectus transi ensis. Sic enim victor
Moriar, repellens & morbum vt olim bellum.

Τίνας ἂν εἴποι λόγους Πύρρος ἐπιβὰς τῆς
Τροίας.

Μόχθος ἐμοῦ γενετῆρος ἀμώμονος οὐ τέλος εὗρεν·
Αὐτὰρ ἐγὼ Τρώεσσι φόνον πολύπτυσι κορύσσων
Ἤλυθον· εὐσθενέῃ γὰρ ὑπερτέρων εὖχος ἀείρω.
Καὶ Πρίαμον βασιλῆα, καὶ οὓς περιλέλοιπεν Ἀχιλλεὺς,
Παίζας ὁμοῦ κατὰ μῶλον ἐμὸν θάρσος οἶδεν ὀλέσσαι,
Καὶ Τροίης πτολίεθρον Ἀρήιον ἐξαλαπάξω,
Καὶ Δαναοῖς δεκέτηρον ἐμὸν δόρυ μόχθον ἀνύσσει.

Quæ verba dixerit Pyrrhus profectus ad
Troiam. 8

Labor parentis mei inculpati nondum finem inuenit,
Verùm ego Troianis exscidium omnibus concitans
Veni, fortitudine superiorum victoriam eleuans,
Et Priamum regem, & quos reliquit Achilles.
Omnes simul ad stragem meum robur nouit perdere,
Et Troiæ opidum Martium vastabo,
Et Danais decennalem mea hasta laborem finiet.

Τίνας

Τίνας ἂν εἴποι λόγους Δηϊδάμεια, τοῦ Πύῤῥου πορθήσαντος τὴν Τροίαν.

Πᾶσαν ἐμῆς κραδίης χαλεπὴν ἀπέπαυσας ἀνίην,
Υμετέρου γενετῆρος Ἀχιλλέος εἵνεκα πότμου,
Ὃν Τροίη στονόεσσα κατέκτανεν· ἀλλὰ σὺ πᾶσαν
Ἴλιον ἐξαλάπαξας, ἐελδομένοισι δ' Ἀχαιοῖς
Ἄφθιτον ὤπασας εὖχος, ὃ μὴ δεκάτηρος Ἐνυοῦς,
Πάντεσι μαρναμένοις Δαναοῖς χρόνος εὗρεν ἀνύσσαι.

Quæ verba dixerit Deidamia mater Pyrrhi euertentis Troiam. 9

Omnem mei animi grauem mitigasti dolorem
Tui parentis Achillis mortis causa,
Quem Troia suspirans occidit: sed tu omne
Ilium diripuisti, & desiderantibus Achiuis
Immortalem præbuisti victoriam, quam non decennale belli
Omnibus pugnantibus Danais tempus potuit perficere.

Τίνας ἂν Ἀγαμέμνων, ὁπλισθέντος Ἀχιλλέως.

Ἴλιος ὀφρυόεσσα κατήριπεν· ἤδη δὲ πᾶσαν
Ληΐδα Δαναοῖσι θεὸς πόρεν, ὁππότ' Ἀχιλλεὺς
Μῆνιν ἀποῤῥίψας φθισήνορα, χεῖρα κορύσσει.

Quæ Agamemnon Achille armato. 10

Troia superba ruit: iam verò omnem
Prædam Danais Deus præbuit, postquam Achilles
Iram abiiciens hominibus perniciosam manum armabit.

Τίνας ἂν Ἕλενος, ὁπλισθέντος τοῦ αὐτοῦ.

Πηλείδην κοτέουσα πάλιν θώρηξεν Ἀθήνη
Ἔντεσιν ἀθανάτοισι. τί ῥίγιον ἔσσεται ἄλγος
Αἰνομόροις Τρώεσσι, καὶ Ἕκτορι, καὶ γενετῆρι,
Ὁππότε τὴν ἔντεα ταῦτα θεὸς πόρεν ἀνέρι τῷδε;

Quæ Helenus, eodem Achille armato.

Pelidem irata rursus armauit Minerua
Armis immortalibus. Qui horribilis erit dolor
Grauiter morituris Troianis, & Hectori, & patri.

Quando hęc arma Dea præbuit viro huic?

Τίνας ἂν Ἕκτωρ πρὸς Πάτροκλον μὴ δυνηθέντα φέρειν τὸ δόρυ τοῦ Ἀχιλλέως.

Ἐζημίωσας οὐ σθένων Ἕκτορα.
Φέρεις γὰρ ἡμῖν ἐλλιπῆ σκυλεύματα.

Quæ Hector ad Patroclum, qui non potuit gestare hastam Achillis. 12

Damno affecisti, inualidus existens, Hectorem,
Fers enim nobis defectuosa spolia.

Τοῦ Πατρόκλου ἀπόκρισις.

Ὤμοσα. θᾶττόν σ' εἷλε Πηλεῖον δόρυ.

Patrocli responsio. 13

Imo iuui. breui enim te tollet hasta Pelias.

Τίνας ὁ αὐτὸς Ἕκτωρ νεκρωθεὶς ... ὑπὸ Ἑλλήνων.

Βάλλετε νῦν μετὰ πότμον ἐμὸν δέμας, ὅττι καὶ αὐτοὶ
Νεκροῦ σῶμα λέοντος ἐφυβρίζουσι λαγωοί.

Quæ ipse Hector cùm mortuus perfoderetur à Græcis. 14

Confodite nunc post mortem meum corpus, Nam & ipsi
Mortui corpus leonis contumeliâ afficiunt lepores.

Τίνας Θέτις, Τηλέφου σκελισθέντος ὑπ' ἀμπέλου.

Ἄμπελε, τί πρήξωμεν, ὅτ' ἂν δαφναῖος Ἀπόλλων
Γ πόρθον ἐμὸν κλίνῃ ἐν Ἀλεξάνδροιο βελέμνοις·

Quæ Thetis, cùm Telephus impeditus esset à vite. 15

Vitis quid faciemus, quando lauriger Apollo
Germen meum deprimit in Paridis sagittis?

ΑΛΚΑΙΟΥ Μεσσηνίου.

Μακύνου τείχη, Ζεῦ Ὀλύμπιε, ῥέξε Φίλιππος
Ἄμβατα· χαλκείας κλεῖε πύλας μακάρων.

Καὶ γὰρ χθὼν καὶ πόντος ὑπὸ σκήπτροισι Φιλίππου
    Δέδμηνται, λοιπὰ δ' ἁ πρὸς Ὄλυμπον ὁδός.

ALCÆI Meſſenij. 16

Macyni muros, Iupiter Olympie, fecit Philippus
    Aſcendibiles. aëreas claude portas beatorum.
Etenim terra & pontus à ſceptris Philippi
    Subacta ſunt, reliqua eſt ad Olympum via.

ΔΙΟΝΥΣΙΟΥ.

Καλλιόπη πολύμυθε μελισσοβότου Ἑλικῶνος,
Τίκτε μοι ἄλλον Ὅμηρον, ἐπεὶ μόλεν ἄλλος Ἀχιλλεύς.

DIONYSII. 17

Calliope facunda ab apibus depaſti Heliconis,
Progigne mihi alium Homerum, quia aduenit alius Achilles.

ΑΛΦΕΙΟΥ Μιτυληναίου.

Κλεῖε θεὸς μεγάλοιο πύλας ἀκμῆτας Ὀλύμπου,
    Φρούρει Ζεῦ ζαθέαν αἰθέρος ἀκρόπολιν.
Ἤδη γὰρ καὶ πόντος ὑπέζευκται δορὶ Ῥώμης,
    Καὶ χθών. οὐρανίη δ' οἶμος ἔτ' ἐστ' ἄβατος.

ALPHÆI Mitylenæi. 18

Claude Deus magni portas indomitas Olympi,
    Cuſtodi Iupiter ſanctam ætheris ſummam arcem.
Iam enim & pontus ſubiugatus eſt haſtâ Romæ,
    Et terra, cæleſtis autem via adhuc eſt inuia.

ΦΙΛΙΠΠΟΥ.

Πυλοῖ Λεωνίδεω κατιδὼν δέμας αὐτοδάικτον
    Ξέρξης ἐχλαίνου φάρεϊ πορφυρέῳ.
Κἠκ νεκύων δ' ἤχησεν ὁ τᾶς Σπάρτας μέγας ἥρως,
    Οὐ δέχομαι προδόταις μισθὸν ὀφειλόμενον.
Ἀσπίς μοι τύμβου κόσμος μέγας· ἔρρε τὰ Περσῶν·
    Ἥξω κεἰς Ἀίδην ὡς Λακεδαιμόνιος.

PHILIPPI. 19

Magnum Leonidæ cùm inſpexit corpus ſe quaſi interimens,
    Xerxes tegebat illud pallio purpureo,

Et inter mortuos ſonitum edidit Spartæ magnus heros,
Non accipio proditoribus prętmium debitum.
Clypeus mihi ſepulcri ornamentum magnum. Pereant Perſæ
Veniam autem etiam ad inferos vt Lacedæmonius.

ΒΑΣΣΟΥ.

Ἀνθαίης ἀκάτοιο τριηκοσίους ὅτε ναύτας
Δεύτερον ἔσχ' ἀΐδης πάντας ἀρηϊφάτους,
Σπάρτας ὁ στόλος εἶπεν. ἴδ' ὡς πάλι πρόσθια πάντα
Τραύματα, κἢν στέρνοις δῆεις ἔνεστι μόνοις.
Νῦν γε μόθου κορέσασθε, καὶ εἰς ἐμὸν ἀμπαύσασθε
Ὕπνον, ἀνίκητου δῆμος ἐνυαλίου.

BASSI. 20

Lethææ cymbæ trecentos poſtquam nautas
Denuo habuit infernus omnes in bello necatos,
Spartæ hæc claſſis eſt, inquit. En vt rurſus aduerſa
Vulnera,& in pectoribus pugna ineſt ſolis.
Nunc bello ſatiamini & in meo requieſcite
Somno, inſuperabilis populus Martis.

ΚΡΙΝΑΓΟΡΟΥ.

Ὀθρυάδην Σπάρτης τὸ μέγα κλέος, ἢ Κυνέγειρον
Ναύμαχον, ἢ πάντων ἔργα καλιπτολέμων;
Ἄρεος αἰχμητὴς Ἰταλὸς παρὰ χεύμασι Ῥήνου
Κλινθεὶς ἐκ πολλῶν ἡμιθανὴς βελέων,
Αἰετὸν ἁρπασθέντα φίλου στρατοῦ ὡς ἴδ' ὑπ' ἐχθροῖς,
Αὖτις ἀρηϊφάτων ἄνθορεν ἐκ νεκύων·
Κτείνας δ' ὅς σφ' ἐκόμιζεν, ἑοῖς ἀνεσώσατο ταγοῖς,
Μοῦνος ἀνίκητον δεξάμενος θάνατον.

CRINAGORÆ 21.

Othryaden Spartæ magnum decus, an Cynegirum
Nauibus pugnantem, an omnium opera bellicoſorum?
Martis bellator Italus prope flumina Rheni
Succumbens ex multis ſemimortuus iaculis,
Aquilam ſignum direptū amici exercitus vt vidit ab hoſtibus,

Iterum in bello perpetratâ prosiluit ex morte.
Interficiens autẽ illũ qui id portabat, suis recuperauit ducibus.
Solus insuperabilem consecutus mortem.

Ἀδήλου.

Αἴαντος παρὰ τύμβον ἀταρβήτοιο παρεστὼς
Φρὺξ, ἐπέων κακῆς ἦρχεν ἐπεσβολίης.
Αἴας δ' οὐκ ἔτι μίμνεν, ὁ δ' ἀντεγέγωνεν ἔνερθε·
Μίμνειν δ' οὐκ ἔτλη ζωὸς ἀποφθίμενον.

Incerti. 22

Aiacis apud tumulum intrepidi astans
Phryx, verbis mala incipiebat conuitia.
Aiax verò non amplius sustinuit, sed reclamauit illi ab inferis:
Exspectare autem non sustinuit viuus mortuum.

Τίνας ἂν εἴποι λόγους Ἀχιλλεὺς, Ἀγαμέμνονος τρωθέντος.

Ἔγνως νῦν Ἀγάμεμνον ἐμὸν φθισήνορα θυμόν;
Ἔγνως ἐν σταδίῃσιν ὅσον σθένος Ἕκτορός ἐστι;
Νῦν γὰρ πάντες ὄλοντο τεῷ πολυπήμονι λώβῃ·
Σοὶ δ' αὐτῷ μέγα πῆμ' ἥκει θανάτοιο χέρειον.
Ἀφροσύνης κακὰ ἔργα καὶ ἄσχετα, πήματα πάσχεις,
Ὃς πᾶσιν Δαναοῖσιν ἀρήϊον ἕρκος ἐτύχθης.

Quæ dixerit verba Achilles Agamemnone vulnerato. 23

Nouistíne nunc Agamemnon meam homines perdentem irã?
Nosti in statariâ pugnâ quantum robur Hectoris siet?
Nunc enim omnes perierunt tuo damnoso incommodo:
Tibi autem ipsi magnum damnum contigit morte peius:
Ob stultitiæ mala facta, & intolerabilia damna pateris,
Qui omnibus Danais Martium munimentum factus es.

ΑΛΚΑΙΟΥ.

Ἄγαγε καὶ Ξέρξης Περσῶν στρατὸν Ἑλλάδος ἐς γᾶν,
Καὶ Τίτος εὐρείας ἄγαγ' ἀπ' Ἰταλίας.
Ἀλλ' ὁ μὲν, Εὐρώπᾳ δοῦλον ζυγὸν αὐχένι θήσων

Ἦλθεν, ὁ δ', ἀμπαύσων Ἑλλάδα δουλοσύνας.

ALCÆI. 23

Duxit etiam Xerxes Persarum exercitum Græciæ in terram
Et Titus latâ abduxit ab Italiâ.
Sed ille quidem Europæ seruile iugum collo impositurus
Venit: hic vero liberaturus Græciam à seruitute.

Ἄδηλον.

Κοίρανος Εὐρώπας, ὁ καὶ εἰν ἁλὶ καὶ κατὰ χέρσον
Τόσσον ἄναξ θνατῶν, Ζεὺς ὅσον ἀθανάτων,
Εἰνοδίᾳ τὰ λάφυρα κατὰ θρασέος Κιρράδα,
Καὶ τέκνων, καὶ ὅλας γαῖ' ἔθετ' Ὀδριάδος,
Υἱὸς ἐϋμμελίω Δαματρίου. ἁ δὲ Φιλίππου
Δόξα πάλαι θείων ἄγχι βέβακε θεῶν.

Incerti. 24.

Imperator Europæ, qui & in mari & in terrâ
In tantum rex est mortalium, Iupiter quantū immortalium:
Ipsi Dianæ spolia, contra audacem Ciroadem,
Et filios eius, & totam terram posuit Odriadem,
Filius bellicosi Demetrij. Hæc autem Philippi
Gloria olim Deorum prope adscendit thronum.

ΕΙΣ ΑΝΤΑΠΟΔΟΣΙΝ, κεφ. ϛ'.

ΕΥΗΝΟΥ.

Κἤν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως ἔτι καρποφορήσω
Ὅσσον ἐπισπεῖσαί σοι τράγε θυομένῳ.

IN RETRIBVTIONEM, Cap. VI.

EVENI. I.

Licet me deuores ad radicem vsque, tamē adhuc fructum pro-
Quantum libando satis sit tibi, hirce, mactato. (ducam

ΛΕΩΝΙΔΟΥ Ταραντίνου.

Ἰξαλος εὐπώγων αἰγὸς πόσις ἔν ποτ' ἀλωῇ

Οἴνης τοὺς ἁπαλοὺς πάντας ἔδαψε κλάδους,
Τῷ δ' ἔπος ἐκ γαίης τοῖον ἄπυε, τῖρε κάκιστε
Γναθμοῖς ἡμέτερον κλῆμα τὸ καρποφόρον.
Ῥίζα γὰρ ἔμπεδος οὖσα, πάλι γλυκὺ νέκταρ ἀνήσει
Ὅσσον ἐπισπεῖσαί σοι τράγε θυομένῳ.

LEONIDÆ Tarentini. 2.

Salax benè barbatus capræ maritus aliquando in vineam
Vitis teneros omnes de vorabat ramos.
Cui verbum ex terrâ tantum clamavit: Affige pessime
Maxillis nostrum sarmentum frugiferum.
Radix enim firma exiltens, rursus dulce nectar emittens,
Quantum libando satis sit tibi, hirce, mactando.

ΠΑΡΜΕΝΙΩΝΟΣ Μακεδόνος.

Οἱ κόρεις ἄχρι κόρου κορέσαντό μου· ἀλλ' ἐκορέσθην,
Ἄχρι κόρου κ' αὐτὸς τοὺς κόρεις ἐκκορίσας.

PARMENIONIS Macedonis. 3.

Cimices ad satietatē vsq; saturati sunt de me: sed satiatus sum,
Dum ad satietatem vsque & ipse cimices perdidi.

ΑΝΤΙΠΑΤΡΟΥ.

Αὔην με πλατάνιστον ἐφερπύζουσα καλύπτει
Ἄμπελος, ὀθνείῃ δ' ἀμφιτέθηλα κόμῃ,
Ἡ πρὶν ἐμοῖς θαλέθουσιν ἐνιτρέψασ' ἐροδάμνοις
Βότρυας, ἡ ταύτης οὐκ ἀπετηλοτέρη.
Τοίην μέντοι ἔπειτα τιθηνείσθω τις ἑταίρην,
Ἥτις ἀμείψασθαι καὶ νέκυν οἶδε μόνη.

ANTIPATRI. 4.

Mortuam me platanum rependo adscendens tegit
Vitis, alienâ circumfloreo comâ,
Quæ prius meis virentibus enutriui ramis
Vuas, quæ hâc ipsâ non minus foliis carui.
Talem sanè etiam postea vicissim aliquis nutriat amicam
Quæ renumerare etiam mortuam nouit sola.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ξεῖνον ὁπηνίκα θαῦμα κατείδομεν Ἀσὶς ἅπασα,
    Πῶλον ἐπ' ἀνδρομέαις σάρκα φρυασσόμενον,
Θρηϊκίης φάτνης πολιὸς λόγος εἰς ἐμὸν ὄμμα
    Ἤλυθε· δίζημαι δεύτερον Ἡρακλέα.

APOLLONIDÆ. 5.

Inauditum quandoquidem miraculum videmus totâ Asiâ
    Equum humanâ carne (comestâ) ferocientem.
Thracii præsepis antiquus sermo ad meum oculum
    Peruenit: Quæro autem secundum Herculem.

Ἀδηλον.

Τλῆθι λέων ἄτλητα παθὼν, τετληότι θυμῷ.
Οὐδεὶς ἀνθρώπων ἄδικον τίσιν οὐκ ἀποτίσει.

Incerti. 6.

Perfer leo intoleranda passus toleranti animo.
Nemo hominum iniuriam faciens vindictam non substinebit.

ΕΙΣ ΑΠΕΙΛΗΝ, κεφ. ζ.

ΜΟΥΣΙΚΙΟΥ, ὡς δ', ΠΛΑΤΩΝΟΣ.

Ἁ Κύπρις μούσαισι, κοράσια τὴν Ἀφροδίτην
    Τιμᾶτ', ἢ τὸν ἔρων ὔμμιν ἐφοπλίσομαι.
Χ' αἱ Μοῦσαι ποτὶ Κύπριν, Ἄρει τὰ στωμύλα ταῦτα·
    Ἡμῖν δ' οὐ πέταται τοῦτο τὸ παιδάριον.

IN MINAS, Cap. VII.

MVSICII. vt alij, PLATONIS. 1.

Cypris ipsis Musis dixit: puellæ venerem
    Honorate, aut amorem vobis exarmabo.
At Musæ ad Cyprin: Marti garrula hæc dicenda:
    Ad nos autem non aduolat hic puellus.

Ἀδηλον.

Ἀδηλον.

Ὁ Ζεὺς πρὸς τὸν ἔρωτα, βέλη τὰ σὰ πάντ' ἀφελοῦμαι.
  Χὠ πταις, βρόντα, καὶ πάλι κύκνος ἔσῃ.

Incerti. 2.

Iupiter ad amorem: Sagittas omnes tibi auferam:
  Et volucer *resp. illi* vel tona, & denuo cygnus eris.

ΕΙΣ ΑΡΕΤΗΝ, κεφ. η.

Ἀδηλον.

Ὦ Στωϊκῶν μύθων εἰδήμονες, ὦ πανάριστα
  Δόγματα ταῖς ἱεραῖς ἐνθέμενοι σελίσιν,
Τὰν ἀρετὰν, ψυχᾶς ἀγαθὸν μόνον. ἅδε γὰρ ἀνδρῶν
  Μούνα καὶ βιοτὰν ῥύσατο καὶ πόλιας.
Σαρκὸς δ' ἡδυπάθημα φίλον τέλος ἀνδράσιν ἄλλοις
  Ἡ μία τῶν Μνήμης λῦσε θυγατέρων.

IN VIRTVTEM, Cap. VIII.

Incerti. 1.

O Stoicorum sermonum periti, ô omnium optima
  Dogmata, sanctis qui imposuistis libris,
Virtutem animæ bonum solum: hæc enim hominum
  Sola & vitam liberauit & vrbes.
Carnis autem voluptatem gratum finem aliis viris
  Vna memoriæ absoluit filiarum.

Τίνας ἂν εἴποι λόγους Ἥρα, ἀποθεωθέντος
Ἡρακλέους.

Σῆς ἀρετῆς ἱδρῶτι καλὴν ἀπέδωκεν ἀμοιβὴν
Σὸς γενέτης Ἡρακλες· ἐπεὶ πόνος ἄσπετον εὖχος
Ἀνδράσιν οἶδεν ἄγειν μετ' ἀπείρονα κύκλον ἀέθλων.

Quæ dixerit verba Iuno, cùm in cælum
reciperetur Hercules. 2.

Tuæ virtutis sudori eximiam reddidit retributionem

Tuus genitor, Hercules: postquá labor immensam victoriam
Viris adducit post infinitum circuitum certaminum.

Εἰς τὸ αὐτό.

Σοὶ χάριν ἐξετέλεσσε πόνος καὶ ἀθέσφατος ἱδρὼς,
Χῶρον ἔχειν πολύολβον, ὃν οὐ πάρος ἔλλαχεν ἀνήρ.

In idipsum. 3.

Tibi gratiam reddidit labor, & immensus sudor,
Locum vt teneas beatum, quem nemo antè consecutus est vir.

ΟΝΕΣΤΟΥ.

Ἀμβαίνων Ἑλικῶνα μέγαν, κάμες· ἀλλ' ἐκορέσθης
Πηγασίδος κρήνης νεκταρέων λιβάδων.
Οὕτω καὶ σοφίης πόνος ὄρθιος· ἢν δ' ἄρ' ἐπ' ἄκρον
Τέρμα μόλῃς, ἀρύσῃ πιερίδων χάριτας.

ONESTI. 4.

Ascendens Helicona magnum laborasti, sed sociatus es
Pegasidis fontis Nectareâ scaturigine.
Sic etiam sapientiæ labor præceps, vbi verò ad summam
Metam perueneris, honorabis Pieridûm gratias.

ΠΑΥΛΟΥ Σιλεντιαρίου.

Μήτι βαθυκτεάνοιο τύχης κουφίζεο ῥοίζῳ,
Μήτι σέο γνάμψῃ φροντὶς ἐλευθερίην.
Πᾶς γὰρ ὑπ' ἀσταθέεσσι βίος πολεμίζεται αὔραις,
Τῇ καὶ τῇ θαμινῶς ἀντιμεθελκόμενος.
Ἡ δ' ἀρετὴ, σταθερόν τι καὶ ἄτροπον· ἧς ἔπι μουνῆς,
Κύματα θαρσαλέως ποντοπόρει βιότου.

PAVLI Silentiarij, 5.

Neque opulentæ fortunæ attollaris æstu,
Néque tuam flectat cura libertatem.
Tota enim ab instabilibus vita oppugnatur ventis,
Hinc & inde subinde in diuersum agitata.
Virtus autem stabile aliquid, & inconcussum, à quâ solâ
Fluctus confidenter perrumpas vitæ.

Παροιμία ἐπὶ τῶν ψευδῆ δόξαν ἐχόντων.

Πολλοί τοι ναρθηκοφόροι, παῦροι δέ τε Βάκχοι.

Parœmia in illos, qui falſam exiſtimationem de ſe excitant. 6.

Multi ſane thyrſigeri, pauci verò Bacchi.

ΕΙΣ ΑΣΕΒΕΙΣ, κεφ. θ'.

Εἰς τὸν φθείραντα τὴν ἑαυτοῦ μητέρα.

Μὴ θάψῃς τὸν ἄθαπτον, ἔα κυσὶ κύρμα γενέσθαι.
Γῆ μήτηρ πάντων μητροφθόρον οὐ δέχετ' ἄνδρα.

IN IMPIOS, Cap. IX.

In illum, qui occiderat nouercam. 1.

Noli ſepelire inſepultum, permitte vt canibus eſca fiat,
Terra mater omnium matricidam non ſuſcipit virum.

Τίνας ἂν εἴποι λόγους πρὸς Πρόκνην τὴν ἀδελφὴν Φιλομήλη.

Σός με πόσις κακοεργὸς ἐν ἄντρῳ σπήλυγγι βαθείῃ
Μουνώσας, βαρύποτμον ἐμὴν ἀπέκερσε κορείην.
Στυγνὰ δέ μοι πόρεν ἕδνα πολυτλήτοιο γάμοιο,
Γλῶσσαν ἐμὴν θερίσας, καὶ ἔσβεσεν Ἑλλάδα φωνήν.

Quæ dixerit verba ad Procnem ſororem Philomela. 2.

Tuus me maritus maleficus in ſpeluncâ profundâ
Solam relinquens, miſeram meam abſcidit virginitatem.
Horribilia autem mihi dedit munera miſerarum nuptiarum,
Linguam meam præſecuit, & exſtinxit Græcam vocem.

Εἰς τὸ αὐτό.

Χαῖρε Πρόκνη παρὰ σεῖο κασιγνήτης Φιλομήλης,
Χαίρειν εἰ τόδε γ' ἐστί· ἐμοῦ δέ σοι ἄλγεα θυμοῦ
Πέπλος ἀπαγγείλειε, τά μοι λυγρὸς ὤπασε Τηρεύς·
Ὅς μ' ἔρξας βαρύποτμον ἐν ἕρκεσι μηλονομήων,

Πρῶτον παρθενίης, μετέπειτα δὲ νόσφισε φωνῆς.

In Idem. 3.

Salue Procne à tuâ sorore Philomelâ.
Si modo hoc saluere est. Mei autem tibi dolores animi
Peplum annunciet, quos mihi truculentos præbuit Tereus:
Qui me cohibens miseram in septis opilionis,
Primò virginitate, deinde me priuauit voce.

ΕΙΣ ΑΣΩΤΟΥΣ, κεφ. ι.

ΛΟΥΚΙΑΝΟΥ.

Τὸν πατρικὸν πλοῦτον νέος ὢν Θήρων ὁ Μενίππου
Αἰσχρῶς εἰς ἀκρατεῖς ἐξέχεεν δαπάνας.
Ἀλλά μιν Εὐκτήμων πατρικὸς φίλος ὡς ἐνόησεν
Ἤδη καρφαλέῃ τειρόμενον πενίῃ,
Καί μιν δακρυχέων ἀνελάμβανε, καὶ πόσιν αὐτὸν
Θῆκε θυγατρὸς ἑῆς, πόλλ' ἐπιμείλια δούς.
Αὐτὰρ ἐπεὶ Θήρωνι παρ' ἐλπίδας ἤλυθε πλοῦτος,
Αὐτίκα ταῖς αὐταῖς ἐτρέφετ' ἐν δαπάναις,
Γαστρὶ χαριζόμενος πᾶσαν χάριν οὐ κατὰ κόσμον,
Τῇ δ' ὑπὸ τὴν μιαρὴν γαστέρα μαργοσύνῃ.
Οὕτω μὲν Θήρωνα τὸ δεύτερον ἀμφεκάλυψεν
Οὐλομένης πενίης κῦμα παλιρρόθιον.
Εὐκτήμων δ' ἐδάκρυε τὸ δεύτερον οὐκ ἔτι κεῖνον,
Ἀλλὰ θυγατρὸς ἑῆς προῖκά τε καὶ θάλαμον.
Ἔγνων δ' ὡς οὐκ ἔστι κακῶς κεχρημένον ἄνδρα
Τοῖς ἰδίοις, εἶναι πιστὸν ἐν ἀλλοτρίοις.

IN LVXVRIOSOS, Cap. X.

LVCIANI. 1.

Theron Menippi filius, patrimonium omne adhuc iuuenis
Turpiter lasciuis sumptibus dissipauerat.

Poſtquam verò Euctemon, paternus amicus, ipſum vidit,
Iam excruciari aridâ pauperie,
Illacrymans ad ſe recepit, & maritum
Suæ filiæ coniunxit, magnam dotem largitus.
Vt primum autem Theron præter ſpem ditatus eſt,
Statim priſtinos ſumptus repetebat,
Nihil non deliciarum indulgens ventri indecenter,
Ac nefariæ ſub ventre libidini.
Ita Theronem obruit ſecundò
Noxiæ paupertatis reciproca vnda.
Cæterum Euctemon denuò defleuit, non quidem illum,
Sed filiæ ſuæ dotem, & nuptias.
Cognouit autem, quòd quiſquis malè vſus eſt
Rebus propriis, non poſſit eſſe fidus in alienis.

ΕΙΣ ΑΥΛΗΤΑΣ ΚΑΙ ΑΥΘΙΣ
ὀρχηστάς. κεφ. ιαʹ

ΦΙΛΙΠΠΟΥ.

Ἱμερτὸν αὐλήσαντι πολυτρήτων διὰ λωτῶν,
Εἶπε λιγυφθόγγῳ Φοῖβος ἐπὶ Γλαφύρᾳ.
Μαρσύη, ἐψεύσω τεὸν εὕρεμα. τοὺς γὰρ Ἀθήνης
Αὐλοὺς ἐκ Φρυγίης οὗτος ἐληίσατο.
Εἰ δὲ σὺ τοιούτοις τότ' ἐνέπνεες, οὐκ ἂν Ὑάγνις
Τὴν ἐπὶ Μαιάνδρῳ κλαῦσε δύσαυλον ἔριν.

IN TIBICINES, ET POSTEA
ſaltatores, Cap. XI.

PHILIPPI. I.

Suauiter tibiis canenti per foraminoſas è loto fiſtulas,
Dixit arguto Phœbus de Glaphyrâ:
Marſya, mentitus es tuum inuentum. Nam Mineruæ
Tibias hic ex Phrygiâ furatus eſt.
Si enim tu huiusmodi tunc inflaſſes, nunquam Hyagnis
Prope Mæandrum fleſſet infelicem in tibiis pugnam.

ΒΟΗΘΟΥ.

Εἰ τοῖος Διόνυσος ἐς ἱερὸν ἦλθεν Ὄλυμπον
  Κωμάζων Ληναῖς σύν ποτε καὶ σατύροις,
Οἷον ὁ τεχνήεις Πυλάδης ὠρχήσατο κεῖνον
  Ὀρθὰ κατὰ τραγικῶν θέσμια μουσοπόλων,
Παυσαμένη ζήλου Διὸς ἂν φάτο σύγγαμος Ἥρη,
  Ἐψεύσω Σεμέλη, Βάκχον ἐγὼ δ' ἔτεκον.

BOETHI. 2.

Si talis Dionyſus in ſacrum veniſſet Olympum
  Commeſſans cum Bacchantibus olim & Satyris,
Qualem artificioſus Pylades ſaltauit illum
  Rectè ſecundum Tragicorum canones Poëtarum:
Ceſſans à Zelotypiâ Iouis dixiſſet coniux Iuno,
  Mentita eſt Semele, Ego autem Bacchum peperi.

ΑΝΤΙΠΑΤΡΟΥ.

Ὀρφεὺς θῆρας ἔπειθε, σὺ δ' Ὀρφέα· Φοῖβος ἐνίκα
  Τὸν Φρύγα, σοὶ δ' εἴκει μελπομένῳ Γλαφύρα.
Οὔνομα καὶ τέχνης, καὶ σώματος. οὔ κεν Ἀθήνη
  Ἔρριψεν λωτοὺς τοῖα μελιζομένη,
Οἷα σὺ ποικιλότερπε· σάφ' ἂν ὑπνώσσαι κεν ἀκούων
  Αὐτὸς Πασιθέης Ὕπνος ἐν ἀγκαλίσιν.

ANTIPATRI. 3.

Orpheus feras perſuaſit, tu a. Orpeha: Phœb. ſuperauit
  Phrygium: Tibi autem cedit canenti Glaphyra.
Nomen tibi & artis, & corporis. Neque Minerua
  Abieciſſet tibias ex loto ſi talia ceciniſſet,
Qualia tu, variam voluptatem afferens. certè etiam ſopiretur
  Ipſe Paſitheæ ſomnus in vlnis. (audiens

ΑΛΚΑΙΟΥ.

Σύμφωνον μαλακοῖσι κερασσάμενος θρόον αὐλοῖς
  Δωρόθεος, γοερὰς ἔπνεε Δαρδανίδας,
Καὶ Σεμέλας ὠδῖνα κεραύνιον. ἔπνεε δ' ἵππου
  Ἔργματ', ἀειζώων ἁψάμενος χαρίτων.

Μοῦνος δ' ἐν ἱεροῖσι Διονύσοιο προφήταις
  Μώμου λαιψηρὰς ἐξέφυγε πτέρυγας·
Θηβαῖος γενεήν, Σωσικλέος. ἐν δὲ Λυαίου
  Νηῷ φόρμιγγα θήκατο καὶ καλάμους.

ALCÆI. 4.

Concordantem mollibus commiſcens vocem tibiis
  Dorotheus,triſtes fiſtula canebat Dardanidas.
Et Semeles partum cum fulmine natum.Canebat a.& equi
  Troiani facinora,immortales attingens gratias.
Solus autem in ſanctis Dionyſij vatibus
  Momi celeres effugit pennas:
Thebanus genere,Soſiclis filius.In Lyæi autem
  Templo citharam poſuit,& calamos.

Τοῦ αὐτοῦ, εἰς στήλην Σατύρου,

Οὐκ ἔτ' ἀνὰ Φρυγίην πιτυοτρόφον ὥς ποτε μέλψεις,
  Κροῦμα δι' ἀγητῶν φθεγγόμενος δονάκων.
Οὐδ' ἐνὶ σαῖς παλάμαις Τριτωνίδος ἔργον Ἀθάνας
  Ὡς πρὶν ἀπολυθήσει νυμφογενὲς Σάτυρε.
Δεῖ γὰρ ἀλυκτοπέδαις σφίγγῃ χέρας, οὕνεκα Φοίβῳ
  Θνατὸς ἐὼν θείαν εἰς ἔριν ἠντίασας.
Λωτοὶ δ' ἐκ κλάζοντες ἴσον φόρμιγγι μελιχρὸν
  Ὤπασαν ἐξ ἀέθλων, οὐ στέφος, ἀλλ' αἴδην.

Eiuſdem in columnam Satyri. 5.

Non amplius Phrygiâ ex pinu facta,vt quondam, canes,
  Sonitum,per foratas vocem edens arundines,
Neque in tuis manibus Tritonidis opus Mineruæ
  Vt prius gratiam emittet,è Nymphis nate Satyre,
Iam enim inſolubilibus vinculis ſtringeris manus, quod
  Mortalis cùm ſis diuinam in contentionem obuiam iuiſti.
Tibiæ autem reſonantes æquales ipſi citharæ dulce,
  Præbuerunt ex certamine non coronam ſed mortem.

ΕΙΣ ΑΥΤΑΡΚΕΙΑΝ, κεφ. ιβ.

ΠΑΡΜΕΝΙΩΝΟΣ Μακεδόνος.

Αρκεῖ μοι χλαίνης λιτὸν σκέπας· οὐδὲ τραπέζαις
Δουλεύσω, μουσέων ἄνθεα βοσκόμενος.
Μισῶ πλοῦτον ἄνοιαν, κολάκων τροφόν· οὐδὲ παρ' ὀφρύν
Στήσομαι. οἶδ' ὀλίγης δαιτὸς ἐλευθερίην.

IN VIRTVTEM SVIS CONTENTAM, Cap. XII.

PARMENIONIS Macedonis.

Sufficit mihi lænæ vile tegmen, néque mensis
Inseruiam, Musarum flores depascens.
Odi diuitias stultas assentatorum cibú, neque ad supercilium
Diuitûm constituar. Noui tenuis cibi libertatem.

ΑΛΦΕΙΟΥ Μιτυληναίου.

Οὐ στέργω βαθυληΐοες ἀρούρας,
Οὐκ ὄλβον πολύχρυσον, οἷα Γύγης.
Αὐτάρκους ἔραμαι βίου, Μακρῖνε.
Τὸ μηδὲν γὰρ ἄγαν, ἄγαν με τέρπει.

ALPHÆI Mitylenæi.

Non amo feraces campos,
Non diuitias aureas, vt Gyges.
Suis contentam amo vitam, Macrine,
Nam ne quid nimis, nimis me delectat.

Αδηλον.

Ελθὼν εἰς ἀΐδην ὅτε δὴ σοφὸν ἤνυσε γῆρας
Διογένης ὁ κύων, Κροῖσον ἰδὼν ἐγέλα·
Καὶ στρώσας ὁ γέρων τὸ τριβώνιον ἐγγὺς ἐκείνου,
Τοῦ πολὺν ἐκ ποταμοῦ χρυσὸν ἀφυσσαμένου,
Εἶπεν, ἐμοὶ καὶ νῦν πλείων τόπος. ὅσσα γὰρ εἶχον,
Πάντα φέρω σὺν ἐμοί, Κροῖσε, σὺ δ' οὐδὲν ἔχεις.

Incer-

Incertum. 3.

Veniens in infernum ſapiente peractâ ſenectute
 Diogenes canis Croeſum vt vidit, riſit:
Et extendens ſenex baculum prope ipſum,
 Qui multum ex flumine auri exhauſerat,
Dixit:Mihi etiam nunc maior locus eſt: quæcũque enim habui
 Omnia fero mecum, Crœſe, tu verò nihil habes.

ΠΑΛΛΑΔΑ.

Ἐλπίδος, οὐδὲ τύχης ἔτι μοι μέλει, οὐδ' ἀλεγίζω
 Λοιπὸν τῆς ἀπάτης· ἤλυθον εἰς λιμένα.
Εἰμὶ πένης ἄνθρωπος· ἐλευθερίῃ δὲ συνοικῶ,
 Ὑβριστὴν πενίης πλοῦτον ἀποστρέφομαι.

PALLADÆ. 4.

Neque ſpei, neque fortunæ amplius cura mihi, neque curo
 In poſterum fraudem: veni in portum.
Sum pauper quidem homo. Sed libertati cohabito.
 Iniurias autem paupertati diuitias auerſor.

ΛΟΥΚΙΛΛΙΟΥ.

Μὴ σύ γ' ἐπ' ἀλλοτρίαις ὤνθρωφ' ἵζοιο τραπέζαις
 Ψωμὸν ὀνείδειον γαστρὶ χαριζόμενος·
Ἄλλοτε μὲν κλαίοντι, καὶ ἐσυγνωμένῳ ὄμμα,
 Συγκλαίων, καὖθις συγγελόωντι γελῶν,
Οὔτε σύ γε κλαυθμοῖο κεχρημένος οὔτε γέλωτος.
 Καὶ κλαίω Μιλίῃ, καὶ γελόω Μιλίῃ.

LVCILLII. 5.

Ne tu alienis, ô homo, aſſideas menſis
 Fruſtum panis contumelioſum ventri indulgens:
Interdum quidem flenti, & contriſtato in vultu
 Collacrumans, & rurſus tecum ridenti arridens,
Neque tu eiulatu vſus, néque riſu.
 Et fleo Miliæ, & rideo Miliæ.

ΛΟΥΚΙΑΝΟΥ.

Ὡς τεθνηξόμενος, τῶν σῶν ἀγαθῶν ἀπόλαυε.
 Ὡς δὲ βιωσόμενος, φείδεο σῶν κτεάνων.

Ἔστι δ' ἀνὴρ σοφὸς οὗτος, ὃς ἄμφω ταῦτα νοήσας,
Φειδοῖ καὶ δαπάνῃ μέτρον ἐφηρμόσατο.

LVCIANI. 6.

Tanquam moriturus tuis bonis perfruere,
Tanquam autem victurus parce tuis bonis.
Est autem vir sapiens hic, qui ambo hæc considerans,
Parcit, & impensis modum temperat.

ΠΑΛΛΑΔΑ.

Βέλτερόν ἐστι τύχης καὶ θλιβομένης ἀνέχεσθαι
Ἢ τῶν πλουτούντων τῆς ὑπερηφανίης.

PALLADÆ.

Melius est fortunam vel opprimentem perferre,
Quàm diuitum insolentiam.

ΚΡΑΤΗΤΟΣ τοῦ φιλοσόφου.

Χαῖρε θεὰ δέσποιν', ἀνδρῶν ἀγαθῶν ἀγάπημα
Εὐτελίη, κλεινῆς ἔκγονε Σωφροσύνης.
Σὴν ἀρετὴν τιμῶσιν ὅσοι τὰ δίκαι' ἀσκοῦσιν.

CRATETIS Philosophi. 7.

Salue Dea domina virorum bonorum res grata
Eutelia, inclyta filia temperantiæ,
Tuam virtutē colunt, quotquot iusta exercent.

ΘΕΟΓΝΙΔΟΣ.

Οὐκ ἐθέλω πλουτεῖν, οὐκ εὔχομαι· ἀλλά μοι εἴη
Ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.

THEOGNIDIS. 8.

Non volo ditescere, néque opto: sed mihi contingat
Viuere ex paruis, nihil habenti mali.

Ἄδηλον.

Ζῆσον λογισμῷ, καὶ μενεῖς ἀνενδεής.

Incerti. 9.

Viue cum ratione, & manebis nullâ re indigus.

Ἄδηλον.

Σώματα πολλὰ τρέφειν, καὶ δώματα πόλλ' ἀνεγείρειν,

Ἀτραπὸς εἰς πενίην ἐστὶν ἑτοιμοτάτη.

Incerti. 10.

Corpora multa paſcere,& domos multas excitare,
  Semita ad paupertatem eſt paratiſſima.

Ἀδήλου.

Ὦ γαστὴρ κυνόμυια, δι' ἣν κόλακες παράσιτοι
  Ζωμοῦ πωλοῦσιν θεσμὸν ἐλευθερίης.

Incerti. 11.

O venter impudentiſſime,per quem adulatores paraſiti
  Pro iuſculo vendunt ſacram legem libertatis.

ΕΙΣ ΤΟΝ ΑΝΘΡΩΠΙΝΟΝ ΒΙΟΝ κεφ. ιγ.

ΑΡΧΙΟΥ.

Θρήικας αἰνείτω τις, ὅτι στοναχεῦσι μὲν υἷας
  Μητέρος ἐκ κόλπων πρὸς φάος ἐρχομένους,
Ἔμπαλι δ' ὀλβίζουσιν ὅσους αἰῶνα λιπόντας
  Ἀπροϊδὴς κηρῶν λάτρις ἔμαρψε μόρος.
Οἱ μὲν γὰρ ζώοντες, ἀεὶ πάντοια περῶσιν
  Ἐς κακά, τοὶ δὲ κακῶν εὗρον ἄκος φθίμενοι.

IN HVMANAM VITAM, Cap. XIII.

ARCHII. 1.

Thraces laudet aliquis , quòd lugent quidem natos
  Matris ex vtero in lucem peruenientes.
Rurſus verò beatos prædicant quoſcunque æuũ relinquentes
  Improuiſa fatorum miniſtra abſtulit mors.
Illi enim viuentes ſemper varia tranſcunt
  In mala, hi verò malorum inuenerunt remedium mortui.

Ἀδήλου.

Τὸν βίον Ἡράκλειτε πολὺ πλέον ἤπερ ὅτ' ἔζης

Δάκρυε· νῦν ὁ βίος ἐστ' ἐλεεινότερος.
Τὸν βίον ἄρτι γέλα Δημόκριτε τὸ πλέον ἢ πρίν·
Νῦν ὁ βίος πάντων ἐστὶ γελοιότερος.
Εἰς ὑμέας δὲ καὶ αὐτὸς ὁρῶν, τὸ μεταξὺ μεριμνῶ
Πῶς ἅμα σοὶ κλαύσω, πῶς ἅμα σοὶ γελάσω.

Incerti. 2.

Vitam Heraclete multo magis iam quàm cùm viueres,
Defle: nunc vita est miserior.
Vitam iam ride Democrite magis quàm prius,
Nunc vita omnium est magis ridicula.
In vos a. & ipse inspiciens, quod inter vos sit studiosè inquiro,
Quomodo tecum fleam, quomodo tecum rideam.

ΠΟΣΕΙΔΙΠΠΟΥ, ὡς δὲ, ΚΡΑΤΗΤΟΣ τοῦ Κυνικοῦ.

Ποίην τις βιότοιο τάμοι τρίβον; εἰν ἀγορῇ μὲν,
Νείκεα καὶ χαλεπαὶ πρήξιες· ἐν δὲ δόμοις
Φροντίδες· ἐν δ' ἀγροῖς, καμάτων ἅλις· ἐν δὲ θαλάσσῃ,
Τάρβος· ἐπὶ ξείνης δ', ἢν μὲν ἔχῃς τι, δέος·
Ἢν δ' ἀπορῇς, ἀνιηρόν. ἔχεις γάμον; οὐκ ἀμέριμνος
Ἔσσεαι. οὐ γαμέεις; ζῇς ἔτ' ἐρημότερον.
Τέκνα, πόνοι· πήρωσις ἄπαις βίος. αἱ νεότητες,
Ἄφρονες· αἱ πολιαὶ δ' ἔμπαλιν ἀδρανέες·
Ἦν ἄρα τοῖν δυοῖν ἑνὸς αἵρεσις, ἢ τὸ γενέσθαι
Μηδέποτ', ἢ τὸ θανεῖν αὐτίκα τικτόμενον.

POSIDIPPI, vt alij CRATETIS Cynici. 3.

Qualem quis vitæ terat semitam? In foro enim
Lites & actiones molestæ: in domibus verò
Curæ: in agris autem laborum satis, in mari autem
Timor: in peregrinatione, si quid habeas, metus:
Si nihil habes, molestum est: Si nuptus es, non sine curis
Eris: non ducis vxorem, viuis adhuc magis solitarius.
Liberi labores gignút. Mutilatióque vita sine liberis, iuuentus

Stolida est, senectus rursus infirma.
Esset igitur duorum vnius electio, aut nasci
Nunquam, aut mori statim vbi quis natus sit.

Ἐκ τοῦ ἐναντίου πιθανά. ΜΗΤΡΟΔΩΡΟΥ.

Παντοίην βιότοιο τάμοις τρίβον. εἰν ἀγορῇ μὲν,
Κήδεα, καὶ πινυταὶ πρήξιες· ἐν δὲ δόμοις,
Ἄμπαυμ'. ἐν δ' ἀγροῖς, φύσιος χάρις. ἐν δὲ θαλάσσῃ
Κέρδος. ἐπὶ ξείνης, ἢν μὲν ἔχῃς τι, κλέος·
Ἢν δ' ἀπορῇς, μόνος οἶδας. ἔχεις γάμον; οἶκος ἄριστος
Ἔσσεται· οὐ γαμέεις; ζῇς ἔτ' ἐλαφρότερον.
Τέκνα, πόθος· ἄφροντις ἄπαις βίος. αἱ νεότητες,
Ῥωμαλέαι· πολιαὶ δ' ἔμπαλιν εὐσεβέες.
Οὐκ ἄρα τῶν δισσῶν ἑνὸς αἵρεσις, ἢ τὸ γενέσθαι
Μηδέποτ', ἢ τὸ θανεῖν. πάντα γὰρ ἐσθλὰ βίου.

Ex contrario verisimilia. METRODORI. 4.

Omnigenam vitæ insistas semitam. In foro quidem
Gloria, & prudentia opera, in ædibus autem
Requies. In agris naturæ oblectatio. In mari verò
Lucrum: in peregrinatione, si quidem quid habes, gloria.
Sin indigeas, solus nosti. Habes nuptias? Domus optima
Erit. Non ducis vxorem? Viuis adhuc liberiùs.
Liberi desiderium sunt. Sine cura est orba vita. Iuuentus
Robusta, senectus rursus religiosa.
Non igitur duorum vnius est electio, aut nasci
Nunquam, aut mori. Omnia enim vitę bona sunt.

ΛΟΥΚΙΑΝΟΥ.

Θνητὰ τὰ τῶν θνητῶν, καὶ πάντα παρέρχεται ἡμᾶς.
Ἢν δὲ μή, ἀλλ' ἡμεῖς αὐτὰ παρερχόμεθα.

LVCIANI 5.

Mortales sunt mortalium res, & omnia prętereunt nos:
Sin minus, at nos saltem illa præterimus.

ΠΑΛΛΑΔΑ.

Γῆς ἐπέβην γυμνός, γυμνός θ' ὑπὸ γαῖαν ἄπειμι.

Καὶ τί μάτην μοχθῶ, γυμνὸν ὁρῶν τὸ τέλος;

PALLADÆ. 6.

Terram ingressus sum nudus, nudúsque sub terram abibō,
Et quid frustra laboro, nudum videns finem?

Τοῦ αὐτοῦ.

Πλοῦς σφαλερὸς τὸ ζῆν. χειμαζόμενοι γὰρ ἐν αὐτῷ,
Πολλάκι ναυηγῶν πταίομεν οἰκτρότερα.
Τὴν δὲ τύχην βιότοιο κυβερνήτειραν ἔχοντες,
Ὡς ἐπὶ τοῦ πελάγους ἀμφίβολοι πλέομεν.
Οἱ μὲν, ἐπ' εὔπλοιαν, οἱ δ' ἔμπαλιν. ἀλλ' ἅμα πάντες
Εἰς ἕνα τὸν κατὰ γῆς ὅρμον ἀπερχόμεθα.

Eiusdem. 7.

Nauigatio periculosa est, vita. Tempestate a. vexati in ipsa
Sæpè naufragis affligimur miseriùs.
Fortunam autem vitæ gubernatricem habentes
Velut in pelago dubij nauigamus.
Alij quidem secundam nauigationem, alij contra, sed tamen
In vnum sub terrâ portum contingimus. (omnes

Τοῦ αὐτοῦ.

Σκηνὴ πᾶς ὁ βίος, καὶ παίγνιον· ἢ μάθε παίζειν,
Τὴν σπουδὴν μεταθεὶς, ἢ φέρε τὰς ὀδύνας.

Eiusdem. 8.

Scena est omnis vita, & ludus, aut disce ludere
Seueritatem deponens, aut perfer dolores.

Τοῦ αὐτοῦ.

Εἰ τὸ φέρον σε φέρει, φέρε καὶ φέρου· εἰ δ' ἀγανακτεῖς,
Καὶ σαυτὸν λυπεῖς, καὶ τὸ φέρον σε φέρει.

Eiusdem. 9.

Si fatum te fert, fer, & abi. Si autem indignè feras,
Te ipsum lædis, & tamen fatum te auferet.

Τοῦ αὐτοῦ.

Δακρυχέων γενόμην, καὶ δακρύσας ἀποθνήσκω.
Δάκρυσι δ' ἐν πολλοῖς τὸν βίον εὗρον ὅλον.

Ὦ γένος ἀνθρώπων πολυδάκρυτον, ἀσθενές, οἰκτρόν,
  Συρόμενοι κατὰ γῆς, καὶ διαλυόμενοι.

Eiuſdem. 10.

Lacrumas fundens natus ſum, & lacrumans morior,
  Lacrumis in multis vitam inueni totam.
O genus hominum multum deflendum, infirmum, miſerabile,
  Tractum ſub terram, & reſolutum.

Τοῦ αὐτοῦ.

Ὦ γένος ἀνθρώπων αἰεμφάλιον, αὐτοχόλωτον,
  Μέχρι τέλους βιότου μηδὲν ἐπιστάμενον.

Eiuſdem. 11.

O genus hominum vanum, & tibi cauſa doloris,
  Vſque ad finem vitæ nihil ſciens.

ΙΟΥΛΙΑΝΟΥ.

Ἡδεῖα πάντα κέλευθα λάχεν βίος. ἄστεϊ μέσσῳ,
  Εὖχος· ἑταιρεῖαι, κρυπτὰ δόμοισιν ἄχη.
Ἀγρὸς τέρψιν ἄγει, κέρδος πλόος· ἀλλοδαπὴ χθὼν
  Γνώσιας. ἐκ δὲ γάμου, οἶκος ὁμοφρονέει·
Τοῖς δ᾽ ἀγάμοις ἄφροντις ἀεὶ βίος· ἕρκος ἐτύχθη
  Πατρὶ, τέκος. φροῦδος τοῖς ἀγόνοισι φόβος.
Ἠνορέην νεότης, πολιὴ φρένας οἶδεν ὀπάζειν·
  Ἔνθεν θάρσος ἔχων, ζῶε, φύτευε γένος.

IVLIANI. 12.

Iucundas omnes vias ſortita eſt vita. In vrbe mediā
  Gloria, ſodalicia occultæ in ædibus dolorum medelæ,
Ager oblectationes habet, lucrum nauigatio, peregrinatio
  Scientiam. Ex nuptiis, domus concordia,
Non nuptis vita ſemper ſecura. Munimentum naſcitur
  Patri filius, inanis prole carentibus metus.
Robur iuuentus, ſenectus prudentiam nouit præſtare,
  Vnde animo confidens viue, & planta genus.

Ἀδήλου.

Πῶς τις ἄνευ θανάτου σε φύγοι βίε, μυρία γάρ σου

Λυγρά· καὶ οὔτε φυγεῖν εὐμαρὲς, οὔτε φέρειν.
Ηδέα μὲν γάρ σου τὰ φύσει καλά, γαῖα, θάλασσα,
Αστρα, σεληναίης κύκλα καὶ ἠελίου·
Τἆλλα δὲ πάντα, φόβοι τε καὶ ἄλγεα. κἤν τι πάθῃ τις
Εσθλὸν, ἀμοιβαίην ἐκδέχεται Νέμεσιν.

Incerti. 13.

Quomodo quis sine morte te fugiat, ô vita? Mille enim tua
Mala, quæ neque effugere facile, neque ferre.
Iucunda enim tua naturâ bona, terra, mare,
Astra, Lunæ circuli, & Solis.
Reliqua omnia timores & dolores. Et si quid quis capiat
Boni, retributionem accipit Nemesin.

Αδηλον.

Πάντα γέλως, καὶ πάντα κόνις, καὶ πάντα τὸ μηδέν.
Πάντα γὰρ ἐξ ἀλόγων ἐστὶ τὰ γιγνόμενα.

Incerti. 14.

Omnia risus, & omnia puluis, & omnia nihil:
Omnia enim ex fortuitis sunt, quæ fiunt.

Αδηλον.

Φροντίδες εἰσὶ παῖδες· μέγα μὲν κακὸν, εἴ τι πάθοιεν·
Εἰσὶ δὲ καὶ ζῶντες φροντίδες οὐκ ὀλίγαι.
Η γαμετὴ χρηστὴ μὲν ἔχει τινὰ τέρψιν ἐς αὐτήν·
Η δὲ κακὴ, πικρὸν τὸν βίον ἀνδρὶ φέρει.

Incerti. 15.

Curæ sunt liberi. Magnum quidem malum, si quid patiantur:
Sunt verò & viuentes curæ non paruæ.
Vxor bona quidem habet aliquam suauitatem in se:
At mala, insuauem vitam viro adfert.

Αδέσποτον.

Ω θηρῶν βροτὲ μᾶλλον ἀνήμερε, πάντα σε μισεῖ
Παντολέτωρ· πάντη δ' ἐκδέχεταί σε μόρος.
Ην ἐπὶ γῆς φεύγῃς, ἄγχου λύκος· ἢν δὲ πρὸς ὕψος
Δενδροβατῇς, αὖτις δεῖμ' ὑπὸ ἀκρεμόνων.

Πτερά-

Γειράζεις καὶ Νεῖλον; ὁ δ' ἐν δίναις κροκόδειλον
  Ἐξέφερεν, εἰς ἀσεβεῖς θῆρα δικαιότατον.

Incerti. 16.

O feris homo magis infelix. Omnia te odio habent,
  Omnia perdens. Vbique verò excipit mors.
Si in terram fugis, prope est lupus! Si verò in altum
  Arborem conscendas, aspis periculum est sub ramis.
Tentas & Nilum: Hic verò in vortice Crocodilum
  Educat, in impios feram iustissimam.

ΕΙΣ ΒΡΕΦΗ, κεφ. ιδ.

ΑΡΧΙΟΥ.

Λυσίππης ὁ νεογνὸς ἐπὶ κρημνοῦ παῖς ἕρπων,
  Ἀστυανακτείης ἤρχετο δυσμορίης.
Ἡ δὲ μεθωδήγησεν, ἀπὸ στέρνων προσφέρουσα
  Μαζόν, τὸν λιμοῦ λύτειρα καὶ θανάτου.

IN INFANTES, Cap. XIV.

ARCHII. 1.

Lysippes nuper natus per præcipitia puer serpens,
  In Astyanacteam incidit infelicitatem.
Hæc verò aliter viam monstrauit, è pectore protendens
  Mammam, famis dissolutricem, & mortis.

ΑΝΤΙΠΑΤΡΟΥ.

Δμώϊον Ἱπποκράτευς ἔθανε βρέφος ἐς πλατὺ πόντου
  Χεῖλος, γειτονίης ἑρπύσαν ἐκ καλύβης,
Πλεῖον ἐπὶ μαζῶν ἔπιεν ποτόν. ἔρρε θάλασσα,
  Ἡ βρέφος ὡς μήτηρ ψευδομένη δέξατο.

ANTIPATRI. 2.

Seruulus Hippocratis mortuus est infans, in latam Ponti
  Ripam, vicino cùm reptauit ex tugurio,
Postquam maiorem quàm è mammis bibisset potú. Peri mare,
  Quæ puerum tanquam mater mentitum es accipiens.

ΒΙΑΝΟΡΟΣ.

Ἤριπεν ἐξ ἄκρης δόμος ἀθρόος, ἀλλ' ἐπὶ παιδὶ
Νηπιάχῳ, Ζεφύρου πολλὸν ἐλαφρότερος.
Φείσατο κουροσύνης καὶ ἐρείπιον. ὦ μεγάλαυχοι
Μητέρες, ὠδίνων καὶ λίθος αἰσθάνεται.

BIANORIS. 3.

Cecidit è ſummitate domus turbata: ſed ſuper puerum
Infantem, Zephyro longè leuior.
Pepercit pueritiæ etiam ruina. O glorioſæ
Matres! Dolores partus etiam lapis ſentit.

ΕΙΣ ΓΑΜΟΝ, κεφ. ιε.

Αδηλον.

Εἴ τις ἅπαξ γήμας, πάλι δεύτερα λέκτρα διώκει,
Ναυηγὸς πλώει δὶς βυθὸν ἀργαλέον.

IN NVPTIAS, Cap. XV.

Incerti. 1.

Si quis ſemel vxore ductâ rurſos ſecundos thalamos expetit,
Naufragus nauigat bis profundum graue.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Πρὸς παίδων (εἶπεν) γουνάζομαι, ἤν με θανοῦσαν
Στείλῃς, μὴ ἀνύσῃς δεύτερα φίλτρα γάμου.
Εἶπεν. ὁ δ' εἰς ἑτέρην ἐσπούδασεν. ἀλλὰ Φίλιννα
Διογένην λήθης τίσατο καὶ φθιμένη.
Νυκτὶ γὰρ ἐν πρώτῃ θάλαμον χάσε μῆνις ἄφυκτος,
Ὡς μὴ λέκτρον ἰδεῖν δεύτερον ἠέλιον.

APOLLONIDÆ. 2.

Per pueros (dixit) te ſupplex oro, ſi me mortuam
Sepelieris, ne contrahas ſecundos amores nuptiarum.
Dixit. Hic verò aliam appetiit. Sed Philinna

Diogenem propter obliuionem vlta est, licet mortua.
Nocte enim primâ thalamum obruit ira ineuitabilis.
Vt thalamus non videret sequentem lucem.

ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Καλὰ τὰ παρθενίης κειμήλια. παρθενίη δὲ,
Τὸν βίον ὤλεσεν ἂν, πᾶσι φυλαττομένη.
Τοὔνεκεν ἐνθέσμως ἄλοχον λάβε, καὶ ἵνα κόσμῳ
Δὸς βροτὸν ἀντὶ σέθεν. φεῦγε δὲ μαχλοσύνην.

PAVLI SILENTIARII. 3.

Pulchri quidem virginitatis thesauri. Virginitas autem
Vitam perderet, si ab omnibus seruaretur,
Propterea legitimè vxorem duc & aliquem mundo
Da hominem pro te, fuge autem scortationem.

Τίνας ἂν εἴποι λόγους Ἑλένη, μονομαχούντων
Μενελάου καὶ Πάριδος.

Εὐρώπης Ἀσίης τε δορυσθενέες βασιλῆες,
Ὑμῖν ἀμφοτέροισιν ἐπὶ ξυροῦ ἵσταται ἀκμή,
Τίς κεν ἐμὲ τλήθυμος ἕλοι δύστηνον ἀκοίτης·
Ζεὺς δὲ πατὴρ δικάσειεν, ἄτερ δὲ Κυπρογενείης,
Μὴ πάλιν ἄλλος ἕλῃ με γαμοκλόπος αἶσχος Ἀχαιοῖς.

Quæ dixerit verba Helena singulari certamine
pugnantibus Menelao & Paride. 4.

Europæ & Asiæ hastâ potentes reges,
Vobis ambobus res sita est in acie nouaculæ,
Quis me forti animo præditus auferat miseram, coniux.
Iupiter autem pater diiudicet. Sine Venere autem
Non rursus alius auferet me adulter, dedecus Græcis.

ΔΙΟΝΥΣΙΟΥ.

Ὥρη ἐρᾶν, ὥρη δὲ γαμεῖν, ὥρη δ᾽ πεπαῦσθαι.

DIONYSII. 5.

Tempus amandi, tempus ducendi, tempus quiescendi.

ΑΥΤΟΜΕΔΟΝΤΟΣ.

Εὐδαίμων πρῶτον μὲν ὁ μηδενὶ μηδὲν ὀφείλων,

Εἶτα δ' ὁ μὴ γήμας· τὸ τρίτον, ὅστις ἄπαις.
Ἢν δὲ μανεὶς γήμῃ τις, ἔχει χάριν, ἢν κατορύξῃ
Εὐθὺς τὴν γαμετήν, προῖκα λαβὼν μεγάλην.
Ταῦτ' εἰδὼς, σοφὸς ἴσθι· μάτην δ' Ἐπίκουρον ἔασον
Ποῦ τὸ κενὸν ζητεῖν, καὶ τίνες αἱ μονάδες.

AVTOMEDONTIS. 6

Felix quidem primùm, qui nemini aliquid debet:
Postea qui vxorem non duxit: tertiò qui sine prole.
Quòd si quis insanus vxorem ducat, habet gaudiū si defodiat
Statim vxorem, dotem vbi accepit magnam.
Hæc discens sapiens esto: Frustra autem Epicurum relinque
Vbi sit vacuum inquirere, & quænam vnitates.

Ἀδήλου.

Οὐκ ἔστι γήμας ὅστις οὐ χειμάζεται,
Λέγουσι πάντες, καὶ γαμοῦσιν εἰδότες.

Incerti. 7.

Nemo est qui vxorem ducens non vexatur,
Dicunt omnes, & tamen vxores ducunt, licet sciant.

Ἀδήλου.

Ἄχρις ἂν ᾖς ἄγαμος Νουμήνιε, πάντα δοκεῖ σοι
Ἐν τῷ ζῆν εἶναι τἀγαθὰ τῶν ἀγαθῶν.
Εἶθ' ὅταν εἰσέλθῃ γαμετή, πάλιν εὐθὺ δοκεῖ σοι
Ἐν τῷ ζῆν εἶναι πάντα κακῶν τὰ κακά.
Ἀλλὰ χάριν τεκνίων; ἕξεις Νουμήνιε τέκνα,
Χαλκὸν ἔχων· πτωχὸς δ' οὐδὲ τὰ τέκνα φιλεῖ.

Incerti. 8.

Quamdiu cælebs es, Numenie, omnia videntur tibi
In vitâ esse bona bonorum.
Postea vbi ingressa fuerit vxor, rursum statim videntur tibi
In vitâ esse omnia malorum mala.
Sed dices liberorum gratia: habebis, Numenie, liberos
Nummos habens: mendicus v nec liberos quidem amat.

ΕΙΣ ΓΗΡΑΣ ΚΑΙ ΓΕΡΟΝΤΑΣ, κεφ. ις

ΜΕΝΕΚΡΑΤΟΥΣ.

Γῆρας ἐπὰν μὲν ἀπῇ, πᾶς εὔχεται· ἢν δέ ποτ' ἔλθῃ,
Μέμφεται. ἔστι δ' ἀεὶ κρεῖσσον ὀφειλόμενον.

IN SENECTVTEM ET Senes, Cap. XVI.

MENECRATIS. 1.

Senectus cùm abest, quiuis eam optat. Vbi verò venit,
Reprehendit: Est a. semper melior, cùm adhuc debetur.

ΛΟΥΚΙΛΛΙΟΥ.

Εἴ τις γηράσας ζῆν εὔχεται, ἄξιός ἐστι
Γηράσκειν πολλὰς εἰς ἐτέων δεκάδας.

LVCILLII. 2.

Si quis iam senio confectus viuere desiderat, dignus est
Senescere in multorum annorum decades.

ΘΕΟΓΝΙΔΟΣ.

Ὤ μοι ἐγὼν ἥβης, καὶ γήραος οὐλομένοιο·
Τοῦ μὲν, ἐπερχομένου, τῆς δ', ἀπονεισομένης.

THEOGNIDIS. 3.

Hei mihi ob iuuentutem, & senectutem noxiam!
Hanc quidem superuenientem, illam verò discedentem.

Ἀδέσποτον.

Ἂν περιλειφθῇ μικρὸν ἐν ἄγγεσιν ἡδέος οἴνου,
Εἰς ὀξὺ τρέπεται τοῦτο τὸ λειπόμενον.
Οὕτως αἰτλήσας τὸν ὅλον βίον, εἰς βαθὺ δ' ἐλθὼν
Γῆρας ὁ πρεσβύτης, γίγνεται ὀξύχολος.

Incerti. 4.

Si relictum sit pauxillum in vasis dulcis vini
In acetum mutatur hoc, quod relictum est.

Sic qui exantlauit totam vitam, vbi ad profundam venit
Senectutem aliquis senior, fit austerus, & morosus.

ΕΠΙΓΟΥΝΟΥ Θεσσαλοῦ.

Ἡ πάρος εὐπετάλοισιν ἐν οἰνάνθαις νεάσασα,
Καὶ τεταμένων βοτρύων ῥᾶγα κομισσαμένη,
Νῦν οὕτω γραίνομαι. ἴδ' ὡς χρόνος οἷα δαμάζει.
Καὶ σταφυλὴ γήρως αἰσθάνεται ῥυτίδων.

EPIGVNI Thessali. 5.

Quæ antea foliis decoris in vitis floribus iuuenescens
Et extensis botris acinum producebam,
Iam sic senesco. Vide quomodo & qualia tempus domat.
Et vua senectutis sentit rugas.

ΑΝΤΙΠΑΤΡΟΥ.

Χειμέριον καίουσαν ἐφ' ἑστίῃ ἄνθρακα Γοργὼ
Τὴν γρηῦν βροντῆς ἐξεπάταξε φόβος.
Πνεύμονα δὲ ψυχθεῖσα κατέμυσεν. ἦν ἄρα μέσση
Γήρως καὶ θανάτου λειπομένη πρόφασις.

ANTIPATRI. 6.

Hyemalem incendentem in foco carbonem Gorgo
Anum tonitrus percussit metus.
Pulmonem autem frigore exstincta obiit. Erat sane media
Inter senium & mortem relicta occasio.

ΦΙΛΩΝΟΣ.

Αἱ πολιαὶ σὺν νῷ, γεραρώτεραι. αἱ γὰρ ἄτερ νοῦ,
Μᾶλλον τῶν πολλῶν εἰσὶν ὄνειδος ἐτῶν.
Αἱ τρίχες, ἢν σιγᾷς, εἰσὶ φρένες· ἢν δὲ λαλήσῃς,
Ὡς αἱ τῆς ἥβης, οὐ φρένες, ἀλλὰ τρίχες.

PHILONIS. 7.

Cani cum prudentiâ honoratiores: qui a. sine prudentiâ,
Potius multorum sunt dedecus annorum.
Capilli, si taceas, prudentia sunt: sin autem loquaris,
Vt capilli iuuentutis: non prudentia sunt, sed capilli.

ΕΙΣ ΓΡΑΜΜΑΤΙΚΟΥΣ, κεφ. ιζ'

ΠΑΛΛΑΔΑ Εἰς τὴν ἑαυτοῦ γυναῖκα Ἀνδρομάχην.

Μῆνιν οὐλομένην γαμετὴν ὁ τάλας γεγάμηκα,
Καὶ παρὰ τῆς τέχνης μήνιδος ἀρξάμενος.
Ὤ μοι ἐγὼ πολύμηνις, ἔχων διχόλωτον ἀνάγκην,
Τέχνης γραμματικῆς, καὶ γαμετῆς μαχίμης.

IN GRAMMATICOS. Cap. XVII.

PALLADÆ, in suam coniugem Andromachen.

Iram exitialem coniugem miser vxorem duxi,
Etiam in arte ab irâ incipiens.
Hei mihi qui multæ iræ: habens duas iræ necessitates,
Artis Grammaticæ, & coniugij contentiosi.

Τοῦ αὐτοῦ.

Μῆνις Ἀχιλλῆος καὶ ἐμοὶ πρόφασις γεγένηται
Οὐλομένης πενίης γραμματικευσαμένῳ.
Εἴθε δὲ σὺν Δαναοῖς με κατέκτανε μῆνις ἐκείνη,
Πρὶν χαλεπὸς λιμὸς γραμματικῆς ὀλέσῃ.
Ἀλλ' ἵν' ἀφαρπάξῃ Βρισηΐδα κρείων Ἀγαμέμνων,
Τὴν δ' Ἑλένην ὁ Πάρις, πτωχὸς ἐγὼ γενόμην.

Eiusdem. 2.

Ira Achillis & mihi occasio facta est
Exitialis paupertatis Grammaticum agenti.
Vtinam autem cum Danais me occidisset ira illa,
Ante quàm grauis fames Grammaticæ perderet!
Sed quia abstulit Briseida prius Agamemnon,
Et Helenam Paris, mendicus ego factus sum.

Τοῦ αὐτοῦ.

Ὄργανα μουσάων, τὰ πολύστονα βιβλία, πωλῶ,

Εἰς ἑτέρας τέχνης ἔργα μετερχόμενος.
Πιερίδες σώζοισθε, λόγοι, συντάσσομαι ὑμῖν·
Σύνταξις γὰρ ἐμοὶ καὶ θάνατον παρέχει.

Eiusdem. 3.

Organa Musarum luctuosos libros vendo,
In alterius artis opera transiens.
O Musæ ô valete. verba, vobiscum in ordine construar,
Constructio enim mihi etiam mortem adfert.

Τοῦ αὐτοῦ.

Ἀρχὴ γραμματικῆς, πεντάστιχός ἐστι κατάρα·
Πρῶτος, μῆνιν ἔχει· δεύτερος, οὐλομένην.
Καὶ μετὰ δ' οὐλομένην, Δαναῶν πάλιν ἄλγεα πολλά.
Ὁ τρίτατος ψυχὰς εἰς Ἀΐδην κατάγει.
Τοῦ δὲ τεταρταίου, τὰ ἑλώρια, καὶ κύνες ἀργοί.
Πέμπτου δ', οἰωνοί, καὶ χόλος ἐστὶ Διός.
Πῶς οὖν γραμματικὸς δύναται μετὰ πέντε κατάρας,
Καὶ πέντε πτώσεις, μὴ μέγα πένθος ἔχειν;

Eiusdem. 4.

Principium Grammaticæ quinque versuum exsecratio est,
Primus versus Iram habet, alter exitialem.
Et post exitialem, Danaûm rursus dolores multos,
Tertius animas ad inferos deducit.
Quarti autem sunt dilaniationes, & canes pigri.
Quinti autem alites, & ira Iouis est.
Qui ergo Grammaticus potest post quinque diras,
Et quinque casus, non magnum dolorem habere?

Τοῦ αὐτοῦ.

Καλλιμάχου πωλῶ καὶ Πινδάρου, ἠδὲ καὶ αὐτὰς
Πτώσεις γραμματικῆς, πτῶσιν ἔχων πενίης.
Δωρόθεος γὰρ ἐμὴν τροφίμην σύνταξιν ἔλυσεν·
Ὥστε με τοῦ τε πιεῖν τοῦ τε φαγεῖν ἀπορεῖν.
Ἀλλὰ σύ μου προσίστηθι θεῷ φίλε· μηδέ μ' ἐάσῃς
Συνδέσμῳ πενίης τὸν βίον ἐξανύσαι.

Eius-

Eiuſdem. 5.

Callimachum vendo,& Pindarum,atque adeò ipſos
  Caſus Grammaticæ, caſum habens paupertatis.
Dorotheus enim meam nutricem Syntaxin ſuſtulit:
  Adeo vt illo,quod bibam,& comedam,indigeam.
Sed tu mei curam habe Deo amice,neque me ſinas
  Coniunctione paupertatis vitam tranſigere.

ΕΥΠΙΘΙΟΥ Ἀθηναίου στίξαντος τὴν καθόλου.

Ταυτολόγων κανόνων φεῦ πλήθεος, ἠδ᾽ ἀϊδήλων
  Ξυσμάτων, λεπτὸς τοὺς ἐχάραξε δόναξ.
Ὄμματά μευ κέκμηκε, τένων, ῥάχις, ἰνίον, ὦμοι.
  Τῆς καθόλου δὲ φέρω τὴν ὀδύνην καθόλου.

EVPITHII Athenæi qui diſtinxerat librum vniuerſalem. 6.

Tautologorum Canonum vah quanta copia! & obſcurorum
  Characterum,ſubtilis quos arauit arundo!
Oculi mei defatigati ſunt,ceruix,ſpina, nerui,humeri.
  Ab vniuerſali nempe reporto dolorem vniuerſalem.

ΠΑΛΛΑΔΑ.

Λίτραν ἐτῶν ζήσας μετὰ γραμματικῆς βαρυμόχθου,
  Βουλευτὴς νεκύων πέμπομαι εἰς ἀΐδην.

PALLADÆ. 7.

Libram annorum cùm vixi apud Grammaticam laborioſam,
  Senator mortuorum mittor ad infernum.

Τοῦ αὐτοῦ.

Ἐνθάδε παιδεύουσιν ὅσοις κεχόλωτο Σάραπις,
  Τοῖσιν ἀπ᾽ οὐλομένης μήνιδος ἀρχομένοις.
Ἔνθα τροφὸς κατὰ μῆνα φέρει μισθὸν μετ᾽ ἀνάγκης,
  Βίβλῳ καὶ χάρτῃ δησαμένη πενίην.
Ὡς δὲ κάπνισμα τιθεῖ παρὰ τὸν θρόνον, ὡς παρὰ τύμβον,
  Τὸν σμικρὸν χάρτην, τὸν παραλειπόμενον.

Eiusdem. 8.

Hîc pueros docent illi quibus iratus Serapis est
Illis, qui à pestiferâ irâ incipiunt.
Vbi nutrix post mensem affert mercedem coacta,
Libro & chartæ alligans paupertatem.
Velut autem suffitum ponit ad sedem meá velut sepulchrum
Paruam chartam abiectam.

Στίχοι ἔχοντες τὰ εἰκοσιτέσσαρα στοιχεῖα.

Ἀβροχίτων δ᾽ φύλαξ, θηροζυγοκαμψιμέτωπος.
Ἀβρὸς δ᾽ ἐν προχοαῖς Κύκλωψ φθογγάζετο μύρμηξ.

Versus continentes viginti quatuor litteras. 9.

Molliter vestitus autem, custos feræ & flexiiugæ frontis.
Mollis autem in ostiis fluminum Cyclops, vocé edidit cicada.

ΕΙΣ ΓΡΑΦΙΔΑ, κεφ´ ιη

Ἤμην ἄγρεστον κάλαμος φυτόν· ἐκ γὰρ ἐμεῖο
Οὐ σῦκ᾽, οὐ μῆλον φύεται, οὐ σταφυλή·
Ἀλλά μ᾽ ἀνὴρ ἐμύησ᾽ Ἑλικωνίδα, λεπτὰ τορήσας
Χείλεα, καὶ στενὸν ῥοῦν ὀχετευσάμενος.
Ἐκ δὲ τοῦ, εὖτε πίοιμι μέλαν ποτὸν, ἔνθεος οἷα,
Πᾶν ἔπος ἀφθέγκτῳ τῷδε λέγω στόματι.

IN CALAMVM SCRIPTORIVM, Cap XVIII. 1.

Eram agrestis calamus planta. Ex me enim
Non ficus, non pomum prouenit, non vua:
Sed me vir initiauit in Helicone natum, subtile poliens
Labium, & angustum fluxum deriuans.
Ex quo simul bibo nigrum potum, tanquam diuina,
Omne verbum muto hoc loquor ore.

ΕΙΣ ΓΥΝΑΙΚΑΣ, κεφ. ιθ'.

ΠΑΛΛΑΔΑ.

Ὀργὴ τοῦ Διός ἐστι γυνὴ, πυρὸς ἀντιδοθεῖσα,
Δῶρον ἀνιηρὸν, τοῦ πυρὸς ἀντίδοτον.
Ανδρα γὰρ ἐκκαίει ταῖς φροντίσιν, ἠδὲ μαραίνει,
Καὶ γῆρας προπετὲς τῇ νεότητι φέρει.
Οὐδ' ὁ Ζεὺς ἀμέριμνος ἔχει χρυσόθρονον Ἥρην·
Πολλάκι γοῦν αὐτὴν ῥίψεν ἀπ' ἀθανάτων,
Ηέρι καὶ νεφέλῃσι μετήορον. οἶδεν Ομηρος,
Καὶ Δία συγγράψας τῇ γαμετῇ χόλιον.
Οὕτως οὐδέποτ' ἐστὶ γυνὴ σύμφωνος ἀκοίτῃ,
Οὐδὲ καὶ ἐν χρυσέῳ μιγνυμένη δαπέδῳ.

IN MVLIERES, Cap. XIX.

PALLADÆ. I.

Est mulier Iouis Ira, loco ignis reddita,
Munus molestum, & pro igne redditum.
Virum enim exurit curis, & tabefacit,
Et senium velox in iuuentute adfert.
Neque Iupiter sine curis habet in aurea sede Iunonem:
Sæpiùs ergo ipsam proiecit è cælo,
Aëre & nubibus suspensam. Nouit Homerus,
Et Iouem inter alia scripsit coniugi iratum.
Sic nunquam est mulier consona suo marito,
Ne quidem cùm in aureo cum ipso miscetur solo.

Τοῦ αὐτοῦ.

Πᾶσαν Ομηρος ἔδειξε κακὴν σφαλερήν τε γυναῖκα·
Σώφρονα καὶ πόρνην, ἀμφοτέρας ὄλεθρον.
Ἐκ γὰρ τῆς Ἑλένης μοιχευσαμένης, φόνος ἀνδρῶν·
Καὶ διὰ σωφροσύνην Πηνελόπης, θάνατοι.

Ἰλιὰς οὖν τὸ ποίημα, μιᾶς χάριν ἐστὶ γυναικός·
Αὐτὰρ Ὀδυσσείῃ Πηνελόπη πρόφασις.

Eiuſdem. 2.

Omnem Homerus oſtendit malam & fallacem mulierem,
Caſtam,& meretricem: vtramque pernicioſam.
Ex Helenâ enim adulterâ cædes virorum:
Et propter pudicitiam Penelopes, interitus.
Ilias igitur poëma eſt propter vnicam mulierem:
Sed Odyſſeæ Penelope dedit occaſionem.

Τοῦ αὐτοῦ.

Ὁ Ζεὺς ἀντὶ πυρὸς πῦρ ὤπασεν ἄλλο, γυναῖκας.
Εἴθε δὲ μήτε γυνή, μήτε τὸ πῦρ ἐφάνη.
Πῦρ μὲν δὴ ταχέως καὶ σβέννυται· ἡ δὲ γυνή, πῦρ
Ἄσβεστον, φλογερόν, πάντοτ' ἀναπτόμενον.

Eiuſdem. 3.

Iupiter pro igne ignem dedit alium, mulieres:
Vtinam autem nec mulier nec ignis apparuiſſet.
Ignis tamen ſtatim extinguitur:Mulier autem, ignis
Inexſtinguibilis,flagrans,omnia vbique corripiens.

Τοῦ αὐτοῦ.

Ἂν πάνυ κομπάζῃς προστάγματι μὴ ὑπακούειν
Τῆς γαμετῆς, ληρεῖς· οὐ γὰρ ἀπὸ δρυός εἶ,
Οὐδ' ἀπὸ πέτρης, φασίν, ὅθεν πολλοὶ κατ' ἀνάγκην
Πάσχομεν. εἰ πάντες, καὶ σὺ γυναικοκρατῇ.
Εἰ δ' οὐ σανδαλίῳ φῂς τύπτομαι, οὐδ' ἀκολάστου
Οὔσης μοι γαμετῆς χρή με μύσαντα φέρειν·
Δουλεύειν σε λέγω μετριωτέρον, εἴγε πέπρασαι
Σώφρονι δεσποίνῃ, μηδὲ λίαν χαλεπῇ.

Eiuſdem. 4.

Si vel maximè iactas imperio te non obedire
Vxoris,inſanis.Non enim è quercu es,
Nec ex petrâ,quod dicitur:quod omnes neceſſariò
Patimur. & ſi omnes,certè & tu cogeris ab vxore.

Si non ſandalio,inquis,verberor, néque adeo proterua
Mihi vxor ſit,decet me illa conniuentem ferre.
Seruire te dico mediocriùs, ſi venditus ſis
Temperanti dominæ,& non nimis immiti.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Ἔπταρον ἄγχι τάφοιο, καὶ ἤθελον αὐτὸς ἀκοῦσαι
Οἷά περ οἰσάμενος μοῖραν ἐμῆς ἀλόχου.
Ἔπταρον εἰς ἀνέμους, ἄλοχον δέ μοι οὔτι κιχάνει
Λυγρὸν ἐν ἀνθρώποις, οὐ νόσος οὐ θάνατος.

MACEDONII Principis. 5.

Sternutabam prope ſepulchrum,& volebam ipſe videre,
Quale exiſtimaui,mortem meæ coniugis.
Sternutaui fruſtra. Vxorem autem mihi nihil corripit
Graue inter homines,non morbus,nec mors.

Εἰς Ἀγαμέμνονα.

Ἑλλάδος ἐνναετῆρες ἀμεμφέες ἡγεμονῆες,
Μηκέτι πιστὰ φέρητε γυναιξὶ δολοφρονεούσαις.
Θηλυτέρη μ' ἐδάμασσε, τὸν οὐ κτάνε δῖος Ἕκτωρ.

In Agamemnonem.

Græciæ nouennales inculpati principes,
Non amplius fidem habeatis mulieribus doloſis.
Mulier me domuit,quem non occidit hoſtilis Hector.

ΕΙΣ ΔΕΝΔΡΑ, κεφ. κζ

ΑΝΤΙΠΑΤΡΟΥ, οἱ δὲ, ΠΛΑΤΩΝΟΣ.

Εἰνοδίην καρύην με παρερχομένοις ἐφύτευσαν
Παισὶ λιθοβλήτου παίγνιον εὐστοχίης.
Πάντας δ' ἀκρέμονάς τι καὶ εὐθαλέας ὀροδάμνους
Κέκλασμαι, πυκιναῖς χερμάσι βαλλομένη.
Δένδρεσιν εὐκάρποις οὐδὲν πλέον. ἦ γὰρ ἔγωγε
Δυσδαίμων ἐπ' ἐμὴν ὕβριν ἐκαρποφόρουν.

IN ARBORES, Cap. XX.

ANTIPATRI, vt alij PLATONIS. 1.

Propè viam iuglandem nucem me prætereuntibus plantarunt
Pueris in lapidibus mittendis ludibrium dexteritatis.
Omnes enim bene florentes ramos
Fracta sum, continuis lapidibus petita.
Arborib. frugiferis nulla melior conditio est. Nonne enim ego
Infelix in meam contumeliam fructum produxi?

ΚΑΛΛΙΝΙΟΥ.

Η πάρος ἐν δρυμοῖσι νόθης ζείδωρος ὀπώρης
Αχράς, θηροβότου πρέμνον ἐρημοσύνης,
Οθνείοις ὄζοισι μετέμφυτος, ἥμερα θάλλω,
Οὐκ ἐμὸν ἡμετέροις κλωσὶ φέρουσα βάρος.
Πολλή σοι φυτοεργὲ πόνου χάρις· εἵνεκα σεῖο
Αχράς ἐν εὐκάρποις δένδρεσιν ἐγγράφομαι.

CALLINII. 2.

Quæ antea insiluis spurij fertilis fructus
Pyrus siluestris, solitudinis robur desertæ eram:
Externis ramis insita, mansueta floreo
Non meum meis ramis ferens onus.
Multa tibi, ò insitor ob laborem gratia. Propter te
Pyraster inter bonos frugiferos arbores numeror.

ΛΕΩΝΙΔΟΥ.

Μὴ μέμφῃ μ' ἀπίπειρον ἀεὶ θάλλουσαν ὀπώρην,
Αχράδα, τὴν καρποῖς πάντοτε βριθομένην.
Οππόσα γὰρ κλάδοισι πεπαίνομεν, ἄλλος ὑφέλκει·
Οππόσα δ' ὠμὰ μένει, μητρὶ περικρέμαται.

LEONIDÆ. 3.

Ne mereprehendas immaturum semper proferenté fructum,
Syluestrem pyrum: fructibus vndique onustam.
Quæcunque enim in ramis maturamus, alius aufert:
Immatura autem, circum matrem dependent.

ΦΙΛΙΠΠΟΥ.

Τὸν φιλοπωριστὴν Δημόκριτον ἤν που ἐφεύρης
　Ὤνθρωπ', ἄγγειλον τοῦτο δὲ κοῦφον ἔπος,
Ὡς ὁ λευκοόπωρος ἐγὼ καὶ ἐφώριος ἤδη,
　Κείνῳ συκοφορῶ τὰς ἀπύρους ἀκόλους.
Σπευσάτω, οὐκ ἐχυρὴν γὰρ ἔχω στάσιν, εἴπερ ὀπώρην
　Ἀκρήτου χρήζει δρέψαι ἀπ' ἀκρέμονος.

PHILIPPI. 4.

Fructibus gaudentem Democritum sicubi inuenias,
　O homo, annuncia illi hoc leue verbum,
Quod albis fructibus ego, & tempestiua iam
　Ipsi fructus produco, non coquendos cibos.
Festinet (Non enim tutum habeo statum) Siquidem fructus
　Non tacto ab aliis cupit decerpere è ramo.

ΛΕΩΝΙΔΟΥ.

Αὐτοθαλεῖς καρποὺς ἀποτέμνομαι, ἀλλὰ πεπείρους,
　Παίοντε μὴ σκληροῖς τύπτετε χερμαδίοις.
Μηνίει καὶ Βάκχος ἐνυβρίζοντι τὰ κείνου
　Ἔργα· Λυκούργειος μὴ λαθέτω σε τύχη.

LEONIDÆ. 5.

Vltroneos fructus à me abiicio, sed maturos
　Vndique ne grauibus me pulsate lapidibus.
Irascitur & Bacchus illi, qui iniuriosus est in illius
　Inuenta. Lycurgea non lateat te fortuna.

ΑΝΤΙΦΙΛΟΥ Βυζαντίου.

Κλῶνες ἀπηόριοι τελμαῆς δρυός, εὔσκιον ὕψος
　Ἀνδράσιν ἄκρητοι καῦμα φυλασσομένοις,
Εὐπέταλοι, κεράμων στεγανώτεροι, οἰκία φαττῶν,
　Οἰκία τεττίγων, ἔνδιοι ἀκρέμονες,
Καὶ μὲ τὸν ὑμετέρῃσιν ὑποκλινθέντα κόμῃσι
　Ῥύσασθ', ἀκτίνων ἠελίου φυγάδα.

ANTIPHILI Byzantij.

Rami altè pendentes proceræ quercus,vmbroſa altitudo
Hominibus magnum calorem euitantibus,
Frondoſi,tegulis denſiores,inhabitatio virorum,
Domus cicadarum,meridiani rami:
Et me veſtris reclinatum ſub foliis
Liberate,radiorum ſolis profugum.

ΖΩΝΑ.

Ὦνερ, τὰν βαλάνων τὴν ματέρα φείδεο κόπτειν,
Φείδεο· γηραλέαν δ' ἐκκεράιζε πίτυν,
Ἢ πεύκαν, ἢ τήνδε πολυστέλεχον παλίουρον,
Ἢ πρῖνον, ἢ ταύτην αὐαλέαν κόμαρον.
Τηλόθι δ' ἴσχε δρυὸς πέλεκυν. κικυαὶ γὰρ ἔλεξαν
Ἁμῖν ὡς πρότεραι ματέρες ἐντὶ δρύες.

ZONÆ. 7.

O vir glandium matrem parce amputare,
Parce,Senilem verò exſcinde pinum,
Aut piceam , aut hanc multos habentem truncos paliurum,
Aut ilicem,aut aridam arbutum.
Procul autem inhibe à quercu ſecurim. Aui enim dixerunt
Nobis,quòd primæ matres ſint quercus.

Ἀδέσποτον.

Παλλάδος εἰμὶ φυτόν, Βρομίου τί με θλίβετε κλῶνες;
Αἴρετε τοὺς βότρυας, παρθένος οὐ μεθύω.

Incerti. 8.

Palladis ſum frutex. Bromij quid me affligitis rami?
Tollite vuas. Ego virgo non ebria ſum.

ΦΙΛΙΠΠΟΥ.

Φοῖβον ἀνηναμένη ποτὲ Δάφνη, νῦν ἀνέτειλε
Καίσαρος ἐκ βωμοῦ κλωνία μελάμπεταλον.
Ἐκ δὲ θεοῦ θεὸν εὗρεν ἀμείνονα. Λητοΐδην γὰρ
Ἐχθήρασα, φιλεῖ Ζηνὸς Αἰνεάδην.
Ῥίζαι δ' οὐκ ἀπὸ γῆς μηδεὶς βάλεν, ἀλλ' ἀπὸ πέτρης.

Καίσαρι

Καίσαρι μὴ τίκτειν οὐδὲ λίθος δύναται.

PHILIPPI. 9.

Phœbum recuſans olim Daphne: iam produxit
Cæſaris ex aris ramum nigra folia habentem.
Ex Deo verò Deum inuenit meliorem. Latoidem
Odio proſecuta, amat Iouem Æneadem.
Radicem autem non ex terrâ matre emiſit, ſed è petrâ.
Cæſari autem parere ne lapis quidem non poteſt.

Εἰς δάφνην ἀξίνῃ κοπτομένην.

Ποῖ Φοῖβος πεπόρευτο, Ἄρης ὅτ' ἐμίγνυτο Δάφνῃ;

In laurum ſecuri ſucciſam. 10.

Quorſum abiit Phœbus, Mars cùm commiſceretur Daphnæ?

Εἰς κλινάριον πόρνης ἀπὸ δάφνης.

Λέκτρον ἑνὸς φεύγουσα, λέχος πολλοῖσιν ἐτύχθην.

In lectulum meretricis è lauru. 11.

Lectum vnius fugiens, cubile multis facta ſum.

ΕΡΜΟΚΡΕΟΝΤΟΣ.

Ἵζευ ὑπὸ σκιερὰν πλάτανον ξένε τήνδε παρέρπων,
Ἃς ἁπαλοῖς ζέφυρος πνεύμασι φύλλα δονεῖ.
Ἔνθα με Νικαγόρας κλυτὸν εἵσατο Μαιάδος Ἑρμᾶν,
Ἀγροῦ καρποτόκου ῥύτορα καὶ κτεάνων.

HERMOCREONTIS. 12.

Conſide ſub vmbroſa platano, ô hoſpes, hâc præteriens,
Cuius molli Zephyrus flamine folia agitat.
Vbi me Nicagoras inclytum poſuit Maiæ filium Mercurium,
Agri fructiferi ſeruatorem, & opum.

Ὡς ἀπὸ Πανός.

Ἔρχεο, καὶ κατ' ἐμὰν ἵζευ πίτυν, ἃ τὸ μελιχρὸν
Πρὸς μαλακοὺς ἠχεῖ κεκλιμένα ζεφύρους.
Ἠνὶδε καὶ κρουνισμα μελισταγές, ἔνθα μελίσδων,
Ἡδὺν ἐρημαίοις ὕπνον ἄγω καλάμοις.

Tanquam à Pane diceretur. 13.

Veni, & iuxta meam conſide pinum quæ ſuauiter

Ad molles resonat reclinata Zephyros.
En tibi & torrentem mellifluum,vbi canens
Dulcem solitariis somnum traho calamis.

ΠΛΑΤΩΝΟΣ.

Ὑψίκομον παρὰ τήνδε καθίζεο φωνήεσσαν
Φρίσσουσαν πυκινοῖς κῶμον ὑπὸ ζεφύροις.
Καί σοι καχλάζουσιν ἐμοῖς παρὰ νάμασι σύριγξ
Θελγομένῳ, ἄξει κῶμα κατὰ βλεφάρων.

PLATONIS. 13.

Alticomam iuxta hanc pinum conside vocalem
Insonantem crebris lasciuum cantum Zephyris.
Et tibi strepentes meos apud fontes fistula
Delectato adducet altum somnium oculis.

Εἰς τινὰ θανόντα ὑπὸ πλησμονῆς περσικῶν μήλων.

Ἐκ φονίων Περσῶν φόνιον φυτὸν ἤγαγε Περσεὺς
Παιδὶ Θεογνώστου τοῦ θανάτου πρόφασιν.

In quendam mortuum ex satietate
Persicorum malorum. 14.

E mortiferis Persis mortiferam arborem attulit Perseus,
Pueto Theognostæ mortis causam.

Εἰς ἀναδενδράδα.

Ὄχνη, χειρὸς ἐμῆς γλυκερὸς πόνος· ἦ μὲν ἐφ᾽ ὑγρῷ
Φλοιῷ φλοιὸν ἔδησα θέρει πλήρθον δ᾽ ἐπὶ δένδρῳ
Ῥιζωθη. δένδρου δὲ τομὴ καὶ καρπὸν ἄμειψεν·
Νέρθε μὲν ἀχρὰς ἔτ᾽ ἐστὶν, ὕπερθε δ᾽ ἄρ᾽ εὔπνοος ὄχνη.

In arbustum. 15.

Pyrus,manus meæ dulcis labor.Siquidem ego tenero
Cortice corticem ligaui in æstate. Ramus verò in arbore
Radices egit. Arboris verò sectio,& fructus reposuit:
Infra pyraster adhuc,suprà verò benè spirans pyrus.

Ἄδηλον.

Δάφναι καὶ μύρτοισι καὶ εὐώδει κυπαρίσσῳ,

Ἔνθα πέριξ κέχυται βοτρυόπαις ἕλικι

Ἄμπελος. εἰαρινοὶ δὲ λιγυφθόγγοισιν ἀοιδαῖς

Κόσσυφοι ἀχεῦσιν ποικιλότερπα μέλη·

Ξουθαὶ ἀηδονίδες μινυρίσμασιν ἀντιαχεῦσι,

Μέλπουσαι στόμασιν τὴν μελίγηρυν ὄπα.

Incerti. 16.

Lauru, & myrtis, & flagranti Cyparisso,
Vbique circumfunditur botri filia capreolo
Vitis. Vernæ autem dulce sonantibus cantilenis
Merulæ queruntur, variè balbutiendas cantilenas:
Celeres autem lusciniæ querulæ sonitu contra resonant,
Canentes ore mellifluam vocem.

Ἀδήλου.

Ἵζευ ἅπας ὑπὸ τῆσδε δάφνης εὐθαλέα φύλλα,

Ὡραίου τ' ἄρυσαι νάματος ἡδὺ πόμα·

Ὄφρα τοι ἀσθμαίνοντα πόνοις θέρεος φίλα γυῖα,

Ἀμπαύσῃς πνοιῇ τυπτόμενα ζεφύρου.

Incerti. 17.

Conside, quicunque es, sub huius lauri benè virentia folia,
Et limpidi hauri fontis dulce poculum.
Vt fessa tibi per labores æstatis amica membra
Recrees spiramine afflicta, Zephyri.

ΑΝΤΙΦΙΛΟΥ.

Μῆλον ἐγὼ Στρούθειον ἀφ' ὁπλοτέρης ἔτι ποίης,

Ὥριον ἐν νεαρῷ χρωτὶ φυλασσόμενον,

Ἄσπιλον, ἀρρυτίδωτον, ἰσόχνοον ἀρτιγόνοισιν,

Ἀκμὴν εὐπετάλοις συμφυὲς ἀκρεμόσιν,

Ὥρης χειμερίης σπάνιον γέρας. εἰς σὲ δ' ἄνασσαν

Τοίην χὠ νιφόεις χειμὸς ὀπωροφορεῖ.

ANTIPHILI. 18.

Malum ego Struthêum ex recentiore adhuc folio
Maturum in iuuenili quasi corpore conseruatum,
Immaculatum, sine rugis, simili cum infantibus lanugine

Adhuc bene foliatis adnatum ramis.
Tempore hyemali rarum munus. In te verò heram
Talem etiam niualis algor poma confert.

ΕΙΣ ΔΙΚΑΙΟΣΥΝΗΝ, κεφ. κα΄

Ἀδήλου.

Τίς σε Δικαιοσύνη βροτὸς ἤκαχεν; οὗτος ὁ κλέπτης
Ἐνθάδε με στήσας, οὐδὲν ἔχων πρὸς ἐμέ.

IN IVSTITIAM, Cap. XXI.

Incerti. 1.

Quis te, ô iustitia, homo, tristem reddidit? Hic latro
Hoc loco me constituens nil habuit contra me.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων Αἰγυπτίου.

Ἤθελε μὲν βασιλεύς σε βοηθόον εἰσέτι πέμπειν
Ἄστεσι πειρομένοις δευομένων μερόπων,
Τιτιανὲ χρύσεε· σὺ δ' ἐν βιότοιο γαλήνῃ
Πατρίδα καὶ κλῆρον σὸν προβέβουλας ἔχειν,
Αὔξων σῶν προγόνων κτέρας ἔνδικον· ἐρχομένων γὰρ
Πλοῦτον ὅτι στυγέεις, σεῦ πάρεδρος οἶδε Δίκη.

IVLIANI. 2.

Voluit quidem rex te adiutorem adhuc mittere
Vrbibus vexatis indigentium virorum,
Titiane auree. Tu verò in vitæ tranquillitate
Patriam & fortunam tuam maluisti tenêre.
Aucturus tuorum maiorum possessionē iustā. Subditorū enim
Opes quòd auerseris iudicio tibi assidens scit iustitia.

ΛΕΩΝΙΔΟΥ Εἰς τραπεζίτην Καΐκον
ἀργυρτικόν.

Ἀστοῖς καὶ ξείνοισιν ἴσον νέμει ἅδε τράπεζα.
Θεὶς, κὲ λεῦ, ψῆφου πρὸς λόγον ἐρχομένης.

Ἄλλος τις πρόφασιν λεγέτω· τὰ δ' ὀθνεῖα Καΐκος
   Χρήματα καὶ νυκτὸς βουλομένοις ἀριθμεῖ.

LEONIDÆ in trapezitam Caicum,
cauillatorium. 3.

Ciuibus & hoſpitibus æqualiter ſe habet hæc menſa.
   Pone, aufer, calculus cùm ad æſtimationem procedit.
Alius quiſpiam cauſam dicat. Alienas verò Caicus
   Diuitias etiam noctu, ſi quis velit, numerat.

ΕΙΣ ΔΙΚΗΝ ΕΝ Ω ΚΑΙ ΕΙΣ ΠΡΟ-νοιαν, κεφ. κβ'.

Ἄδηλον.

Ἀσπίδ' Ἀχιλλῆος τὴν Ἕκτορος αἷμα πιοῦσαν,
   Λαρτιάδης Δαναῶν εἷλε κακοκρισίῃ·
Ναυηγοῦ δὲ θάλασσα κατέσπασε, καὶ παρὰ τύμβον
   Αἴαντος νηκτὴν ὥρμισεν, οὐκ Ἰθάκῃ.

IN IVSTITIAM, IN QVO ET de prouidentiâ, Cap. XXII.

Incerti. 1.

Haſtam Achillis Hectoris ſanguinem bibentem
   Laërtiades Græcorum abſtulit malo iudicio.
Naufragio verò mare abſtulit, & ad tumulum
   Aiacis natatilem cum impetu compulit, non in Ithacam.

Εἰς τὸ αὐτό.

Καλὰ Ποσειδάων δίκασεν πολὺ μᾶλλον Ἀθήνης,
Καὶ κρίσιν Ἑλλήνων συγχὺν ἀπέδειξε θάλασσα.
Ἀσπὶς ἐν αἰγιαλοῖσι βοᾷ, καὶ σῆμα κυδάσει,
Αὐτὸν σ' ἐκκαλέουσα τὸν ἄξιον ἀσπιδιώτην,
Ἔρχεο παῖ Τελαμῶνος, ἔχεις σάκος Αἰακίδαο.

In idipſum. 2.

Recta iudicauit Neptunus multò magis quàm Minerua,

Et iudicium Græcorum odio dignum demonstrauit mare,
Hasta in littore resonat, & sepulchrum quatit,
Ipsum te inuocans dignum hastæ iaculatorem.
Euigila puer Telamonis: habes hastam Aeacidæ.

Ἀδήλου.

Κρανίον ἐν τριόδοισι κατοιχομένου τις ἐσαθρῶν,
  Εἰκόνα τὴν κοινὴν οὐκ ἐδάκρυσε βίου·
Δεξιτερὴν δ' ἔρριψεν ἐπὶ χθόνα, καὶ λίθον ἧκε,
  Κωφὸν μὲν δοκέοντ', ἀλλὰ πνέοντα δίκης.
Ὀστέον ὡς γὰρ ἔπληξεν, ἀφήλατο, καὶ τὸν ἀφέντα
  Πήρωσε, γλυκεροῦ βλέμματος ὀρφανίσας.
Καὶ πάλιν εἰς ἀΐδην ἐκολάζετο· τὴν ἰδίην δὲ
  Ἔκλαυσε χειρῶν εὔστοχον ἀφροσύνην.

Incerti. 3.

Cranium in triuiis mortui aliquis intuens,
  Effigiem communem non defleuit vitæ.
Dexteram aurem in terram misit, & lapidem proiecit,
  Surdum quidem visum, sed spirantem pœnas.
Os enim cùm percussisset, subsiliit & illum qui se miserat
  Mutilauit, dulci visu ipsum priuans.
Et rursus in orco pœnas dedit. Propriam verò
  Defleuit manuum in iaculando peritam stultitiam.

ΒΙΑΝΟΡΟΣ.

Ἀγγελίην παρὰ Ζηνὸς ἐπεὶ φέρεν ἠεροδίνης
  Αἰετὸς, οἰωνῶν μοῦνος ἐνουράνιος,
Οὐκ ἔφθη τὸν Κρῆτα, δόλῳ δ' ἐνετείνατο νευρὴν,
  Πτηνὸν δ' ὁ πτερόεις ἰὸς ἐληίσατο.
Ζηνὸς δ' οὔτι δίκην ἔλαθεν νόμος· ἔμπεσε δ' ὄρνις
  Ἀνδρὶ, τὰ δ' εὐστοχίης αὐταπέτισε βέλη.
Αὐχένι δ' ἰὸν ἔπηξεν, ὃν ἤλασε Κρήσιος αὐτός.
  Ἐν δὲ βέλος δισσῶν αἷμ' ἔπιεν θανάτων.

BIANORIS. 4.

Nuncium aliquod à Ioue cùm ferret in aëre se librans,

Aquila auium ſola cæleſtis. (arcum,
Non effugit Cretenſem ſagittarium. Velocem autem intendit
Volucrémque alata ſagitta prædam accepit.
Iouis autem lex non pœnam fefellit. Incidit enim auis
In virum, & ob dexteritatem rurſus vlta eſt ſagitta.
Ceruici autem telum infixit, quod epati conſopiuit ipſa,
Vnum telum duorum ſanguinem bibit fatorum.

ΦΙΛΙΠΠΟΥ.

Βαιὸν ἀποπλανίην λιπομήτορα παῖδα κορύπτων
Κριὸς ἑλιξόκερως, τῖνε θρασυνόμενος·
Κάπρος δ' Ἡράκλειος ἀπορρήξας ἀπὸ δεσμῶν,
Ἐς κενεὼν κριοῦ πᾶσαν ἔβαψε γένυν·
Ζωὴν νηπιάχῳ δ' ἐχαρίσατο. ἆρ' ἀπὸ Ἥρης
Ἡρακλέης βρεφέων ᾤκτισεν ἡλικίην.

PHILIPPI. 5.

Paruum errabundum matre deſertâ puerum cornu feriens
Aries curuis cornibus percuſſit laſciuiens.
Aper autem Herculeus erumpens fractis è vinculis,
In ventrem arietis omnem intinxit dentem:
Vitámque infanti dedit. Sanè propter Iunonem
Hercules infantium miſertus eſt ætatem.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Γήθησαν περὶ παιδὸς Ἀριστίπποιο τοκῆες,
Καὶ κλαῦσαν. μοίρης δ' ἦμαρ ἓν ἀμφοτέρης.
Εὖτε γὰρ αἰθόμενον δόμον ἔκφυγεν, ἰθὺ κεραυνοῦ
Ζεὺς κατὰ τῆς κεφαλῆς ἄσπετον ἧκε σέλας.
Τοῦτο δ' ἔπος τότ' ἔλεξαν ὅσοι νέκυν ὠδύροντο,
Ὦ πυρὶ δαιμονίῳ τλῆμον ὀφειλόμενε.

APOLLONIDÆ. 6.

Gauiſi ſunt ob puerum Ariſtippi parentes,
Et fleuerunt. Sortis autem vnus dies vtriuſque.
Cùm enim ardentem domum effugiſſet, ſtatim fulminis
Iupiter illi in caput immenſum demiſit fulgur.
Hoc verò verbum tunc dicebant, qui mortuum lugebant,

O igni diuino, miſer, qui debitus es!

Τοῦ αὐτοῦ.

Ἰοτυπὴς Διὸς ὄρνις ἐτίσατο Κρῆτα φαρέτρης,
Οὐρανόθεν τόξῳ τόξον ἀμυνόμενος.
Κεῖνον δ' εὐθὺς ἄκοντι παλινδρομέοντι κατέκτα.
Ἠέρόθεν πίπτων δ' ἔκταμεν, ὡς ἔθανεν.
Μηκέτ' ἐφ' ὑμετέροις ἀψευδέσι Κρῆτες ὀϊστοῖς
Αὐχεῖθ'· ὑμνείσθω καὶ Διὸς εὐστοχίη.

Eiuſdem. 7.

Telo læſus Iouis ales puniuit Cretenſem ob pharetram,
Cœlitus ſagittâ ſagittam vlciſcens.
Illum enim ſtatim cuſpide retortâ interemit.
Ex aere decidens occîdit, cùm occideret.
Non amplius veſtris certis, Cretenſes, ſagittis
Inſoleſcite. Laudetúr verò & Iouis iaculandi peritia:

ΑΡΧΙΟΥ.

Ἐν ποτε παμφαίνοντι μελάντερος αἰθέρι νωμῶν
Σκορπίον ἐκ γαίης οἶδε θορόντα κόραξ.
Ὃν μάρψων ὤρουσεν. ὁ δ' ἀΐξαντος ἐπ' οὖδας
Οὐ βραδὺς εὐκέντρῳ πέζαν ἔτυψε βέλει,
Καὶ ζωῆς μιν ἄμερσεν· ἴδ' ὅσον ἔτευχεν ἐπ' ἄλλῳ,
Ἐκ κείνου τλήμων αὐτὸς ἔδεκτο μόρον.

Archii. 8.

In toto quondam fulgente niger æthere volans
Scorpium in terrâ vidit ſalientem coruus.
Quem corripiens impetum fecit. Is verò rapientis è terrâ
Non tardus aculeato pedem pupugit iaculo.
Et vitâ ipſum priuauit. Ecce quod machinatus eſt alij,
Ex illo miſer ipſe ſortitus eſt mortem.

Ἀδήλου.

Ἀνδροφόνῳ σαθρὸν παρὰ τειχίον ὑπνώοντι
Νυκτὸς ἐπιστῆναί φασι Σάραπιν ὄναρ·
Καὶ χρησμῳδῆσαι, κατακείμενος οὗτος ἀνίστω.

Καὶ κοιμῶ

Καὶ κοιμῶ μεταβὰς ὦ τάλας ἀλλαχόθι.
Ὃς δὲ, διυπνισθεὶς μετέβη. τὸ δὲ σαθρὸν ἐκεῖνο
Τεῖχος ἐξαίφνης εὐθὺς ἔκειτο χαμαί.
Σῶστρα δ' ἕωθεν ἔθυε θεοῖς χαίρων ὁ κακοῦργος,
Ἥδεσθαι νομίσας τὸν θεὸν ἀνδροφόνοις.
Ἀλλ' ὁ Σάραπις ἔχρησε πάλιν διὰ νυκτὸς ἐπιστὰς,
Κήδεσθαί με δοκεῖς ἄθλιε τῶν ἀδίκων;
Εἰ μὴ νῦν σε μετῆκα θανεῖν, θάνατον μὲν ἄλυπον
Νῦν ἔφυγες, σταυρῷ δ' ἴσθι φυλαττόμενος.

Incerti. 9.

Latronem ruinosum ad murum dormientem
Noctu surgere iussisse, aiunt, Serapin in somniis,
Et vaticinatum: Quî sic recumbis? surge,
Et dormi discedens, ô miser, alibi:
Hic verò euigilans discessit. Ibi verò ruinosus ille
Murus ex templo subitus ponebatur humo.
Sospita autem manè soluit Diis gaudens, ille malignus,
Delectari ratus Deum homicidis.
Verùm Serapis vaticinatus est rursus nocte astans,
Curare me censes, ô miser, iniustos?
Licet enim iam non siui te mori, mortem quidem sine dolore
Effugisti nunc. cruci autem scito quòd conseruêris.

ΤΥΛΛΙΟΥ ΓΕΜΙΝΟΥ.

Σμίνθος ὁ παντοίης δαιτὸς λίχνος, οὐδὲ μυάγρης
Δειλὸς, ὁ καὶ θανάτου κέρδεα ληϊζόμενος,
Νευρολάλον Φοίβου χορδὴν θρίσεν· ἡ δ' ἐπὶ πῆχυν
Ἑλκομένη, θηρὸς λαιμὸν ἀπεβρόχισεν.
Τόξων εὐστοχίην θαυμάζομεν· ὃς δὲ καὶ ἐχθρῶν
Ἤδη καὶ κιθάρην εὔστοχον ὅπλον ἔχει.

TVLLII GEMINI. 10.

Mus omnium epularum heluo, nec muscipulam
Curans, qui etiam ex morte lucra prædaretur:
Neruiloquá Phœbi chordá incidit. Quæ ad verticilloscitharæ

Retracta muris guttur strangulauit.
Sagittandi peritiam miramur, vt quam contra hostes
Iam quoque citharam iaculandi peritum telum habeat.

ΒΙΑΝΟΡΟΣ.

Ἰχθύσι καὶ ποταμῷ Κλειτώνυμον ἐχθρὸς ὅμιλος
Ὦσεν, ὅτ' εἰς ἄκρην ἦλθε τυραννοφόνος.
Ἀλλὰ Δίκη μιν ἔθαψεν. ἀποσπασθεῖσα γὰρ ὄχθη
Γᾶν δέμας ἐς κορυφὴν ἐκ ποδὸς ἐκτέλεσεν.
Κεῖται δ' οὐχ ὑδάτεσσι διάβροχος· αἰδομένα δὲ
Γᾶ κεύθει τὸν ἑᾶς ὅρμον ἐλευθερίας.

BIANORIS. II.

Piscibus & fluuio Cletonymum hostilis turba
Abiecit, cùm in arcem venisset tyrannicida.
Sed iustitia ipsum sepeliit. Diuulsa enim ripa
Totum corpus ad verticem à pede vsque obruit.
Iacet autem non aquis madidus. Erubescens enim
Terra occultat suum portum libertatis.

ΕΙΣ ΔΥΣΠΡΑΓΙΑΝ, κε΄ κγ΄

ΦΙΛΙΠΠΟΥ.

Ἕβρου Θρηϊκίου κρυμῷ πεπεδημένον ὕδωρ
Νήπιος ἐκβαίνων, οὐκ ἔφυγεν θάνατον.
Ἐς ποταμὸν δ' ἤδη λαγαρούμενον ἴχνος ὀλισθὼν,
Κρυμῷ τοὺς ἁπαλοὺς αὐχένας ἀμφεκάρη.
Καὶ τὸ μὲν ἐξεσύρη λοιπὸν δέμας· ἡ δὲ μένουσα
Ὄψις ἀναγκαίην εἶχε τάφου πρόφασιν.
Δύμορος ἧς ὠδῖνα διείλετο πῦρ τε καὶ ὕδωρ·
Ἀμφοτέρων δὲ δίχα, οὐδενός ἐστιν ὅλος.

IN INFELICITATEM, Cap. XXIII.

PHILIPPI. I.

Hebri Thracij glacie concretam aquam
Puer conſcendens non effugit mortem.
In fluuium verò lubrico veſtigio prolapſus
Glacie teneras ceruices abſciſſus eſt.
Tractum autem eſt à flumine reliquum corpus. Reliquum a.
Caput neceſſariam habuit ſepulturæ anſam.
Infelix mater! cuius partum diripuit ignisque & aqua,
Cúmque vtriuſque videatur, nullius eſt totum.

ΑΝΤΙΠΑΤΡΟΥ.

Εἶχεν Ἀριστείδης ὁ Βοκέρριος οὐκ ἀπὸ πολλῶν
Πολλά, μιῆς δ᾽ οἴος καὶ βοὸς εὐπορίην.
Ἀλλὰ γὰρ οὐδ᾽ ὁ πένης ἔφυγε φθόνον· ἤματι δ᾽ αὐτῷ
Θῆρες οἶν, τὴν βοῦν δ᾽ ὤλεσε δυστοκίη.
Μισήσας δ᾽ ἀβληχὲς ἐπαύλιον, ἅμματι πήρης
Ἐκ ταύτης βιοτὴν ἀχράδος ἐκρέμασεν.

ANTIPATRI. 2.

Habebat Ariſtides Bocerrius non à multis
Multa, ſed vnius ouis & vaccæ diuitias.
Qui tamen licet pauper, non effugit fortunam. Sed vno die
Feræ ouem, vaccam verò perdidit difficultas partus.
Odio verò habens balatu carentem villam, vinculo peræ
Pyraſtro ex hoc vicino vitam ſuſpendit.

Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Πλοῦτος Ἀριστείδῃ δάμαλις μία, καὶ τριχόμαλλος
Ἦν οἶς· ἐκ τούτων λιμὸν ἔλαυνε θύρης.
Ἤμβροτε δ᾽ ἀμφοτέρων· ἀμνὴν λύκος ἔκτανεν, ὠδὶς
Τὴν δάμαλιν· πενίης δ᾽ ὤλετο βουκόλιον.
Πηροδέτῳ δ᾽ ὅγ᾽ ἱμάντι κατ᾽ αὐχένος ἅμμα λυγώσας
Οἰκτρὸς ἀμυκήτῳ κάτθανε πὰρ καλύβῃ.

Eiuſdem in idem. 3.

Opes Ariſtidæ bucula vna,& lanigera
    Erat ouis.His famem expulit à ianuâ.
Priuatus autem eſt vtrâque:ouem enim lupus occidit,partus
    Buculam:pauperis verò perdidit armentum.
Peræ verò corrigiâ hic circa ceruicem nodum flectens
    Miſer expers balatu mortuus eſt prope tugurium.

ΦΙΛΙΠΠΟΥ εἰς τὸ αὐτό.

Ἠρίθμει πολὺν ὄλβον Ἀριστείδης ὁ πενιχρός·
    Τὴν ὄϊν, ὡς ποίμνην. τὴν βόα δ᾽, ὡς ἀγέλην.
Τὰ λοιπὰ ὡς τὰ πρὸ τούτου Ἤμβροτε, καὶ ἑξῆς.

Philippi in Idem. 4.

Numerabat multas diuitias Ariſtides pauper,
    Ouem tanquam gregem & vaccam tanquam armentum.
Reliqua vt ſupra: Priuatus autem eſt, &c.

Ἄδηλον.

Αἱ τρισσαί ποτε παῖδες ἐν ἀλλήλῃσιν ἔπαιζον
    Κλήρῳ, τίς προτέρη βήσεται εἰς ἀΐδην·
Καὶ τρεῖς μὲν χειρῶν ἔβαλον κύβον, ἦλθε δὲ πασῶν
    Ἐς μίαν· ἡ δ᾽ ἐγέλα κλῆρον ὀφειλόμενον.
Ἐκ τέγεος δ᾽ ἄρ᾽ ἄελπτον ἀπωλίσθησε πέσημα
    Δύσμορος. εἰς ἀΐδην δ᾽ ἤλυθεν ὡς ἔλαχεν.
Ἀψευδὴς ὁ κλῆρος, ὅτῳ κακόν· ἐς δὲ τὸ λῷον
    Οὔτ᾽ εὐχαὶ θνητοῖς εὔστοχοι, οὔτε χέρες.

Incerti. 5.

Ternæ olim puellæ inter ſe inuicem ludebant
    Sorte,quænam prior deſcenderet ad inferos:
Et tres quidem è manu proiecerunt ſortẽ.Venit autẽ omnium
    In vnam. Hæc autem riſit ſortitionem debitam.
E tecto ſanè inſperato cecidit caſu,
    Infelix, in infernum autem venit,vt ſortita erat.
Non mendax ſors illi,cui malum imminet. Ad melius verò
    Nec preces hominibus certæ,nec manus.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Δειματόεις ἐλάφων κεραὸς λόχος, εὖτε χιονώδεις
 Πλῆσαν ὀρῶν κορυφὰς χιόνεαι νιφάδες,
Δειλαίαι ποταμοῖσιν ἐφωρμίσαν ἐλπίσι χρησταῖς,
 Χλιῆναι τοπεροῖς ἄσθμασιν ὠκὺ γόνυ.
Τὰς δὲ περιφράξας ἐχθρὸς ῥόος ἄθροον ἄφνω,
 Χειμερίῃ συγχροῦ δῆσε πάγοιο πέδῃ.
Γληθὺς δ' ἀγρεστέρων ἀλίνου θοινήσατο θήρης,
 Ἣ φύγεν ἀρπεδόνην πολλάκι καὶ στάλικας.

APOLLONIDÆ. 6.

Timidum ceruarum cornigerum agmen, cùm horrendos
 Implerunt montium vertices niuales niuis casus,
Miseræ ad flumina accesserunt bonâ spe
 Vt tepefacerent humenti anhelitu velocia genua.
Quas circundans hostilis fluctus confertim repente
 Hibernâ horribilis ligauit glaciei compede.
Turba verò rustica sine reti comedit, prædam
 Quæ fugerat laqueum sæpe, & perticas bifurcas.

ΑΝΤΙΦΑΝΟΥΣ.

Δυσμοίρων θαλάμων ἐπὶ παστάσιν οὐχ Ὑμέναιος,
 Ἀλλ' Ἀίδης ἔστη πικρογάμου Πετάλης.
Δείματι γὰρ Μέβοιν περὶ πρόζυγα κύπριν ὑπ' ὄρφνην
 Φεύγουσαν, ξυνὸν παρθενικῇσι φόβον,
Φρουρὸδόμοι νηλεῖς κύνες ἔκτανον. ἣν δὲ γυναῖκα
 Ἐλπὶς ἰδεῖν, ἄφνως ἔσχομεν οὐδὲ νέκυν.

ANTIPHANIS. 7.

Infelicium thalamorum in cœnaculis non Hymenæus,
 Sed mors stetit acerbè nuptæ Petalæ.
Timore enim Moboin, primiiugam Venerem per noctem
 Fugientem, communi virginibus timore,
Domus custodes truces canes occiderunt. Quam v. feminam
 Sperabant videre, repente habuimus nec mortuam.

ΛΟΥΚΙΑΝΟΥ.

Τοῖσι μὲν εὖ πράττουσιν πᾶς ὁ βίος βραχύς ἐστι.
Τοῖς δὲ κακῶς, μία νὺξ ἄπλετός ἐστι χρόνος.

LVCIANI. 8.

Illis qui feliciter agunt, omnis vita breuis est,
Illis autem qui malè, vna nox immensum tempus.

ΕΙΣ ΕΛΕΟΝ, κεφ. κδ.

ΦΙΛΙΠΠΟΥ.

Καὶ τὸν ἀρουραῖον γυρητόμον αὔλακα τέμνει
Μηροτυπεῖ κέντρῳ πειθομένη δάμαλις:
Καὶ μετ' ἀροτρητὴν ζεύγλας πάλι τῷ νεοθηλεῖ
Γινομένη μόσχῳ, δεύτερον ἄχθος ἔχει.
Μὴ θλίψῃς αὐτὴν ὁ γεωμόρος· σοὶ γὰρ ὁ βαιὸς
Μόσχος, ἐὰν φείσῃ, σοὶ τρέφεται δάμαλις.

IN MISERICORDIAM, Cap. XXIV.

PHILIPPI. I.

Et ruralem curuisectum sulcum diuidit,
Femur pulsanti stimulo obtemperans bucula:
Et post aratri laborum iugæ rursus à nuper nato
Exsiccata vitulo, secundam molestiam habet.
Ne adflixeris illam, ô agricola: hic enim paruus
Vitulus, si matri peperceris, tibi enutritur iuuencus.

Τίνας ἂν εἴποι λόγους Μελέαγρος, βοὸς μέλλοντος θύεσθαι τῷ Διῒ, καὶ μυκωμένου.

Αὐτὸς ὁ βοῦς, ἱκέτης ἐπιβώμιος, αἰτέει Ζεῦ,
Μυκᾶται, ψυχὴν ῥυόμενος θανάτου.
Ἀλλὰ μέθες Κρονίδη τὸν ἀροτρέα· καὶ σὺ γὰρ αὐτὸς
Πορθμεὺς Εὐρώπης ταῦρος ἄναξ ἐγένου.

Quæ dixerit verba Meleager, cùm bos mactandus esset Ioui, & mugiret. 2.

Ille bos, supplex altari impositus, cælestis Iupiter,
Mugit animam liberare desiderans à morte.
Sed dimitte ô Saturnie, aratorem bouem. Nam & tu ipse
Potitor Europæ taurus rex factus es.

ΕΙΣ ΕΛΠΙΔΑΣ, κεφ. κε΄

ΙΟΥΛΙΟΥ ΠΟΛΥΑΙΝΟΥ.

Ελπὶς ἀεὶ βιότου, κλέπτεις νόον· ἡ πυμάτη δὲ
Ηὼς τὰς πολλὰς ἔφθασεν ἀσχολίας.

IN SPEM, Cap. XXV.

IVLII POLYÆNI. 1.

Semper futuræ vitæ spes aufero mentem. Vltima verò
Lux multas præoccupat molestias.

Αδηλον.

Ελπὶς καὶ σὺ τύχη μέγα χαίρετε. τὴν ὁδὸν εὗρον·
Οὐκ ἔτι γὰρ σφετέροις ἐπιτέρπομαι. ἔρρετε ἄμφω,
Ουὕνεκεν ἐν μερόπεσσι πολυπλανέες μάλα ἐστέ.
Οσσα γὰρ ἀτρεκέως οὐκ ἔσσεται, ὔμμες ἐν ἡμῖν
Φάσματα ὡς ἐν ὕπνῳ ἐμβάλλετε οἷά τ' ἐόντα.
Ερρε κακὴ γλυκύη, πολυώδυνε· ἔρρετε ἄμφω.
Παίζοιτε, στροφέοιτε ὅσοις ἐμεῦ ὕστερον οἵ τας
Εὕροιτ' οὐ νοέοντας ὅπερ θέμις ἐστὶ νοῆσαι.

Incerti. 2.

Spes, & tu fortuna longum vâlete. Semitam inueni.
Non enim amplius rebus vestris delector. Pereatis ambæ,
Eo quod in mortalibus erronei valdè sitis.
Quæcunque enim verè non erunt, vos in nobis
Horum apparentias vt in somno iniicitis, quasi iam sint.
Peri mala pupa, calamitosa. Perite ambæ.

Ludatis,versetis,quicunque post me sunt,
Inueniatis, qui non sapiant,quod fas est cognoscere.

Ἄδηλον.

Ἐλπίδα καὶ νέμεσιν ξύνοις παρὰ βωμὸν ἔτευξα·
Τὴν μὲν, ἵν' ἐλπίζῃς· τὴν δ', ἵνα μηδὲν ἔχῃς.

Incerti. 3.

Spem & Nemesin beniuolus ad aram constitui:
Illam quidem,vt speres,hanc verò,vt nihil habeas.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Εἰ βίον ἐν μερόπεσσι τύχης παίζουσιν ἑταῖραι
Ἐλπίδες, ἀμβολάδην πάντα χαριζόμεναι,
Παίζομαι, εἰ βροτός εἰμι. βροτὸς δ' εὖ οἶδα καὶ αὐτὸς
Θνητὸς ἐὼν, δολιχαῖς δ' ἐλπίσι παιζόμενος,
Αὐτὸς ἑκοντὶ γέγηθα πλανώμενος· οὐδὲ γενοίμην
Εἰς κρίσιν ἡμετέρην πικρὸς Ἀριστοτέλης.
Τὴν γὰρ Ἀνακρείοντος ἐνὶ πραπίδεσσι φυλάσσω
Παρφασίην, ὅτι δεῖ φροντίδα μὴ κατέχειν.

MACEDONII Principis. 4.

Si vitam inter mortales fortunæ ludit comes
Spes,cum cunctatione omnia præbens,
Illudor,mortalis si sum.Mortalis a. cùm sim,benè scio & ipse
Quòd sim mortalis,longâ verò spe illusus,
Ipse sponte lætatus sum deceptus.Nec vnquam fiam
In hanc sententiam nostram seuerus aliquis Aristoteles.
Nam Anacreontis in pectore conseruo
Consilium,quòd deceat curam non retinere.

Τοῦ αὐτοῦ.

Πανδώρης ὁρόων γελόω πίθον, οὐδὲ γυναῖκα
Μέμφομαι, ἀλλ' αὐτῶν τὰ πτερὰ τῶν ἀγαθῶν.
Ὡς γὰρ ἐπ' Οὐλύμποιο μετὰ χθονὸς ἤια πάσης
Πωτῶνται, πίπτειν καὶ κατὰ γῆν ὄφελον.
Ἡ δὲ γυνὴ μετὰ πῶμα κατηχρήσασα παρειάς,

Ωλεσεν

Ωλεσεν ἀγλαΐην ὢν ἔφερεν χαρίτων.
Αμφοτέρων δ' ἥμαρτεν ὁ νῦν βίος, ὅττι καὶ αὐτὴν
Γηράσκουσαν ἔχει, καὶ πίθος οὐδὲν ἔχει.

Eiuſdem. 5.

Pandoræ videns rideo dolium, nec mulierem
Reprehendo, ſed ipſorum alas bonorum.
Vt enim in cælum poſt terræ habitationes vniuerſæ
Subuolant, decidere etiam ad terram debebant.
At mulier ſublato operculo, pallida admodum in genis
Perdidit venuſtatem gratiæ, quam ferebat.
Vtriſque autem priuata eſt nunc vita: iam ipſam &
Seneſcentem habet, & dolium nil habet.

ΕΠΑΙΝΟΙ, κεφ. κϛ.

Αδηλον.

Μουσάων Ελικωνιάδων ἀρχώμεθ' ἀείδειν,
Εγραφε ποιμαίνων (ὡς λόγος) Ησίοδος.
Μῆνιν ἄειδε θεὰ, καὶ, ἄνδρα μοι ἔννεπε μοῦσα,
Εἶπεν Ομηρείῳ Καλλιόπη στόματι.
Κἀμὲ δὲ δεῖ γράψαι τι προοίμιον. ἀλλὰ τί γράψω
Δεύτερον, ἐκδιδόναι βιβλίον ἀρχόμενος;
Μοῦσαι ὀλυμπιάδες, κοῦραι Διὸς, οὐκ ἂν ἐσώθην
Εἰ μή μοι Καῖσαρ χαλκὸν ἔδωκε Νέρων.

LAVDES, Cap. XXVI.

Incerti. 1.

Muſarum Heliconidum incipiamus canere,
Scripſit paſtor (vt ſermo eſt) Heſiodus.
Iram cane Dea & virum dic mihi Muſa,
Dixit Homerico Calliope ore:
Et me ſanè docet ſcribere aliquod proœmiū. Sed quid ſcribam
Secundum edere librum incipiens?

Musæ cælestes, filiæ Iouis: Non seruatus essem
Nisi mihi Cæsar æs dedisset Nero.

ΔΙΟΔΩΡΟΥ Σαρδιανοῦ τοῦ Διοπείθους.

Αἰγιβότου Σκύροιο λιπὼν πέδον, Ἴλιον ἔπλω
Οἷος Ἀχιλλείδης πρόσθε Νεοπτόλεμος·
Τοῖος ἐν Αἰνεάδῃσι Νέρων ἀγὸς ἄστυ Ῥέμοιο
Νίσετ', ἐπ' ὠκυρόῳ Θύμβριν ἀμειψάμενος,
Κοῦρος, ἔτ' ἀρχιγόνοιο ἔχων χνόον. ἀλλ' ὁ μὲν, ἔγχει
Θοῦρος· ὁ δ' ἀμφοτέροις, καὶ δορὶ καὶ σοφίῃ.

DIODORI Sardiani Diopethis filij. 2.

Capras pascentis Scyri relinquens terram, Ilium nauigauit
Qualis Achillides antè Neoptolemus:
Talis in Aeneadis Nero dux vrbem Remi
Redit, ad celeriter fluentem Tybrim transiens,
Adolescens, primam habens lanuginem. Sed ille hastâ
Excellebat. Hic autem vtrôque, & hastâ, & sapientiâ.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ἡδὺ παρηΐδων πρῶτον θέρος ἤματι τούτῳ
Κείρεο, καὶ γενύων ἠϊθέους ἕλικας
Γάϊε. σὸν δὲ πατὴρ χειρὶ δέξεται εὔκτιον ἴουλον
Λεύκιος, αὐξομένου πουλὺν ἐς ἠέλιον.
Δωρεῦνται χρυσέοισιν, ἐγὼ δ' ἱλαροῖς ἐλέγοισιν.
Οὐ γὰρ δὴ πλούτου μοῦσα χερειοτέρη.

APOLLONIDÆ. 3.

Dulce maxillarum ver die hoc
Detonde, & genarum iuueniles cincinnos,
Gai. Tuam verò pater accipiet manu amabilem lanuginem
Lucius, crescentis ad multum tempus.
Diuites munifici sunt aureis: ego verò iucundis Elegis.
Non enim diuitiis Musa inferior.

Ἄδηλον.

Ἐσθλὰ λέγειν αἰεὶ πάντας, καλόν· αἰσχρὰ δὲ, δεινόν.
Κἂν ὦσι τούτων ἄξιοι ὧν λέγομεν.

Incerti. 4.

Bona ſemper verba dicere in omnes bonum: turpia v. malum:
Quamuis ſint hiſce digni, quibus dicuntur.

ΑΝΤΙΠΑΤΡΟΥ.

Σοί με Θρηϊκίης σκυληφόρε Θεσσαλονίκη,
Μήτηρ ἡ πάσης πέμψε Μακεδονίης.
Ἀείδω δ' ὑπὸ σοὶ δεδμημένον ἄρεα Βέσσων,
Ὅσσ' ἐδάην πολέμου πάντ' ἀναλεξάμενος.
Ἀλλά μοι ὡς θεὸς ἔσσο κατήκοος, εὐχομένου δὲ
Κλῦθι. τίς ἐς μούσας οὔατος ἀσχολίη;

ANTIPATRI. 5.

Tibi me Thraciæ ſpoliatrix Theſſalonice,
Mater omnis miſit Macedoniæ.
Cano autem à te domitum Martem Beſſorum,
Quæcunque noui belli omnia mecum reputans.
Sed tu mihi tanquam Deus eſto attentus, precantem verò
Audi. Quænam autem ad Muſas audiendas occupatio?

ΕΙΣ ΕΡΩΤΑ, κεφ. κζ.

ΜΕΛΕΑΓΡΟΥ.

Τρισσαὶ μὲν χάριτες, τρεῖς δὲ γλυκυπάρθενοι ὧραι,
Τρεῖς δέ με θηλυμανεῖς οἰστροβολοῦσι πόθοι.
Ἦ γάρ τοι τρία τόξα κατήρυσεν, ὡς ἄρα μέλλων
Οὐχὶ μίαν τρώσειν, τρεῖς δ' ἐν ἐμοὶ κραδίας.

IN AMOREM, Cap. XXVII.

MELEAGRI. 1.

Ternæ quidem Charites, tres virginitatis ſtudioſæ Horæ,
Tria autem me inſana puellarum agunt deſideria.
Certè enim tres ſagittas detraxit, tanquam volens
Non vnum vulnerare, ſed tria in me corda.

Ἄδηλον.

Αὐτὸ δὲ πῦρ καίειν διζήμενος οὗτος, ὁ νύκτωρ
    Τὸν καλὸν ἱμείρων λύχνον ἀναφλογίσαι,
Δεῦρ' ἀπ' ἐμῆς ψυχῆς ἅψον σέλας. ἔνδοθι γάρ μου
    Καιόμενος, πολλὴν ἐξανίησι φλόγα.

Incerti. 2.

Ipsum ignem excitare quærens heus tu, qui nocte
    Pulcrum desideras lychnum accendere,
Huc, ex meâ animâ accende iubar. In me enim
    Flagrans, multam emittit flammam.

Ἄδηλον.

Τίς θεὸν εἶπεν ἔρωτα; θεοῦ κακὸν οὐδὲν ὁρῶμεν
    Ἔργον. ὁ δ' ἀνθρώπων αἵματι μειδιάει.
Οὐ θοὸν ἐν παλάμαις κατέχει ξίφος. ἠνὶ δ' ἄπιστα
    Τῆς θεοῦ πλήκτου σκῦλα μιαιφονίης.
Μήτηρ μὲν σὺν παιδὶ κατέφθιτο. αὐτὰρ ἐπ' αὐταῖς
    Ποίνιμος ἔκτεινεν φῶτα λιθοκτονίη.
Καὶ ταῦτ' οὔτ' Ἀΐδος, οὔτ' Ἄρεος, ἔργα δ' Ἔρωτος
    Λεύσσομεν, οἷς παίζει κεῖνος ὁ νηπίαχος.

Incerti. 3.

Quis Deum dixit amorem? Dei nullum malum esse videmus
    Opus. Hic verò hominum sanguine lætatur.
Non acutum in manibus tenet gladium. Ecce auté incredibilia
    A Deo immissæ spolia cædis.
Mater cum filiâ periit. Sed ob illas
    Vltrix interemit virum lapidis proiectio.
Atque hæc non Orci, Non Martis, opera verò Amoris
    Videmus quibus ludit ille puer.

ΛΕΩΝΙΔΟΥ.

Τοξοβόλον τὸν Ἔρωτα τίς ἔξεσεν ἐκ λιβανωτοῦ,
    Τὸν ποτὲ μηδ' αὐτοῦ Ζηνὸς ἀποσχόμενον;
Ὀψὲ ποθ' Ἡφαίστῳ κεῖται σκοπὸς, ὃν καθορᾶσθαι
    Ἔπρεπεν, οὐκ ἄλλως ἢ πυρὶ τυφόμενον.

LEONIDÆ. 4.

Sagittarum iaculatorem amorem quis finxit ex thure,
Illum ne quidem ab ipso Ioue abstinentem?
Tandem aliquando Vulcano proponitur scopus. Quem videri
Fas est, non aliter, quàm igne consumendum.

ΑΡΓΕΝΤΑΡΙΟΥ.

Αὐγάζω τὸν ἄφυκτον ἐπὶ σφραγῖδος ἔρωτα
Χερσὶ λεοντείας ἡνιοχεῦντα βίαν·
Ὃς τῇ μὲν μάστιγα κατ' αὐχένος, ᾗ δὲ χαλινοὺς
Εὐθύνει· πολλὰ δ' ἀμφιτέθηλε χάρις.
Φείσω τὸν βροτολοιγόν· ὁ γὰρ καὶ θῆρα δαμάσδων
Ἄγριον, οὐδ' ὀλίγον φείσεται ἀμερίων.

ARGENTARII. 5.

Contemplor ineuitabilem in sigillo amorem
Manibus leonis instar aurigæ moderantem vim.
Qui hâc manu flagrum ceruici, illâ verò habenas
Dirigit, multa verò circumvndique floret Gratia.
Exhorreo homicidam. Nam qui feram domat
Agrestem, parum parcet mansuetis.

ΑΝΤΙΠΑΤΡΟΥ.

Μὴ κλαίων τὸν ἔρωτα δόκει, Τηλέμβροτε, πείσειν,
Μηδ' ὀλίγῳ παύσειν ὕδατι πῦρ ἀπνοές.
Χρυσὸς ἔρωτος ἀεὶ Παιώνιος· ἐσβέσθη δὲ
Οὐδὲ τότ' ἐν πολλῷ τικτόμενος πελάγει.

ANTIPATRI. 6.

Non flens amorem videris, Telembrote, flexurus,
Nec paucâ exstincturus aquâ ignem valde spirantem.
Aurum amoris semper est Pæonius medicus. exstinctus
Ne tunc quidem, cùm in magno generaretur pelago.

ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Μήποτε κολλώσῃς Παφίης νόον. αὐτίτυπον γὰρ
Εὐθὺς ἀποθρώσκει κοῦφος ἔρως κραδίης.
Οἶστρος ἀληθέστατον ἔχει φύσιν ὥς τις ὀϊστοῦ

Ἄκρον ἕλῃ φλογέου, δύεται ἐντὸς ὅλος.
Ἐλπίδι μὴ θέλξῃς φρένα μαχλάδι. γυιοβόρον γὰρ
Πῦρ ἀναρριπίζει, θυμὸν ἐφελκομένη.

PAVLI SILENTIARII. 7.

Nunquam expandas Veneri mentem. à repugnante enim
Statim exilit leuis amor corde.
Libido lubricam habet naturam. Si quis sagittæ
Summitatem attrahat igneæ ingreditur intus totus.
Spe ne demulceas mentem lasciuâ. Membra depascentem
Ignem exsuscitat animum auferens.

Τίνας ἂν εἴποι λόγους ὁ Ερως ἐρῶν.

Τίς πυρὶ πῦρ ἐδάμασσε; τίς ἔσβεσε λαμπάδι πυρσόν;
Τίς κατ' ἐμῆς νευρῆς ἑτέρην ἐτόλμησε νευρήν;
Καινὸς ἔρως κατ' ἔρωτος ἐμῷ μένει ἰσοφαρίζει.

Quæ verba dixerit Amor amans. 8.

Quis igne ignem domuit? quis exstinxit lampade flammam?
Quis contra meum neruum alium extendit neruum?
Nouus amor contra amorē meo robori æqualiter armatus est.

ΜΟΣΧΟΥ Ερως δραπέτης.

Α Κύπρις τὸν Ερωτα τὸν υἱέα μακρὸν ἐβώστρει·
Εἴτις ἐνὶ τριόδοισι πλανώμενον εἶδεν Ερωτα,
Δραπετίδας ἐμός ἐστιν. ὁ μανύσας γέρας ἑξεῖ.
Μισθός τοι τὸ φίλημα τὸ Κύπριδος· ἢν δ' ἀγάγῃς νιν,
Οὐ γυμνὸν τὸ φίλημα, τὺ δ' ὦ ξένε καὶ πλέον ἑξεῖς.
Εστι δ' ὁ παῖς περίσαμος· ἐν εἴκοσι πᾶσι μάθοις νιν·
Χρῶτα μὲν οὐ λευκός, πυρὶ δ' εἴκελος· ὄμματα δ' αὐτῷ,
Δριμύλα καὶ φλογόεντα. κακαὶ φρένες, ἁδὺ λάλημα·
Οὐ γὰρ ἴσον νοέει καὶ φθέγγεται. ὡς μέλι, φωνά·
Ην δὲ χολᾷ, νόος ἐστὶν ἀνάμερος, ἠπεροπευτάς,
Οὐδὲν ἀλαθεύων. δόλιον βρέφος, ἄγρια παίσδει.
Εὐπλόκαμον τὸ κάρανον, ἔχει δ' ἰταμὸν τὸ πρόσωπον.
Μικκύλα μὲν τήνῳ τὰ χερύδρια, μακρὰ δὲ βάλλει·

Βάλλει κεἰς Ἀχέροντα, καὶ εἰς Ἀΐδεω βασιλῆα.
Γυμνὸς μὲν τό γε σῶμα, νόος δέ οἱ ἐμπεπύκασται·
Καὶ πτερόεις ὅσον ὄρνις ἐφίπταται ἄλλοτ' ἐπ' ἄλλοις
Ανέρας, ἠδὲ γυναῖκας· ἐπὶ σπλάγχνοις δὲ κάθηται.
Τόξον ἔχει μάλα βαιὸν, ὑπὲρ τόξῳ δὲ βέλεμνον.
Τυτθὸν ἐὸν τὸ βέλεμνον, ἐς αἰθέρα δ' ἄχρι φορεῖται·
Καὶ χρύσεον περὶ νῶτα φαρέτριον· ἔνδοθι δ' ἐντὶ
Τοὶ πικροὶ κάλαμοι, τοῖς πολλάκι κἀμὲ τιτρώσκει.
Πάντα μὲν ἄγρια, πάντα· πολὺ πλεῖον δέ οἱ αὐτῷ
Βαιὰ λαμπὰς ἐοῖσα τὸν ἅλιον αὐτὸν ἀναίθει.
Ην τύ γ' ἕλῃς τῆνον, δήσας ἄγε, μηδ' ἐλεήσῃς.
Κἢν ποτ' ἴδῃς κλαίοντα, φυλάσσεο μή σε πλανήσῃ·
Κἢν γελάᾳ, τύ νιν ἕλκε· καὶ ἢν ἐθέλῃ σε φιλᾶσαι,
Φεῦγε· κακὸν τὸ φίλαμα, τὰ χείλεα φάρμακον ἐντί.
Ην δὲ λέγῃ, λάβε ταῦτα, χαρίζομαι ὅσσα μοι ὅπλα,
Μή τι θίγῃς πλάνα δῶρα. τὰ γὰρ πυρὶ πάντα βέβαπται.

MOSCHI Amor fugitiuus. 9.

Cypris Amorem filium diu quærebat:
Si quis in triuiis errantem vidit Amorem,
Fugitiuus ille meus est. Index munus habebit,
Precium erit osculum Veneris. Si verò adduxeris ipsum
Non nudum hoc osculum tu, verum ô hospes & plus habebis.
Est autem hic puer insignis: in viginti omnibus noscas ipsum.
Cutis quidem non alba, sed igni similis. Oculi verò eius
Acres, & flammantes, mala mens, dulcia verba.
Non enim æquale sentit & loquitur. Vt mel vox eius.
Sin irascitur, mens est truculenta: deceptor,
Nihil veri dicens, dolosus puer, crudelia ludens,
Bene oomatum caput, habet impudentem faciem.
Paruæ quidem illi manus: longè verò iaculatur.
Iaculatur verò etiam in Acherontem, & ad inferûm regem.
Corpus quidem illi est nudum, mens verò illi densè velata est.
Et volucris velut ales volat aliàs super alios

Viros & mulieres. In visceribus autem considet,
Arcum habet valdè paruum, super arcu verò sagittam:
Exigua illi sagitta (ad æthera verò vsque fertur)
Et auream in dorso pharetram. Intus verò sunt
Illi graues calami, quibus me quoque sæpe vulnerat.
Omnia quidẽm crudelia, omnia. Multo grauius verò illi ipsi
Parua fax existens solem ipsum perurit.
Si ceperis ipsum, vinctum duc, nec miserere,
Si qua videas flentem, caue ne te decipiat.
Si verò rideat, tu ipsum constringe: & si voluerit te osculari,
Caue, malum est osculum: labra venenum sunt.
Sin autem dicat: accipe hæc, do tibi quæcunque mihi arma.
Ne quid tetigeris, fallacia munera: hæc .n. igni omnia tincta.

Τίνας ἂν εἴποι λόγους πρὸς Ἔρωτα Πασιφάη
ἐρῶσα τοῦ ταύρου.

Εἰ πόθον μ' ἐδίδαξας ἐν οὔρεσι ταῦρον ἀλήτην,
Μυκηθμόν με δίδαξον, ὅπως φίλον ἄνδρα καλέσω.

Quæ dixerit verba ad amorem Pasiphaë
amans taurum. 10.

Si amare me docuisti in montibus taurum vagum,
Etiam mugitum me doceas, vt amicum virum vocem.

ΛΟΥΚΙΑΝΟΥ.

Οὐχ ὁ ἔρως ἀδικεῖ μερόπων γένος, ἀλλ' ἀκολάστοις
Ψυχαῖς ἀνθρώπων ἔσθ' ὁ ἔρως πρόφασις.

LVCIANI. 11.

Non amor iniuriâ adficit hominum genus,
Animis hominum est amor prætextus.

Ἄδηλον.

Παρθενικῷ Θρασύδουλε σαγηνευθεὶς ὑπ' ἔρωτι
Ἀσθμαίνεις, δελφὶς ὥς τις ἐπ' αἰγιαλοῦ,
Κύματος ἱμείρων. δρέπανον δέ σοι οὐδὲ τὸ Περσέως
Ἀρκεῖ ἀποτμῆξαι δίκτυον ᾧ δέδεσαι.

Incerti. 12.

Virginali Thrasydule irretitus ab amore

Anhelas, Delphin vt aliquis in littore,
Flumen desiderans. Falx autem ne tibi quidem Persei
Sufficit, ad abscindendum rete, quo ligatus es.

Ἀδήλου.

Ἔρωτα παύει λιμός· εἰ δὲ μή, χρόνος.
Ἐὰν δὲ μηδὲ ταῦτα τὴν φλόγα σβέσῃ,
Θεραπεία σοι τὸ λοιπὸν ἠρτήσθω βρόχος.

Incerti. 13.

Amorem sedat fames, si non, tempus.
Sin verò ne hæc quidem flammam exstinguat,
Medicina tibi deinceps adaptetur laqueus.

ΖΗΝΟΔΟΤΟΥ.

Τίς γλύψας τὸν Ἔρωτα παρὰ κρήνῃσιν ἔθηκεν,
Οἰόμενος παύσειν τοῦτο τὸ πῦρ ὕδατι;

ZENODOTI. 14.

Quis sculpens Amorem apud fontes posuit,
Existimans exstinguendum hunc ignem aquâ?

ΕΙΣ ΕΥΣΕΒΕΙΑΝ, κεφ. κζ.

ΚΑΡΦΥΛΛΙΔΟΥ.

Ἰχθύας ἀγκίστρῳ τις ἀπ' ἠόνος εὔτεχι βάλλων,
Εἵλκυσε ναυηγοῦ κρᾶτα λιποτριχέα.
Οἰκτείρας δὲ νέκυν τὸν ἀσώματον, ἐξ ἀσιδήρου
Χειρὸς ἐπισκάπτων, λιτὸν ἔχωσε τάφον·
Εὗρε δὲ κευθόμενον χρυσοῦ κτέαρ. ἦ ῥα δικαίοις
Ἀνδράσιν εὐσεβίης οὐκ ἀπόλωλε χάρις.

IN PIETATEM, Cap. XXVII.

CARPHYLLIDIS. 1.

Pisces hamo aliquis in litus è setis benefacto proiiciens,
Traxit naufragi caput crine carens.
Miseratus verò mortuum sine corpore, sine ligone ferreo

Cum manu fodiens vilem erexit tumulum.
Inuenit verò reconditam auri possessionem. Sanè iustis
Viris pietatis gratia non periit.

ΘΕΟΚΡΙΤΟΥ.

Οἴκῳ ἐν Ἀμφικλέους, ᾧ καὶ τέκνα καὶ βίον εἶχε
Ξυνὸν, ἀεὶ δέ σφιν λώιον εἰς ἔτος ἦν,
Ἐκ σέθεν ἀρχομένοις, ὦ πότνια. κηδόμενοι γὰρ
Ἀθανάτων, αὐτοὶ πλεῖον ἔχουσι βροτοί.

THEOCRITI. 2.

Domo in Amphiclis, in qua & liberos & vitam habebat
Communem, semper autem illis melius quotannis erat,
A te incipientibus, ô Diua. Qui enim curant
Diuos, ipsi meliùs habent mortales.

ΚΡΙΝΑΓΟΡΟΥ.

Εἰ καί σοι ἑδραῖος ἀεὶ βίος, οὐδὲ θάλασσαν
Ἔπλως, χερσαίας τ' οὐκ ἐπάτησας ὁδοὺς,
Ἔμπης Κεκροπίης ἐπιβήμεναι· ὄφρ' ἂν ἐκείναις
Δήμητρος μεγάλας νύκτας ἴδῃς ἱερῶν.
Τῶν ἄπο, κἂν ζωοῖσιν ἀκηδέα, κεὖτ' ἂν ἵκηαι
Ἐς πλεόνων, ἕξεις θυμὸν ἐλαφρότερον.

CRINAGORI. 3.

Quamuis tibi stabilis semper vita, neque mare
Nauigasti, terrestrésque non calcâsti vias,
Tamen Cecropiam Atticam ingrediens, vt in illâ
Cereris magnas noctes videas sacrorum.
A quibus, & in viuentibus securam, & cùm veneris
In defunctorum (*sedem*) habebis animum hilariorem.

ΕΙΣ ΕΥΤΥΧΙΑΝ. κε. κθ.

ΑΝΤΙΠΑΤΡΟΥ.

Ἡ καὶ ἔτ' ἐκ βρέφεος κειμήλιον Ἀντιοδημὶς,
Πορφυρέων Παφίης νοσσὶς ἐπὶ κροκίδων·

Η ζακεραῖς λεύσσουσα κόραις μαλακώτερον ὕπνου,
Λυσίδος ἀλκυὼν τερπνὸν ἄθυρμα μέθης·
Υδαλίνοις φορέουσα βραχίονας, ἣ μόνη ὀστοῦν
Οὐ λάχεν (ἦν γὰρ ὅλη πὺν ταλάροισι γάλα)
Ιταλίην ἤμειψεν, ἵνα πτολέμοιο καὶ αἰχμῆς
Αμπαύσῃ Ρώμην μαλθακίνῃ χάριτι.

IN FELICITATEM, Cap. XXIX.

ANTIPATRI. I.

Quæ inde vſque ab infante iacens Antiodemis
Purpureis Paphiæ pullus in puluinaribus:
Quæ mollibus aſpiciens oculis dulcius ſomno,
Effrenis Alcyon ſuauis ludus ebrietatis:
Molliculos ferens lacertos, quæ ſola os
Non ſortita (erat enim tota vt in vaſis lac)
Italiam peruenit, vt à bello & prœliis
Requieſcere faciat Romam molli ſuâ gratiâ.

ΑΝΤΙΦΙΛΟΥ.

Εκ θοίνης φάος ἔσχεν ἐπ' ἀχράδα μηκὰς ἰοῦσα,
Εκ δ' ἐφάνη τυφλὴν μηκέτ' ἔχουσα κόρην.
Διοσῶν τὴν ἑτέρην γὰρ ἐκέντεισεν ὀξὺς ἀκάνθης
Οζος. ἴδ' ὡς τέχνης δένδρον ἐνεργότερον.

ANTIPHILI. 2.

Ex cibo oculum habuit, cùm pyraſtrum capra tranſiret,
Vnde apparuit cæcam non amplius habens pupillam.
E duabus enim alteram pupugit acutus ſpinæ
Ramus. Vide quomodo ipſa arte arbor ſit validior.

Αδηλον.

Οταν θέλῃ τις ἡμέραν ἰδεῖν καλήν,
Συντυγχάνων σοι, γίγνεται καλήμερος:
Τοὐναντίον δέ, καί τις εἰ μέλλει παθεῖν,
Μὴ τυγχάνων σοι, γίγνεται καχήμερος.

Incerti. 3.

Quando vult aliquis diem videre pulcram,
Obuiam factus tibi, pulcram sortitur diem.
Contra autem, si quis debeat infelix esse,
Non adsequens te, infelicem sortitur diem.

ΕΙΣ ΕΥΧΑΡΙΣΤΟΥΣ, ΚΑΙ ΑΧΑ-ρίστους, κεφ. λ΄

ΑΝΤΙΠΑΤΡΟΥ.

Ἀντίπατρος Πείσωνι γενέθλιον ὤπασε βίβλον
    Μικρὴν, ἐν δὲ μιῇ νυκτὶ πονησάμενος.
Ἵλαος ἀλλὰ δέχοιτο, καὶ αἰνήσειεν ἀοιδὸν,
    Ζεὺς μέγας ὡς ὀλίγῳ πειθόμενος λιβάνῳ.

IN GRATOS ET Ingratos, Cap. XXX.

ANTIPATRI. 1.

Antipater Pisoni natalitium munus dedit librum
    Paruum, quem vna nocte elaborauit.
Lætus autem accipiat, & laudet Poëtam,
    Iupiter magnus vt paruo placatur thure.

ΛΟΥΚΙΑΝΟΥ.

Ὠκεῖαι χάριτες, γλυκερώτεραι· ἢν δὲ βραδύνῃ
    Πᾶσα χάρις, κενεὴ, μηδὲ λέγοιτο χάρις.

LVCIANI. 2.

Celeriora beneficia iucundiora. Sin verò tardum sit
    Omne beneficium, vanum est, nec dicatur beneficium.

Ἀδέσποτον.

Τὸν λύκον ἐξ ἰδίων μαζῶν τρέφω οὐκ ἐθέλουσα,
    Ἀλλά μ᾽ ἀναγκάζει ποιμένος ἀφροσύνη.
Αὐξηθεὶς δ᾽ ὑπ᾽ ἐμοῦ, κατ᾽ ἐμοῦ πάλι θηρίον ἔσται.
    Ἡ χάρις ἀλλάξαι τὴν φύσιν οὐ δύναται.

Incerti. 3.

Lupum ex propriis vberibus nutrio nolens,
Sed me cogit paſtoris ſtultitia.
Vbi verò adoleuerit per me, contra me rurſus fera erit.
Beneficium mutare naturam non poteſt.

ΛΟΥΚΙΑΝΟΥ.

Φαῦλος ἀνὴρ, πίθος ἐστὶ τετρημένος· εἰς ὃν ἁπάσας
Ἀντλῶν τὰς χάριτας, εἰς κενὸν ἐξέχεας.

LVCIANI. 4.

Malus vir dolium eſt pertuſum, in quem omnia
Hauriens beneficia, fruſtra effudiſti.

Τίνας ἂν εἴποι λόγους Κλυταιμνήστρα, μέλλοντος
αὐτὴν σφάξειν Ὀρέστου.

Ποῖ ξίφος ἰθύνεις; κατὰ γαστέρος, ἢ κατὰ μαζῶν;
Γαστήρ, ἥ σ' ἐλόχευσεν, ἀνεθρέψαντο δὲ μαζοί.

Quæ dixerit verba Clytæmneſtra, cùm vellet
illam iugulare Oreſtes. 5.

Quorſum enſem intendis? ad ventrem, an ad vbera?
Venter enim te peperit, nutrierunt verò vbera.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ εἰς τὸν ἐν Ἰλίῳ ναὸν
Ἀθηνᾶς.

Ἱλήκοις πολιοῦχε, σὲ μὲν χρυσαυγέϊ νηῷ,
Ὡς θέμις, ἡ τλήμων Ἴλιος ἠγασάμην.
Ἀλλὰ σύ με προλέλοιπας ἑλώριον· ἀντὶ δὲ μήλου
Πᾶσαν ἀπεδρέψω τείχεος ἀγλαΐην.
Ἄρκιον ἦν θνήσκειν τὸν βουκόλον. εἰ γὰρ ἄθεσμος
Ἔπλετο, τῆς πάτρης οὐκ ἀλίτημα τόδε.

AGATHII Scholaſtici, in quod fuit in Ilio,
templum Mineruæ. 6.

Propitia ſis verbis patrona, te quidem auro fulgenti templo
Vt fas, miſera ego Troia venerata ſum.
Sed tu me deſeruiſti ſpolium, pro pomo autem
Omnem decerpſiſti arcis pulcritudinem.

Satius erat mori illum pastorem. Si enim impius ille
Fuit, patriæ non peccatum hoc.

ΕΙΣ ΕΥΧΗΝ, κεφ. λα.

ΙΟΥΛΙΟΥ ΠΟΛΥΑΙΝΟΥ.

Εἰ καί σοι πολύφωνος ἀεὶ πίμπλησιν ἀκουὰς
Ἢ φόβος εὐχομένων, ἢ χάρις εὐξαμένων,
Ζεῦ, Σχερίης ἐφέπων ἱερὸν πέδον, ἀλλὰ καὶ ἡμέων
Κλῦθι, καὶ ἀψευδεῖ νεῦσον ὑποσχεσίῃ,
Ἤδη μοι ξενίης εἴη πέρας, ἐν δέ με πάτρῃ
Ζώειν τῶν δολιχῶν παυσάμενον καμάτων.

IN PRECES, Cap. XXXI.

IVLII POLYÆNI. 1.

Quamuis tuas multisonus semper impleat aures
Vel metus precantium, vel gratia precatorum,
O Iupiter Scheriæ qui regis sacrum solum, tamen & nostra
Audi, & veraci annue mihi promissione,
Vt iam mihi peregrinationis sit finis. & in meâ patriâ
Viuam longis quiescens à laboribus.

ΚΑΛΛΙΝΙΟΥ.

Πηρός, ἄπαις, ἢ φέγγος ἰδεῖν, ἢ παῖδα τεκέσθαι
Εὐξαμένη, δοιῆς ἔμμορεν εὐτυχίης·
Τίκτε γὰρ εὐθὺς ἄελπτα μετ' οὐ πολύ, καὶ τὸ ποθητὸν
Αὐτῆμαρ γλυκερὸν φέγγος ἐσεῖδε φάους.
Ἄρτεμις ἀμφοτέροισιν ἐπήκοος, ἥ τε λοχείης
Μαῖα, καὶ ἐγγυναίων φωσφόρος ἡ σελάων.

CALLINII. 2.

Cæca & sterilis, vel ad lucem videndā, vel puerū generandum
Precata, duplicem consecuta est felicitatem.
Peperit enim statim præter spem nō diu post, & optatissimum

Eodem die iucundum lumen vidit ſolis.
Diana in vtroque fuit obſequens, quæ & puerperij
Obſtetrix, & nuper nati fuit lucifera iubaris.

ΔΙΟΔΩΡΟΥ.

Ἀδρήστειά τε δῖα καὶ ἰχναίη σε φυλάσσοι
Παρθένος, ἡ πολλοὺς ψευσαμένη Νέμεσις.
Δείδια σόν τε φυῆς ἐρατὸν τύπον, ἠδὲ σὰ κοῦρε
Δώια, θεσπεσίης καὶ μένος ἠνορέης,
Καὶ σοφίην, καὶ μῆτιν ἐπίφρονα. τοιάδε τέκνα,
Δροῦσε, πέλειν μακάρων πευθόμεθ' ἀθανάτων.

DIODORI. 3.

Et Adraſtea diuina, & veſtigia ſequens te cuſtodiat
Virgo, multos fruſtrata Nemeſis.
Metuo tuæ indolis amabilem formam, & tua, ô puer,
Conſilia, & diuini robur fortitudinis,
Et ſapientiam, & conſilium prudens. Tales autem pueros,
Druſe, eſſe beatorum audimus immortalium.

Ἀδέσποτον.

Ζεῦ βασιλεῦ, τὰ μὲν ἐσθλὰ καὶ εὐχομένοις καὶ ἀνεύκτοις
Ἄμμι δίδου· τὰ δὲ λυγρὰ καὶ εὐχομένων ἀπερύκοις.

Incerti. 4.

O Iupiter bona & precantibus, & non precantibus.
Nobis da. Mala autem etiam à precantibus auerte.

ΦΙΛΟΔΗΜΟΥ.

Κύπρι γαληναίη, φιλονύμφιε, Κύπρι δικαίοις
Σύμμαχε, Κύπρι πόθων μῆτερ ἀελλοπόδων,
Κύπρι, τὸν ἡμίσπαστον ἀπὸ χροκέων ἐμὲ παστῶν,
Τὸν χιόσι ψυχὴν Κελτίσι νιφόμενον,
Κύπρι, τὸν ἡσύχιόν με, τὸν οὐδὲν κωφὰ λαλεῦντα,
Τὸν σέο πορφυρέῳ κλυζόμενον πελάγει,
Κύπρι φιλορμίστειρα, φιλόργιε, σῶζέ με Κύπρι
Ῥωμαϊκοὺς ἤδη δέσποτι πρὸς λιμένας.

PHILODEMI. 5.

Cypri serena, sponsorum amica, Cypri iustis
Opem ferens, Cypri amorum mater velocium,
Cypri semiavulsum à croceis me cubilibus
Et niuibus animâ meâ Celticis aspersum,
Cypri tacitum me, & nil vnquam stultè locutum,
Tuo purpureo immersum pelago.
Cypri portuum potens, orgiorum amans, serua me Cypri,
Romanos iam, ò domina, ad portus.

ΦΙΛΙΠΠΟΥ.

Ὅτ' ἐκ ζαήτου Λίβυος, ἐκ ζαοῦς νότου
Συνεζοφώθη πόντος, ἐκ δ' νειάτων
Μυχῶν βυθῖτις ψάμμος ἐξηρεύγετο,
Ἱστὸς δὲ πᾶς ὤλισθεν εἰς ἅλα πτύσας,
Φορτὶς δ' ἐσύρετ' ἐς ἀΐδην πλανώμενος,
Ἀρωγοναύτας δαίμονας Λυσίστρατος
Ἐλιτάνευσεν. ὧν δὲ τῷ νεηκόρῳ
Μούνῳ θάλασσαν ἀγρίαν ἐκοίμισαν.

PHILIPPI. 6.

Cùm ex valde flante Libye, & impetuoso Noto
Vnà obscuraretur pontus, & ex vltimis
Recessibus profunda arena eructaretur,
Malus autem totus decidit in mare spuens:
Oneraria verò nauis trahebatur ad inferos errans,
Auxiliatores nautarum Deos Lysistratus
Assiduè precatur. Hi verò æditiuo
Soli mare crudele placauerunt.

ΙΟΥΛΙΑΝΟΥ.

Πολλάκις εὐξαμένῳ μοι ἀεὶ θυμῆρες ἔδωκας
Τέκμαρ ἀκυμάντου Ζεῦ πάτερ εὐπλοΐης.
Δοίης μοι καὶ τοῦτον ἔτι πλόον, ἠδὲ σαώσαις
Ἤδη, κἀκ καμάτων ὅρμισον εἰς λιμένας.

IVLIANI. 7.

Sæpius precato mihi semper gratum dedisti

Iudi-

Iudicium tranquillæ Iupiter pater nauigationis.
Da mihi hanc etiam adhuc nauigationem, & serua me
Iam, & ex laboribus subduc me in portum.

ΕΙΣ ΕΧΘΡΟΥΣ, κεφ. λβ.

ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.

Πένθιμον ἡνίκα πατρὶ Πολυξείνης Ὑμέναιον
Ἤνυσεν ὀξκω τοῦ Πύῤῥος ὑπερθε τάφου,
Ὧδε πολυκλαύστοιο κόμας λακίζουσα καρήνου
Κισσηὶς τεκέων κλαῦσε φόνους Ἑκάβη.
Πρόσθε μὲν ἀξονίοις φθίμενον εἴρυσας Ἕκτορα δεσμοῖς,
Νῦν δὲ Πολυξείνης αἷμα δέχῃ φθίμενος
Αἰακίδη· τί τοσοῦτον ἐμὴν ὠδύσαο νηδύν;
Παισὶν ἔφυς γὰρ ἐμοῖς ἤπιος οὐδὲ νέκυς.

IN HOSTES, Cap. XXXIII.

STATYLLII FLACCI. I.

Luctuosum cùm patri Polyxenæ Hymeneum
Perficeret edito Pyrrhus super tumulo,
Sic multùm deflendi comas lacerans capitis
Cisseis liberorum defleuit mortem Hecuba.
Prius quidem currui nexis mortuum raptasti Hectora vinclis,
Iam verò Polyxenæ sanguinem capis mortuus,
Æacida. Quidnam tantopere meo iratus es ventri?
Pueris enim fuisti meis mitis ne mortuus quidem.

ΑΝΤΙΦΙΛΟΥ.

Πορφυρέας τοι τάσδε Λεωνίδα ὤπασε χλαίνας
Ξέρξης, ταρβήσας ἔργα τὰ τᾶς ἀρετᾶς;
Οὐ δέχομαι· προδόταις αὐτὰ χάρις· ἀσπὶς ἔχει με
Καὶ νέκυν· ὁ πλοῦτος δ' οὐκ ἐμὸν ἐντάφιον.
Ἀλλ' ἔθανες· τί πρὸς ὧδε, καὶ ἐν νεκύεσσιν ἀπεχθής

Πέρσαις; οὐ θνάσκει ζᾶλος ἐλευθερίας.

ANTIPHILI. 2.

αPurpuream tibi hanc Leonida donauit lænam
Xerxes, obstupescens opera tuæ virtutis.
βNon accipio. Proditoribus hæc gratia. Clypeus habet me
Et mortuum. Opes verò non mea funeris vestis.
αAtqui mortuus es. Qui tantum vel inter mortuos hostilis es
Persis? β non moritur Zelus libertatis.

ΑΒΒΙΑΝΟΥ.

Εἰ μὲν τοὺς ἀπὸ ἄλφα μόνους κέκρικας κατακτεῖν
Λούκιε βουλευτάς, καὶ τὸν ἀδελφὸν ἔχεις.
Εἰ δ᾽ (ὅπερ εὔλογόν ἐστι) κατὰ στοιχεῖον ὁδεύεις,
Ἤδη σοὶ προλέγω, Ὠριγένης λέγομαι.

ABBIANI. 3.

Siquidem illos, qui ab A incipiunt, iudicasti occidendos,
Luci, Senatores: Ergo & fratrem habes.
Si verò, quod verisimile est, per litteras Alphabeti transis,
Iam tibi prædico, Origenes appellor.

ΕΙΣ ΖΩΑ, κεφ. λγ.

ΠΟΛΥΑΙΝΟΥ.

Δορκάδος ἀρτιτόκοιο τιθηνητήριον οὖθαρ
Ἔμπλεον εἰδοῦσα πικρὸς ἔτυψεν ἔχις·
Νεβρὸς δ᾽ ἰσομιγῆ θηλὴν σπάσε, καὶ τὸ δυσαχθὲς
Τραύματος ἐξ ὅλου πικρὸν ἔβρωξε γάλα.
Ἀθὴν δ᾽ ἠλλάξαντο, καὶ αὐτίκα νηλέϊ μοίρῃ
Ἣν ἔπορεν γαστὴρ, μαστὸς ἀφεῖλε χάριν.

IN ANIMALIA, Cap. XXXIII.

POLYÆNI. I.

Capreæ, quæ nuper pepererat, nutritium vber
Cùm plenum videret, amara pupugit vipera:

Hinnuleus verò venenatum vber sugés traxit,& ægrè curabile
Vulnere ex pernicioso graue exsuxit lac.
Mortem verò permutarunt. Et statim crudeli morte
Quod dederat venter, vber recepit beneficium.

ΤΥΒΕΡΙΟΥ ΙΛΛΟΥ.

Κεμμάδος ἀρτιτόκοιο μαζοῖς βεβριθότας γάλακτος
Η φονίη δάκε τὴν ἰὸν ὀλέθριον ἔχις.
Φαρμαχθὲν δ' ἰῷ μητρὸς γάλα νεβρὸς ἀμέλξας
Χείλεσι, ἐκ κείνης ἔσπασεν θάνατον.

TIBERII ILLI. 2.

Ceruæ nuper parientis vberibus distensis lacte
Exitialis mordens virus immisit vipera.
Infectum verò veneno matris lac hinnuleus emulgens
Labris, illius ebibit mortem.

Τοῦ αὐτοῦ.

Οὐ κύνες, οὐ στιχίες με κατέκτανον, οὐχὶ κυνηγοὶ
Δορκάδα, ἀλλ' ἀπὸ γῆς εἰν ἁλὶ πλῆσα μόρον.
Εξ ὕλης πόντῳ γὰρ ἐπέδραμον. εἶτά με πλεκταὶ
Ελξαν ἐπ' αἰγιαλοὺς δικτυβόλων παγίδες.
Ηλιτον, ἡ χέρσοιο μάτην φυγάς. οὐκ ἀδίκως με
Εἷλε σαγηνευτὴς τὰ μὰ λιποῦσαν ὄρη.
Οὔποτ' ἄγρης ἀγρῖνες ἔτ' ἄστοχον οἴσετε χεῖρα,
Χέρσου καὶ πελάγους κοινὰ πλέκοντες ὑφή.

Eiusdem. 3.

Non canes, non perticę venatorũ me occiderunt, nõ venatores
Ceruam, sed è terrâ in mari impleui fatum.
E terrâ enim in mare effugi. Dein me complicati
Traxerunt ad littora piscatorum laquei.
Erraui, ipsam terram frustra fugiens. Non iniustè me
Traxit piscator meos relinquentem montes.
Nunquã capturæ piscatores amplius vanã adhibebitis manum,
Qui terræ & mari communia texitis & retia.

ΦΙΛΙΠΠΟΥ.

Νηδύι βεβριθυῖαν δάμαλιν Ακταιίδι κούρη

Στῆσαν μοσχέρι, θῦμα χαριζόμεναι.
Ἧς ἀΐδην μέλλοντα προέφθασεν εὔστοχος ὠδίς·
Πέμφθη δ' εἰς ἀγέλην τεκνογονεῖν ἄφετος.
Ἡ θεὸς (ὠδίνων γὰρ ἐπίσκοπος) οὐκ ἐδίκαζε
Τικτούσας κτείνειν, ἃς ἐλεεῖν ἔμαθεν.

PHILIPPI. 4.

Vtero grauidam iuuençam Latonæ filiæ puellæ
Statuerunt sacrifici, hostiam exhibentes.
Cuius mortem futuram anteuertit ingeniosus partus:
Missa verò est ad armentum, vt pareret liberata.
Dea (partuum præfecta enim est.) Non iustum censuit
Parientes interimere, quarum misereri didicit.

Τοῦ αὐτοῦ.

Ταῦροι πρηϋτένοντες, ἀροτρευτῆρες ἀρούρης,
Εἰν ἁλὶ τὸν γαίης ἀντέχομεν κάματον.
Αὔλακα τὴν ἀσίδηρον ἐν ὕδασιν ἕλκομεν ἄμφω,
Μακροτέρων σχοίνων ἅμμα σαγηνόδετον.
Ἰχθύσι δ' ἐκ σταχύων λατρεύομεν οἱ παλαιεργοί.
Ἤδη καὶ πελάγη καρπὸν ἀροῦσι βόες.

Eiusdem. 5.

Tauri mansuefacti aratores agri,
In mari terræ retinemus labores.
Sulcum sine ferro in aquā ducimus ambo
Longiorum funium laqueum sagenæ alligatum.
Piscibus verò post arationem inseruimus laboriosi.
Iam etiam ex pelago fructum piscantur boues.

ΑΡΧΙΟΥ.

Οὐ μόνον εὐάροτον βόες οἴδαμεν αὔλακα τέμνειν,
Ἀλλ' (ἴδε) καὶ πόντου νῆας ἀφελκόμεθα.
Ἔργα γὰρ εἰρήνης δεδιδάγμεθα. καὶ σὺ θάλασσα
Δηΐφιλας γαίῃ ζεῦξον ἀροτροφορεῖν.

ARCHII. 6.

Non solùm bene aratum boues nouimus sulcum secare.

Sed vide etiam ex ponte naues extrahimus.
Opera enim pacis docti sumus. Et tu mare
Rursus delphînas in terrâ iunge, vt aratrum trahant.

ΓΕΡΜΑΝΙΚΟΥ Καίσαρος.

Οὔρεος ἐξ ὑψηλοῖο λαγὼς πέσεν ἐς ποτὶ βένθος,
Ἐκπροφυγεῖν μεμαὼς τρηχὺν ὀδόντα κυνός.
Ἀλλ' οὐδ' ὣς ἤλυξε κακὸν μόρον· αὐτίκα γάρ μιν
Εἰνάλιος μάρψας πνεύματος ὠρφάνισεν.
Ἐκ πυρὸς ὡς αἰνῶς πέσες ἐς φλόγας. ἦ ῥά σε δαίμων
Κἠν ἁλὶ, κἠν χέρσῳ θρέψε κύνεσσι βορήν.

GERMANICI Cæsaris. 7.

Monte ex alto lepus decidit quondam in profundum mare
Effugere cupiens asperum dentem canis.
Sed ne sic quidem effugit malam mortem. Statim enim ipsum
Marinus corripiens spiritu priuauit.
Ex igne quàm grauiter incidisti in flammam. Equidẽ te fatum
Siue in mari, siue in terrâ, nutriuit escam canibus.

Τοῦ αὐτοῦ.

Ἐκ κυνὸς εἷλε κύων με. τί τὸ ξένον; εἰς ἐμὲ θῆρες
Ὑγροὶ καὶ πεζοὶ θυμὸν ἔχουσιν ἕνα.
Αἰθέρα λοιπὸν ἔχοιτε λαγοὶ βατόν. ἀλλὰ φοβοῦμαι
Οὐρανὲ, καὶ σὺ φέρεις ἀστερόεντα κύνα.

Eiusdem. 8.

E cane cepit canis me. Quid hoc noui? in me feræ
Humidæ & terrestres animum habent vnum.
Æthera reliquum habeatis lepores peruium. sed metuo,
Cælum, & tu fers sidereum canem.

ΤΙΒΕΡΙΟΥ.

Δίκτυον ἐκθρώσκοντα πολύπλοκον ἄρτι λαγωὸν
Σβῦε κύων θερμοῖς ἴχνεσιν ὠκυπόδην.
Τρηχὺν ὁ δ' ἐκνεύσας ταχινῶς πάγον, ἐς βαθὺ πόντου
Ἥλατ', ἀλυσκάζων κῦμα παρακτίδιον.
Εἰνάλιος τὸν δ' αἶψα κύων βρυχηδὸν ὀδοῦσι

Μάρψε. κυσὶ τλήμων ἦν ἄρ' ὀφειλόμενος.

TIBERII. 9.

Rete venatorium, exſilientem nodoſum iam leporem
Sequitur canis calidis veſtigiis, velocem pedibus.
Aſperum vero cùm effugiſſet celer collem, in profundũ maris
Deſiliit fluctum litoreum fugiens.
Marinus verò hunc ſtatim canis fremebundus dentibus
Corripuit. Canibus miſer erat profecto debitus.

ΦΙΛΙΠΠΟΥ.

Νηὸς ἐπειγομένης ὠκὺν δρόμον ἀμφεχόρευον
Δελφῖνες, πελάγευς ἰχθυφάγοι σκύλακες.
Καπροφόνος δὲ κύων θηρσὶ κείνους ἰκελώσας,
Δύσμορος, ὡς ἐπὶ γῆν εἰς βυθὸν ἐξέθορεν.
Ὤλετο δ' ἀλλοτρίης θήρης χάριν. οὐ γὰρ ἐλαφρὸς
Πάντων ἐστὶ κυνῶν ὁ δρόμος ἐν πελάγει.

PHILIPPI. 10.

Naui vectá celeri curſu circumſiliebant
Delphines, pelagi piſciuori canes:
Caprorum verò interemptor canis feris illos ſimiles ratus
Infelix tanquam in terram in profundum inſiluit.
Periit autem ob alienam venationem. Non enim facilis
Omnium eſt canum curſus in pelago.

Τοῦ αὐτοῦ.

Ὠκείαις ἐλάφοισι κύων ἰσάμιλλα δραμοῦσα
Ἔγκυος ἡλκώθη παιδοπόροισι γένεσιν.
Πᾶσα δὲ συγκατέμυσε, καπυλωθεῖσα χροΐσιν,
Ἤδη δ' ἡ τοκετῶν ὤφελος τῶν βάστεμος.
Πολλὰ δ' ἐπωρύουσαν ἀνὴρ ἐσιδηροτόμησεν,
Καὶ σκύλακες φίλοι νηδύος ἐξέθορον.
Ἀρτέμιδος λέλυται λοχίων χάρις· ἔμπαλι δ' Ἄρης
Ἤρκται μαιοῦσθαι γαστέρας ἡμετέρας.

Eiuſdem. 11.

Celeribus ceruis canis æqualiter currens

Grauida exulcerauit catulos pergenerantem vterum.
Prorſus autem præcluſit. Sanata verò tempore cùm eſſet,
Iam ipſius partus tempeſtiua erat tortura.
Multum verò eiulantem vir ferro diſſecuit,
Et catuli cari ex vtero excidêrunt.
Artemidis periit puerperiorum beneficiũ. Rurſus verò Mars
Incepit, vt obſtetrix, adiuuare noſtros vteros.

ΑΝΤΙΠΑΤΡΟΥ.

Θηρευτὴν Λάμπωνα Μίδου κύνα δίψα κατέκτα,
Καίπερ ὑπὲρ ψυχῆς πολλὰ πονησάμενον.
Ποσὶ γὰρ ὤρυσσεν νοτερὸν πέδον· ἀλλὰ τὸ νωθὲς
Πίδακος ἐκ τυφλῆς οὐκ ἐτάχυνεν ὕδωρ.
Πίπτε δ' ἀπαυδήσας. αἱ δ' ἔβλυσαν πάρα νύμφαι
Λάμπωνι κταμένῳ μῆνιν ἔθεντ' ἐλάφων.

ANTIPATRI. 12.

Venaticum Lamponem Midæ filium ſitis occidit,
Quamuis ob vitam multa laboraſſet.
Pedibus enim effodiit humidam terram: ſed languor
Ex cæco fonte non celeriter produxit aquam.
Cecidit verò defatigatus. Quæ autem ſcaturiebant propè aquæ
Lamponi mortuo iram impoſuerunt ob ceruos.

ΑΡΧΙΟΥ.

Ὁ πρὶν ἀελλοπόδων λάμψας πλέον αἰετὸς ἵππων,
Ὁ πρὶν ὑπαὶ μίτραις κῶλα καθαψάμενος.
Ὃν Φοῖβος χρησμῳδὸς ἀέθλιον ἔστελε Πυθῷ,
Ὀρνύμενον πλευροῖς ὠκυπέτους ἴκελον.
Καὶ Νεμέη βλοσυροῖο τιθηνήτειρα λέοντος,
Πίσα τε, καὶ δοιὰς ἠόνας Ἰσθμὸς ἔχων·
Νῦν κλοιῷ δειρὴν πεπεδημένος, οἷα χαλινῷ,
Καρπὸν ἐλᾷ Δηοῦς ὀκρυόεντι λίθῳ·
Ἴσην μοῖραν ἔχων Ἡρακλεῖ· καὶ γὰρ ἐκεῖνος
Τόσσ' ἀΐσας, δουλίῳ ζεύγλαις ἐφηρμόσατο.

ARCHII. 13.

Qui prius velocium splenduit multum vt aquila equorum,
Qui prius sub phaleris membra sua aptabat.
Quem Phœbi fatidica certatorem equum coronauit Pytho,
Incitatum volucribus velocibus similem.
Et Nemea rigidi nutrix leonis,
Pisaque, & gemina litora Isthmus habens:
Nunc trunco per collum alligatus, tanquam freno
Fructum agitat Cereris rigido lapide.
Æqualem sortem habens cum Hercule: Nam & ipse
Cùm tanta perfecisset, seruile iugum induebat.

Α δηλον.

Σοὶ πατρὶ Θεσσαλίη πωλοτρόφε μέμψιν ἀάστω
Πήγασος, ὡς ἀδίκου τέρματος ἀντιάσας.
Ὃς Πυθοῖ, κὴν ἰσθμῷ ἐκώμασα, κἠπὶ Νέμειον
Ζῆνα καὶ Ἀρκαδικοὺς ἤλυθον ἀκρέμονας.
Νῦν δὲ βάρος πέτρης Νισυρίτιδος ἔγκυκλον ἕλκω,
Λεπτύνων Δηοῦς καρπὸν ἀπ' ἀσταχύων.

Incerti. 14.

Te mater Thessalia equorum nutrix reprehendo
Pegasus, quod iniquum finem adeptus sim.
Qui in Pytho & in Isthmo lusi, & ad Nemeum
Iouem, & Arcadicos veni ramos.
Iam verò pondus petræ è Nisyro insulâ circulare traho,
Attenuans Cereris fructum è spicis excussum.

ΒΙΑΝΟΡΟΣ.

Πῶλον τὸν πεδίων, ἀλλ' οὐχ ἁλὸς ἱππότα τῆρα,
Νηὶ διαπλώειν πόντον αἰνόμενον,
Μὴ θάμβει χρεμέθοντα, καὶ ἐν ποσὶ λὰξ πατέοντα
Τοίχους, καὶ θυμῷ δεσμὰ βιαζόμενον.
Ἄχθεται εἰ φόρτου μέρος ἔρχεται. οὐ γὰρ ἐπ' ἄλλοις
Κεῖσθαι τὸν πάντων ἔστρεπεν ὠκύτατον.

BIANORIS. 15.

Pullum camporum, sed non maris equitem

Naui

Naui pertransire pontum recusantem,
Ne formides hinnientem & pedum calce conculcantem
Nauis latera, & animo suo vincula rumpentem.
Indignatur si oneris potiuncula veniat. Non enim alijs
Imponi, omnium fas erat velocissimum.

ΑΝΤΙΦΙΛΟΥ.

Γαμφάγος ἑρπυστὴς κατὰ δώματα λυχνοβίερος μῦς,
Ὄστρεον ἀθρήσας χείλεσι πεπταμένον,
Γώγωνος διεροῖο νόθην ὠδάξατο σάρκα·
Αὐτίκα δ' ὀστρακόεις ἐπλατάγησε δόμος.
Ἁρμόσθη δ' ὀδύναισιν· ὁ δ' ἐν κλείθροισιν ἀφύκτοις
Ληφθεὶς, αὐτοφόνον πότμον ἐπεσπάσατο.

ANTIPHILI. 16.

Cuncta vorans, reptilis per ædes lychni arrosor mus,
Conchylium inspiciens labiis apertum,
Mento madido notham arrodebat carnem:
Statim autem testacea concrepuit domus.
Conclusa auté est præ dolore. Hic verò in claustris ineuitandis
Conclusus spontaneam mortem sibi contraxit.

Τοῦ αὐτοῦ.

Ψῆγμα πυρὸν χρυσοῖο σιδηρείων ὑπ' ὀδόντων
Ῥινηθὲν, Λιβυκῆς κουφότερον ψαμάθου,
Μῦς ὀλίγος βαρὺ δεῖπνον ἐδαίσατο· πᾶσα δὲ νηδὺς
Συρομένη βραδύπουν θῆκε τὸν ὠκότατον.
Ληφθεὶς δ' ἐκ μεσάτης ἀνετέμνετο κλέμματα γαστρός·
Ἦς ἄρα κὴν ἀλόγοις χρυσὲ, κακοῦ πρόφασις.

Eiusdem. 17.

Ramentum flauum auri ferreis à dentibus
Limâ politum, Libycâ leuius arenâ,
Mus paruus, grauem cœnam comedebat. Omnis verò venter
Distentus tardum fecit aliàs celerrimum.
Capto verò è medio exsecabantur furta ventre,
Eras sanè & in brutis aurum, mali caussa.

Νέστορος εἰς τὸν Πύθιον δράκοντα.

Εἷρπε δράκων, καὶ ἔπινεν ὕδωρ· σβέννυντο δὲ πηγαί,
Καὶ ποταμὸς κεκένωτο, καὶ ἦν ἔτι διψαλέος θήρ.
Εἷρπε δ' ὁ μὲν, τὸ δ' ἔμελλε, τὸ δ' ἦν ἔτι νωθὲς ἐν εὐνῇ.
Αὐτὰρ ὁ διψήσας ποταμῷ ἐπέθηκε γένειον.
Πᾶς δ' ἄρα Κηφισσὸς εἴσω ῥέεν· ἀργαλέον δὲ
Ἀνθερεὼν κελάρυζε. κατερχομένου δὲ ῥεέθρου,
Κηφισσὸν κλαῦσαν ὀλωλότα πολλάκι νύμφαι.

NESTORIS In Pythium draconem. 18.

Repsit draco & bibit aquam: exstinguebantur verò fontes,
Et fluuius ab arenâ epotabatur, & adhuc sitiebat fera
Et pars serpebat, pars reptura erat, pars tarda in cubili.
Verùm hic sitiens fluuio imposuit mentum:
Et sanè totus Cephissus fluxit in guttur. grauiter autem
Mentum resonuit. Cùm ingressus autem esset fluuius,
Cephissum deflebant quòd periisset, sæpe Nymphæ.

ΚΡΙΝΑΓΟΡΟΥ.

Αἶγά με τὴν εὔθηλον, ὅσων ἐκένωσεν ἀμολγεὺς
Οὔθατα, πασάων πουλυγαλακτοτάτην,
Γευσάμενος μελιηδὲς ἐπεί τ' ἐφράσσατο πῖαρ
Καῖσαρ, καὶ νηεσσὶ σύμπλοον ἠγάγετο.
Ἥξω δ' αὐτίκα που καὶ ἐς ἀστέρας. ᾧ γὰρ ἐπέσχον
Μαζὸν ἐμὸν, μείων οὐδ' ὅσον αἰγιόχου.

CRINAGORI. 19.

Capram me mammosam quarumcunque euacuauit mulctrale
Vbera, omnium maximè lacte abundantem
Gustans, cùm nectareum intellexit pingue lactis
Cæsar, etiam in naui sociam duxit.
Peruenero statim forte etiam inter stellas. Cui enim præbui
Vber meum, minor nec tantillum quidem est Ioue.

ΒΙΑΝΟΡΟΣ.

Εἰς βαθὺν ἥλατο Νεῖλον ἀπ' ὀφρύος ὀξὺς ὁδίτης,
Ἡνίκα λαιμάργων εἶδε λύκων ἀγέλην.

Αλλά μιν ἀγρεύεσκον δι' ὕδατος· ἔβρυχε δ' ἄλλος
    Αλλον ἐπουραίῳ δήγματι πλεξάμενος.
Μακρὰ γεφυρώθη λύκοις βυθός· ἔφθανε δ' ἄνδρα
    Νηχομένων θηρῶν αὐτοδίδακτος Αρης.

BIANORIS. 20.

In profundum desiliit Nilum è colle acer viator
    Cùm voracium vidit luporum gregem.
Sed ipsum venabantur per aquas. Fremebat verò alius
    Alium caudato morsu retinens.
Longè a. velut ponte sternebatur lupis fluuius. Præuenit a. viro
    Natantium ferarum per se edoctus Mars.

ΣΕΚΟΥΝΔΟΥ.

Τίπτε τὸν ὀγκηστὴν βραδύπουν ὄνον ἄμμιγ' ἐν ἵπποις
    Γυρὸν ἀλωεταῖς ἐξελάατε δρόμον;
Οὐχ ἅλις ὅττι μύλοιο περίδρομον ἄχθος ἀνάγκης
    Σπειρηδὸν σκοτίοις κυκλοδίωκτος ἔχω,
Αλλ' ἔτι καὶ πώλοισιν ἐρίζομεν; ἢ ῥ' ἔτι λοιπὸν
    Ην μοι τὴν σκολιὴν αὐχένι γαῖαν ἀροῦν;

SECVNDI. 21.

Cur rudentem tardum asinum simul cum equabus
    In rotundum in areis triturantibus agitatis cursum?
Nonne satis est quod molæ circularium onus necessitatis
    Conuolutim oculis clausis in gyrum actus, habeo?
Quia adhuc cum equis cursu contendamus? An adhuc
    Opus obliquam dorso terram arem?

Αδηλον.

Τίπτε με τὸν φιλέρημον ἀναιδέες ποιμένες ἄγρῃ
    Τέττιγα δροσερῶν ἕλκετ' ἀπ' ἀκρεμόνων;
Τὴν νυμφῶν παρόδιτιν ἀηδόνα, καὶ μάλα μέσσῳ
    Οὔρεσι καὶ σκιεραῖς ξουθὰ λαλεῦσαν νάπαις;
Ηνίδε καὶ κίχλην καὶ κόσσυφον, ἠνὶ δὲ πόσσους
    Ψᾶρας ἀρουραίης ἅρπαγας εὐπορείης.

Τὸν φιλαοιδὸν ἰδὼν παῖδα παρεξέχασα.
Λύσασα δ' ἐκ βροχίδων, ἀπεκούφισα, καὶ ποτ' ἔλεξα,
Σώζου μουσικῷ φθεγγόμενος κελάδῳ.

Incerti. 24.

Subtile contexens tenuibus ſub pedibus aranea
Cicadam tortuoſis intus habebat retibus.
Verùm non ipſam tenuibus ſublamentantem pedicis,
Canorum videns puerum prætercurri.
Soluens verò è laqueis liberaui,& hoc dixi:
Seruare,Muſico qui reſonas ſtrepitu.

ΛΕΟΝΤΕΩΣ.

Ὁ πρὶν ἐπ' Ἀλφειῷ στεφανηφόρος, ὦ ξέν', ὁ τὸ πρὶν
Δισσάκι κηρυχθεὶς Κασταλίης παρ' ὕδωρ,
Ὁ πρὶν ἐγὼ Νεμέῃ βεβοημένος, ὁ πρὶν ἐπ' Ἰσθμῷ
Πῶλος, ὁ πρὶν πτηνοῖς ἶσα δραμὼν ἀνέμοις·
Νῦν ὅτε γηραιός, γυροδρόμον (ἠνίδε) πέτρον
Δινεύω, στεφάνων ὕβριν ἐλαυνόμενος.

LEONTEI. 25.

Qui prius apud Alpheum coronatus ſum,ô vir,qui prius
Bis proclamatus Caſtaliæ prope aquas,
Qui prius ego in Nemeis laudatus,qui prius in Iſthmo
Equus,qui prius velocibus par cucurri ventis:
Nunc quando ſenex,in orbem ductum,en ecce,ſaxum
Conuerto,coronarum iniuriam agitans.

ΛΕΩΝΙΔΟΥ.

Φεύγεθ' ὑπ' ἐκ καλύβης σκότιοι μύες· οὔτι πενιχρὴ
Μῦς σιπύη βόσκειν οἶδε Λεωνίδεω.
Αὐτάρκης ὁ πρέσβυς ἔχειν ἅλα καὶ δύο κρῖμνα·
Ἐκ πατέρων ταύτην ᾐνέσαμεν βιοτήν.
Τῷ, τί μεταλλεύεις τοῦτον μυχὸν ὦ φιλόλιχνε,
Οὐδ' ἀποδειπνιδίου γευσόμενος σκυβάλου;
Σπεύδων εἰς ἄλλους οἴκους ἴθι· τἀμὰ δὲ λιτά,

Ὧν ἄπο πλειοτέρην οἴσεαι ἁρμαλιήν.

LEONIDÆ. 26.

Fugite è tugurio tenebriones mures. Non paupercula
  Mures capsa nutrire nouit Leonidæ.
Sibi sufficit senior, si habeat salem, & duos panes hordei,
  E maioribus hunc laudamus victum.
Huic, quid perforas hoc conclaue, ô lignorum amator,
  Ne quidem, quæ è cænâ supersunt quisquilias gustaturus.
Festinans alias domus ingredere, (mea enim tenuia)
  E quibus copiosiorem referes cibum.

ΑΡΙΣΤΩΝΟΣ.

Ὦ μύες, εἰ μὲν ἐπ᾽ ἄρτον ἐληλύθατ᾽, ἐς μυχὸν ἄλλον
  Στείχετ᾽, (ἐπεὶ λιτὴν οἰκέομεν καλύβην)
Οὗ καὶ πίονα τυρὸν ἀποδρέψεσθε, καὶ αὔην
  Ἰσχάδα, καὶ δεῖπνον συχνὸν ἀπὸ σκυβάλων.
Εἰ δ᾽ ἐν ἐμαῖς βίβλοισι πάλιν καταθήξετ᾽ ὀδόντα,
  Κλαύσετε, οὐκ ἀγαθὸν κῶμον ἐπερχόμενοι.

ARISTONIS. 27.

O mures, si ob panem venistis, in alienam domum
  Pergite, cùm tenue inhabitemus tugurium.
Vbi & pinguem caseum decerpetis, & aridam
  Ficum, & cænam densam è reliquiis.
Quòd si in meos libros rursus posueritis dentes,
  Flebitis, ad non bonum conuiuium progressi.

ΑΝΥΤΗΣ.

Ηνία δή τοι παῖδες ἐνὶ τράγε φοινικόεντα
  Θέντες, καὶ λασίῳ φιμὰ περὶ στόματι,
Ἵππια παιδεύουσι θεοῦ περὶ ναὸν ἄεθλα,
  Ὄφρ᾽ αὐτοὺς φορέῃς ἤπια τερπομένους.

ANYTES. 28.

Habenas tibi pueri, hirce, purpureas
  Imponentes, & hirsutum capistrum in os,
Equestria ludunt dei apud templum certamina,
  Vt ipsos portes blandè exhilaratos.

ΑΛΚΑΙΟΥ.

Κερσάμενος γονίμην τις ἀπὸ φλέβα μητρὸς ἀγύρτης,
 Βησσήεντας ἀνὰ πρῶνας ἐβουνοβάτει·
Τῷ δὲ λέων ἤντησε πελώριος, ὡς ἐπὶ θοίνην
 Χάσμα φέρων χαλεπὸν πειναλέου φάρυγος.
Δείσας δ' ὠμηστέω θηρὸς μόρον, ὡς αὔδαξε,
 Τύμπανον ἐξ ἱερῆς ἐπλατάγησε νάπης.
Χὼ μὲν ἐνέκλεισεν φονίαν γένυν, ἐκ δὲ τενόντων
 Ἔνθοις ῥομβητὴν ἐστροφάλιξε φόβην.
Κεῖνος δὲ προφυγὼν ὀλοὸν μόρον, εἵσατο ῥείῃ
 Θῆρα τὸν ὀρχηθμῶν αὐτομαθῆ Κυβέλης.

ALCÆI. 29.

Qui præſecuit ſeminalem venam Deum matris præſtigiator
 Flexuoſos per colles proficiſcebatur:
Huic autem leo obuiam factus immenſus, tanquã ad cõuiuium
 Rictum ferens grauem eſurientis gutturis.
Reformidans autem crudelis feræ mortem, cùm clamaſſet,
 Tympanum è ſacro increpuit ſaltu.
Et hic quidem occluſit mortiferum rictum è ceruice autem
 Vt numine afflatus in rhombi modum voluit iubam.
Ille verò cùm effugiſſet exitialem mortem, ſimulacrum poſuit
 Statuam feræ, quæ ſaltationes per ſe didiciſſet Cybeles.

Ἄδηλον.

Χειμερίην διὰ νύκτα, χαλαζήεντά τε συρμὸν,
 Καὶ νιφετὸν φεύγων, καὶ κρυόεντα πάγον,
Μουνολέων, καὶ δὴ κεκακωμένος ἀγρία γυῖα,
 Ἦλθε φιλοχρήμνων αὖλιν ἐς αἰγινόμων.
Οἱ δ' οὐκ ἀμφ' αἰγῶν μεμνημένοι, ἀλλὰ περὶ σφέων,
 Εἵατο, σωτῆρα Ζῆν' ἐπικεκλόμενοι.
Χεῖμα δὲ δὴ μείνας θὴρ νύκτιος, οὔτε τιν' ἀνδρῶν;
 Οὔτι βοτὸν βλάψας, ᾤχετ' ἀπαυλόσυνος.
Εὖ δὲ παθόντες, ἄγαλμα τόδ' ἀγραφὲς ἀκρολοφῖται

Ζανὶ, τῷδ' ὑψορέμνῳ τᾷδ' ἀνέθεντο δρυΐ.

Incerti. 30.

Hyemalem per noctem,& grandinosum tractum
 Et niualem fugiens,& frigidum collem
Solitarius leo,& defatigatus solidis suis membris
 Venit amantium præcipitia,in stabulum caprariorum.
Hi verò non de capris sollicitised de se ipsis,
 Sedebant,Seruatorem Iouem inuocantes.
Tempestatem a. vt cessaret exspectans fera nocte, nullú virûm
 Nec pecorum lædens,abiit nihil caulis nocens.
Pro beneficio a. simulacrum hoc elegans pastores in collibus
 Ioui,prope ramosam hanc posuerunt quercum.

ΝΙΚΙΟΥ.

Αἰόλον, ἠμερόθαλλες ἔαρ φαίνουσα μέλισσα,
 Ξουθὰ ἐφ' ὡραίοις ἄνθεσι μαινομένα·
Χώρει ἐφ' ἡδύπνοον ποταμηλία, ἔργα τίθεσο,
 Ὄφρα τεὸς πλήθῃ κηροπαγὴς θάλαμος.

Niciæ. 31.

Vario & benignè florente vere apparens apis,
 Flaua tempestiuos flores ardentiùs appetens:
In locum suauiter spirantem volans,opera pone,
 Vt tuus impleatur è cerâ confectus thalamus.

Ἀδήλου.

Τραυλὰ μινυρομένα Πανδιονὶ κάμμορε φωνᾷ,
 Τηρέος οὐ θεμιτῶν ἁψαμένα λεχέων,
Τίπτε πολυμμέλεος γοάεις ἀνὰ δῶμα χελιδών;
 Παῦσαι ἐπεί σε μένει δάκρυα τὰ κατόπιν.

Incerti. 32.

Blæsè conquerens Pandionis infelix voce
 Tereos incestos quæ tetigisti thalamos,
Quidnam totà die gemis in domo hirundo?
 Quiesce,cùm te exspectent lacrumæ in posterum.

ΑΔΔΑΙΟΥ.

Τῇ βαιῇ Κλεαδίνῃ ὑπὸ σκυλάκων μογεούσῃ

Ἀντὶ ἰς κούφην εὐτοκίην ἔπορεν·
Μουνὰς οὔτι γυναιξὶν ἐπήκοος, ἀλλὰ καὶ αὐταῖς
Σώζειν θήρευς, σώζειν Ἄρτεμις οἶδε κυνάς.

ADAEI. 32.

Paruæ in calatho gestandæ caniculæ ob catulos laboranti
Latona facilem partum exhibuit:
Non solis mulieribus benigna: nam & ipsas
Vnà secum venantes seruare Diana nouit canes.

ΕΙΣ ΖΩΗΝ κεφ. λδ.

Ἀδηλον.

Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου.

IN VITAM, Cap. XXXIIII.

Incerti. 1.

Multa intersunt inter calicem, & labrum supremum.

ΠΑΛΛΑΔΑ.

Μὴ που θανόντες, τῷ δοκεῖν ζῶμεν μόνον,
Ἕλληνες ἄνδρες, συμφορᾷ πεπτωκότες,
Ὄνειρον εἰκάζοντες εἶναι τὸν βίον,
Εἰ ζῶμεν ἡμεῖς, τοῦ βίου τεθνηκότος.

PALLADÆ. 2.

Nondum mortui opinione viuimus tantùm,
Græci viri, calamitate oppressi,
Somnium assimulantes esse vitam,
Si viuimus nos modò vita cùm sit mortua.

ΑΝΤΙΠΑΤΡΟΥ Θεσσαλοῦ.

Τρὶς δέκα με πνεῦσαι καὶ δὶς τρία μάντιες ἄστρων
Φασὶν ἐμοὶ δ᾽ ἀρκεῖ καὶ δεκὰς ἡ τριτάτη·
Τοῦτο γὰρ ἀνθρώποις βιοτῆς ὅρος. ὁ δ᾽ ἐπὶ τούτοις,
Νέστωρ. καὶ Νέστωρ δ᾽ ἤλυθεν εἰς ἀΐδην.

ANTIPATRI THESSALI. 2.

Ter decem me victurum, & bis tres vates astrorum
  Dicunt. Mihi verò sufficit etiam decas tertia.
Hic enim hominibus vitæ terminus, qui autem post hos,
  Nestori. Sed tamen & Nestor venit in infernum.

Ἄδηλον.

Τρεῖς ἐτέων δεκάδας, τριάδας δύο, μάντιες ἔθηκαν
  Ἡμετέρης βιοτῆς, μάρτυρες αἰθέριοι.
Ἀρκοῦμαι τούτοισιν. ὁ γὰρ χρόνος, ἄνθος ἄριστον
  Ἡλικίης. ἔθανεν χὠ τριγέρων Πύλιος.

Incerti. 3.

Tres annorum decades, & triades duas terminum posuere
  Nostræ vitæ vates ætherij.
Acquiesco hisce. Hoc enim tempus flos optimus est
  Iuuentutis. Mortuus etiam est ter senex Pylius.

ΕΙΣ ΗΧΩ, κεφ. λε.

ΑΡΧΙΟΥ.

Εὔφημος γλώσσῃ παραμείβεο τὴν λάλον ἠχώ,
  Κὴ λάλον ἣν ἂν κλύω, τοῦτ' ἀπαμειβομένην.
Εἰς σὲ γὰρ ὃν σὺ λέγῃς, στρέψω λόγον ἢν δὲ σιωπᾷς,
  Σιγήσω. τίς ἐμεῦ γλῶσσα δικαιοτέρη;

IN ECHO, Cap. XXXV.

ARCHII. 1.

Sonora lingua præteri vocalem Echo,
  Et non vocalem: si aliquid audiam hoc respondentem.
In te enim quem tu dixeris sermoné conuertam. Sin a. taceas,
  Tacebo. Quænam me lingua sit iustior?

Ὁμηρόκεντρα εἰς τὸν πρώτως ἀκού-
σαντα ἠχοῦς.

Ὦ φίλοι ἥρωες, Δαναοί, θεράποντες Ἄρηος,

Ψεύσομαι, ἢ ἔτυμον ἐρέω. κέλεται δέ με θυμός.
Ἀγροῦ ἐπ' ἐσχατιῆς, ὅθι δένδρεα μακρὰ πεφύκει,
Ναίει ἐϋπλόκαμος δεινὴ θεὸς αὐδήεσσα,
Ἠ θεός, ἠὲ γυνή. τοὶ δὲ φθέγγοντο καλεῦντες.
Εἰ δὴ φθεγξαμένου τε καὶ αὐδήσαντος ἀκούσοι,
Αὖτις ἀριζήλως εἰρημένα μυθολογεύει.
Ἀλλὰ τίη τοι ταῦτα διεξερέεσθαι ἕκαστα;
Τὴν δ' οὔτ' ἀθρῆσαι δύναμ' ἀντίον, οὔτε νοῆσαι.
Ὁπποῖόν κ' εἴπησθα ἔπος, τοῖόν κ' ἐπακούσαις.

Homerici Centones in illum qui primus audiuit Echo. 2.

O amici heroes, Danai, famuli Martis
Mentiar an verum dico. Iubet verò me animus.
Agro in extremo vbi arbores proceræ proueniunt
Habitat pulcricoma grauis Dea loquens:
Siue Dea, siue mulier: qui loquuntur ipsam appellantes:
Si autem loquentem, & vocem edentem audiat,
Subitò validâ æmulatione quæ dicta sunt eloquitur.
Sed quorsum tibi hæc enarrare singula opus?
Quam neque intueri possum contra, neque scire.
Quale autem dixeris verbum, tale & audies.

ΕΙΣ ΘΑΛΑΣΣΑΝ,

ΚΡΙΝΑΓΟΡΟΥ.

Λῶπος ἀποκλύζουσα παρὰ κροκάλῃσι θαλάσσης
Χερνῆτις, διεροῦ τυτθὸν ὕπερθε πάγου,
Χέρσον ἐπεμβαίνοντι κατακλυσθεῖσα κλύδωνι,
Δειλαίη πικροῦ κῦμ' ἔπιεν θανάτου.
Πνεῦμα δ' ὁμοῦ πενίῃ ἀπελύσατο. τίς κ' ἐνὶ νηῒ
Θαρσήσει πεζοῖς τὴν ἀφύλακτον ἅλα;

IN MARE, Cap. XXXVI.

CRINAGORI. 1.

Indumentum eluens in litore maris
  Manuū labore viuēs muliercula, humido paululū super colle
A terram intrante abrepta fluctu,
  Misera grauis vndam bibit mortis.
Spiritus autem vnà cum paupertate abiit. Quis autem in naui
  Confidat, quòd in terrâ constitutis euitari nequit mare?

ΑΝΤΙΦΙΛΟΥ Βυζαντίου.

Εὐβοϊκοῦ κόλποιο παλινδινὲς τι θάλασσα,
  Πλαγκτὸν ὕδωρ, ἰδίοις ῥεύμασιν ἀντίποδον,
Ἠελίῳ καὶ νυκτὶ τεταγμένον, ἐς τρὶς ἄπιστον
  Ναυσὶν ὅσον πέμπεις χεῦμα δινευόμενον,
Θαῦμα βίου, θαμβῶ σε τὸ μυρίον, οὐδὲ ματεύω
  Σὴν στάσιν. ἀῤῥήτῳ ταῦτα μέμηλε φύσει.

ANTIPHILI Byzantij. 2.

Euboici sinus reuolutum mare,
  Errabunda aqua, propriis fluctibus contraria,
Sole atque nocte ordinata, ter incredibilem
  Nauibus quantum mittis fluctum accumulatum,
Miraculum vitæ, cum stupore miror te millies, nec inquiro
  Tuum statum. Ineffabili hæc curæ sunt naturæ.

ΕΙΣ ΘΑΝΑΤΟΝ, ΚΑΙ ΕΙΣ ΘΑΝΟΝΤΑΣ, κεφ. λζ.

ΑΓΑΘΙΟΥ.

Τὸν θάνατον τί φοβεῖσθε, τὸν ἡσυχίης γενετῆρα;
  Τὸν παύοντα νόσους, καὶ πενίης ὀδύνας;
Μοῦνος ἅπαξ θνητοῖς παραγίγνεται, οὐδέποτ' αὐτὸν
  Εἶδέ τις θνητῶν δεύτερον ἐρχόμενον.
Αἱ δὲ νόσοι, πολλαὶ καὶ ποικίλαι, ἄλλοτ' ἐπ' ἄλλον

Ερχόμεναι θνητῶν, καὶ μεταβαλλόμεναι.

IN MORTEM ET IN MORTVOS. Cap. XXXVII.

AGATHIÆ. 1.

Mortem quid formidatis tranquillitatis parentem,
Quæ sedat morbos & paupertatis dolores?
Sola semel mortalibus contingit, nec vnquam ipsam
Vidit quis mortalium iterum venientem.
At verò morbi multi & varij, alias super alium
Venientes mortalium, & inter se mutati.

ΠΑΛΛΑΔΑ.

Πάντες τῷ θανάτῳ τηρούμεθα, καὶ τρεφόμεθα,
Ὡς ἀγέλη χοίρων σφαζομένων ἀλόγως.

PALLADÆ. 2.

Omnes morti seruamur & nutrimur,
Quemadmodum grex porcorum mactatorum sine ratione.

Τοῦ αὐτοῦ.

Σῶμα, πάθος ψυχῆς, ἅδης, μοῖρ', ἄχθος, ἀνάγκη,
Καὶ δῆμος κρατερὸς, καὶ κόλασις βασάνων.
Αλλ' ὅταν ἐξέλθῃ τοῦ σώματος, ὡς ἀπὸ δεσμῶν
Τοῦ θανάτου, φεύγει πρὸς θεὸν ἀθάνατον.

Eiusdem. 3.

Corpus, affectio animæ, infernus, fatum, onus, necessitas,
Et populus validus, & pœna tormentorum.
Verùm vbi egreditur è corpore, tanquam è vinculis
Mortis, fugit ad Deum immortalem.

Αδηλον.

Χαίρει τις Θεόδωρος ἐπεὶ θάνεν· ἄλλος ἐπ' αὐτῷ
Χαιρήσει. θανάτῳ πάντες ὀφειλόμεθα.

Incerti. 4.

Gaudet aliquis ob Theodorum mortuum, alius ob ipsum
Gaudebit. Morti omnes debemur.

ΑΒΒΙΑΝΟΥ.

Ἠὼς ἐξ ἠοῦς παραπέμπεται· εἶτ᾽ ἀμελούντων
　Ἡμῶν, ἐξαίφνης ἥξει ὁ πορφύρεος·
Καὶ τοὺς μὲν τήξας, τοὺς δ᾽ ὀπτήσας, οὓς δὲ
　Φυσήσας, ἄξει πάντας ἐς ἓν Βάραθρον.

ABBIANI. 5.

Aurora ex aurorâ tranſit. Deinde non curantibus
　Nobis, è veſtigio veniet mors.
Et hos quidem tabefaciens, illos verò coquens, quoſdam verò
　Inflans, deducet omnes in vnum Barathrum.

Ἀδήλου.

Γῆ μὲν, ἔαρ κόσμος πολυδένδρεον· αἰθέρι δ᾽ ἄστρα·
　Ἑλλάδι δ᾽, ἥδε χθών· οἵδε δὲ, τῇδε πόλει.

Incerti. 6.

Terræ ver ornatus eſt multis arboribus,ætheri aſtra:
　Græciæ verò hæc terra, hi verò huic ciuitati.

ΚΡΙΝΑΓΟΡΟΥ.

Μὴ εἴποις θάνατον βιοτῆς ὅρον· εἰσὶ καμοῦσιν
　Ὡς ζωῆς ἀρχαὶ συμφορέων ἑτέρων.
Ἄθρει Νικίεω Κῴου μόρον· ἤδη ἔκειτο
　Εἰν ἀΐδῃ, νεκρὸς δ᾽ ἦλθεν ὑπ᾽ ἠέλιον.
Ἀστοὶ γὰρ τύμβοιο μοχλίσαντες ὀχῆας
　Εἴρυσαν εἰς ποινὰς τλήμονα δισθανέα.

CRINAGORI. 7.

Ne dicas mortem vitæ terminum: ſunt mortuis
　Tanquam vitæ principia calamitatum aliarum.
Inſpice Niciæ Coi mortem. Iam iacet
　In inferno, mortuus verò venit in ſolem.
Ciues enim tumbæ aperientes ſeras
　Traxerunt ad pœnas miſerum bis mortuum.

ΦΙΛΙΠΠΟΥ.

Ἡ πυρὶ πάντα τεκοῦσα Φιλαίνιον, ἡ βαρύπενθος
　Μήτηρ, ἡ τέκνων τελαυτὸν ἰδοῦσα τάφον,

Ἀλλοτρίαις ὠδῖσιν ἐφώρμισα. ἦ γὰρ ἐώλπειν
Πάντως μοι ζήσειν τοῦτον ὃν οὐκ ἔτεκον.
Ἡ δ' ἄπαις, θετὸν υἱὸν ἀνήγαγεν. ἀλλά με δαίμων
Ἤθελε μηδ' ἄλλης μηδὲν ἔχειν χάριτα.
Κληθεὶς ἡμέτερος γὰρ ἀπέφθιτο. νῦν δὲ τεκούσαις
Ἤδη καὶ λοιπαῖς πένθος ἐγὼ γέγονα.

PHILIPPI. 8.

Quæ igni omnia peperit Philænium, luctuosa
Mater, quæ liberorum trium vidit sepulturam,
Alienis partus doloribus quæ ad portum appuli. Certò sperans.
Omnino mihi victurum hunc, quem non peperi.
Hæc verò satis fœcunda adoptiuum filiũ adduxit. Sed me fatum
Voluit ne alterius quidem matris habere gratiam.
Cùm enim diceretur noster, periit. Iam verò parientibus
Nunc etiam aliis luctus ego facta sum.

Τοῦ αὐτοῦ.

Ἠρίθμουν ποτὲ πάντες Ἀριστοδίκην κλυτόπαιδα,
Ἑξάκις ὠδίνων ἄχθος ἀπωσαμένην·
Ἤρισε δ' εἰς αὐτὴν ὕδωρ χθονί. τρεῖς γὰρ ὄλοντο
Νούσῳ, λειπόμενοι δ' ἤμυσαν ἐν πελάγει.
Αἰεὶ δ' ἡ βαρύδακρυς ἐπὶ στήλαις μὲν ἀηδών,
Μεμφομένη δ' ἐν βυθοῖς, ἀλκυονὶς βλέπεται.

Eiusdem. 9.

Censebant quõdam omnes Aristodicen multâ prole nobilem
Sexies dolorum partus onus deponentem
Contendit verò in eius perniciẽ aqua cũ terrâ. Tres enim
Morbo, reliqui obierunt in pelago.
Semper autem hæc grauiter lacrumans. In cippis q. luscinia,
Conquerens verò in profunditatib. Halcyonis apparet.

ΟΝΕΣΤΟΥ.

Παίδων ὃν μὲν ἔχευεν Ἀρίστιον, ὃν δ' ἐσάκευε
Ναυηγόν· δισσὸν δ' ἄχθος ἔτηξε μίαν.
Αἶ, αἶ, μητέρα μοῖρα διείλετο, τὴν ἴσα τέκνα.

Καὶ πυρὶ καὶ πικρῷ νειμαμένην ὕδατι.

ONESTI. 10.

Puerorum alium quidem combussit Aristion, aliũ verò audiuit
Naufragum. Duplex verò dolor mordebat vnam.
Æ, æ. Matrem fatum distraxit, quæ æqualiter liberos
Et igni, & graui distribuit aquæ.

ΑΝΤΙΠΑΤΡΟΥ.

Τὸ βρέφος Ἑρμώνακτα διεχρήσασθε μέλισσαι,
(Φεῦ κύνες) ἑρπυστήν, κηρία μαιόμενον.
Πολλάκι δ' ἐξ ὑμέων ἐπιχριμένον ὠλέσατ' (αἶ, αἶ)
Κέντροις ἦ δ' ὀφίων φωλεὰ μεμφόμεθα.
Πείθεο Λυσιδίκη καὶ Ἀμύντορι, μηδὲ μελίσσας
Αἰνεῖν· κἀκείναις πικρὸν ἔνεστι μέλι.

ANTIPATRI. 11.

Infantem Hermonactem interfecistis apes,
(Vah canes!) repentem, fauos inquirentem.
Sæpius autem à vobis conpunctum perdidistis (æ, æ)
Aculeis. Nos autem serpentum lustra incusamus.
Persuade Lysidicæ & Amyntori, ne quidem apes
Vt laudent. Et ipsis acerbum inest mel.

ΦΙΛΟΔΗΜΟΥ.

Ἤδη καὶ ῥόδον ἐστὶ καὶ ἀκμάζων ἐρέβινθος,
Καὶ καυλοὶ κράμβης Σώσυλε, πρωτοτόμου·
Καὶ Μαίνη ζαλαγεῦσα, καὶ ἀρτιπαγὴς ἁλίτυρος,
Καὶ θριδάκων οὔλων ἀφροφυῆ πέταλα.
Ἡμεῖς δ' οὔτ' ἀκτῆς ἐπιβαίνομεν, οὔτ' ἐν ἀπόψει
Γινόμεθ', ὡς αἰεὶ Σώσυλε, τὸ πρότερον,
Καὶ μὴν Ἀντιγένης καὶ Βάκχιος ἐχθὲς ἔπαιζον,
Νῦν δ' αὐτοὺς θάψαι σήμερον ἐκφέρομεν.

PHILODEMI. 12.

Iam & rosa est, & florens cicer,
Et caules crambæ, Sosyle, primum recisæ:
Et Mæne herba crepitans, & nuper coagulatus caseus,

Et la-

Et lactucæ crispa spumam emittentia folia.
Nos verò neque ad littora exspatiamur, nec in edito loco
Sumus, veluti semper, Sosyle, prius.
Etenim Antigones & Bacchius heri ludebant,
Iam verò ipsos vt sepeliantur hodie efferimus.

ΑΝΤΙΦΙΛΟΥ.

Βρέγμα πάλαι λαχναῖον, ἐρημαῖόν τε κέλυφος
Ὄμματος, ἀγλώσσου θ' ἁρμονίη στόματος,
Ψυχῆς ἀσθενὲς ἕρκος, ἀτυμβεύτου θανάτοιο
Λείψανον, εἰνοδίων δάκρυ παρερχομένων,
Κεῖσο πέλας σὺ κατ' πρέμνοιο παρὰ τρίπον, ὄφρα
Ἀθρήσαις ἢ πλέον φειδομένῳ βιότου.

ANTIPHILI. 13.

Caluaria quondam pilosa solitariaque testa
Oculi, & muti harmonia oris,
Animæ imbelle septum, insepulti cadaueris
Reliquiæ, in viâ fletus ambulantium
Iaces prope tu apud stipitem præter decorem, vt
Videas *viator* quid relinquatur illi qui vitæ parcit.

ΤΡΥΦΩΝΟΣ τοῦ Ἑρμοῦ εἰς Τέρπην κιθαρῳδόν,
ἐν Σκιάδι τῇ Λακωνικῇ σύκῳ βληθέντα,
καὶ ἀποθανόντα.

Τέρπης εὐφόρμιγγα κρέκων σκιάδησιν ἀοιδὸς,
Κάτθανεν ἐξαπίνης ἐν Λακεδαιμονίοις,
Οὐκ ἄορι πληγεὶς, οὐδ' ἐν βέλει, ἀλλ' ἐνὶ σύκῳ
Χείλεα. φεῦ, προφάσεων οὐκ ἀπορεῖ θάνατος.

TRYPHONIS Mercurij in Terpen Citharœdum
in Sciadi Laconicâ ficu percussum
& mortuum. 14.

Terpes pulcram citharam pulsans Sciadis cantor
Mortuus est repente in Lacedæmoniis,
Non ense percussus, nec sagitta, sed ficu
In labiis. Hei! occasione non indiget mors.

ΠΑΛΛΑΔΑ ἐπὶ δυσὶ βρέφεσιν ἅμα τεχθεῖσι, καὶ εὐθὺς ἀποθανοῦσι.

Γραμματικοῦ θυγάτηρ ἔτικεν φιλότητι μιγεῖσα
Παιδίον ἀρσενικὸν, θηλυκὸν, οὐδέτερον.

PALLADÆ in duos infantes ſimul natos,
Et ſtatim mortuos. 15.

Grammatici filia peperit amore commixta
Puerum maſculum, femineum, & neutrum.

ΒΙΑΝΟΡΟΣ.

Κοῦρον ἀποπλαζόμενον ἐπιμάζιον Ἑρμώνακτα,
Φεῦ βρέφος ὡς ἀδίκως εἷλετε βομβυλέες.
Ἠγνοίησεν ὁ δείλαιος ἐς ὑμέας οἷα μελίσσας
Ἐλθών· αἳ δ' ἔχεων ἦτε χερειότεραι.
Ἀντὶ δὲ τῆς θοίνης ἐστμάξατε φοίνια κέντρα.
Ὦ πικραὶ, γλυκερῆς αἱ τίπαλοι χάριτος.

BIANORIS. 16.

Puerum errantem & lactantem Hermonactem
Hei mihi infantem quàm iniquè perdiderunt apes.
Ignorauit enim infelix ad vos qualiter apes
Veniſſet. Vos autem ſerpentibus fuiſtis peiores.
Pro dapibus enim illi impreſſiſtis mortiferos aculeos.
O acerbæ, dulci aduerſariæ mellis gratiæ.

ΛΟΥΚΙΛΛΙΟΥ.

Ἠμάξευσα καὶ αὐτὸς ὁ τειδύστηνος Ἀγάναξ
Τοῦτον δύσζωον κἀβίωτον βίοτον.
Οὐ μὴν πολλὸν ἐπὶ χρόνον ἤλασα· λὰξ δὲ πατήσας
Λυσσώδη ζωὴν, ἤλυθον εἰς Ἀΐδεω.

LVCILLII. 17.

Vexi & ego ter infelix Aganax
Hanc miſeram & minimè vitalem vitam.
Non ſanè ipſam in multũ tempus prouexi, ſed calce percutiens
Rabioſam vitam veni in infernum.

Ἀδήλου.

Εἰς ἀΐδην ἰθεῖα κατήλυσις, εἴτ' ἀπ' Ἀθηνῶν
  Στείχοις, εἴτε νέκυς νείσεαι ἐκ Μερόης,
Μή σέ γ' ἀνιάτω πάτρης ἄπο τῆλε θανόντα.
  Πάντοθεν εἷς ὁ φέρων εἰς ἀΐδην ἄνεμος.

Incerti. 18.

Ad inferos rectus est descensus: siue ex Athenis
  Properes, siue mortuus iter facias è Meroë,
Ne te offendat patria procul morientem.
  Vbique vnus est qui ferat in infernum ventus.

ΠΑΛΛΑΔΑ.

Οὐ ποιεῖ θάνατον μόνον ἡ φύσις, ἀλλὰ καὶ αὐτὸν
  Καὶ πολλὴ παχύτης πολλάκις εἰργάσατο.
Τοῦ δὴ ὁ τυραννήσας Διονύσιος Ἡρακλείας
  Τῆς ἐν τῷ Πόντῳ μάρτυς, ὁ τοῦτο παθών.

PALLADÆ. 19.

Non facit mortem solam natura, sed ipsam
  Etiam multa crapula sæpius produxit.
Huius rei rex Dionysius Heracleæ,
  Quæ est in Ponto, testis sum, qui illud passus.

Ἀδήλου.

Κάτθανον, ἀλλὰ μένω σε· μενεῖς δέ τε καὶ σύ τιν' ἄλλον.
  Πάντας ὁμῶς θνητοὺς εἷς ἀΐδης δέχεται.

Incerti. 20.

Mortuus sum sed exspecto te: exspectas verò & tu quendam.
  Omnes simul mortales vnus infernus capit.

Ἀδήλου.

Γῆ μου καὶ μήτηρ κικλήσκετο· γῆ με καλύπτει
  Καὶ νέκυν. οὐ κείνης ἥδε χερειοτέρη.
Ἔσσομαι ἐν ταύτῃ δηρὸν χρόνον. ἐκ δέ με μητρὸς
  Ἥρπασεν ἠελίου καῦμα τὸ θερμότατον.
Κεῖμαι δὲ ξείνῃ ὑπὸ χερμάδι μακρὰ γηθεὶς

Ἴναχος, εὐπειθὴς Κριναγόρου θεράπων.

Incerti. 21.

Terra mea etiam mater vocabatur: terra me abscondit
Et mortuum, non illa, patriâ hac aliena peior est.
Ero in hac diuturnum tempus. Me verò en matre
Eripuit solis æstus calidissimus.
Iaceo verò peregrino sub saxo, longum deploratus
Inachus, obediens Crinagori famulus.

ΑΝΤΙΦΙΛΟΥ.

Κρουναῖαι λιβάδες, τί πεφεύγατε; ποῦ τόσον ὕδωρ;
Τίς φλὸξ ἀενάους ἔσβεσεν ἀελίου;
Δάκρυσιν Ἀγρικόλα τετρύμμεθα· πᾶν γὰρ ὅσον ἧμιν
Ἦν ποτὸν, ἡ κείνου δίψας ἔχει σποδιή.

ANTIPHILI. 22.

Fontales scaturigines quid aufugistis? vbi tantum aquæ,
Quæ flamma semper fluentes exstinxit solis?
Lacrumis ob mortem Agricolæ exhaustæ sumus. Omne enim (quantum nobis
Erat potabile, illius siccus tenet cinis.

Ἄδηλον.

Ἐν Μέμφει λόγος ἐστὶ μαθεῖν ἰδίην ποτὲ μοίρην
Εὔδοξον Ἄπιδος τοῦ καλλικέρω παρὰ ταύρου.
Κοὐδὲν ἔλεξε (πόθεν, βοὶ γὰρ λόγον οὐ πόρε φύτλη,
Οὐδὲ λάλον μόσχῳ Ἄπιδι στόμα) ἀλλὰ παρ᾽ αὐτὸν
Λέχρια κεῖνος στὰς, περιφανῶς ἐλιχμήσατο λώπην·
Δηλῶν ὡς ἀποδύσει δὴ βιοτὴν ὅσον οὔπω.
Καὶ δή οἱ ταχέως ἐπελήλυθεν αὐτίκα πότμος,
Ἠελίους δεκάκις πέντ᾽ οὐδὲ τρεῖς ἰσιδόντι.

Incerti. 24.

In Memphi sermo est didicisse proprium quondam fatum
Eudoxum, Apide pulcra cornua habente ex tauro.
Et nihil dixit. (Vnde n. hoc: Boui enim sermonem non dedit
Neque vocale vitulo Apidi os) sed apud ipsum (natura
A læuâ ex obliquo ipse stans, perspicuè lambit vestem.

Significans quod exuendus vitâ sit paullo post.
Et sanè ipsi statim superuenit illico mors.
Annos decies quinque & tres intuenti.

Ἄδηλον.

Οἶνος, καὶ τὰ λοετρά, καὶ ἡ περὶ Κύπριν ἐρωή,
Ὀξυτέρην πέμπει τὴν ὁδὸν εἰς ἀΐδην.

Incerti. 24.

Vinum, & balnea, & circa Venerem impetus nimius
Celeriorem mittit viam ad infernum.

ΕΙΣ ΘΕΟΥΣ, κεφ. λη.

ΛΟΥΚΙΑΝΟΥ.

Ἀνθρώπους μὲν ἴσως λήσεις, ἄτοπόν τι ποιήσας·
Οὐ λήσεις δὲ θεούς, οὐδὲ λογιζόμενος.

IN DEOS, Cap. XXXVIII.

LVCIANI. I.

Homines quidem fortè latebis, iniusti aliquid faciens:
Non latebis verò Deos, & ne cogitans quidem.

Ἀδέσποτον.

Ζεὺς κύκνος, ταῦρος, σάτυρος, χρυσὸς, δι᾽ Ἔρωτα
Λήδης, Εὐρώπης, Ἀντιόπης, Δανάης.

Incerti auctoris. 2.

Iupiter cygnus, taurus, Satyrus, aurum, propter amorem
Ledes, Europes, Antiopes, Danaes.

ΑΝΤΙΠΑΤΡΟΥ.

Εὔκολος Ἑρμείας, ὦ ποιμένες, ἐν δὲ γάλακτι
Χαίρων καὶ δρυΐνῳ σπενδομένῳ μέλιτι.
Ἀλλ᾽ οὐχ Ἡρακλέης ἕνα δὲ κτίλον, ἢ παχὺν ὄϊν
Αἰτεῖ, καὶ πάντως ἓν θύος ἐκλέγεται.
Ἀλλὰ λύκους εἴργει. τί δὲ τὸ πλέον, εἰ τὸ φυλαχθὲν

Ὄλλυται, εἴτε λύκοις, εἴθ' ὑπὸ τοῦ φύλακος;

ANTIPATRI. 3.

Non fastidiosus Mercurius, ô pastores, & lacte
Gaudens, & querno placatus melle.
Sed non Hercules, vnum veruecem aut pinguem ouem
Poscit, & omnino vnam victimam eligit.
Sed lupos arcet. Quid autem prodest, si quod seruatur
Perit, siue à lupis, siue à custode?

ΛΕΩΝΙΔΟΥ.

Ὦ τὴν δε στείχοντες ἀταρπιτὸν, οἵ τε ποτ' ἀγρὼς
Δαμόθεν, οἵ τ' ἀπ' ἀγρῶν ἥκετε ποτ' ἀκρόπολιν,
Αμμες ὅρων φύλακες, δισσοὶ θεοὶ, ὧν ὁ μὲν, Ερμᾶς,
Οἷον ὁρῇς μ'· ὁ δ' ἄτερος, Ηρακλέης.
Αμφω μὲν θνατοῖς εὐάκοοι· ἀλλὰ παρ' αὐτῶν,
Αὐτάρ μοι παρατεθεὶς ἀχράδας, ἐξέκαφεν.
Ναὶ μὴν ὡσαύτως τοὺς βότρυας, οἵ τε πέλονται
Ωριμοι, οἵ τε χύδην ὄμφακες, ἐντρέπικεν.
Μισέω τὴν μετοχὴν, οὐδ' ἥδομαι· ἀλλ' ὁ φέρων τι,
Αμφω μὴ κοινῇ τοῖς δυσὶ παρτιθέτω,
Καὶ λεγέτω, τοῦτ' ἐστὶ Ηράκλεες· ἄλλο τι τοῦτο,
Ερμᾶ· καὶ λύε τὴν ἔριν ἀμφοτέρων.

LEONIDAE. 4.

Qui hanc properatis viam, siue ad agros
E populo, siue ab agris tenditis ad arcem:
Nos terminorũ custodes duo Dij, quorũ hic quidẽ Mercu
Vt vides me, Hic autem alter Hercules.
Ambo quidem mortalibus salutares. Sed erga illos,
Nam mihi ipsi appositus pyra syluestria deuorauit:
Et profecto consimiliter vuas, quarum hæ sunt
Maturæ, aliæ copiosè immaturæ, instruxit.
Odi hanc *Herculis* societatem, nec lętor. Sed qui fert aliquid
Ambobus, non in commune duobus apponat,
Et dicat, Accipe hæc Hercules, & aliud hoc
Mercuri, & solue contentionem vtriusque.

ΑΝΤΙΠΑΤΡΟΥ.

Λιτός μοι δόμος οὗτος, (ἐπεὶ παρὰ κύμασι πηγῷ
Ἱδρυμαι, νοτερῆς δέσποτις ἠιόνος)
Ἀλλὰ φίλος· πόντῳ γὰρ ἐπὶ πλατὺ δειμαίνοντι
Χαίρω, καὶ ναύταις εἰς ἐμὲ σωζομένοις.
Ἱλάσκευ τὴν Κύπριν. ἐγὼ δέ σοι ἢ ἐν ἔρωτι
Οὔριος, ἢ χαροπῷ πνεύσομαι ἐν πελάγει.

ANTIPATRI. 5.

Vilis mihi domus hæc(postquam iuxta fluctum solidum
Statuor, humidi domina littoris)
Sed grata. Ponto enim latè perculso
Delector & nautis, qui ope meâ seruantur.
Propitiam redde Venerem. Ego verò tibi aut in amore
Secundus ventus, aut horrendo flabo in pelago.

ΑΝΥΤΗΣ.

Κύπριδος οὗτος ὁ χῶρος, ἐπεὶ φίλον ἔπλετο τήνᾳ
Αἰὲν ἀπ' ἠπείρου λαμπρὸν ὁρᾶν πέλαγος,
Ὄφρα φίλον ναύτῃσι τελῇ πλόον, ἀμφὶ δὲ πόντος
Δειμαίνει, λαμπρὸν δερκόμενος ξόανον.

ANYTÆ. 6.

Cypridos hic locus est, postquam gratum fuit illi
Semper è terrâ splendidum videre mare.
Vt prosperam nautis faciat nauigationem. Circa verò pontus
Formidat splendidam intuitus statuam.

ΛΕΩΝΙΔΟΥ.

Εἶπέ ποτ' Εὐρώτας ποτὶ τὰν Κύπριν, ἢ λάβε τεύχη,
Ἢ ἔξιθι τᾶς Σπάρτας· ἁ πόλις ὁπλομανεῖ.
Ἁ δ' ἁπαλὸν γελάσασα, καὶ ἔσσομαι αἰὲν ἄτευχης,
Εἶπε, καὶ οἰκήσω τὰν Λακεδαιμονίαν.
Χἁ μὲν Κύπρις, ἄνοπλος· ἀναιδέες οἱ δὲ λέγοντι
Ἵστορες, ὡς ἁμῖν χἁ θεὸς ὁπλοφορεῖ.

LEONIDÆ. 7.

Dixit aliquando Eurotas ad Venerem, aut sume arma

Aut è Spartâ exi, hæc vrbs armorum studio insanit.
Hæc verò suauiter ridens: Et semper ero inermis,
Dixit, & inhabitabo Lacedæmonem.
Et Venus quidem inermis: impudentes verò, qui dicunt
Historici, quod apud nos etiam Venus Dea arma ferat.

ΝΙΚΑΡΧΟΥ.

Παρθένε Τειτογλύφα τί τὴν Κύπριν ἔς τι με λυπεῖς;
Ἁρπάξασα δ' ἐμὸν δῶρον ἔχεις παλάμῃ;
Μέμνησαι, τὸ πάροιθεν ἐν Ἰδαίοις σκοπέλοισιν
Ὡς Πάρις οὔ σε καλὴν, ἀλλ' ἔμ' ἐδογμάτισε;
Σὸν, δόρυ καὶ σάκος ἐστὶν ἐμὸν δὲ τὸ μῆλον ἐπ' ἀρχῆ.
Ἀρκεῖ τῷ μήλῳ κεῖνος ὁ πρὶν πόλεμος.

NICARCHI. 8.

Virgo Pallas, quid Venerem iam me dolore adficis.
Rapiens verò meum munus *pomum* tenes manu?
Memento quod antea Idæis in scopulis
Paris non te pulcram, sed me iudicauit.
Tuum hasta & clypeus est, Meum verò hoc pomum est.
Sufficiat pomo illud priùs bellum.

ΠΑΛΛΑΔΑ.

Τὸν Διὸς ἐν τριόδοισιν ἐθαύμασα χάλκεον υἷα,
Τὸν πρὶν ἐν εὐχωλαῖς, νῦν παραρριπτόμενον·
Θυμήνας δ' ἄρ' ἔειπον, ἀλεξίκακε τρισέλληνε,
Μηδέποτ' ἡττηθεὶς, σήμερον ἐξετάθης.
Νυκτὶ δὲ μειδήσας με θεὸς προσέειπε παραστάς,
Καιρῷ δουλεύειν καὶ θεὸς ὢν ἔμαθον.

PALLADÆ. ς.

Iouis in triuiis demiratus sum æneum filium
Cui prius supplicabant, iam verò abiectum.
Indignatus verò dixi, ô mali propulsator, tribus noctib. genite,
Nunquam superate, hodie humi prostratus es.
Nocte verò ridens me Deus compellauit astans,
Tempori inseruire & Deus existens didici.

ΑΡΧΙΟΥ.

Βαιὸς ἰδεῖν ὁ Πρίηπος ἐπ' αἰγιαλίτιδι ναίω
  Χηλῇ, αἰθυίαις οὔ ποτε αἰπιβάτης·
Φοξός, ἄπους, οἷόν κεν ἐρημαίῃσιν ἐπ' ἀκταῖς
  Ξέσσειαν μογεροὶ υἱέες ἰχθυβόλων.
Ἀλλ' ἤν τις γριπεὺς με βοηθόον ἢ καλαμευτὴς
  Φωνήσῃ, πνοιῆς ἵεμαι ὀξύτερος.
Λεύσσω καὶ τὰ θέοντα καθ' ὕδατος. ἦ γὰρ ἀπ' ἔργων
  Δαίμονες, οὐ μορφᾶς γνωστὸν ἔχουσι τύπον.

ARCHII. 10.

Paruus aſpectu Priapus in littore habito
  Pilam ſaxeam, mergo non amplius in conſpectum veniēte.
Capite turbinato, ſine pede, qualem ſolitariis in littoribus
  Polierunt laborioſorum filij piſcatorum.
Verùm ſi quis piſcator, me adiutorem, aut meſſor
  Vocet, vento feſtino velocior.
Et video quæ currunt in aquâ. Profecto n. ab operibus
  Dij, non à ſimulacro notam habent figuram.

Εἰς Βάκχον.

Μέλπωμεν βασιλῆα φιλεύιον, εἰραφιώτην,
Ἀβροκόμην, ἀγρεῖκον, ἀοίδιμον, ἀγλαόμορφον,
Βοιωτόν, Βρόμιον, Βακχεύτορα, βοτρυοχαίτην,
Γηθόσυνον, γονόεντα, γιγαντολέτην, γοόωντα,
Διογενῆ, δίγονον, διθυραμβογενῆ, Διόνυσον,
Εὔιον, εὐχαίτην, εὐάμπελον, ἐγρεσίκωμον,
Ζηλαῖον, ζάχολον, ζηλήμονα, ζηλοδοτῆρα,
Ἤπιον, ἡδυπότην, ἡδύθροον, ἠπεροπῆα,
Θυρσοφόρον, Θρηΐκα, θιασώτην, θυμολέοντα,
Ἰνδολέτην, ἱμερτόν, ἰοπλόκον, εἰραφιώτην,
Κωμαστήν, κεραόν, κισσοστέφανον, κελαδεινόν,
Λυδόν, ληναῖον, λαθικηδέα, λυσιμέριμνον,

Μύστην, μαινόλιον, μεθυδώτην, μυριόμορφον,
Νυκτέλιον, νόμιον, νεβρώδεα, νεβριδόπεπλον,
Ξυστοβόλον, ξυνὸν, ξενοδώτην, ξανθοκάρηνον,
Ὀργίλον, ὀβριμόθυμον, ὀρέσκιον, οὐρεσιφοίτην,
Πυλυπότην, πλαστῆρα, πολυστέφανον, πολύκωμον,
Ῥηξίνοον, ῥαδινὸν, ῥικνώδεα, ῥινοχορῆα,
Σκιρτητὴν, σάτυρον, σεμεληγενέτην, σεμεληα,
Τερπνὸν, ταυρωπὸν, τυῤῥηνολέτην, ταχύμηνιν,
Ὑπνοφόβην, ὑγρὸν, ὑμνήϊον, ὑλήεντα,
Φηρομανῆ, φρικτὸν, φιλομειδέα, φοιταλιώτην,
Χρυσόκερων, χαρίεντα, χαλίφρονα, χρυσομίτρην,
Ψυχοπλανῆ, ψαίστην, ψοφομήδεα, ψυχεδαΐκτην,
Ὠελαν, ὠμηστὴν, ὀρεσίτροφον, ὠρεσίλοιπον.

In Bacchum. II.

Canamus regem euandi cupidum, Iouis femori insutum,
Comatum, agrestem, decantatum, formosum,
In Bœotiâ editum, Bromium, frementem, racemis coronatum,
Lætitiæ datorem, fæcundum, gigantas interimentē, ridentem,
Ioue natum, bis natum, è duabus ianuis euntem, Dionysium,
Euium, indetonsum, virib. abundantem, conuiuarū suscitatorē,
Inuidum, iracundum, zelotypum, zeli datorem,
Clementem, cuius potus suauis, dulciloquum, mendacem,
Thyrsiferum, Thracem, conuiuatorem, animū leonis habentē,
Indiæ subactorē, desiderabilem, violas plicantē, femori insutū,
Ebrium, cornutum, hederâ coronatum, tumultuosum,
Lydis cultū, Lenæum. curarū obliuiscentē, soluentē ærumnas,
Sacerdotem, insanum, ebrietatis datorē, innumeras habentem (formas,
Nocturnum, pastoralem, ceruinis pellibus indutum,
Hastam iaculantem, indiscretum, hospitij datorē. flauicomum,
Iracundum, magnanimum, in vmbris montium versantem,
Multibibum, attonitū, variè coronatum, multū commessantē,
Bellicosum, delicatum, tremendum. choreas inter pecudes du-
Saltatorem, Satyrum, Semele natum, Semeleum, (centem,
Suauem, tauriformem, Tyrrh. occisorem, celeriter irascentem,

Dormientes perterrentem, madidum, Hymeneium, ſyluoſum,
In feras furioſum, horrendum, amantem riſus, errabundum,
Aureis cornibus, gratioſum, delirum, aureâ mitrâ.
Animo vacillanté, mendacé, clamoſum, animorú diremptoré,
Maturum, crudelem, in montib. educatum, fines relinquétem.

Εἰς Ἀπόλλωνα.

Ὑμνείω παιᾶνα, μέγαν θεὸν Ἀπόλλωνα.
Ἄβροτον, ἀγλαόμορφον, ἀκερσεκόμην, ἀβροχαίτην,
Βειθύνοον, βασιλῆα, βελεσιχαρῆ, βιοδώτην,
Γηθόσυνον, γελόωντα, γλαφυτολέτην, γλυκύθυμον,
Διογενῆ, διόπαιδα, δρακοντολέτην, δαφνογηθῆ,
Εὔλαλον, εὐρυβίην, ἑκατηβόλον, ἐλπιδοδώτην,
Ζωογόνον, ζάθεον, ζωόφρονα, ζωοδοτῆρα,
Ἤπιον, ἡδυεπῆ, ἡδύθροον, ἠπιόχειρα,
Θηροφόνον, θαλερόν, θελξίφρονα, θελγισίμυθον,
Ἰαφέτην, ἱμερτόν, ἰήιον, ἱπποκορυστήν,
Κοσμοπλόκον, κλάριον, κρατερόφρονα, καρπογενέθλον
Λητογενῆ, λαρόν, λυρογηθέα, λαμπετόωντα,
Μυστοπόλον, μάντιν, μεγαλήτορα, μυριόμορφον,
Νεβροχαρῆ, νοερόν, νηπενθέα, νηφαλέον τε,
Ξεινοχαρῆ, ξεινόν, ξεινόφρονα, ξεινοδοτῆρα,
Ὄλβιον, ὀλβιοεργόν, ὀλύμπιον, οὐρεσιφοίτην,
Πρηΰν, πολυδερκῆ, πολυπήμονα, πλουτοδοτῆρα,
Ῥεσίπονον, ῥοδόχροον, ῥηξινόορα, ῥηξικέλευθον,
Σιγαλόεντα, σοφόν, σεληνογενέτην, σωτῆρα,
Τερψίχορον, τιτᾶνα, τελέστορα, τιμήεντα,
Ὑμναγόρην, ὕπατον, ὑψαύχενα, ὑετόεντα,
Φοῖβον, φοιβάζοντα, φιλοστέφανον, φρενογηθῆ,
Χρησμαγόρην, χρύσεον, χρυσόχροα, χρυσοβέλεμνον,
Ψαμμοχαρῆ, ψάλτην, ψυσίζυγα, ψυχοδοτῆρα,
Ὠκύπον, ὠκυεπῆ, ὠκύσκοπον, ὠρεσιδώτην.

In Apollinem. 12.

Cano Pæana, magnum Deum Apollinem.
Diuinum, pulcrum, intonsum, mollem habentem cæsariem.
Prudentem, regem, telis gaudentem, vitam largientem,
Lætum, ridentem, gigantum interemptorem, dulcem animo,
Ioue natum, Iouis filium, Draconis occisoré, lauru delectãtem,
Vera dicentem, latè potentem, procul iaculanté, spei datorem,
Gignentem sanctum, Iouis mente præditum, vitæ datorem,
Clementem, suauidicum, suauiter sonãtem, manu benignum,
Ferarum occisorem, florentem, animos oblectantem, verbis mulcentem.
Sagittarium desiderabilem, medicabilé galeatum,
Mundum ornantem, Clarium, animosum, fructus producẽtem,
Latonâ genitum, iucundum, lyrâ gaudentem, lucentem,
Sacerdotem, vatem magnanimũ, innumeras habenté formas,
Hinnulis gaudentem, sapientem, sine tristitia, sobrium,
Communitate gaudentem, communem, concordem, communitatis datorem,
Beatum, beatos facientem, cœlestem, in mentibus versantem,
Placidum, omnia videntem, prorsus innoxium, diuitiarum datorem,
Labore liberantem, roseo colore, bellicosum, viã perrũpentem,
Splendidum, sapientem, iubaris patrem, seruatorem,
Choreis gaudentem, Titanem, initiatorem, preciosum,
Carmina dicentem, supremum, gloriosum, pluentem,
Phœbum, vaticinantem, corollis delectantem, hilarem,
Oracula dicentem, aureum, aureo colore & sagittis,
Cantu gaudentem, cantorem, mendacij osorem, vitę datorem,
Celerem, loquacem, celeriter videntem, temporum vices dantem.

ΕΙΣ ΙΑΤΡΟΥΣ, κεφ. λθ.

ΝΙΚΟΜΗΔΟΥΣ, οἱ δὲ, ΒΑΣΣΟΥ, εἰς Ἱπποκράτην.

Ἱπποκράτης φάος ἦν μερόπων, καὶ σῶσε λαούς.
Ἔθνεα, καὶ νεκύων ἦν σπάνις εἰν ἀΐδῃ.

IN MEDICOS, Cap. XXXIX.

NICOMEDIS, vt alij, BASSI, IN

Hippocratem. 1.

Lux erat Hippocrates hominum,& ſeruabat populorum
Cætus,& mortuorum erat egeſtas in inferno.

Ἀντιστρέφον.

Εἰν ἀΐδῃ πενίης ἦν νεκύων, καὶ ἔθνεα λαῶν
Σῶζε, καὶ μερόπων ἦν φάος Ἱπποκράτης.

Conuerſum. 2.

In inferno egeſtas erat mortuorum,& cætus populorum
Seruabat,& hominum erat lux Hippocrates.

Εἰς τὴν Ὀρειβασίου βίβλον.

Δίου Ὀρειβασίου, τὸν ἀθανάτην διὰ τέχνην
Πολλάκι δειμαίνουσα, μίτους ἀνεβάλλετο μοίρη.

In Oribaſij librum. 3.

Diuini Oribaſij,quem immortalem propter artem
Sæpius reformidans,ſtamina diſtulit fatum.

Εἰς Νίκανδρον.

Καὶ Κολοφὼν ἀρίδηλος ἐνὶ πολίεσσι τέτυκται,
Δοιοὺς θρεψαμένη παῖδας ἀριστονόους.
Πρωτότοκον μὲν Ὅμηρον, ἀτὰρ Νίκανδρον ἔπειτα,
Ἀμφοτέρους μούσαις οὐρανίῃσι φίλους.

In Nicandrum. 4.

Et Colophon clariſſima inter vrbes exiſtit,
Duos producens filios ſapientes.
Priorem quidem Homerum,ſed Nicandrum poſtea;
Ambos Muſis cæleſtibus amicos.

Ἄδηλον.

Φάρμακα πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρὰ
Νίκανδρος κατέλεξεν, ἐπιστάμενος περὶ πάντων
Ἀνθρώπων. οὐ γὰρ Παιήονός ἐστι γενέθλης.

Incerti. 5.

Pharmaca multa quidem bona commixta, multa verò mala,
Nicander dixit sapiens super omnes
Homines. Certè enim ex Pæonis est generatione.

Ἀδέσποτον.

Παιήων, Χείρων, Ἀσκληπιός, Ἱπποκράτης τε·
Τοῖς δ' ἔτι Νίκανδρος προφερέστερον ἔλλαχεν εὖχος.

Incerti auctoris. 6.

Pæon, & Chiron, Asclepius Hippocratésque:
Post hos Nicander clarissimam consecutus est laudem.

ΛΟΥΚΙΛΛΙΟΥ.

Μάγνον, ὅτ' εἰς ἀΐδην κατέβη, τρομέων Ἀϊδωνεὺς
Εἶπεν, ἀναστήσων ἤλυθε καὶ νέκυας.

Lucillii. 7.

Magnon, cùm ad inferos descendit, trepidans Pluto,
Dixit: resuscitaturus venit etiam mortuos.

Τοῦ αὐτοῦ εἰς τοὺς ἀεὶ νοσοῦντας.

Τοὺς καταλείψαντας γλυκερὸν φάος οὐκ ἔτι θρηνῶ,
Τοὺς δ' ἐπὶ προσδοκίῃ ζῶντας ἀεὶ θανάτου.

Eiusdem in semper ægrotantes.

Qui reliquerunt dulce lumen non amplius lugeo,
Sed illos qui in exspectatione semper viuunt mortis

ΠΑΛΛΑΔΑ.

Οὐκ ἀλόγως ἐν διζύθοις δύναμίν τινα θείαν
Εἶναι ἔφην· χθὲς γοῦν διζύθιον ἐν χρονίῳ
Ἠπιάλῳ κάμνοντι πυρεταίῳ προσέθηκα,
Καὶ γέγονεν ταχέως οἷα Κρότων ὑγιής.

Palladæ. 9.

Non absurdè in Dizythis potentiam quandam diuinam
Esse dixi. heri igitur Dizythum in diuturnâ
Febre laboranti quartanâ applicaui,
Et factus est celeriter vt Croton sanus.

Τοῦ αὐτοῦ.

Κονδίτου μοι δεῖ. τὸ δὲ κονδῖτον πόθεν ἔσχε
Τοὔνομα; τῆς φωνῆς ἐστὶ γὰρ ἀλλότριον
Τῆς τῶν Ἑλλήνων· εἰ ῥωμαϊκῶς δὲ καλεῖται,
Αὐτὸς ἂν εἰδείης, ῥωμαϊκώτατος ὤν.
Σκεύασον οὖν μοι τοῦτο. τὸ γὰρ κατέχον με νόσημα
Τοῦ στομάχου, χρῄζειν τοῦδε λέγουσι ποτοῦ.

Eiusdem. 10.

Condito mihi opus est. Sed conditum vnde habuit
Nomen? à voce enim alienum est
Græcorum. Si Latinè verò appellatur,
Ipse tu scieris Latinissimus existens.
Compone igitur mihi hoc. Qui enim cohibet me morbus
Stomachi, illum indigêre dicunt hâc potione.

ΕΙΣ ΙΧΘΥΑΣ, κεφ. μ.

ΑΝΤΙΠΑΤΡΟΥ Θεσσαλοῦ.

Πουλύπος εἰναλίῃ ποτ᾽ ἐπὶ προβλῆτι τανυσθεὶς,
Ἠελίῳ ψύχειν πολλὸν ἀνῆκε πόδα.
Οὔπω δ᾽ ἦν πέτρῃ ἴκελος χρόα· τοὔνεκα καί μιν
Αἰετὸς ἐκ νεφέων ὀξὺς ἔμαρψεν ἰδών.
Πλοχμοῖς δ᾽ εἱλιχθεὶς πέσεν εἰς ἅλα δύσμορος. ἦ ῥα
Ἄμφω καὶ θήρης ἤμβροτε καὶ βιότου.

IN PISCES, Cap. XL.

ANTIPATRI Thessali. 1.

Polypus marino aliquando sub saxo extensus
A sole siccari multum permisit pedem.
Nondum autem erat petræ similis colore. Propterea & ipsum
Aquila è nubibus celer rapuit videns.
Cirris verò complicata incidit in mare infelix. Et certè
Vtrinque & venatione frustrata est, & vitâ.

ΑΝΤΙΦΙΛΟΥ Βυζαντίου.

Αἰγιαλοῦ τενάγεσσιν ὑποπλώοντα λαθραίῃ
  Εἰρεσίῃ Φαίδων εἴσιδε Πουλυπόδην.
Μάρψας δ' ὀξὺς ἔρριψεν ἐπὶ χθόνα, πρὶν περὶ χεῖρας
  Πλέξασθαι βρύδην ὀκτατόνους ἕλικας.
Δισκευθεὶς δ' ἐπὶ θάμνον ἐς οἰκία δειλὰ λαγωοῦ,
  Εἰληθεὶς ταχινοῦ πλωκὸς ἔδησε πόδας.
Εἷλε δ' ἁλούς. σὺ δ' ἄελπτον ἔχεις γέρας ἀμφοτέρωθεν,
  Ἄγρης χερσαίης, πρέσβυ, καὶ εἰναλίης.

ANTIPHILI Byzantij. 2.

Litoris in limo natantem occultâ
  Remigatione Phædon vidit Polypum.
Rapiens verò celeriter proiecit in terrã, antequã circa manus
  Implicaret ſtrictim octonos crinium complexus.
Iactatus verò inſtar diſci in fruticem in timidam domũ leporis
  Arctè celeris leporis complicauit pedes.
Cepit verò captus. Tu verò inſperatum habes munus vtrinque
  Venationis terreſtris, ſenex, & marinæ.

ΦΙΛΙΠΠΟΥ.

Μεμφομένη Βορέην, ἐπεπωτώμην ὑπὲρ ἅλμης·
  Πνεῖ γὰρ ἐμοὶ Θρήκης ἤπιος οὐδ' ἄνεμος.
Ἀλλά με τὴν μελιγήρυν ἀηδόνα δέξατο νώτοις
  Δελφὶν, καὶ πτηνὴν πόντιος ἡνίοχει.
Πιστοτάτῳ δ' ἐρέτῃ πορθμευομένη, [illegible] ἄκωπον
  Ναύτην τῷ στόματος θέλγω ἐγὼ κιθάρῃ.
Εἰρεσίην δελφῖνες ἀεὶ μυσῶσιν ἄμισθον
  Ηνυσάμην. οὐ ψεύστης μῦθος Αριόνιος.

PHILIPPI. 3.

Reprehendens Borean, volabam ſuper mare.
  Spirat enim mihi Thraciæ ſecundus ne ventus quidem.
Sed me dulciſonam luſciniam excepit dorſo
  Delphin, & volucrem marinus vexit.
Fideliſſimo autem remige traiecta, ſine remo

Nautam, oris demulcebam ego citharā.
Remigium Delphines semper Musis gratis
Perfecerunt. Non mendax fabula Arionis.

ΙΣΙΔΩΡΟΥ Αἰγεαδότου.

Πουλυπον ἀγρεύσας ποτὲ Γυννιχος, ἐξ ἁλὸς εἰς γῆν
Ἔρριψεν, δείσας θηρὸς ἱμαντόποδα.
Ἀλλ' ὅδ' ἐφ' ὑπνώοντα πεσὼν ἐνέδησε λαγωὸν,
Φεῦ, τάχα θηρευτὰς ἤδη τι φυγόντα κύνας.
Ἀγρευθεὶς δ' ἤγρευσεν. ὁ δ' εἰς ἅλα Γυννιχος ἰχθὺν
Ἧκε πάλιν ζωῆς λύτρα λαγωὸν ἔχων.

ISIDORI Ægeodoti. 4.

Polypum venatus aliquando Gynnichus, è mari in terram
Proiecit, reueritus feræ cirros perplexos.
Verùm hic in dormientem incidens implicauit leporem,
Vah, qui celeriter venaticos modò effugerat canes.
Captus verò cepit. In mare verò Gynnichus piscem
Misit rursus, vitæ lytra leporem habens.

ΑΝΤΙΦΙΛΟΥ.

Ἀνέρα θὴρ χερσαῖον ὁ πόντιος, ἄπνοον ἔμπνους,
Ἀράμενος λοφιῆς ὑγρὸν ὕπερθε νέκυν,
Ἐς ψαμάθους ἐκόμισσα· τὸ δ' ἦ πλέον, ἐξ ἁλὸς εἰς γῆν
Νηξάμενος, φόρτου μισθὸν ἔχω θάνατον.
Δαίμονα δ' ἀλλήλων ἠμείψαμεν. οὐ μὲν ἐκεῖνου
Χθὼν, ἐμὲ τὸν δ' ἀπὸ γῆς, ἔκτανε τοὐμὸν ὕδωρ.

ANTIPHILI 5.

Virum fera, terrestrem marina, mortuum viua,
Ferens ceruicem humidum super mortuum,
In aream transportaui. Et quod maius, è mari in terram
Natans, transuectionis precium habeo mortem.
Fortunam verò inter nos permutauimus. Illius enim quidem
Terra, me: illum verò è terrâ interemit mea aqua.

ΒΙΑΝΟΡΟΣ.

Φῶρες, ὅτ' εἰνάλιοι τυρσηνίδα ἀλχοῖ δίνης·

Φορμικτὴν ἀκάτου ῥῖψαν ὑπὲρ βύθιον,
Αὐτίκα μιν κιθάρῃ λιγυρῇ δέξατο δελφὶν
Συνθρόνιον, ἐκ δὲ βυθοῦ νήχεθ' ἑλισσόμενος,
Μέχρις ἐπ' Ἰσθμὸν ἔκελσε Κορίνθιον. ἦ ῥα θάλασσα
Ἰχθῦς αἰ θνητῶν εἶχε δικαιοτέρους.

BIANORIS. 6.

Latrones cùm marini Tyrrhenum prope gurgitem
Citharœdum è naui proiecerunt in profundum,
Statim illum cum cithara suauiter resonante excepit Delphin
Consessorem, ex profundo verò nabat circumuolutus,
Donec ad Isthmum appelleret Corinthium. Sanè mare
Pisces hominibus habuit iustiores.

ΦΑΝΙΟΥ.

Ἀκτίτα καλαμευτά, ποτὶ ξερὸν ἦλθ' ἀπὸ πέτρας,
Καί με λάβε πρᾶτον ὄρθριον ἐμπολέα·
Αἴτε σύ γ' ἐν κύρτῳ μελανουρίδας, αἴτε τιν' ἄγοις
Μορμύρον, ἢ κίχλην, ἢ σπάρον, ἢ σμαρίδα·
Αὐτόν τ' αὐγάσσεις με· ἐπεὶ οὐ κρέας, ἀλλὰ θάλασσαν
Τιμῶντα, ψαφαροῦ κλάσματος εἰς ἀπάτην.
Χαλκίδας εἰ δὲ φέρῃς φίλ' ἀκανθίδας, ἢ τινα θρίσσαν,
Εὐάγρει. λίθινον γὰρ ἔχω φάρυγα.

PHANIÆ. 7.

Littoralis piscator, ad siccum veni à petrâ,
Et me accipe primum matutinum emptorem.
Siuè tu in vase piscatorio Melanuros, siue aliquem venaris
Mormyrum, siue turdum, siue sparum, siue manam.
Ipsum aspicies me, qui non carnem, sed mare
Colo, tenuis fragmenti in deceptionem.
Ericas sin verò feras, amice, spinosas aut aliquam clupeam,
Vale, lapideum enim non habeo guttur.

ΕΙΣ ΚΑΛΛΟΣ, κεφ. μα.

ΑΝΤΙΠΑΤΡΟΥ.

Βουκόλος ἔπλεο Φοῖβε· Ποσείδαον δέ, καβάλλης·

Κύκνος, Ζεύς· Ἄμμων δ᾽, ἀμφιβόητος ὄφις.
Χοὶ μὲν, ἐπ᾽ ἠϊθέας, σὺ δὲ, παιδικὸς, ὄφρα λάθοιτε.
Ἐστὲ γὰρ οὐ πειθοῦς εὐνέται, ἀλλὰ βίης.
Εὐαγόρας δ᾽ ὢν καλὸς, ἄτερ δόλου αὐτὸς ἁλίσκει
Παῖδας καὶ πάσας, οὐ μεταβαλλόμενος.

IN PVLCHRITVDINEM Cap. XLI.

ANTIPATRI. 1.

Pastor fuisti Phœbe: Neptunus verò caballus,
Cycnus Iupiter: Ammon verò nobilis serpens.
Et hi quidem ob mulieres, tu verò pueri amator, vt lateretis,
Estis enim non persuasionis mariti, sed violentiæ.
Euagoras verò pulcher existens, sine dolo ipse capit
Cunctos & cunctas non transmutatus.

Εἰς εὔμορφον κολυμβῶσαν ἐν τῷ Νείλῳ.

Ἁ Κύπρις πρῴαν γυμνάν σε βόασεν ἰδοῦσα,
Φεῦ, φεῦ, πῶς σταγόνων ἔκτοθεν οὐρανίων
Ζηλώσας, ὠδῖνα θαλάσσιον. ὁ θρασὺς ἄλλαν
Νεῖλος ἀπὸ γλυκερῶν Κύπριν ἀνῆκε βυθῶν;

In pulchram natantem in Nilo. 2.

Venus nuper nudam te inclamauit videns:
Heu, heu, quomodo guttis absque cælestibus
Æmulata es partum marinum. Audax aliam
Nilus è dulcibus Venerem emisit aquis.

Τί ἂν εἴποι Εἰδοθέα ἰδοῦσα τὴν Ἑλένην
ἐν Φάρῳ.

Οἰκτείρω σέο κάλλος, ἐπεὶ Διός ἐσσι γενέθλης.
Εἰσορέω γὰρ ἄγαλμα διοτρεφές. ἀτρεκέως γὰρ
Τρωσί τε καὶ Δαναοῖσι μάχη δεκέτηρος ἐτύχθη.
Ποῦ Διὸς αἰγιόχοιο τεοῦ γενετῆρος ἀρωγαί;
Ἔμπης δ᾽ ἔρχεο θᾶσσον, ἀπήμονα νόστον ἑλοῦσα,
Εἰδοθέης ἰότητι, κακῆς ἐπὶ νῶτα θαλάσσης.

LVCIANI 2.

Nil homines inter natura molestius inuenit
Homine puram mentiente amicitiam.
Non enim adhuc hostem cauemus, sed amantes
Vt amicum, in hoc ipso grauiter lædimur.

ΠΑΛΛΑΔΑ.

Ἢν ὁ φίλος τι λάβῃ, δόμινε φράτερ, εὐθὺς ἔγραψεν·
Ἢν δ᾽ αὖ μή τι λάβῃ, τὸ φράτερ εἶπε μόνον.
Ὤνια γὰρ καὶ ταῦτα τὰ ῥήματα. αὐτὰρ ἔγωγε
Οὐκ ἐθέλω δόμινε· οὐ γὰρ ἔχω δόμεναι.

PALLADÆ. 3.

Si amicus quid accipiat, Domine frater, statim scripsit:
Sin verò rursus non accepit, frater dixit solùm.
Venalia enim & hæc verba. Verùm ego
Non volo domine: non enim habeo quod dem.

Τοῦ αὐτοῦ.

Ῥῶ καὶ λάμβδα μόνον κόρακας κόλακάς τε διΐστᾷ·
Οὐκοῦν ταυτὸ κόραξ βωμολόχος τε κόλαξ.
Τοὔνεκά μοι βέλτιστε τόδε ζῶον πεφύλαξο,
Εἰδὼς καὶ ζώντων τοὺς κόλακας, κόρακας.

Eiusdem. 4.

Rho & Lambda solum adulatores & coruos discernunt:
Ob id idem coruus & sacrilegus adulator.
Ob id mihi optime hoc animal reformida,
Sciens etiam viuentium esse adulatores coruos.

Τοῦ αὐτοῦ.

Οὐχ οὕτω βλάπτει μισεῖν ὁ λέγων ἀναφανδόν,
Ὥσπερ ὁ τὴν καθαρὰν ψευδόμενος φιλίαν.
Τὸν μὲν γὰρ μισοῦντα προειδότες ἐκτρεπόμεσθα·
Τὸν δὲ λέγοντα φιλεῖν, οὐ προφυλασσόμεθα.
Ἐχθρὸν ἐγὼ κεῖνον κρίνω βαρύν, ὅς ποτε λάθρῃ
Τὴν ἀπὸ τῆς φιλίης πίστιν ἔχων ἀδικεῖ.

Eiusdem. 5.

Non ita nocet, qui odisse se dicit manifestè,
Vt ille qui puram mentitur amicitiam.
Osorem enim præscientes euitamus,
Illum verò qui dicit se amare, non cauemus.
Hostem ego ipsum iudico grauem quicunque occultè
Ab amicitiâ fidem habens nocet.

Ἀδηλον.

Πλαστὸν ἔχεις τὸν Ἔρωτα· φόβῳ δὲ φιλεῖς καὶ ἀνάγκῃ.
Τοῦ δὲ φιλεῖν οὕτως οὐδὲν ἀπιστότερον.

Incerti.

Fictum habes amorem, timore verò amas & necessitate.
At verò, quàm sic amare, nihil est infidelius.

ΕΙΣ ΚΡΙΤΑΣ, κεφ. μγ.

Ἀδηλον.

Θαρσαλέοι Κελτοὶ ποταμῷ ζηλήμονι Ῥήνῳ
Τέκνα ταλαντεύουσι, καὶ οὐ πάρος εἰσὶ τοκῆες
Πρὶν παῖν ἀθρήσωσι λελουμένον ὕδατι σεμνῷ.
Αἶψα γὰρ ἡνίκα μητέρος ὀλισθήσας περὶ κόλπων
Νηπίαχος, πρῶτον προχέει δάκρυ, τὸν μὲν, ἀείρας
Αὐτὸς ἐπ' ἀσπίδι θῆκε νέον παῖν, οὐδ' ἀλεγίζει.
Οὔπω γὰρ γαμέταο φέρει νοῦν, πρίν γ' ἐσαθρήσῃ
Κεκριμένον λουτροῖσιν ἐλεγχιγάμου ποταμοῖο.
Ἡ δὲ μετ' Εἰλείθυιαν ἐπ' ἄλγεσιν ἄλγος ἔχουσα
Μήτηρ, εἰ καὶ παιδὸς ἀληθέα οἶδε τοκῆα,
Ἐκδέχεται τρομέουσα τί μήσεται ἄστατον ὕδωρ.

IN IVDICES Cap. XLIII.

Incerti. 1.

Animosi Celtæ fluuio Zelum habente Rheno

Natos explorant,& non prius sunt parentes,
Quàm viderint puerum ablutum flumine venerando.
Statim enim vbi matris lubricè excidens per sinum
Infans,primùm quidem profundit lacrumas,illum attollens
Ipse scuto imposuit nouum puerum,neque curat.
Nondum enim genitoris fert animum,antequam intueatur
Iudicatum flumine lectum reprehendentis fluuij.
Hæc verò à partu post dolores habens
Mater,quamuis etiam pueri verum nouit patrem,
Excipit trepidans,quidnam machinetur instabilis vnda.

ΠΑΛΛΑΔΑ.

Οὐδεὶς καὶ καθαρὸς καὶ μείλιχος ἤλυθεν ἄρχων.
   Ἓν γὰρ ἑνὸς δοκέει δόγματος ἀντίπαλον·
Τὸ γλυκὺ, τοῦ κλέπτοντος· ὑπερφίαλον δ', τὸ ἁγνόν·
   Ὄργανα τῆς ἀρετῆς ταῦτα δύ' ἐστὶ πάθη.

PALLADÆ. 2.

Nemo & purus & blandus venit princeps.
   Vnum enim alterius videtur dogmatis aduersarium.
Id quod dulce est ipsius fallentis austeri verò id quod sanctum.
   Organa virtutis hi duo sunt adfectus.

Τοῦ αὐτοῦ.

Μή ποτε δουλεύσασα γυνὴ, δέσποινα γένοιτο,
   Ἐστὶ παροιμιακόν· τῷδ' ἔτ' ὅμοιον ἐρῶ.
Μήτε δίκην δικάσειεν ἀνὴρ γεγονὼς δικολέκτης,
   Μηδ' ἂν Ἰσοκράτεος ῥητορικώτερος ᾖ.
Πᾶς γὰρ ὁ μισθαρνεῖν εἰθισμένος, οὐδ' ἐν ἑταίρῳ
   Σεμνότερον δικάσαι, μὴ ῥυπαρῶς δύναται.

Eiusdem. 3.

Ne aliquando quæ seruiit mulier domina fiat,
   Vt est in Parœmia. Huic adhuc consimile amo,
Neque iustum iudicet vir,qui factus est rabula,
   Ne si vel Isocrate eloquentior esset.
Omnis enim qui quæstum facere consueuit,ne amico quidem
   Rectius iudicare non auarè potest.

Τοῦ αὐτοῦ.

Εἶναι νομίζω φιλόσοφον καὶ τὸν θεόν,
Βλασφημίαις τὸν εὐθὺς οὐ θυμούμενον.
Χρόνῳ δ' ἐπαυξάνοντα τὰς ζημείας
Ταῖς τῶν πονηρῶν καὶ ταλαιπώρων βροτῶν.

Eiuſdem. 4.

Eſſe cenſeo Philoſophúmque & Deum
Calumniis ſtatim qui non iraſcatur:
Sed tempore adauget pœnas
Malorum & miſerorum hominum.

Τοῦ αὐτοῦ.

Στυγνὴν τὴν νίκην τις ἰδὼν κατὰ τὴν πόλιν ἐχθές,
Εἶπε, θεὰ νίκη, τίπτε πέπονθας ἄρα;
Ἡ δ' ἀποδυρομένη, καὶ μεμφομένη κρίσιν, εἶπεν,
Οὐκ ἔγνως σὺ μόνος; Πατρικίῳ δέδομαι.
Ἦν ἄρα καὶ νίκη πολυώδυνος, ἣν παρὰ θεσμὸν
Πατρίκιος ναύτης ἥρπασεν ὡς ἄνεμον.

Eiuſdem. 5.

Triſtem victoriam quis videns per ciuitatem heri,
Dixit, Dea victoria, quare paſſa es hæc?
Hæc verò lugens & reprehendens iudicium, dixit,
Non nouiſti tu ſolus? Patricio data ſum.
Erat ſanè & victoria luctuoſa quam præter meritum
Patritius nauta rapuit vt ventum.

ΕΙΣ ΛΟΓΟΓΡΑΦΙΑΝ, ΗΤΟΙ ἐποποιίας, κατὰ μέρος.

ΠΑΡΜΕΝΙΩΝΟΣ.

Φημὶ πολυστιχίην ἐπιγράμματος οὐ κατὰ μούσας
Εἶναι. μὴ ζητεῖτ' ἐν σταδίῳ δολιχόν.
Πολλ' ἀνακυκλεῖται δολιχοῦ δρόμος· ἐν σταδίῳ δὲ

Ὀξύ

Ὀξὺ ἐλαυνόμενος, πνεύματός ἐστι τόνος.

IN HISTORIÆ SCRIPTIONEM vel Heroicorum carminum,

Cap. XLIV.

PARMENIONIS. I.

Dico verſuum multitudiné, in Epigrammate nó iuxta Muſas
Eſſe: ne quærite in ſtadio dolichum.
Multum circumuoluitur dolichi curſus. In ſtadio verò
Acutè agitatus, ſpiritus eſt intentio.

ΚΥΡΙΛΛΟΥ.

Πᾶν καλὸν ἐστ' ἐπίγραμμα τὸ δίστιχον· ἢν δὲ παρέλθῃς
Τοὺς τρεῖς, ῥαψῳδεῖς, κοὐκ ἐπίγραμμα λέγεις.

CYRILLI. 2.

Diſtichon omne bonum eſt Epigramma. Sin verò appoſueris
Tres, loquaciter recitas, & non Epigramma dicis.

Ἄδηλον.

Οἴγνυμεν ἐξ ἑτέρης πόμα πίδακος, ὥστ' ἀρύσασθαι
Ξεῖνον μυθοπόλον, γράμμα Λεωνίδεω.
Δίστιχα γὰρ ψήφοισιν ἰσάζεται· ἀλλὰ σὺ Μῶμε
Ἔξιθι, καὶ ἑτέροις ὀξὺν ὀδόντα βάλε.

Incerti. 3.

Aperimus ex alio potum fonte vt hauriamus
Nouum poëtam, diſticha Leonidæ.
Diſticha enim ſuffragiis coæquantur: at verò tu Mome,
Exi, & in alios acutum dentem mitte.

Εἰς τὸν Φαίδωνα διάλογον Πλάτωνος, νοθευόμενον ὑπὸ Παναιτίου.

Εἴ με Πλάτων οὐ γράψε, δύο ἔπλοντο Πλάτωνες·
Σωκρατικῶν ὀάρων ἄνθεα πάντα φέρω.
Ἀλλὰ νόθον μ' ἐτέλεσσε Παναίτιος· ὅς ῥ' ἐπέλασσε

Καὶ ψυχὴν θνητὴν κ' ἀμὲ νόθον τελέσαι.

In Phædonem Dialogum Platonis corruptum à Panætio. 4.

Si me Plato non scripsit, duo fuerunt Platones,
Socraticorum colloquiorum flores omnes fero.
Sed corruptum me fecit Panætius. Qui sanè ausus est
Et animam mortalem, & me notham facere.

ΑΥΤΟΜΕΔΟΝΤΟΣ.

Νικήτης ὀλίγοις μὲν ἐπὶ προθύροισιν ἀήτης
Οἷά τε πρηείης ἄρχεται ἐκ μελέτης.
Ἀλλ' ὅταν ἐμπνεύσῃ, κατὰ δ' ἱστία πάντα φέρηται,
Λαίφεα πακτώσας, μέσσα θέει πελάγη,
Ναῦς ἅτε μυριόφορτος, ἕως ἐπὶ τέρματα μύθων
Ἔλθῃ, ἀκυμάντοις ἐμπόροις εἰς λιμένας.

AVTOMEDONTIS. 5.

Nicetæ sedatus quidem est in primâ nauis parte ventus
Et veluti sedatâ incipit ex curâ.
Verùm vbi inspirauerit, & iuxta vela omnia latus fuerit
Vela expandens, medium currit in pelagus,
Nauis velut infinita vehés onera, donec ad metam sermonum
Venerit, sedata vectrix ad litora.

Ἀδήλου εἰς Θουκυδίδην.

Ὦ φίλος, εἰ σοφὸς εἶ, λάβε μ' ἐς χέρας· εἰ δέ γε πάμπαν
Νῆις ἔφυς μουσέων, ῥῖψον ἃ μὴ νοέεις.
Εἰμὶ δέ γ' οὐ πάντεσσι βατός· παῦροι δ' ἀγάσαντο
Θουκυδίδην Ὀλόρου, Κεκροπίδην τὸ γένος.

Incerti in Thucydidem. 6.

O amice, si sapiens es, sume me in manus. Si verò omnino
Insciens es Musarum, abiice quæ non noscis.
Sum enim non omnibus peruius. Pauci verò venerati sunt
Thucydidem Olori filium, Cecropem genere.

Ἀδήλου.

Πᾶς λόγος ἐστὶ μάταιος, ὁ μὴ τετελεσμένος ἔργῳ·

Καὶ πᾶσα πρᾶξις τοῦ λόγου ἔργου ἔχει.

Incerti. 7.

Omnis sermo vanus est, qui non perfectus est opere.
Et omnis actio sermonem opus habet.

ΕΙΣ ΜΑΙΝΟΜΕΝΟΥΣ, κεφ. μεʹ

Κοινῇ περὶ κλισίῃ ληθαργικὸς ἠδὲ φρενοπλὴξ
Κείμενοι, ἀλλήλων νοῦσον ἀπεσκέδασαν.
Ἐξέθορε κλίνης γὰρ ὁ τολμήεις ὑπὸ λύσσης,
Καὶ τὸν ἀναίσθητον παντὸς ἔτυπτε μέλους.
Πληγαὶ δ' ἀμφοτέροις ἐγένοντ' ἄκος· οἷς ὁ μὲν αὐτῶν
Ἔγρετο, τὸν δ' ὕπνου πουλὺς ἔρεψε κόπος.

IN FVRIOSOS, Cap. XLV.

Communi in lecto Lethargicus & Phreneticus
Iacentes, ab inuicem morbum profligarunt.
Exsiliit enim è lecto ille qui audax erat ob furorem,
Et insensatum Lethargicum toto verberabat corpore.
Plagæ verò vtrisque factæ sunt remedium. Quibus hic quidem
Euigilauit: illum verò in somnum coniecit multus labor.

ΕΙΣ ΜΑΘΗΜΑΤΑ, κεφ. μςʹ

ΑΝΤΙΠΑΤΡΟΥ εἰς Ἄρατον.

Γράμμα τόδ' Ἀρήτοιο δαήμονος, ὅς ποτε λεπτῇ
Φροντίδι δηναιοὺς ἀστέρας ἐφράσατο,
Ἀπλανέας τ' ἄμφω καὶ ἀλήμονας, οἷσιν ἐναργὴς
Ἰλλόμενος κύκλοις οὐρανὸς ἐνδέδεται.
Αἰνείσθω δὲ καμὼν ἔργον μέγα, καὶ Διὸς εἶναι
Δεύτερος, ὅστις ἔθηκ' ἄστρα φαεινότερα.

IN MATHEMATA, Cap. XLVI.

ANTIPATRI in Aratum. 1.

Scriptum hoc Arati Prudentis, qui olim ſubtili
Obſeruatione longæuas ſtellas enarrauit,
Inerrantes pariter & errantes, quibus ſplendens
Semper fluens circulis cœlum illigatur.
Laudetur verò cũ elaborarit opus magnũ, quod vel Iupiter ſit
Secundus, quicunque poſuit aſtra lucidiora.

ΛΕΩΝΙΔΟΥ.

Μάντιες ἀστερόεσσαν ὅσοι ζητεῖτε κέλευθον,
Ἔρροιτ', εἰκαίης ψευδολόγοι σοφίης.
Ὑμέας ἀφροσύνη μαιώσατο, τόλμα δ' ἔτικτε
Τλήμονας, οὐδ' ἰδίην εἰδότας ἀκλείην.

LEONIDÆ. 2.

Vates ſtellatam quotquot inquiritis ſemitam,
Perite, variæ mendaces ſapientiæ.
Vos ſtultitia obſtetrix curauit, & audacia peperit
Infelices, neque propriam ſcientes infamiam.

ΑΝΤΙΠΑΤΡΟΥ.

Θεογένης Πείσωνι τὰ τεχνήεντα κύπελλα
Πέμπει· χωρεῦμεν δ' οὐρανὸν ἀμφότερα.
Δοιὰ γὰρ ἐκ σφαίρης τετμήμεθα· καὶ τὸ μὲν ἡμῶν,
Τοὺς νοτίους, τὸ δ' ἔχει τείρεα τὰν Βορέῃ.
Ἀλλὰ σὺ μηκέτ' ἐς ἄρκτον ἐπίβλεπε· δοιὰ δ' ἐν ἀμφοῖν
Μέτρα πιὼν, ἄθρει πάντα τὰ φαινόμενα.

ANTIPATRI. 3.

Theogenes Peiſoni artificioſa hæc pocula
Mittit. Capimus verò cælum vtraque.
In duas partes n. ex ſphærâ diuiſa ſumus. Et hoc quidem è nobis
Auſtrales, hoc verò habet animalia in Boreâ.
Verùm tu non amplius Arctum introſpice. Duas v. in vtriſque
Menſuras bibens, intuêre omnia apparentia.

ΠΤΟΛΕΜΑΙΟΥ.

Οἶδ' ὅτι θνατὸς ἐγὼ καὶ ἐφάμερος· ἀλλ' ὅταν ἄστρων

Μαςεύω πυκινὰς ἀμφιδρόμους ἕλικας,
Οὐκ ἔτ' ἐπιψαύω ποσὶ γαίης, ἀλλὰ παρ' αὐτῷ
Ζηνὶ διοτρεφέος πίμπλαμαι ἀμβροσίης.

PTOLEMÆI. 4.

Scio quòd mortalis ego,& breuis vitæ:sed vbi astrorum
Indago densos conuertibiles gyros,
Non amplius attingo pedibus terram,sed apud ipsum
Iouem Deos nutriente impleor ambrosiâ.

Πρόβλημα.

Παλλὰς ἐγὼ πέλεθω σφυρήλατος· αὐτὰρ ὁ χρυσὸς,
Αἰζηῶν πέλεται δῶρον ἀοιδοπόλων.
Ἥμισυ μὲν χρυσοῖο, Χαρίσιος· ὀγδοάτην δὲ
Θέσπις, καὶ δεκάτην μοῖραν ἔθηκε Σόλων.
Αὐτὰρ ἐεικοστὴν, Θεμίσων· τὰ δὲ λοιπὰ τάλαντα
Ἐννέα, καὶ τέχνη, δῶρον Ἀριστοδίκου.

Problema. 5.

Pallas ego sum fabricata:sed aurum
Iuuenum est munus Poëtarum.
Dimidium quidem auri Charisius: octauam verò
Thespis,& decimam partem posuit Solon.
Sed vigesimam Themison. Reliqua verò talenta
Nouem,& artificium munus est Aristodici.

Ἄλλο πρόβλημα.

Αὐγείην ἐρέεινε μέγα σθένος Ἀλκείδαο,
Πληθὺν βουκολίων διζήμενος· ὃς δ' ἀπάμειπτο,
Ἀμφὶ μὲν Ἀλφειοῖο ῥοὰς, φίλος, ἥμισυ τῶνδε·
Μοίρῃ δ' ὀγδοάτῃ ὄχθον Κρόνου ἀμφινέμονται·
Δωδεκάτῃ δ' ἀπάνευθε ταραξίπποιο παρ' οὖρον.
Ἀμφὶ δ' ἄρ' Ἤλιδα δῖαν ἐεικοστὴ νεμέθονται·
Αὐτὰρ ἐν Ἀρκαδίῃ τριηκοστὴν προλέλοιπα·
Λοιπὰς δ' αὖ λεύσσεις ἀγέλας τόδε πεντήκοντα.

Aliud Problema. 6.

Augeam interrogauit magnum robur Alcidæ
Multitudinem boum inquirens. Qui respondit:
Circa quidem Alphei flumen, amice, dimidium horum:
Pars verò octaua collem Cronium circumpascitur:
Duodecima verò extra Taraxippi terminos:
Circa verò Elidem diuinam vigesima pascitur:
Sed in Arcadiâ tricesimam reliqui.
Reliqua verò rursus videbis armenta hîc quinquaginta.

Σχόλια εἰς τοῦτο τὸ πρόβλημα, καὶ εἰς τὰ ἑξῆς, ζήτει
ἐν τῷ τέλει τοῦδε βιβλίου.

Ἄλλο πρόβλημα.

Χάλκεός εἰμι λέων· κρουνοὶ δέ μοι ὄμματα δοιά,
Καὶ στόμα. σὺν δὲ θέναρ δεξιτεροῖο ποδός.
Πλήθει δὲ κρητῆρα δύ' ἤμασι δεξιὸν ὄμμα,
Καὶ λαιὸν τρισσοῖς, καὶ πισύρεσσι θέναρ.
Ἄρκιον ἓξ ὥραις πλῆσαι στόμα. σὺν δ' ἅμα πάντα,
Καὶ στόμα, καὶ γλῆναι, καὶ θέναρ, εἰπὲ πόσον.

Aliud Problema. 7.

Ex ære sum leo: fontes verò mihi oculi duo,
Et os. Simul verò vola dexteri pedis.
Implet verò craterem duobus diebus dexter oculus,
Et sinister tribus, & quatuor vola.
Sufficit sex horis vt impleat os. Si verò simul omnia
Et os, & oculi, & vola, Dic quanto tempore.

Ἄλλο πρόβλημα.

Ἄμφω μὲν ἡμεῖς εἴκοσι μνᾶς ἕλκομεν,
Ζῆθός τε, χὠ ξύναιμος· ἢν δέ μου λάβῃς
Τρίτον, τὸ τέτρατόν τε τοῦδ' Ἀμφίονος·
Ἓξ πάντ' ἀνευρὼν, μητρὸς εὑρήσεις σταθμόν.

Aliud Problema. 8.

Ambo quidem nos viginti minas pendemus,
Zethusque & frater. Sin autem mei capias
Tertium, & quartum huius Amphionis,

Sex omnia vbi inueneris, matris inuenies stateram.

Ἀδέσποτον.

Τὸν σοφὸν ἐν κιθάρῃ, τὸν μουσικὸν Ἀνδροτίωνα
   Ἤρετό τις ζήτην χρωματικὴν σοφίην,
Δεξιτερὴν ὑπάτην ὁπότε πλήκτροισι δονήσω,
   Ἡ λαιὴ νήτη πάλλεται αὐτομάτως,
Λεπτὸν ὑποτρίζουσα. καὶ ἀντίτυπον τερέτισμα
   Πάσχ', τῆς ἰδίης πληττομένης ὑπάτης.
Ὥστε με θαυμάζειν πῶς ἄπνοα νεῦρα ταθέντα
   Ἡ φύσις ἀλλήλοις θήκατο συμπαθέα.
Ὡς δὲ, τὸν ἐν πλήκτροισιν Ἀριστόξενον ἀγητὸν
   Ὤμοσε μὴ γνῶναι τήνδε θεημοσύνην.
Ἔστι δ', ἔφη, λύσις ἥδε· τὰ νεύρεα πάντα τέτυκται
   Ἐξ οἴος χολάδων ἄμμιγα τερσομένων·
Τοὔνεκεν εἰσὶν ἀδελφὰ, καὶ ὡς ξύμφυλα συνηχεῖ,
   Συγγενὲς ἀλλήλων φθέγμα μεριζόμενα.
Γνήσια γὰρ τάδε πάντα, μιῆς ἅτε γαστρὸς ἐόντα,
   Καὶ τὴν ἀντιτύπων κληρονομεῖ παταγων.
Καὶ γὰρ δεξιὸν ὄμμα κακούμενον ὄμματι λαιῷ,
   Πολλάκι τοὺς ἰδίους ἀντιδίδωσι πόνους.

Incertum cuius.

Sapientem in citharâ Musicum Androtionem
   Interrogauit quis talem Musicæ scientiæ quæstionem:
Dexteram Hypatem quando plectris mouebo
   Sinistra nete vibratur suâ sponte,
Leuiter stridens, & repercutientem stridorem
   Patitur, propriâ percussâ hepate.
Vnde demiratus sum, cur inanimos neruos intensos
   Natura inuicem fecerit consensu adfectos.
Hic verò per, qui in plectris, Aristoxenum, clarus fuit
   Iurauit nescire se hanc diuinitatem.
Est autem, dixit, solutio hæc. Nerui omnes existunt
   Ex ouis intestinis impermixtim siccatis.

Ob id sunt fraterni, & tanquam cognati consonant,
 Ingenitum inuicem sonitum distribuentes.
Genuini enim hi omnes, vnius quicunque ventris sunt,
 Et repercutientem sortiuntur strepitum.
Nam & dexter oculus malè adfectus oculo sinistro,
 Sæpe proprios retribuit morbos.

ΕΙΣ ΜΕΘΗΝ, κεφ. μϛ.

ΑΝΤΙΠΑΤΡΟΥ.

Μηδ' ὅτ' ἐπ' ἀγκύρῃ ὀλοῇ πίστευε θαλάσσῃ
 Ναυτίλε, μηδ' εἴ τοι πείσματα χέρσος ἔχει.
Καὶ γὰρ Ἴων ὅρμῳ ἔνι κάππεσεν· ἐς δὲ κόλυμβον
 Ναύτου τὰς ταχινὰς οἶνος ἔδησε χέρας.
Φεῦγε χορειτυπίην ἐπιοινίον. ἐχθρὸς Ἰάκχῳ
 Πόντος· Τυρσηνοὶ τοῦτον ἔθεντο νόμον.

IN EBRIETATEM, Cap. XLVI.

ANTIPATRI. I.

Neque cùm in anchorâ est nauis, exitiali crede mari,
 Nauta, neque licet funes nauticos continens habeat.
Etenim Ion in portu cecidit. In natando verò
 Nautæ celeres vinum alligâret manus.
Euita tripudium nauale. Hostis Baccho
 Pontus: Tyrhreni hanc posuere legem.

ΑΡΓΕΝΤΑΡΙΟΥ.

Κωμάζω, χρυσοφορεῖς ἑσπερίων χορὸν ἄστρων
 Λεύσσων, οὐδ' ἄλλων λὰξ ἐδάρωμα χορούς.
Στέψας δ' αἰθοβόλον κρατὸς τρίχα, τὴν κελαδεινὴν
 Πηκτίδα μουσοπόλοις χερσὶν ἐπηρέθισα.
Καὶ τάδε δρῶν, εὔκοσμον ἔχω βίον. οὐδὲ γὰρ αὐτὸς
 Κόσμος ἄνευθε λύρης ἔπλετο καὶ στεφάνου.

ARGEN-

ARGENTARII. 2.

Saltans,eo aureum ad occidentalium chorum aſtrorum
Videns,neque aliorum vnquam pede pulſaui choros.
Coronatus a.flores emittentes capitis capillos, obſtreperam
Megadin Muſicis digitis pulſaui.
Et hæc faciens formoſam habeo vitam.Neque enim ipſe
Mundus ſine lyra eſt,& coronâ.

Αδηλον.

Ὁ πρὶν ἀεὶ Βρομίου μεμεθυσμένος οἰνάδι πηγῇ,
Σύντροφος εὐάσταις, αἰγοπόδης σάτυρος,
Διςθάδεσιν κατὰ κῶμον ἀγυιοπέδησι λυγωθεὶς,
Εντεα παιδὶ θεᾶς χαλκοτορῶ Θέτιδος·
Οὐ σοφὸν ἐκ τέχνας ἀσκῶν πόνον, ἀλλὰ πενιχρὰν
Εργάτιν ἐκ μόχθων ῥυόμενος βιοτάν.

Incerti. 3.

Qui prius ſemper Bacchi inebriatus fuit vinoſo fonte,
Nutritus cum iis qui Bacchi feſta celebrãt, caprinis pedibus
Vtroque pede compedibus ligatus (Satyrus,
Arma filio Deæ ærea facit Thetidos:
Non eximium ex arte laborem,ſed miſeram
Laborioſam ex laboribus conſolans vitam.

Αδηλον.

a Ποῦ σοι κεῖνα κύπελλα λαφύστιε, ποῦ καλὰ θύρσων
Πήγματα, καὶ κῶμοι, σκιρτοπόδη σάτυρε;
Τίς σε παρὰ σμίλαισι ποδίκροτον ἅμμα καθάψας
Θῆκατο, τὸν Βρομίῳ σπάργαν' ἑλιξάμενον;
β Αἰσχήμων ἔνδεια, καὶ ἁ πάντολμος ἀνάγκα,
Αμε παρ' Ηφαίστῳ θῆκε μυδριλοπότον.

Incerti. 4.

a Vbi tibi illa pocula,helluo,vbi pulchra thyrſorum
Pegmata,& commeſſationes ſaltator Satyre?
Quis apud ſcalpro pedi inditum vinculum adaptans
Poſuit,qui Bromio infanti olim faſces inuoluit.
β Turpis indigentia,& omnia audens neceſſitas,

Quæ me apud Vulcanum fecit fauillæ potorem.

ΕΙΣ ΜΕΤΡΙΟΤΗΤΑ, κεφ. μη'.

ΒΑΣΣΟΥ.

Μήτε με χείματι πόντος ἄγοι θρασὺς, οὐδὲ γαλήνην
 Ἀργὴν ἠσπασάμην τὴν πολυηρεμίην.
Αἱ μεσότητες ἄρισται· ὅπη δέ γε πρήξιες ἀνδρῶν,
 Καὶ μάλα μέτρον ἐγὼ τἀρκιον ἠσπασάμην.
Τοῦτ' ἀγάπα φίλε Λάμπι, κακὰς δ' ἔχθαιρε θυέλλας.
 Εἰσὶ τινὲς πρηεῖς καὶ βιότου ζέφυροι.

IN MEDIOCRITATEM, Cap. XLVIII.

BASSI. 5.

Nec me hyeme pontus agat audax, neque tranquillitatem
 Ociosam prætulerim admodum tranquillam.
Mediocritates optimæ: vbi verò opera sunt hominum,
 Et maximè mediocritatem ego sufficientem laudo.
Hanc ama amice Lampi, malásque auersare tempestates:
 Sunt quædam dulces & vitæ occupationes.

Αδηλον.

Πᾶν τὸ περισσὸν, ἄκαιρον· ἐπεὶ λόγος ἐστὶ παλαιὸς,
 Ὡς καὶ τοῦ μέλιτος τὸ πλέον ἐστὶ χολή.

Incertum. 6.

Omne nimium intempestiuum; cùm vetustus sermo sit
 Quòd & mellis abundantia sit fel.

ΙΟΥΛΙΑΝΟΥ.

Οἶκος καὶ πάτρη βιότου χάρις· αἱ δὲ περισσαὶ
 Φροντίδες ἀνθρώποις, οὐ βίος, ἀλλὰ πόνος.

IVLIANI. 7.

Domus & patria vitæ sunt Gratiæ. At verò vlteriores

Curæ hominibus non vita, ſed labor.

ΕΙΣ ΜΙΣΟΣ, κεφ. μθ.

Ἄδηλον.

Εὔιός μ' ἐδάμασεν ὁμοῦ καὶ πρώϊος ὕπνος,
  Ὃς μὲν, ἐπιβαρήσας· ὃς δέ με μὴ καλέσας.
Ὧν δ' ἐξ ἀμφοτέρων, ὁ μὲν ἐρρέτω, ὃς δὲ παρείη
  Ἵλαος, ὡράων μέτρον ἐπιστάμενος.

IN ODIVM, Cap. XLIX.

Incerti. I.

Bacchus me domuit ſimul & matutinus ſomnus.
  Ille quidem me prægrauans, hic verò non vocans.
Quibus ex vtriſque ille quidem pereat, hic verò adſit
  Clemens, temporum menſuram ſciens.

ΕΙΣ ΜΗΤΡΥΙΑΝ, κεφ. ν.

ΚΑΛΛΙΜΑΧΟΥ.

Στήλην μητρυιῆς, μικρὸν λίθον, ἔστεφε κοῦρος,
  Ὡς βίον, ἠλλάχθαι καὶ τὸν τρόπον οἰόμενος·
Ἡ δὲ, τάφῳ κλινθεῖσα, κατέκτανε παῖδα πεσοῦσα·
  Φεύγετε μητρυιῆς καὶ τάφον, οἱ πρόγονοι.

IN NOVERCAM, Cap. L.

CALLIMACHI. I.

Cippum nouercę paruum lapidem coronauit puer,
  Vt vitam, ſic mutaſſe & mores exiſtimans.
Hic verò ſepulchro inclinatus interemit puerum cadens.

Fugite nouercæ & tumulum, ô priuigni.

Ἀδήλου.

Μητρυιαὶ προγόνοισιν ἀεὶ κακόν· οὐδὲ φιλοῦσαι
Σώζουσιν. Φαίδραν γνῶθι καὶ Ἱππόλυτον.

Incerti. 2.

Nouercæ priuignis semper malum. Neque amantes illos
Seruant, Phædram cognosce & Hippolytum.

ΠΑΡΜΕΝΙΩΝΟΣ Μακεδόνος.

Μητρυιῆς δυσμήνιος ἀεὶ χόλος, οὐδ' ἐν ἔρωτι
Ἤπιος. οἶδα πάθη σώφρονος Ἱππολύτου.

PARMENIONIS Macedonis. 3.

Nouercæ implacabilis semper ira. Néque in amore
Clemens. Noui calamitates casti Hippolyti.

ΕΙΣ ΜΝΗΜΗΝ, κεφ. ια.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Μνήμη καὶ λήθη, μέγα χαίρετον· ἡ μὲν ἐπ' ἔργοις
Μνήμη τοῖς ἀγαθοῖς, ἡ δ' ἐπὶ λευγαλέοις.

IN MEMORIAM, Cap. LI.

MACEDONII principis. 1.

Memoria & obliuio longum saluete. Illa quidem in rebus
Memoria bonis, hæc verò in aduersis.

ΕΙΣ ΜΥΣΤΗΡΙΟΝ, κεφ. ιβ.

ΛΟΥΚΙΑΝΟΥ.

Ἀρρήτων ἐπέων γλώσσῃ σφρηγὶς ἐπικείσθω.
Κρείσσων γὰρ μύθων ἢ κτεάνων φυλακή.

IN MYSTERIVM, Cap. LII.

LVCIANI. 1.

Arcanorum sermonum linguæ signum imponatur.
Melior enim sermonum quàm opum custodia.

ΕΙΣ ΜΕΜΨΙΝ,

ΑΝΤΙΦΙΛΟΥ.

Ἡ γραῦς Εὐβούλη, ὅτε οἱ καταθύμιον εἴη,
 Φοίβου τὸν πρὸ ποδῶν μάντιν ἄειρε λίθον,
Χείρεσι πειράζουσα· καὶ ἦν βαρὺς ἡνίκα μή τι
 Ἤθελεν· εἰ δ' ἐθέλοι, κουφότερος πετάλων.
Αὐτὴ δὲ πρήσσουσα τὸ οἱ φίλον, εἴ ποτ' ἁμάρτοι,
 Φοίβῳ τὰς ἀνίσους χεῖρας ἐπεγράφετο.

IN REPREHENSIONEM, Cap. LIII.

LVCIANI. I.

Anus Eubule, cùm ei quid cordi erat,
 Phœbi ante pedes vaticinantem eleuauit lapidem,
Manibus tentans: et erat grauis cùm non aliquod
 Volebat: sin vellet, leuior foliis.
Hæc verò faciens quod ipsi gratum erat. Cũ aliquãdo erraret,
 Phœbo errantes manus imputabat.

ΕΙΣ ΝΑΟΥΣ,

ΑΝΤΙΠΑΤΡΟΥ.

Καὶ κραναᾶς Βαβυλῶνος ἐπίδρομον ἅρμασι τεῖχος,
 Καὶ τὸν ἐπ' Ἀλφειῷ Ζᾶνα κατηυγασάμην,
Κάπων τ' αἰώρημα, καὶ ἠελίοιο κολοσσὸν,
 Καὶ μέγαν αἰπεινᾶν πυραμίδων κάματον,
Μνᾶμά τε Μαυσώλοιο πελώριον· ἀλλ' ὅτ' ἐσεῖδον
 Ἀρτέμιδος νεφέων ἄχρι θέοντα δόμον,
Κεῖνα μὲν ἠμαύρωτό τε, κἠν ἴδε νόσφιν Ὀλύμπου
 Ἅλιος, οὐδέν πω τοῖον ἐπαυγάσατο.

IN TEMPLA, Cap. LIV.

ANTIPATRI. I.

Et duræ Babylonis incursibilem curribus murum,

Et sub Alphæo Iouem vidi,
Et hortorum suspensionem, & solis colossum,
Et magnum excelsarum Pyramidum laborem.
Et monumentum Mausoli ingens. Verùm vbi intuitus sum
Artemidos ad nubes vsque excurrentem domum,
Illa quidem obscurabat: atque ecce excepto cælo
Sol nullum vnquam tale illustrauit.

Τοῦ αὐτοῦ.

Τέσσαρες αἰωρεῦσι τὸν εὐπτερύγων ἐπὶ νώτων
Νῖκαι ἰσηρίθμοις υἷας ἀθανάτων·
Ἁ μὲν, Ἀθηναίας πολεμοδόκου· ἃ δὲ, Ἀφροδίτης,
Ἁ δὲ, τοῦ Ἀλκείδου, ἃ δὲ, ἀφόβητον Ἄρη,
Σὸν κατ' εὐόροφον γραπτὸν τέγος. ἐς δὲ νέονται
Οὐρανόν. ὦ Ῥώμας Γαῖε πάτρας ἔρυμα.
Θεῖν ἀνίκατον μὲν ὁ βουφάγος· ἁ δὲ γε Κύπρις,
Εὔγαμον· εὔβουλον Παλλάς· ἄτρεστον Ἄρης.

Eiusdem. 2.

Quatuor in sublime attollunt extensis alis super humeros
Victoriæ numero æquales filios immortalium:
Hæc quidem Palladem bella suscipientem: hæc a. Venerem,
Hæc verò Herculem: illa denique Martem imperterritum,
Tuam bene tectam scriptam domum. Ingrediuntur autem
Cœlum. O Romæ Cai patriæ custodia.
Fecit inuictam quidem Hercules: Venus autem
Felicem in nuptiis: sapientem Pallas, intrepidum Mars.

ΜΝΑΣΑΛΚΟΥ.

Στῶμεν ἁλιῤῥοίτοιο παρὰ χθαμαλὰν χθόνα πόντου
Δερκόμενοι τέμενος Κύπριδος εἰναλίας.
Κρήναν τ' αἰγείροισι κατάσκιον· ἧς ἄπο νᾶμα
Ξουθαὶ ἀφύσσονται χείλεσιν ἀηδόνες.

MNASALCI. 3.

Stamus fluentis apud planam terram Ponti
Intuentes delubrum Cypridis marinæ,
Fontémque populis opacum: è quo fluuium

Flauæ hauriunt labris Alcyones.

ΑΔΡΙΑΝΟΥ βασιλέως Εἰς τάφον Πομπηΐου ἐν Αἰγύπτῳ.

Τῷ ναοῖς βρίθοντι πόσον σπάνις ἔπλετο τύμβου.

ADRIANI Regis in tumulum Pompeij in Ægypto. 4.

Illi qui templis abundat, quanta penuria est tumuli?

ΕΙΣ ΝΑΥΑΓΙΟΝ, κεφ. νε.

ΖΩΣΙΜΟΥ Θασίου.

Οὐ μόνον ὑσμίνῃσι καὶ ἐν στονόεντι κυδοιμῷ
  Ῥυόμ' ἀρξιπτολέμου θυμὸν Ἀναξιμένους,
Ἀλλὰ καὶ ἐκ πόντου, ὁπότ' ἔσχισε νῆα θάλασσα,
  Ἀσπὶς, ἐφ' ἡμετέρης νηξάμενον σανίδος.
Εἰμὶ δὲ κἠν πελάγει καὶ ἐπὶ χθονὸς ἐλπὶς ἐκείνῳ,
  Τὸν θρασὺν ἐκ διπλῶν ῥυσαμένη θανάτων.

IN NAVFRAGIVM, Cap. LV.

ZOSIMI Thasij. 1.

Non solùm in pugnis, & in gemebundo tumultu
  Seruaui Martij animum Anaximenis,
Sed etiam è ponto cùm dissecaret nauem mare,
  Scutum in nostrâ natantem tabulâ.
Sum verò & in pelago, & in terrâ spes ei,
  Audacem ex duplici liberans morte.

ΘΕΩΝΟΣ Ἀλεξανδρέως.

Ἡ πάγος αἰπυπέλωρ γε ἐπίκρανος ἀκτῆς ἀκόντων,
  Ἡ φόνιον στυγνοῦ κῦμα φέρουσα μόθου,
Ἄγγελον οὐδ' ὅτε πόντος ἐπὶ κλόνον ἤλασε φωτί,
  Καὶ πικρὸν ναυτέων ἔπλετ' ἀλιφθορίη,
Συζυγίης ἀμβλήνασα· καλὸν δέ σε φόρτον ἄγουσα,:

Ναὶ φίλος οὐκ παίων ἄξεις ἔβην λιμένων.

THEONIS Alexandri. 2.

Qui prius hostilium tegumentum eram clypeus iaculorum,
Qui mortiferum horribilis fluctum tuli belli,
Horridum neque cùm pontus tumultum excitaret homini,
Et graue nautarum esset in mari periculum,
Societatem aspernatus: sed pulchrum te onus ferens,
Et amicus exoptata vsque perueni ad littora.

ΙΟΥΛΙΟΥ ΛΕΩΝΙΔΟΥ.

Εἰν ἑνὶ κινδύνους ἔφυγον δύο Μυρτίλος ὅπλῳ,
Τὸν μὲν ἀριστεύσας, τὸν δ' ἐπινηξάμενος,
Ἀργέστης ὅτ' ἔδυσε νεὼς τρόπιν· ἀσπίδα δ' ἔσχον
Σωθεὶς κεκριμένην ὕδατι καὶ πολέμῳ.

IVLII LEONIDÆ. 3.

In vno pericula effugi duo Myrtilus clypeo,
Illud quidem, prelio superans: hoc verò, enatans,
Argestes cùm mersit nauis carinam. Clypeum verò habebam
Cùm seruarer, exploratum in mari & bello.

ΙΟΥΛΙΟΥ ΔΙΟΚΛΕΟΥΣ.

Οὐκ οἶδ' εἴτε σάκος λέξω μέ σε, τῷ ἐπὶ πολλοὺς
Ἀντιπάλους πιστὴν σύμμαχον ὡπλισάμην·
Εἴτε δὲ βαιὸν ἐμοὶ πόντου σκάφος, ᾗ μ' ἀπὸ νηὸς
Ὀλλυμένης κόμισας νηκτὸν ἐπ' ἠϊόνας.
Ἄρεος ἐν πολέμοις ἔφυγον χόλον, ἐν δὲ θαλάσσῃ
Νηρῆος· σὺ δ' ἄρ' ἦς ὅπλον ἐν ἀμφοτέροις.

IVLII DIOCLIS. 4.

Nescio an Clypeum dicam te, quo contra multos
Hostes fideli adiutore armatus fui.
An verò paruam mihi in ponte nauiculam, quæ me à naui
Fractâ portans nauigabilem ad littus.
Martis in bellis effugi iram. In mare autem
Nerei: tu verò sanè fuisti telum in vtrisque.

ΑΝΤΙΦΑΝΟΥΣ.

Νηὸς ἀπεστρέπτου πλαδαρὸν κύτος εἶδεν ἀπ' ἀκτῆς
  Μηλοβότης, βλοσυροῖς κύμασι συρόμενον·
Χεῖρα δ' ἐπέρριψεν· ὁ δ' ἐπισπάσατ' ἐς βυθὸν ἄμμες
  Τὸν σώζονθ'· οὕτω πᾶσιν ἀπηχθάνετο.
Ναυηγὸν δ' ὁ νομεὺς ἔσχεν μόρον· ὦ δι' ἐκείνην
  Καὶ δρυμοὶ χῆροι πορθμίδα καὶ λιμένες.

ANTIPHANIS. 5.

Nauis à mari ſubuerſæ errabundam cauitatem vidit à littore
  Paſtor, terribilibus fluctibus tractam.
Manum v. extendit. Hoc a. traxit ipſum in profundum maris
  Se ſeruare cupientem. Sic omnes odio habuit.
Naufragam verò paſtor habuit mortem. Hei ob ipſam
  Et ſiluæ viduæ, nauiculam, & portus!

ΦΙΛΙΠΠΟΥ.

Νῆα μὲν ὤλεσε πόντος, ἐμοὶ δ' ἔπορεν πάλι δαίμων
  Πλαζομένῳ φύσιος νῆα ποθεινοτέρην.
Πατρὸς ἰδὼν γὰρ ἐγὼ δέμας εἰς ἐμὲ καίριον ἥκον,
  Μουνερέτης ἐπέβην, φόρτος ὀφειλόμενος.
Ἤγαγε δ' εἰς λιμένας με καὶ ἔσπειρεν δὶς ὁ πρέσβυς,
  Νήπιον ἐν γαίῃ, δεύτερον ἐν πελάγει.

PHILIPPI. 6.

Nauem quidem perdidit Pontus. Mihi verò præbuit Deus
  Erranti naturæ nauim *patrem* deſiderabiliorem.
Patris videns enim ego corpus ad me in tempore veniens,
  Solus remex conſcendi, onus debitum.
Duxit verò ad litora me, & ſeminauit bis ſenex,
  Infantem in terra, iterum in pelago.

ΑΝΤΙΠΑΤΡΟΥ Μακεδόνος.

Αἰεὶ φιλυτέρησιν ὕδωρ κακὸν Ἑλλήσποντος,
  Ξεῖνε Κλεωνίκης πένθιμον Δυρραχίδος.
Πλῶε γὰρ ἐς Σηστὸν μετὰ νυμφίον· ἐν δὲ μελαίνῃ

Φορτίδι τὴν Ἕλλης μοῖραν ἀπεπλάσατο.
Ἡρὼ δειλαίη, σὺ μὲν ἀνέρα, Διήμαχος δὲ,
Νύμφην, ἐν παύροις ὠλέσατε σταδίοις.

ANTIPATRI Macedonis. 7.

Semper mulieribus aqua malum Hellespontus,
Hospes: Cleonicam interroga Dyrrachidem.
Nauigabat enim Sestum ad sponsum. In verò nigrâ
Onerariâ naui Helles fatum effinxit.
Hero infelix, tu quidem virum, Deimachus verò
Sponsam, in paucis perdidistis stadiis.

ΑΙΜΙΛΙΑΝΟΥ Νικαέως.

Αἴθε χειμερίου με κατέκλυσε κύματα πόντου
Δειλαίην, νεκύων φόρτον ἀμειψαμένην.
Αἰδέομαι σωθεῖσα· τί μοι πλέον ὅρμον ἱκέσθαι,
Δευομένῃ φωτῶν πείσματα δησομένων;
Κωκυτοῦ με λέγοιτε βαρὺ σκάφος· ὤλεσα φῶτας,
Ὤλεσα· ναυηγοὶ δ' εἰσὶν ἔσω λιμένος.

ÆMILIANI Nicaensis. 8.

Vtinam hyemalis me submersissent fluctus ponti
Infelicem, mortuorum onus traiicientem.
Erubesco quòd seruata sim. Quid mihi prodest in portū venire
Indigenti viris funes religantibus.
Cocyti me dicite grauem nauim. Perdidi homines,
Perdidi. Naufragi verò sunt in portu.

ΦΙΛΙΠΠΟΥ.

Ἰκαρίην τὸ πάρος πλώων ἅλα, νηὸς ὀλισθὼν
Δᾶμις ὁ Νικαρέτου, κάππεσεν εἰς πέλαγος.
Πολλὰ πατὴρ δ' ἠρᾶτο θεοῖς ἀθανάτοις, καὶ ἐς ὕδωρ
Φθέγγεθ', ὑπὲρ τέκνου κύματα λισσόμενος·
Ὤλετο δ' οἰκτίστως ἐπὶ βρυχθείς. κεῖνο δὲ παιδὸς
Ἔκλυεν ὀργάων σῶμα πάλαι πέλαγος.

PHILIPPI. 9.

Icarium prius nauigans mare, è naui prolapsus

Damis Nicareti filius, decidit in mare,
Multa verò pater deprecatus est ad immortales, & in aquam
Dixit, pro filio fluctus supplex orans:
Periit verò miserabiliter à mari deuoratus. Illud verò patris
Audiuit preces ne ante quidem pelagus.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Καὶ πότε δινήεις ἄφοβος πόρος, εἰπὲ θάλασσα,
Εἰ καὶ ἐν ἀλκυόνων ἤμασι κλαυσόμεθα;
Ἀλκυόνων, αἷς πόντος ἀεὶ στηρίξατο κῦμα
Νηνέμιον, ὡς κρῖναι χέρσον ἀπιστοτέρην.
Ἀλλὰ καὶ ἡνίκα γαῖα καὶ ἀνδράσιν ἀπήμων
Αὐχεῖς, σὺν φόρτῳ δύσας Ἀριστομένην.

APOLLONIDÆ. 10.

Et quando vorticosus non timendus transitus, dic mare?
An & Halcyonum diebus plorabimus?
Halcyonum, quibus mare semper stare facit fluctum
Vento carentē, vt iudices ipsam terram iam periculosiorem.
At verò etiam cùm te terræ & hominibus innoxium
Iactas, cùm mercibus obruisti Aristomenem.

ΒΑΣΣΟΥ.

Οὐλόμεναι νῆσοι Καφηρίδες, αἵ ποτε νόστον
Ὠλέσαθ' Ἑλλήνων, καὶ στόλον Ἰλιόθεν,
Πυρσὸς ὅτε ψεύστης χθονίης δνοφερώτερα νυκτὸς
Ἧψε σέλα, τυφλὴ δ' ἔδραμε πᾶσα τρόπις
Χοιράδας ἐς πέτρας, Δαναοῖς πάλιν Ἴλιος ἄλγη
Ἔπλετο, καὶ δεκέτους ἐχθροτέρη πολέμου.
Καὶ τὴν μὲν τότ' ἔπερσεν, ἀνίκητος δὲ Καφηρὶς
Ναύπλιε· σοὶ γὰρ πᾶν Ἑλλὰς ἔκλαυσε δάκρυ.

BASSI. 11.

Perniciosæ nauibus Capharides, quæ olim reditum
Perdidistis Græcorum, & classem ab Ilio,
Facula cùm mendax infaustâ tenebrosior nocte
Accendit iubar, cæca verò cucurrit omnis carina

Sub mare latentia in saxa, Danais rursum clades alia
Fuit, & decennali hostilior bello.
Et hanc quidem tu in perdiderunt. Inuictus verò Caphareus
Nauplie. Tibi enim omnem Græcia plorauit lacrumam.

ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ἐθραύσθης Ἥλξα παρ' οἰνοπότῃσι λάγυνε,
Νηδύος ἐκ πάσης χευαμένη βρέμιον.
Τηλόθε γὰρ λίθος εἰς σὲ βαρύστονος, οἷα κεραυνὸς,
Οὐ Διὸς ἐκ χειρῶν, ἀλλὰ Δίωνος ἔβη,
Ἦν δὲ γέλως ἐπὶ σοὶ, καὶ σκώμματα πολλὰ, τυπείσης,
Καὶ πολὺς ἐξ ἑτάρων γιγνόμενος θόρυβος.
Οὐ θρηνῶ σε λάγυνε, τὸν εὐαστῆρα τεκοῦσαν
Βάκχον, ἐπεὶ Σεμέλη καὶ σὺ πέπονθατ' ἴσα.

ARGENTARII. 12.

Fracta es Elca apud vinipotores lagena,
Gremio ex omni effundens vinum.
Eminus enim lapis in te grauiter sonans, vt fulmen
Non Iouis è manibus, sed Dionis decidit,
Erat autē risus super te, & multa scommata, cùm percutereris,
Et multus inter socios factus tumultus.
Non deploro te lagena, celebratorē Bacchanaliū generantem
Bacchum, cùm Semele & tu paria pertuleritis.

ΦΙΛΙΠΠΟΥ.

Κλασθείσης ποτὲ νηὸς ἐν ὕδασι, δῆριν ἔθεντο
Δισσοὶ ὑπὲρ μούνης μαρνάμενοι σανίδος.
Τύψε μὲν Ἀνταγόρης Πεισίστρατον· οὐ νεμεσητὸν·
(Ἦν γὰρ ὑπὲρ ψυχῆς) ἀλλ' ἐμέλησε δίκη.
Νήχεθ' ὁ μὲν, τὸν δ' εἷλε κύων ἅλιος. πολυάστωρ
Χήρων οὐδ' ὑγρῷ παύεται ἐν πελάγει.

PHILIPPI. 13.

Fracta quondam naui in aquis, contenderunt
Duo super vnâ pugnantes tabulâ.
Verberauit quidē Antagoras Pisistratū. Sanè sine reprehēsione.

(Erat enim de vitâ pugna) sed curam habuit iustitia.
Natabat hic quidem, illum verò rapuit canis marinus. Vindex
Parcarum ne humido quidem cessat in pelago.

ΕΙΣ ΝΑΥΤΙΛΙΑΝ, κεφ. νϛ

ΑΝΤΙΠΑΤΡΟΥ.

Γειαρότης Ἄρχιππος ὅτ' ἐκ νούσοιο βαρείης
Ἄρτι λιποψυχέων ἔρρεεν εἰς ἀΐδην,
Εἶπε τάδ' υἱέεσιν, ὦ φίλα τέκνα, μάκελλαν
Καὶ τὸν ἀροτρευτὴν στέρξατέ μοι βίοτον.
Μὴ σφαλερῆς αἰνεῖτε πόνον στονόεντα θαλάσσης,
Καὶ βαρὺν ἀτηρῆς ναυτιλίης κάματον.
Ὅσσον μητρυιῆς γλυκερωτέρη ἔπλετο μήτηρ,
Τόσσον ἁλὸς πολιῆς γαῖα ποθεινοτέρη.

IN NAVIGATIONEM, Cap. LVI.

ANTIPATRI. I.

Arator Archippus cùm ex morbo graui
Iam animam relinquens transijt ad inferos,
Dixit hæc filiis, ô chari liberi, ligonem
Et rusticam amate mihi vitam.
Non fallacis laudate laborem ærumnabilem maris,
Et grauem noxiæ nauigationis ærumnam.
Quanto nouercâ dulcior est mater,
Tanto mari cano terra est desiderabilior.

ΑΝΤΙΦΙΛΟΥ Βυζαντίου.

Τόλμα, νεῶν ἀρχηγέ, σὺ γὰρ δρόμον εὕρεο πόντου
Καὶ ψυχὰς ἀνδρῶν κέρδεσιν ἠρέθισας,
Οἷον ἐτεκτήνω δόλιον ξύλον, οἷον ἐνῆκας
Ἀνθρώποις θανάτῳ κέρδος ἐλεγχόμενον.
Ἦν ὄντως μερόπων χρύσεον γένος, εἴγ' ἀπὸ χέρσου
Τηλόθεν ὡς ἀΐδης πόντος ἀπεβλέπετο.

ANTIPHILI Byzantij. 2.

Audacia, iuuenum dux, tu enim cursum inuenisti ponti,
Et animas virorum lucro inescasti.
Quale fabricasti dolosum lignum, quale immisisti
Hominibus morte lucrum quod coarguitur!
Esset reuera mortalium aureum genus, si à littore
Procul tanquam infernus pontus aspiceretur.

Τοῦ αὐτοῦ.

Γλαῦκος ὁ Νεσσαίοιο διαπλώουσιν ὁδηγὸς
Πορθμοῦ, καὶ Θασίων ἔντροφος αἰγιαλῶν,
Πόντου ἀροτρευτὴρ ἐπιδέξιος, οὔποτ' ἔκνωσσε
Πλαζομένῃ στροφάδην πηδάλιον παλάμῃ,
Μυριετὴς, ἁλίοιο βίου ῥάκος· οὐδ' ὅτ' ἔμελλε
Θνήσκειν, ἐκτὸς ἔβη γηραλέης σανίδος.
Τοὶ δὲ χέλυφος ἔκλεισαν ἐπ' ἀνέρι, τόφρα γεραιὸς
Πλώσῃ ἐπ' οἰκείης εἰς Ἀΐδην ἀκάτου.

Eiusdem. 3.

Glaucus Nessæi traiicientibus viæ dux
In freto, & Thasiis nutritus in littoribus,
Ponti arator, egregius, nunquam dormierat
Vagabundâ conuertens clauum manu,
Valde senex, marinæ vitæ lacera vestis, neque cùm vellet
Mori, egrediebatur vetustam nauiculam.
Hunc tabulato nauis incluserunt virum, vt senex
Nauigaret propriâ ad inferos cymbâ.

ΛΕΩΝΙΔΟΥ.

Ὁ πλόος, ὡραῖος. καὶ γὰρ λαλαγεῦσα χελιδὼν
Ἤδη, μέμβλωκεν, χὠ χαρίεις Ζέφυρος·
Λειμῶνες δ' ἀνθεῦσι· σεσίγηκεν δὲ θάλασσα
Κύμασι καὶ τρηχεῖ πνεύματι βρασσομένη.
Ἀγκύρας ἀνέλοιο, καὶ ἑλκύσαιο γύαια,
Ναυτίλε, καὶ πλώοις, πᾶσαν ἐφεὶς ὀθόνην.
Ταῦθ' ὁ Πρίηπος ἐγὼν ἐπιτέλλομαι, ὁ λιμενίτας

Ἄνθρωφ', ὃς πλώεις πᾶσαν ἐπ' ἐμπορίην.

LEONIDÆ. 4.

Nauigatio tempestiua. Etenim vocem edens hirundo
Iam adest, & gratiosus Zephyrus.
Prata verò florent: obmutuit autem mare
Fluctibus, & horribili vento efferuescens.
Anchoras soluas, & trahas nauium retinacula,
Nauta, & nauigabis, omni extenso velo.
Hæc Priapus ego impero, portibus præfectus,
O homo, vt nauiges ad omnem mercaturam.

ΑΝΤΙΠΑΤΡΟΥ Σιδωνίου.

Ἀκμαῖος ῥοθίῃ νηὶ δρόμος· οὐδὲ θάλασσα
Πορφύρει τρομερῇ φρικὶ χαρασσομένη.
Ἤδη δὲ πλάσσει μὲν ὑπωρόφια γοερὰ χελιδὼν
Οἰκία, λειμώνων δ' ἁβρὰ γελᾷ πέταλα.
Τοὔνεκα μηρύσασθε διάβροχα πείσματα ναῦται,
Ἕλκετε δ' ἀγκύρας φωλάδας ἐκ λιμένων·
Λαίφεα δ' εὔυφέα προτονίζετε. ταῦθ' ὁ Πρίηπος
Ὕμμιν ἐνορμίταις παῖς ἐνέπω Βρομίου.

ANTIPATRI Sidonij. 5.

Tempestiuus impetuosæ naui cursus: neque mare
Turbulentum est formidabili æstu pictum.
Et iam sublimes sibi format hirundo rotundos
Nidos, pratorum verò mollè rident folia.
Ob id coordinate madefactos funes nauticos, nautæ,
Trahite verò anchoras absconditas è portibus:
Vela verò bene texta extendite. Hæc Priapus
Vobis in portu consistentibus puer dico Bacchi.

ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Λῦσον ἀπ' εὐόρμων δολιχὰ πρυμνήσια ναῦς,
Εὔκραιρα δ' ἐκπετάσας λαίφεα, ποντοπόρει,
Ἔμπορε. χειμῶνες γὰρ ἀπέδραμον, ἤδη δὲ κῦμα
Γλαυκὸν ἐπιλώει πρηΰγελως ζέφυρος.

Ἤδη καὶ φιλότεκνος ὑπὸ πτέρυξι χελιδὼν
Χείλεσι καρφίτην πηλοδομεῖ θάλαμον.
Ἄνθεα δ' ἀντέλλουσι κατὰ χθόνα. τῷ, σὺ Πριήπῳ
Πειθόμενος, πάσης ἅπτεο ναυτιλίης.

MARCI ARGENTARII. 6.

Solue à bonum portum habentibus longos funes nauibus,
Bene currentia verò extendens vela in mari curre,
Mercator. Hyemes enim transierunt, iam verò fluctum
Cæruleum sedat placidum ridens Zephyrus.
Iam & sobolis amatrix blesis hirundo
Labris è festucis sibi construit thalamum.
Flores verò oriuntur in terra, hoc tu, Priapo
Credens, omnem tange nauigationem.

ΣΑΤΥΡΟΥ ΘΥΙΛΛΟΥ.

Ἤδη πηλοδομεῦσι χελιδόνες, ἤδη ἀν' οἶδμα
Κολποῦται μαλακὰς εἰς ὀθόνας ζέφυρος.
Ἤδη καὶ λειμῶνες ὑπὸ πετάλων ἐχέαντο
Ἄνθεα, καὶ τρηχὺς σῖγα μέμυκε πόρος.
Σχοίνους μηρύεσθε ἐφ' ὁλκάδα, φορτίζεσθε
Ἀγκύρας, καὶ πᾶν λαῖφος ἔφεσθε κάλοις.
Ταῦθ' ὑμῖν πλώουσιν ἐπ' ἐμπορίην ὁ Πρίηπος
Ὁ λιμενορμίτης ναυτιλίῃ γράφομαι.

SATYRI THYILLI. 7.

Iam nidulantur hirundines iam in vnda
Velificat mollia in vela nautica zephyrus.
Iam & prata super foliorum effunduntur
Flores, & difficilis tacitè murmurat nauigatio.
Funes contexite in onerariam nauem, adferte
Anchoras, & omne velum imponite lignis.
Hæc vobis nauigantibus ad mercaturam Priapus
Portuum præfectus ad nauigationem præcipio.

ΣΑΤΥΡΟΥ.

Ἤδη μὲν ζεφύροιο πολυτόκου ὑγρὸν ἄημα

Ἠρέμα

Ἠρέμα λειμῶνας πνείει ἐπ' ἀνθοκόμους,
Κεκροπίδες δ' ἤχευσι, γαληναίη δὲ θάλασσα
Μειδιάει, κρυερῶν ἄτρομος ἐξ ἀνέμων.
Ἀλλ' ἴτε, θαρσαλέοι πρυμνήσια λύετε ναῦται,
Πίτνατε δ' εὐπτερύγων λεπταλέας στολίδας.
Ὦ ἴτ' ἐπ' ἐμπορίην πίσυνοι χαρίεντι Πριήπῳ,
Ὦ ἴτε δὴ λιμένων δαίμονι πειθόμενοι.

SATYRI. 8.

Iam quidem Zephyri nauigationem patientis, mollis flatus
Placidè prata inſpirat floribus coronata,
Hirundines verò reſonant, tranquillum autem mare
Ridet, horribilibus imperturbatum à ventis.
Verùm ite confidentes, & funes ſoluite nautæ,
Extendite verò velocium nauium tenues rugas.
O ite in mercaturam obedientes gratioſo Priapo,
O ite ſanè portuum Dæmoni morem gerentes.

ΑΡΧΙΟΥ.

Τοῦδέ με κυματοπλῆγος ἐπὶ σκοπέλοιο Πρίηπον
Ναῦται Θρηΐκιοι θέντο πόρου φύλακα.
Πολλάκις οἷς ἤιξα ταχὺς κληίζουσιν ἀρωγὸς
Ξεῖνε, κατὰ πρύμνης ἡδὺν ἄγων ζέφυρον.
Τοὔνεκεν οὔτ' ἄκνισον (ὅσον θέμις) οὔτ' ἐπιδευῆ
Εἴαρος ἀθρήσεις βωμὸν ἐμὸν στεφάνων,
Ἀλλ' αἰεὶ θυόεντα καὶ ἔμπυρον. ἐν δ' ἑκατόμβῃ
Τόσσον, ὅσον τιμὴ δαίμοσιν ἁνδάνεται.

ARCHII. 9.

In hoc ab vndis pulſato ſcopulo Priapum
Nautæ Thracij poſuerunt tranſitus custodem.
Sæpius ad quos feſtinaui celer me inuocantes adiutor,
O hoſpes, iuxta proram ſuauem adducens zephyrum.
Ob id non ſine ſacrificio, vt fas, neque indigentem
Vernis intuebere aram meam ſertis:
Sed ſemper odoriferam & ignitam. In ſacrificio autem

Tantum, quantum honor Diis placet.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Εὔδιος μὲν πόντος πορφύρεται· οὐ γὰρ ἀήτης
  Κύματα λευκαίνει φρικὶ χαρασσόμενα.
Οὐκ ἔτι δὲ σπιλάδεσσι περικλασθεῖσα θάλασσα,
  Ἔμπαλιν ἀντωπὸς πρὸς βάθος εἰσάγεται.
Οἱ ζέφυροι πνείουσιν, ἐπιτρύζει δὲ χελιδὼν,
  Κάρφεσι κολλητὸν πηξαμένη θάλαμον.
Θάρσει ναυτιλίης ἐμπείραμε, κἂν παρὰ Σύρτιν,
  Κἂν παρὰ Σικελικὴν ποντοπορῇς κροκάλην.
Μοῦνον ἐνορμίταο παραὶ βωμοῖσι Πριήπου
  Ἢ σκάρον, ἢ βῶκας φλέξον ἐρευθομένους.

AGATHIÆ Scholastici. II.

Tranquillè quidem mare fluctuat. Non enim ventus
  Fluctus dealbat fremitu agitatos.
Non verò amplius saxis fractum mare
  Vicissim resplendens ad profundum ducitur.
Zephyri spirant, obstrepit hirundo,
  E festucis conglutinatum compingens thalamum.
Confide nauigationis perite, quamuis iuxta Syrten,
  Quamuis apud Siculum nauiges litus.
Solum portuum præfecti in aris Priapi,
  Aut scarum, aut bocas pisces vre rubentes.

ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Ἤδη μὲν ζεφύροισι μεμυκότα κόλπον ἀνοίγει
  Εἴαρος εὐλείμων θελξινόοιο χάρις.
Ἄρτι δὲ δουρατέοισιν ἐπωλίσθησε κυλίνδροις
  Ὁλκὰς, ἀπ' ἠιόνων ἐς βυθὸν ἑλκομένη.
Λαίφεα κυρτώσαντες ἀταρβέες ἔξιτε ναῦται,
  Πρηεῖ ἀμοιβαίης φόρτον ἐς ἐμπορίης.
Πιστὸς ναυσὶ Πρίηπος, ἐπεὶ Θέτιν εὔχομαι εἶναι
  Ἡμετέρου παῖδος ξεινοδόκον Βρομίου.

PAVLI SILENTIARII. II.

Iam quidem Zephyris clauſum ſinum aperit
  Veris beneflorens animum demulcentis gratia.
Iam verò ligneis deuoluta eſt cylindris
  Nauis è litoribus in profundum protracta.
Vela incuruantes intrepidi exite nautæ,
  In mercem vtilem mutuæ negotiationis.
Fidelis nauibus Priapus, poſtquam Thetin opto eſſe
  Noſtri patris hoſpitem Bromij.

ΘΕΑΙΤΗΤΟΥ χολαστικοῦ.

Ἤδη καλλιπέτηλον ἐπ' εὐκάρποισι λοχείαις
  Λήϊον ἐκ ῥοδέων αὐτοφορεῖ καλύκων.
Ἤδη ἐπ' ἀκρεμόνεσσιν ἰσοζυγέων κυπαρίσσων
  Μουσομανὴς τέττιξ θέλγει ἀμαλλοδέτην.
Καὶ φιλόπαις ὑπὸ γεῖσα δόμους τεύξασα χελιδὼν
  Ἔκγονα πηλοχύτοις ξεινοδοκεῖ θαλάμοις.
Ὑπνώει δὲ θάλασσα φιλοζεφύροιο γαλήνης,
  Νηοφόροις νώτοις, εὔδια πεπταμένης,
Οὐκ ἐπὶ πρυμναίοισι καταιγίζουσα κορύμβοις,
  Οὐκ ἐπὶ ῥηγμίνων ἀφρὸν ἐρευγομένη,
Ναυτίλε, ποντομέδοντι καὶ ὁρμοδοτῆρι Πριήπῳ
  Τευθίδος ἢ τρίγλης αἰθομέναισιν ἴτυν,
Ἢ σκάρον αὐδήεντα παρὰ βωμοῖσι πυρώσας,
  Ἄτρομος Ἰονίου τέρμα θαλασσοπόρει.

THEÆTETI Scholaſtici. 12.

Iam pulcrifolia benè facundis partubus
  Seges ex roſeis flores producit è calicibus,
Iam in ramis æqualium cupreſſorum
  Muſico furore acta cicada delectat manipulos ligantes.
Et amans liberorum ſub ſuggrundiis nidum fabricans hirũdo,
  Pullos cæno fuſis hoſpitio excipit thalamis.
Dormit verò mare, amante Zephyrum tranquillitate,
  Naues ferentibus humeris tranquillè expanſâ.

Non in prorea impetuosè flans cacumina,
 Non in litore ſpumam eructans.
Nauta,ponto imperanti & portuum datori Priapo
 Sæpia aut mulli piſcis floridam circumferentiam,
Aut ſcarum vocalem ſuper aram incendens,
 Intrepidus Ionij fines in mari pete.

ΕΙΣ ΝΗΑΣ, κεφ. νζ.

ΖΗΛΩΤΟΥ.

Ἐκλάσθην ἐπὶ γῆς ἀνέμῳ πίτυς· ἐς τί με πόντῳ
 Στέλλετε, ναυηγὸν κλῶνα πρὸ ναυτιλίης;

IN NAVES, Cap. LVII.

ZELOTI. I.

Fracta ſum in terrâ vento pinus: cur me ponto
 Mittitis, fractum ramum ante nauigationem?

Τοῦ αὐτοῦ.

Ἐς τί πίτυν πελάγει πιστεύετε γομφωτῆρες,
 Ἧς πολὺς ἐξ ὀρέων ῥίζαν ἔλυσε νότος;
Αἴσιον οὐκ ἔσομαι πόντου σκάφος, ἐχθρὸν ἀήταις
 Δένδρεον· ἐν χέρσῳ τὰς ἁλὸς οἶδα τύχας.

Eiuſdem. 2.

Cur pinum pelago committitis nauium fabricatores,
 Cuius multus è montibus radicem diſſoluit Notus?
Auſpicatum non ero ponto nauigium, hoſtile ventis
 Lignum: in terrâ maris didici fortunas.

Ἀδέσποτον.

Ἀρτιπαγῆ ῥοθίοισιν ἐπὶ χθοκάλῃσί με νῆα,
 Καὶ μήπω ξηροποῦ κύματος ἁψαμένην,
Οὐδ' ἀνέμεινε θάλασσα· τὸ δ' ἄγριον ἐπλήμμυρε
 Χεῦμα, καὶ ἐκ σταθερῶν ἥρπασεν ἠιόνων,

Ὁλκάδα, τῇ δείλαιος ἀεὶ κλόνος, ἧ γε τὰ πόντου
  Χεύματα καὶ χέρσῳ λοίγια, καὶ πελάγει.

Incerti. 3.

Nuper compactam impetuosis in litoribus me nauem,
  Et nondum horribilem fluctum tangentem,
Ne quidem exspectauit mare. Sed horribilis inundauit
  Fluctus, & ex stabilibus eripuit litoribus
Nauem, cui calamitosa semper maris turbatio, & cui ponti
  Fluctus & in littore pestifer, & in pelago.

ΚΥΛΛΗΝΙΟΥ ΠΕΤΤΙΑΝΟΥ.

Οὔπω ναῦς, καὶ ὄλωλα· τί δ' ἂν πλέον, εἰ βυθὸν ἔγνων,
  Ἔτλην; φεῦ πάσαις ὁλκάσι μοῖρα κλύδων.

CYLLENII PETIANI. 4.

Nondum nauis, & perij: quid auté plus, si pro fundũ intrassem,
  Pertulissem? Hei cunctis nauibus fatalis tempestas maris.

Τοῦ αὐτοῦ.

Ἄρτι με πηγνυμένην ἀκάτου τρόπιν ἔσπασε γείτων
  Πόντος, καὶ χέρσῳ εἰς ἐμὲ μαινόμενος.

Eiusdem. 5.

Iam me compactam nauis carinam abstulit vicinus
  Pontus, etiam in littore in me furiosus.

Ἀδέσποτον.

Ἐκλάσθην ἀνέμοισι πίτυς· τί με τεύχετε νῆα,
  Ναυηγῶν ἀνέμων χερσόθι γευσαμένην;

Incerti. 6.

Fracta sum ventis pinus, quid me fabricatis nauem,
  Naues frangentes ventos in litore experta sum.

Ἀδέσποτον.

Οὔρεσιν ἐν δολιχοῖς βλωθρὴν πίτυν ὑέτιός με
  Πρόρριζον γαίης ἐξεκύλισε νότος.
Ἔνθεν ναῦς γενόμην, ἀνέμοις πάλιν ὄφρα μάχωμαι,
  Ἄνθρωποι, τόλμης οὔποτε φειδόμενοι.

Incerti. 7.

Montibus in longis virentem pinum pluuiosus me
Radicitus è terrâ euertit notus.
Vnde nauis fiebam, ventis rursus vt pugnem,
Homines, audaciâ nondum abstinentes!

Ἀδήλου.

Τίπτέ με τὴν ἀνέμοισιν ἁλώσιμον ἤλεε τέκτων,
Τήνδε πίτυν τεύχεις νῆα θαλασσοπόρον;
Οὐδ᾽ οἰωνὸν ἔδεισας, ὅτι βορέης μ᾽ ἐδίωξεν
Ἐν χθονί; πῶς ἀνέμους φεύξομαι ἐν πελάγει;

Incertum cuius. 8.

Quid me ventis captiuam stolide faber,
Hanc pinum fabricas nauim pontigradam?
Neque augurium extimuisti, quòd Boreas me subuertit
In terrâ, quomodo ventos effugiam in pelago?

ΑΝΤΙΦΙΛΟΥ Βυζαντίου.

Μυρία μετρήσασάν ἀμετρήτοιο θαλάσσης
Κύματα, καὶ χέρσῳ βαιὸν ἐρεισαμένην,
Ὤλεσεν οὐχὶ θάλασσα, νεῶν φόβος, ἀλλ᾽ ἐπὶ γαίης
Ἥφαιστος. τίς ἐρεῖ πόντον ἀπιστότερον;
Ἔνθεν ἔφυν ἀπόλωλα. παρ᾽ ἠιόνεσσι δὲ κεῖμαι,
Χέρσῳ τὴν πελάγους ἐλπίδα μεμφομένη.

ANTIPHILI. 9.

Mille metientem immensurabilis maris
Fluctus, & terræ paullulum innixam,
Perdidit non mare, nauium formido, sed in terrâ
Neptunus. Quis dicit mare *imposterum terra* infidelius?
Vnde nata sum, inde perij. In littoribus verò iaceo,
In terrâ pelagi spem reprehendens.

ΣΕΚΟΥΝΔΟΥ.

Ὁλκὰς ἀμετρήτου πελάγους ἀνύσασα κέλευθον,
Καὶ τοσάκις χερσοῖς κύμασι νηξαμένη,
Ἣν ὁ μέγας οὔτ᾽ Εὖρος ἐπόντισεν, οὔτ᾽ ἐπὶ χέρσον

Ἤλασε χειμερίων ἄγριον οἶδμα νότων,
Ἐν πυρὶ νῦν ναυηγὸς ἐγὼ χθονὶ μέμφομ' ἀπίστῳ,
Νῦν ἁλὸς ἡμετέρης ὕδατα διζομένη.

SECVNDI. 10.

Nauis immenſi pelagi abſoluens curſum,
Et toties grauibus fluctibus innatans,
Quam niger neque Eurus ponto immerſit, neque in terram
Afflixit hyemalis horribilis fluctus Noti,
In igni iam naufragium paſſa ego terrá rephehédo infidelem,
Iam maris noſtri aquas inquirens.

ΛΕΩΝΙΔΟΥ Ταραντίνου.

Ὁλκάδα πῦρ μ' ἀνέφλεξε, τόσην δ' ἅλα μετρήσασαν
Ἐν χθονὶ, τῇ πεύκας εἰς ἐμὲ κειραμένῃ.
Ἣν πέλαγος διέσωσεν ἐπ' ἠόνας· ἀλλὰ θαλάσσης
Γῆν ἐμὲ γειναμένην εὗρον ἀπιστοτέρην.

LEONIDÆ Tarentini. 11.

Nauem ignis me combuſſit, tantum mare quæ menſa ſum
In terrâ: quæ piceas in me incidit.
Quam pelagus ſeruauit in litoribus: ſed ipſo mari
Terram me producentem inueni infideliorem.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων Αἰγυπτίου.

Ὁλκὰς ὕδωρ προφυγοῦσα πολυφλοίσβοιο θαλάσσης,
Ἐν χθονὸς ἀγκοίναις ὤλετο μητρείαις.
Ἱσταμένην γὰρ πυρσὸς ἐπέφλεγε· καιομένη δὲ
Δυσμενέων ὑδάτων συμμαχίην ἐκάλει.

IVLIANI de principibus Ægypti. 12.

Nauis aquam effugiens turbulenti maris,
In terræ vlnis periit maternis.
Stantem enim ignis combuſſit: combuſta verò
Inimicarum aquarum auxilium inuocauit.

ΑΝΤΙΠΑΤΡΟΥ Θεσσαλοῦ.

Τὴν μικρήν με λέγοιτε, καὶ οὐκ ἶσα ποντοπορεύσαις
Ναυσὶ δ' ἰθυνθεῖσ' ἄτρομον εὐπλοΐην.

Οὐκ ἀπόφημι δ' ἐγὼ βραχὺ μὲν σκάφος, ἀλλὰ θαλάσσῃ
  Πᾶν ἴσον. οὐ μέτρων ἡ κρίσις, ἀλλὰ τύχης.
Ἔστω πηδαλίοις ἑτέρη πλέον. ἄλλο γὰρ ἄλλῃ
  Θάρσος· ἐγὼ δ' εἴην δαίμοσι σωζομένη.

ANTIPATRI Thessali. 13.

Paruam me dicunt, & non æqualiter in ponto nauigantibus
  Nauibus ad dirigendam intrepidam nauigationem.
Non nego verò ego quòd sim breuis nauis. at mari
  Omnia paria sunt. non de mẽsurâ iudicandũ, sed de fortuna.
Sit gubernaculo flecti alij facilius. Alia enim alij naui
  Audacia: ego verò sim à Diis seruata.

ΑΝΤΙΦΙΛΟΥ.

Ὑλοτόμοι παύσασθε νεῶν χάριν· οὐκ ἔτι πεύκη
  Κύματος, ἀλλ' ἤδη ῥινὸς ἐπιτροχάει.
Γόμφος δ' οὐκ ἔτι χαλκὸς ἐν ὁλκάσιν, οὐδὲ σίδηρος,
  Ἀλλὰ λίνῳ πλευρῶν ἁρμονίη δέδεται.
Τὰς δ' αὐτὰς ποτὲ πόντος ἔχει νέας, ἄλλοτε γαῖα,
  Πηκτὸν ἁμαξίτην φόρτον ἀειρομένας.
Ἀργὼ μὲν προτέροισιν ἀοίδιμος· ἀλλὰ Σαβίνῳ
  Καινοτέρην πῆξαι Παλλὰς ἔδειξε τρόπιν.

ANTIPHILI. 14.

Lignatores quiescite nauium gratiâ: non amplius pinus
  In mari, sed iam corium currit.
Clauus autem non amplius æs in nauibus, aut ferrum,
  Sed lino laterum harmonia alligatur.
Has ipsas quondam pontus habet naues. Alias terra
  Concretum curule onus ferentes.
Argo quidem veteribus Veneranda fuit: sed Sabino
  Magis nouam fabricare Pallas ostendit carinam.

ΜΑΙΚΙΟΥ.

Ναυῶ Ἱεροκλείδης εἶχε σύγκληρον, ὁμόπλουν,
  Τὴν αὐτὴν ζωῆς καὶ θανάτου συνοδόν,
Πιστὴν ἰχθυβολεῦντι συνέμπορον· οὔτις ἐκείνης

Πώποτ'

Γῶ ποτ' ἐπέπλωσεν κῶμα δυσμοτέρῃ.
Γήραος ἄχρις ἔβοσκε πονεύμενον· εἶτα θανόντα
Ἐκτέρισεν· συνέπλω δ' ἄχρι καὶ εἰς ἀΐδην.

ΜÆCII. 15.

Nauem Hieroclides habuit vnà consenescentē, & nauigantem,
Eandem vitæ & mortis comitem,
Fidelem piscanti sociam. Neque quis illâ
Vnquam nauigauit fluctus iustior,
Ad senectutem vsque nutriuit laborantem: deinde mortuum
Humauit. Cum eo nauigauit etiam vsque ad inferos.

ΑΝΤΙΠΑΤΡΟΥ.

Πύῤῥος ὁ μουνερέτης, ὀλίγῃ νηῒ λεπτὰ ματεύων
Φυκία, καὶ τεχίτης μαινίδας ἐκ καθέτου,
Ηϊόνων ἀπὸ τῆλε τυπεὶς, κατέδυπε κεραυνῷ.
Νηῦς δὲ πρὸς αἰγιαλοὺς ἔδραμεν αὐτομάτη,
Ἀγγέλλουσα θείῳ καὶ λιγνύϊ μηνύουσα.
Καὶ φθέγξεν, Ἀργῴην δ' οὐκ ἐπόθησε τρόπιν.

ANTIPATRI. 16.

Pyrrhus vnus remex, paruâ naui tenues inquirens
Phucas, & ex setâ mœnas hamo,
A litore procul compulsus cecidit fulmine,
Nauis verò ad littus sponte cucurrit,
Nuncium sulphure & flamma indicans,
Et dixit: Argiuam verò non desiderauit carinam.

Ἀδήλου.

Η ναῦς ἀπ' ἔργων Κύπριδος γομφουμένη,
Πρὸς τὸν γυνάρχην πόντιον ἦλθον θεόν.
Ἀνὴρ γὰρ ὥρης μ' ἔμπορος τεκτήνατο,
Καλέσας ἑταίρην. εἰμὶ γὰρ πᾶσιν φίλη.
Ἔμβαινε θαῤῥῶν· μισθὸν οὐκ αἰτῶ βαρύν.
Ἐλθόντα δέχομαι πάντα βαστάζω ξένον·
Ὡς ποτ' ἐπὶ γαίης, κἂν βυθῷ μ' ἐρέσσετε.

Incerti. 17.

Nauis à quæstu meritorio constructa,
Ad parentem pontum venit Deæ.
Vir enim pulcritudinis,me,mercator fabricauit,
Vocans meretricem.Sum enim omnibus amica.
Ingredere confidens:mercedem non peto grauem.
Venientem excipio:omnem porto hospitem.
Vt quam olim in terrâ,etiam in profundo me exagitetis.

ΕΙΣ ΝΗΣΟΥΣ, κεφ. ιη'.

ΑΠΟΛΛΩΝΙΔΟΥ, οἱ δὲ, ΑΝΤΙΠΑΤΡΟΥ.

Εἴθε με παντοίοισιν ἔτι πλάζεσθαι ἀήταις,
    Η Λητοῖ στῆναι μαῖαν ἀλωομένη.
Οὐκ ἂν χητοσύνην τόσσον ἔστενον. οἴ ἐμὲ δειλὼ,
    Θσσαις Ἑλλήνων νηυσὶ παραπλέομαι,
Δῆλος ἐρημαίη, τὸ πάλαι σέβας, ὀψέ, ποτ' Ηρη·
    Λητοῦς, ἀλλ' οἰκτρὴν τήνδ' ἐπέθηκε δίκην.

IN INSVLAS, Cap. LVIII.

APOLLONIDÆ, vt alij ANTIPATRI. 1.

Vtinam me omnibus adhuc agitaretis ventis,
    Ne Latonæ sisteretis me obstetricem erranti.
Non vastationem adeò lamentarer.Hei me miseram
    Quantis Græcorum nauibus circumnauigor,
Delus deserta,quæ quondam fulgor. Serò quidem Iuno
    Latonæ,sed horribilem hanc imposuit pœnam.

ΑΛΦΕΙΟΥ Μιτυληναίου.

Λητοῦς ὠδίνων ἱερὴ τροφὲ, τὴν ἀσάλευτον
    Αἰγαίῳ Κρονίδης ὥρμισεν ἐν πελάγει,
Οὐ νύ σε δειλαίην, μὰ θεοὺς δίσσοισι βοήσω
    Δαίμονας, οὐδὲ λόγοις ἕψομαι Ἀντιπάτρου.
Ολβίζω δ' ὅτι Φοῖβον ἐδέξαο, καὶ μετ' Ὀλύμπου

Ἄρτεμις οὐκ ἄλλην ἢ σὲ λέγει πατρίδα.

ALPHÆI Mitylinæi. 2.

Latonæ partuum ſancta nutrix, quam inagitabilem
Iupiter Ægæo ſtabiliuit in pelago.
Non ſane miſeram te, per Deos, regina clamabo
Dæmonas, aut ſermones ſequar Antipatri.
Félicem v. prędico, quod Phębum ſuſceperis, & poſt Olympum
Diana nullam aliam quàm te vocat patriam.

ΑΝΤΙΠΑΤΡΟΥ.

Κλεινὴν οὐκ ἀπόφημι· σὲ γὰρ προπάροιθεν ἔθηκεν
Κλήζεσθαι πολλοῖς Τῆνε Βορηϊάδαι.
Ἀλλὰ καὶ Ὀρτυγίην εἶχε κλέος, οὔνομα δ᾽ αὐτῆς
Ἤρχετο Ῥιπαίων ἄχρις Ὑπερβορέων.
Νῦν δὲ σὺ μὲν ζώεις, ἣ δ᾽ οὐκ ἔτι. τίς κεν ἐώλπει
Ὄψεσθαι Τήνου Δῆλον ἐρημοτέρην;

ANTIPATRI. 3.

Claram non nego. Te enim iam ante indulſerunt
Gloriam conſequi, ô Tene, volucres Boreæ filij.
Sed etiam Ortygien habuit decus. Nomen verò eius
Venit Riphæos vſque ad Hyperboreos.
Nunc tu quidem viuis, illa non adhuc. Quis autem ſperaſſet
Videre Teno Delum deſertiorem?

ΑΝΤΙΦΙΛΟΥ.

Ἡ τερεβινθώδης ὀλιγάμπελος, οἷά τε βαιὴ
Νησίς, ἀλλ᾽ ὁμαλὴ πᾶσα καὶ ἀστύφελος·
Αἱ δ᾽ ἄγχου, μεγάλαι τε καὶ εὐρέες, ἀλλ᾽ ἐπὶ πουλὺ
Τρηχεῖαι· μεγέθει τοῦτο περισσότεραι.
Καρποῖς οὐ σταδίοισιν ἐρίζομεν. οὐδὲ γὰρ αὔλαξ
Αἰγύπτου, Λιβύης ψάμμου ἐπιστρέφεται.

ANTIPHILI. 4.

Terebynthis ferax & paucis vitibus, vt parua
Et æqualis omnis & inacceſſa.
Quæ verò vicinæ magnæ ſunt & latæ, ſed magna ex parte

Asperæ, magnitudine ob id antecellunt.
Fructibus haud stadiis contendimus. neque enim sulcus
Ægypti, Libyæ arenam curat.

Τοῦ αὐτοῦ.

Ὡς πάρος ἀελίου, νῦν Καίσαρος ἡ Ῥόδος εἰμὶ
Νᾶσος· ἴσον δ' αὐχῶ φέγγος ἀπ' ἀμφοτέρων.
Ἤδη σβεννυμέναν με νέα κατεφώτισεν ἀκτίς,
Ἅλιε, καὶ παρὰ σὸν φέγγος ἔλαμψε Νέρων.
Πῶς εἴπω; τίνι μᾶλλον ὀφείλομαι; ὃς μὲν ἔδειξεν
Ἐξ ἁλός· ὃς δ' ἤδη ῥύσατο δυομέναν.

Eiusdem. 5.

Qui prius Solis, iam Cæsaris Rhodus sum
Insula: æqualem verò iacto lucem ab vtrisque.
Iam verò obscuratam me nouus illuminauit radius,
O Sol, & iuxta tuum lumen resplenduit Nero.
Quomodo dico: Cui prius debeo? ille enim demonstrauit
E mari: hic verò iam liberauit mergendam.

ΕΙΣ ΟΙΝΟΝ, κεφ. νθ´

ΑΝΤΙΠΑΤΡΟΥ.

Ὕδατος ἀκρήτου κεκορημένῳ ἄγχι παραστὰς
Χθιζόν ἐμοὶ κοτέων Βάκχος ἔλεξε τάδε,
Εὕδεις ἄξιον ὕπνον ἀπεχθομένων Ἀφροδίτῃ.
Εἰπέ μοι ὦ νήφων, πῶς ἔθανεν Ἱππόλυτος;
Τάρβει μή τι πάθῃς ἐναλίγκιον. ὣς ὁ μὲν εἰπὼν
Ὤχετ'· ἐμοὶ δ' ἀπὸ τῆς οὐκ ἔτι τερπνὸν ὕδωρ.

IN VINVM, Cap. LIX.

ANTIPATRI. I.

Aquâ merâ satiato prope adstans
Heri mihi iratus dixit hæc Bacchus,

Dormis dignum somnum illis, qui inuisi sunt Veneri.
Dic mihi, ô sobrie, an obtemperas Hippolyto?
Time ne quid patiaris simile. Sic quidem hic dicens,
Abiit. Mihi verò ex illo non amplius grata aqua.

ΦΙΛΙΠΠΟΥ.

Εὐθαλέα πλάτανόν με νότου βαρυλαίλαπες αὖραι
Ῥίζης ἐξ αὐτῆς ἐστόρεσαν δαπέδῳ.
Λουσαμένη βρομίῳ δ' ἔστην πάλιν, ὄμβρον ἔχουσα
Χείματι καὶ θάλπει, τοῦ Διὸς ἡδύτερον.
Ὀλλυμένη δ' ἔζησα· μόνη δὲ πιοῦσα Λυαῖον,
Ἄλλων κλινομένων, ὀρθοτέρη βλέπομαι.

PHILIPPI. 2.

Benè florentem platanum me Noti cum graui turbine venti
Radice ex ipsâ strauerunt solo.
Irrigato autem Baccho steti rursus, imbrem habens
Hyeme & æstate ipsius Iouis suauiorem imbre.
Mortua vixi. Sola verò bibens Lyæum,
Aliis intortis, rectior appareo.

ΜΕΛΕΑΓΡΟΥ.

Αἱ νύμφαι τὸν Βάκχον, ὅτ' ἐκ πυρὸς ἥλατο κοῦρος,
Νίψαν, ὑπὸ τέφρης ἄρτι κυλιόμενον.
Τοὔνεκα σὺν νύμφαις Βρόμιος φίλος· ἢν δέ νιν εἴργῃς
Μίσγεσθαι, δέξῃ πῦρ ἔτι καιόμενον.

MELEAGRI. 3.

Nymphæ Bacchum, cùm ex igni exsiliret puer,
Lauerunt, in cinere iam inuolutum.
Ob id cũ Nymphis Bacchus gratus. Sin verò ipsum impedieris
Misceri, accipies ignem adhuc ardentem.

ΕΠΙΓΟΝΟΥ Θεσσαλονικέως.

Ἀργυρέη κρηνίς με τὸν οὐκέτι μακρὰ βοῶντα
Βάτραχον οἰνηραῖς ἔσχεν ὑπὸ σταγόσιν.
Κεῖμαι δ' ἐν νύμφαις, κείναις φίλος, οὐδὲ Λυαίῳ
Ἐχθρός, ὑπ' ἀμφοτέρων λυόμενος σταγόσιν.

Ὀψέ ποτ' εἰς Διόνυσον ἐκώμασα. φεῦ, τίνες ὕδωρ
Πίνουσι, μανίην σώφρονα μαινόμενοι;

EPIGONI Theſſali. 4.

Aureus fons me nondum magnum clamantem
Ranam vineis habuit ſub guttis.
Iaceo verò in Nymphis, illis amica, neque Baccho
Hoſtis, vtriuſque ſoluta guttis.
Serò aliquando in Dionyſiũ commeſſatus ſum. Vah! qui aquam
Bibunt, inſaniam ſobriam inſanientes?

ΙΟΥΛΙΑΝΟΥ βασιλέως εἰς οἶνον ἀπὸ κριθῆς.

Τίς; πόθεν εἶς Διόνυσε; μὰ γὰρ τὸν ἀληθέα Βάκχον,
Οὔ σ' ἐπιγιγνώσκω· τὸν Διὸς οἶδα μόνον.
Κεῖνος νέκταρ ὄδωδε· σὺ δὲ, τράγον. ἦ ῥά σε Κελτοὶ,
Τῇ πενίῃ βοτρύων, τεῦξαν ἀπ' ἀσταχύων·
Τῷ, σε χρὴ καλέειν Δημήτριον, οὐ Διόνυσον,
Πυρογενῆ μᾶλλον, καὶ Βρόμον, οὐ Βρόμιον.

IVLIANI Regis in vinum ex hordeo. 5.

Quis? Vnde es Bacche? Per enim verum Bacchum,
Non te noui: Iouis ſolum noui filium.
Ille nectar olet, tu verò hircum. Profectò te Celtæ
Inopia vuarum fecerunt è ſpicis.
Vnde te fas eſt vocari Demetrium, non Dionyſium,
Et potius ex igne genitum, & bromon, non Bromium.

ΑΛΚΑΙΟΥ.

Οἶνος καὶ Κένταυρον, Ἐπίκρατες, οὐχί σε μοῦνον
Ὤλεσεν, ἠδ' ἐρατὴν Καλλίου ἡλικίην.
Ὄντως ὠμοχέρων ὁ μονόμματος, ᾧ σὺ τάχιστα
Τὴν αὐτὴν πέμψαις ἐξ Ἀΐδεω πρόποσιν.

ALCÆI. 6.

Vinum centaurum etiam, ô Epicrates, non te ſolum
Perdidit, & amabilem Callij iuuentutem.
Reuera crudelis fuit vnoculus, cui tu celerrimè

Eandem mittes ex inferno potionem.

ΝΙΚΗΡΑΤΟΥ.

Οἶνός τοι χαρίεντι μέγας πέλει ἵππος ἀοιδῷ·
Ὕδωρ δὲ πίνων, καλὸν οὐ τέκοις ἔπος.
Ταῦτ' ἔλεγεν Διόνυσε, καὶ ἔπνεεν οὐχ ἑνὸς ἀσκοῦ
Κρατῖνος, ἀλλὰ παντὸς ὀδώδει πίθου.
Τοιγὰρ ὑπὸ στεφάνοις μέγας ἔβρυεν, εἶχε δὲ κισσῷ
Μέτωπον, ὥσπερ καὶ σὺ, κεκροκωμένον.

NICERATI. 7.

Vinum ſane gratioſo magnus eſt equus Cantori.
Aquam verò bibens gratioſum non produces verbum.
Hæc dixit, ô Bacche, & oluit non ex vno vtre
Cratinus, ſed omnia olebat dolia.
Huic enim è coronis conſpicuus ſcaturiuit: habuit verò hederâ
Frontem, vt & tu, redimitam.

ΕΙΣ ΟΡΝΙΣ, κεφ. ξ.

ΑΡΓΕΝΤΑΡΙΟΥ.

Μηκέτι νῦν μινύριζε παρὰ δρυΐ, μηκέτι φώνει
Κλωνὸς ἐπ' ἀκροτάτου κόσσυφε κεκλιμένος.
Ἐχθρόν σοι τόδε δένδρον. ἐπείγεο δ' ἄμπελος ἔνθα
Ἀντέλλει, γλαυκῶν σύσκιος ἐκ πετάλων.
Κείνης ταρσὸν ἔρεισον ἐπὶ κλάδοι, ἀμφί τε κείνῃ
Μέλπε, λιγὺν προχέων ἐκ στόματος κέλαδον.
Δρῦς γὰρ ἐπ' ὀρνίθεσσι φέρει τὸν αἰάρσιον ἰξὸν,
Ἡ δὲ, βότρυν. στέργει δ' ὑμνοπόλους Βρόμιος.

IN AVES, Cap. LX.

ARGENTARII. 1.

Non amplius canta in quercu, non amplius vocem ede
Ramo in ſummo merula inſidens.

Hostilis tibi hæc arbor. Propera eò, vitis vbi
    Oritur, viridibus vmbrosa foliis.
Illius pedem fige in ramo, & circa ipsam
    Canta, sonoram profundens ex ore cantilenam.
Quercus enim super aues producit inimicum viscum.
    Hæc verò, vuam. Amat verò cantores Bacchus.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ὁ πρὶν ἐγὼ Ῥοδίοισιν ἀνέμβατος ἱερὸς ὄρνις,
    Ὁ πρὶν Κερκαφίδαις αἰετὸς ἱστορίη,
Ὑψιπετῆ τότε ταρσὸν ἀν' ἀπλατέων ἠέρ' ἀερθεὶς,
    Ἤλυθον, ἠελίου νῆσον ὅτ' εἶχε Νέρων.
Κείνου δ' αὐλίσθην ἐνὶ δώμασι, χειρὶ συνήθης
    Κραίντορος, οὐ φεύγων Ζῆνα τὸν ἐσσόμενον.

APOLLONIDÆ. 2.

Quæ prius ego Rhodiis inaccessa sacra auis,
    Quæ prius Cercaphidis aquila fui historia,
Altiuolantem tunc plantam per latum aëra extendens
    Veni, Solis insulam vbi habet Nero.
Eius verò nidum exstruxi in domibus, manu mansuetus
    Crantoris, non fugiens Iouem futurum.

ΦΙΛΙΠΠΟΥ.

Ψιττακὸς ὁ βροτόγηρυς, ἀφεὶς λυγόδετον κύρτον,
    Ἤλυθεν εἰς δρυμοὺς ἀνθοφυῆ πτέρυγι.
Αἰεὶ δ' ἐκμελετῶν ἀσπάσμασι Καίσαρα κλεινὸν,
    Οὐδ' ἀν' ὄρη λήθην ἤγαγεν οὐνόματος.
Ἔδραμε δ' ὠκυδίδακτος ἅπας οἰωνὸς, ἐρίζων
    Τίς φθῆναι δύναται δαίμονι χαῖρ' ἐνέπειν.
Ὀρφεὺς θῆρας ἔπεισεν ἐν οὔρεσιν, ἐς δὲ σε Καῖσαρ
    Νῦν ἀκέλευστος ἅπας ὄρνις ἀνακρέκεται.

PHILIPPI.

Psittacus humanam edens vocem, relinquens è virgis textam
    Venit in siluam densam floridâ alâ. (caueam
Semper verò meditans salutationibus Cæsarem inclytum,
Neque

Neque per montem obliuionem induxit nominis,
Accessit verò celeriter discens omnis auis, contendens
Quæ properare posset Deo salue dicere.
Orpheus feris persuasit in montibus, in te verò Cæsar
Iam sine iussu omnis auis loquitur.

ΑΡΧΙΟΥ.

Αὐταῖς σὺν κίχλῃσιν ὑπὸ φραγμοῖο διωχθεὶς
Κόσσυφος, ἠερίης κόλπον ἔδυ νεφέλης.
Καὶ τὰς μὲν συνοχηδὸν ἀνέκδρομος ὤχμασε θώμιγξ,
Τὸν δὲ, μόνον πλεκτῶν αὖθι μεθῆκε λίνων.
Ἱερὸν ἀοιδοπόλων ἔτυμον γένος. ἦ ἄρα πολλὴν
Καὶ κωφαὶ πτηνῶν φροντίδ' ἔχουσι πάγαι.

ARCHII. 4.

Ipsis cum turdis in sepibus venatione petita
Merula, aërij sinum subit retis,
Et has quidem arctè superiniectus continet funiculus,
Hanc verò solam textis rursus emisit filis.
Sacrum cantorum reuera genus. Sanè multam
Etiam surda volucrum curam habent retia.

ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Ὄρθριος εὐπλέκτοιο λίνου νεφοειδέϊ κόλπῳ
Ἔμπεσε σὺν κίχλῃ κόσσυφος ἡδυβόας.
Καὶ τὴν μὲν πανάφυκτος ἕλε βρόχος· ὠκὺ δ' ἀπέπτη
Ἐξ ὀρνιθοπέδας ᾠδὸς ἐρημόφιλος.
Ἦ τάχα που τρισμάκαιρα φιλαγρέτις ὄρνιν ἀοιδὸν
Ἄρτεμις εὐμόλπου λῦσεν ἄνακτι λύρης.

PAVLI SILENTIARII. 5.

Mane cantillans benetexti fili nubiformi in sinu
Incidit cum turdo merula suauè clamans.
Et illú quidem ineuitabilis abstulit laqueus, celeriter v. aufugit
E laqueis auium Cantor gaudens solitudine.
Fortè ter beata venatrix auem cantorem
Diana bene sonantis soluit regi Lyræ.

ΑΝΤΙΦΙΛΟΥ.

Α καλὸν αὐτοπόνητον, ἐν αἰθέρι ῥεῦμα μελισσῶν,
Αἱ πλασταὶ κηρῶν αὐτοπαγεῖς θαλάμαι·
Προίκιος αἰ θρώποις βιότῳ χάρις, οὐχὶ μακέλλας,
Οὐ βοός, οὐ γαμψῶν δευομένα δρεπάνων,
Γαυλοῦ δὲ σμικροῖο, πόθι γλυκὺ νᾶμα μέλισσα
Πηγάζει σκηνῆς δαψιλὲς ἐξ ὀλίγου.
Χαίροιτ' εὐαγέες, καὶ ἐν ἄνθεσι ποιμαίνοισθε,
Αἰθερίου πτηναὶ νέκταρος ἐργάτιδες.

ANTIPHILI. 6.

Heu, quàm pulcrum ex ſe prouenienſ in æthere flumẽ apium,
Formata Cerarum per ſe conſtructa cella:
Spontanea mortalium vitæ gratia: non ligone,
Non boue, non curuis indigens falcibus,
Alueo tantùm paruo, vbi dulcem fontem apis
Stillat vaſculo abunde ex paruo.
Saluete ô puræ, & in floribus paſcimini,
Ætherij volucres nectaris operatrices.

ΖΩΝΑ.

Εἰσ' ἄγετε, ξουθαὶ συμβληίδες ἄκρα μέλισσαι
Φέρβεσθ', ἢ θύμου ῥικνὰ περικνίσατε,
Ἢ πετάλας μάκωνας, ἢ ἀσταφιδῖτιδα ῥᾶγα,
Ἢ ἴον, ἢ μάλων χνοῦν ἐπικαρπίδιον.
Πάντα περικνίσασθε καὶ ἄγγεα κηρώσασθε,
Ὄφρα μελισσοσόος Πὰν ἐπικυψέλιος
Γεύσηται τὸ μὲν, αὐτὸς ὁ δὲ βλυστηρίδι χειρὶ
Καπνώσας, βαιὸν ὔμμι λίπῃ μερίδα.

ZONÆ. 7.

Agedum flauæ aluearices ſummitates apes
Depaſcimini, & thymi curuos ſurculos,
Aut florentia papauera, aut vueum acinum,
Aut violas, aut malorum lanuginem fructiferam.

Omnia decerpite,& vasa cerâ inducite
 Vt apum seruator Pan subaluearius
Gustet hoc quidem ipse.Hic verò castrante apes manu
 Fumum excitans paruam & vobis relinquat partem.

ΝΙΚΑΝΔΡΟΥ.

Ἵπποι μὲν, σφηκῶν γένεσις· ταῦροι δὲ, μελισσῶν.

NICANDRI. 8.

Equi vesparum generatio,tauri verò apum.

ΠΑΛΛΑΔΑ.

Τίπτε πανημερίη Πανδιονὶ κάμμορε κούρη,
 Μυρομένη κελαδεῖς τρανλὰ διὰ στομάτων;
Ἦ τοι παρθενίης πόθος ἵκετο, τήν τοι ἀπηύρα
 Θρηΐκιος Τηρεὺς, αἰνὰ βιασσάμενος;

PALLADÆ. 9.

Cur per totam diem,ô hirundo infelix puella,
 Lamentans canis blesa per os?
An virginitatis desiderium venit?quam tibi abstulit
 Thracius Tereus grauiter te côgens?

ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ὄρνι, τί μοι φίλον ὕπνον ἀφήρπασας; ἡδὺ δὲ Πύῤῥης
 Εἴδωλον κοίτης ᾤχετ' ἀποπτάμενον;
Ἦ τάδε θρέπτρα τίνεις ὅτι θῆκά σε δύσμορε πάσης
 Ὠοτόκου κραίνειν ἐν μεγάροις ἀγέλης;
Μὰ βωμὸν καὶ σκῆπτρα Σαράπιδος, οὐκ ἔτι νυκτὸς
 Φθέγξαι, ἀλλ' ἕξεις βωμὸν ὃν ὠμόσαμεν.

ARGENTARII. 10.

Auis,quid mihi carum somnum abstulisti? suaue a. Pyrrhæni
 Simulacrum concubitus abiit auolans?
An nutritionis præmia rependis, qui feci te infelix omni
 Ouum parienti imperare in ædibus meis gregi?
Per aram sceptrumque Serapidis,non amplius nocte
 Cantabis,sed habebis aram quam iurauimus.

ΑΝΤΙΠΑΤΡΟΥ.

Δισσῶν ἐκ βροχίδων ἁ μὲν μία πίονα κίχλαν,
    Ἁ μία δ' ἱππεία κόσσυφον εἷλε πάγα.
Ἀλλ' ἃ μὲν κίχλας θαλερὸν δέμας ἐς φάος ἠοῦς
    Οὐκ ἔτ' ἀπὸ πλεκτᾶς ἧκε δειραιοπέδας·
Ἁ δ' αὖθις μεθέηκε τὸν ἱερόν. ἦν ἄρ' ἀοιδῶν
    Φειδὼ κἠν κωφαῖς ξεῖνε λινοστασίαις.

ANTIPATRI. 11.

Duobus ex laqueis, hic quidem vnus pinguem turdum,
    Vna verò equina merulam cepit seta.
Sed turdi quidem floridum corpus in lucem auroræ
    Non amplius à contexto venit laqueo:
Hæc verò rursus dimisit sacrum. Erat sanè Cantorum
    Parsimonia etiam in surdis, ô hospes, laqueis.

Ἄδηλον.

Ἀτθὶ κόρα μελίθρεπτε, λάλος λάλον ἁρπάξασα
    Τέττιγα, πτανοῖς δαῖτα φέρεις τέκεσιν.
Τὸν λάλον, ἁ λαλόεσσα· τὸν εὔπτερον, ἁ πτερόεσσα·
    Τὸν ξένον, ἁ ξεῖνα· θερινὸν, θερινά.
Οὐχὶ τάχος ῥίψεις; οὐ γὰρ θέμις οὐδὲ δίκαιον
    Ὄλλυσθ' ὑμνοπόλους ὑμνοπόλοις στόμασιν.

Incerti. 12.

Attica puella, nutrita, vocalis vocalem rapiens
    Cicadam, volucribus escam fers pullis.
Vocalem vocalis, alatam alata,
    Hospitem hospes, vere canentem verna,
Nonne mox abiicies illam? Non enim fas, neque iustum
    Perire canentes canentûm oribus.

ΕΙΣ ΠΑΙΔΙΑΝ, κεφ. ξα.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ εἰς τὰ λυτὰ Ζήνωνος τοῦ βασιλέως.

Οὐκ ἄδμητοι μερόπων, εἰ καὶ μέγα ῥέξομεν ἔργον,

Οὔτινος ἐς μνήμην δηρεθὶ ἐσαῦ χάριθα.
Οἱ δ' ἀγαθοί, κἢν μηδέν, ἀναπνεύσωσι δὲ μοῦνον,
Ὡς Λίβυς εἶπεν ἀνήρ, τοῦτ' ἀδάμαντι μένει.
Δήποτε γὰρ Ζήνωνα πολισσούχον βασιλῆα
Παίγνιον ἀφράστων ἐκτελέοντα κύβων,
Τοίη ποικιλότευκτος ἔην θέσις, ὧν τ' ἀπὸ λευκοῦ
Τοῦ καὶ ὀπισθιδίην εἰς ὁδὸν ἐρχομένου.
Ἑπτὰ μὲν ἕκτος ἔχεν, μίαν εἴνατος· αὐτὰρ ὁ σύμμος
Διοσσὰς ἀμφιέπων, ἶσος ἔην δεκάτῳ.
Ὃς δὲ πέλει μετὰ σύμμον, ἔχεν δύο· μουνάδα δ' ἄλλην
Ψῆφον τὴν πυμάτην ἀμφιέπεσκε δίβος.
Ἀλλὰ μέλας δισσὰς μὲν ἐν ὀγδοάτῳ λίπε χώρῳ,
Καὶ πάσας ἑτέρας ἐς θέσιν ἑνδεκάτης.
Ἀμφὶ δυωδέκατον δὲ διέπρεπον εἴκελοι ἄλλαι,
Καὶ τρισκαιδεκάτῳ ψῆφος ἔκειτο μία.
Δίζυγας Ἀντίγονοι διεκόσμεον· ἀλλὰ καὶ αὐτῷ
Ἶσος ἔμιμνε τύπος πεντεκαιδεκάτῳ,
Ὀκτωκαιδεκάτῳ παρομοίιος· εἰσέτι δ' ἄλλας
Εἶχεν διχθαδίας τέτρατος ἐκ πυμάτου.
Αὐτὰρ ἄναξ λευκοῖο λαχὼν σημήια πεσσοῦ,
Καὶ τὴν ἐσσομένην οὐ νοέων παγίδα,
Τριχθαδίας ἀδόκητα βαλὼν ψηφῖδας ἀριθμοῦ,
Πύργου δυεργατίου κλίμακι κευθομένων,
Δοιὰ καὶ ἓξ καὶ πέντε κατήγαγεν· αὐτίκα δ' ὀκτὼ
Ἄζυγας εἶχεν ὅλας σειάθε μεθεζομένας.
Ταύλην φεύγετε πάντες, ἐπεὶ καὶ κοίρανος αὐτὸς
Κείνης ταῖς ἀλόγοις, οὐχ ὑπεξήλυξε τύχας.

IN LVDVM, Cap. LXI.

AGATHIÆ Scholastici in ludum Zenonis regis. 1.
Viles homines, licet magnum faciamus opus,

Nullius in memoriam diu peruenimus.
Reges verò, licet nihil, respirent verò solùm,
Vt Libycus dixit vir, hoc perpetuò manet.
Etenim Zenonem vrbis præsidem regem,
Ludum imperuestigabilium perficientem cuborum,
Talis variè traxit positio, cùm ab albo
Etiam posticam in viam perueniente.
Septem quidem sextus habebat, vnam nonus: sed summus
Binas continens, æqualis erat decimo.
Et qui est post summum, habet duo: vnitatem verò aliam
Calculum vltimum continebat dibus.
Sed niger duplices quidem in octauo relinquebatur choro,
Et tantus alius in positionem vndecimus.
Circa duodecimum verò excellebant similes aliæ,
Et decimotertio calculus ponebatur vnitas.
Biiuges Antigonum ornarunt: sed & ipsi
Similis manebat typus decimoquinto,
Decimo octauo similis: insuper alias
Habebat diuisas quartus ex vltimo.
Sed rex albi sortitus signa calculi,
Et futurum non sciens decipulum:
Triplices cùm ex improuiso proiecisset calculos numeri,
Turriculæ ligneæ in gradibus reconditam,
Bina, & sex, & quinque duxit: statim verò octo
Impares habuit omnes totas prius diuisas.
Tabularum ludum fugite omnes, postquam & rex ipse
Eius irrationales non euitauit fortunas.

ΕΙΣ ΠΑΝΟΥΡΓΟΥΣ, κεφ. ξβ.

ΚΡΙΝΑΓΟΡΟΥ.

Ψευδόμενοι ῥινοῦ ὀξὺν στίβον, ὦ κακὸν ἔρδειν
Ῥηΐτεροι Λιγύων μήπιες, ἢ ἀγαθόν.

IN VERSVTOS, Cap. LXII.

CRINAGORI. I.

Mentientes bubulæ pellis acutam viam, ô malum

Inuenire faciliora Libycorum consilia, quàm bonum!

Τίνας ἂν εἴποι λόγους Ἀχιλλεὺς ἰδὼν Ὀδυσσέα
ἐν ᾅδου.

Ἀτρεκέως πάντων πολυμήχανός ἐστιν Ὀδυσσεύς·
Ζωὸς ἐὼν ἐνόησε· ἃ μὴ θέμις ἐστὶν ἰδέσθαι,
Νερτέριον κευθμῶνα, καὶ ἄλγεα πικρὰ θανόντων.
Πῶς δ' ἔτλη προλιπεῖν ἱερὸν φάος; ἤ τις ἀνάγκη
Ἤγαγεν οὐκ ἐθέλοντα; δόλων ἀκόρητος ἐτύχθη
Ἐν χθονὶ καὶ πελάγεσσι καὶ ἐν νεκύεσσιν Ὀδυσσεύς.

Quæ dixerit verba Achilles videns Vlyssem in
inferno. 2.

Reuera omnium solertissimus est Vlysses.
Viuus cùm esset, cognouit, quæ non fas est videre,
Infernum specum & dolores acerbos mortuorum.
Quomodo a. sustinuit relinquere sacrũ lumen? aut quænam ne-
Duxit nolentem? doli insatiabilis fuit (cessitas
In terra, & pelago, & in mortuis Vlysses.

ΕΙΣ ΠΑΡΑΜΥΘΙΑΝ, ξγ´

ΠΑΛΛΑΔΑ.

Ἔσθιε, πῖνε, μύσας ἐπὶ πένθεσιν· οὐ γὰρ ἔοικε
Γαστέρι πενθῆσαι νεκρὸν, Ὅμηρος ἔφη.
Καὶ γὰρ ὁμοῦ θάψασαν ὀλωλότα δώδεκα τέκνα
Σίτου μνησαμένην τὴν Νιόβην παράγει.

IN CONSOLATIONEM. Cap. LXIII.

PALLADÆ. 1.

Ede, bibe, oculos claudens ad dolores: non enim conuenit

Ventre dolere mortuum, Homerus ait.
Nam ſimul ſepelientem mortuos duodecim liberos
Cibi meminiſſe Niobem repræſentat.

Τοῦ αὐτοῦ.

Προσδοκίη θανάτου, πολυώδυνός ἐστιν ἀνίη.
Τοῦτο δὲ κερδαίνει θνητὸς ἀπολλύμενος.
Μὴ τοίνυν κλαύσῃς τὸν ἀποιχόμενον βιότοιο·
Οὐδὲν γὰρ θανάτου δεύτερόν ἐστι πάθος.

Eiuſdem. 2.

Exſpectatio mortis luctuoſus eſt dolor.
Hoc verò lucratur mortalis moriens.
Non igitur flebis egredientem è vitâ:
Nulla enim poſt mortem altera eſt calamitas.

Τοῦ αὐτοῦ.

Ῥίπτε γόους, μὴ κάμνε. πόσον χρόνον ἐνθάδε μίμνεις,
Ὡς πρὸς ἐκεῖνον ὅλον τὸν μετὰ ταῦτα βίον;
Πρὶν τοίνυν σκώληκα βρύειν, τύμβοις τε ῥιφῆναι,
Μὴ δαμάσῃς ψυχὴν ζῶν ἔτι κρινομένην.

Eiuſdem. 3.

Mitte luctum, ne labores. quanto tempore hîc manes,
Quantum pertinet ad illam totam quæ futura eſt vitam?
Antequam igitur vermibus ſcateas, & in ſepulcrum proiiciare,
Noli cogere animam viuens, de quâ adhuc iudicatur.

ΕΙΣ ΠΑΤΡΙΔΑ, καὶ ξένον

ΠΑΛΛΑΔΑ.

Ὡς οὐδὲν γλύκιόν γ' ἧς πατρίδος, εἶπεν Ὅμηρος.
Ἐν γὰρ τοῖς Κίρκης ἔκχυτον οὐκ ἔφαγεν.
Οὗ μόνον εἰ καὶ καπνὸν ἀποθρῴσκοντ' ἐνόησεν,
Εἶπεν ἂν οἰμώζειν καὶ δίχα Πηνελόπας.

IN

IN PATRIAM, Cap. LXIV.

PALLADÆ. I.

Quàm nihil dulcius est patriâ suâ, dixit Homerus:
In Circes enim ædibus quod infusum erat, non biberat.
Cuius solùm si vel fumum euolantem cognosset,
Iussisset lugere vel decem Penelopas.

Τίνας ἂν εἴποι λόγους Ὀδυσσεὺς ἐπιβὰς Ἰθάκης.

Χαῖρ' Ἰθάκη· μετ' ἄεθλα, μετ' ἄλγεα πικρὰ θαλάσσης,
Ἀσπασίως τεὸν οὖδας ἱκάνομαι, ὄφρα νοήσω
Λαέρτην, ἄλοχόν τε, καὶ ἀγλαὸν υἱέα μοῦνον.
Σὸς γὰρ ἔρως κατέθελξεν ἐμὸν νόον. οἶδα καὶ αὐτὸς
Ὡς οὐδὲν γλύκιόν γ' ἧς πατρίδος, ἠδὲ τοκήων.

Quæ dixerit verba Vlysses ingrediens Ithacam. 2.
Salue Ithaca, post bella, post dolores graues maris,
Lubenter in tuum solum venio, vt cognoscam
Laërten, coniugémque, & clarum filium vnum.
Tuus enim amor irretiuit meum animum. Scio enim ipse
Quòd nil dulcius est patriâ suâ, atque parentibus.

ΕΙΣ ΠΗΓΑΣ, κεφ. ξε.

ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.

α Σιγῶσα ἄρυσαι. β τίνος οὕνεκα; α μηκέτ' ἀρύου.
β Τεῦ χάριν; α ἡσυχίοις ἡδὺ λέλογχα ποτόν.

IN FONTES, Cap. LXV.

STATVLLII FLACCI. I.

α Tacens hauri. β. Quam ob causam? α Non hauseris.
β. Quare? α Tacentibus dulcem præbeo potum.

Ἀδέσποτον.

α Δύσκολος εἶ κρήνη. β γλῶσσα, καὶ μᾶλλον ἐρεῖς με
Δύσκολον, α ὦ πικροῦ νάματος. β ὦ λάλιης.

Incerti. 2.

α. Ingratus es fons. β. Gusta, & magis dices me
  Ingratum. α. heu acerbum fontem! β. Heu garrulitatem!

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ἡ καθαρὴ (νύμφαι γὰρ ἐπώνυμον ἔξοχον ἄλλων
  Κρήνῃ πασάων δῶκαν ἐμοὶ λιβάδων)
Ληιστὴς ὅτε μοι παρακλίντορας ἔκτανεν ἄνδρας,
  Καὶ φονίην ἱεροῖς ὕδασι λοῦσε χέρα,
Κεῖνον ἀναστρέψασα γλυκὺν ῥόον, οὐκ ἔτ' ὁδίταις
  Βλύζω· τίς γὰρ ἐρεῖ τὴν καθαρὴν ἔτι με;

APOLLONIDÆ. 3.

Eram purus (Nymphæ enim cognomen eximium præ reliquis
  Fonti omnium mihi dederunt aquarum)
Latro cùm apud me recubantes occidit viros,
  Et lethalem sancto flumine lauit manum,
Illum reuocaui dulcem fluxum: nec amplius viatoribus
  Scaturio. Quis enim dicet purum adhuc me?

ΑΝΤΙΦΑΝΟΥΣ, Εἰς τὴν αὐτήν.

Ἡ πάρος εὐύδροισι λιβαζομένη προχοῇσι,
  Πτωχὴ νῦν νυμφῶν μέχρι καὶ εἰς σταγόνα.
Αὐθέντης γὰρ ἐμοῖσιν ἐνίψατο νάμασι χεῖρας
  Ἀνδροφόνος, κηλῖδ' ὕδασιν ἐγκεράσας.
Ἐξ οὗ μοι κοῦραι φύγον ἥλιον, εἰς ἕνα Βάκχον,
  (Εἰποῦσαι) νύμφαι μισγόμεθ', οὐκ ἐς Ἄρη.

ANTIPHANIS in eundem. 4.

Qui prius bonæ aquæ stillaui flumine,
  Inops nunc aquarum etiam vsque ad guttam.
Cruentas enim meis lauit fluminibus aquas
  Homicida, maculam aquis commiscens.
Ex eo mihi aquæ fugerunt lucem, in vnum Bacchum
  (Dicentes) Nymphæ miscemur, non in Martem.

ΑΝΤΙΠΑΤΡΟΥ.

Κρηναῖαι λιβάδες, καὶ τὰ ἑξῆς, ζήτει ἐν τοῖς ἄνω, ἐν τῷ λζ κεφαλ. τῷ εἰς θάνατον.

ΣΑΤΥΡΟΥ.

Ἦ καλὸν αἱ δάφναι, καλὸν δ' ὑπὸ πυθμέσιν ὕδωρ
Πιδύει, πυκινὸν δ' ἄλσος ὑποσκιάει,
Τηλεθάον, ζεφύροισιν ἐπίδρομον· ἄλκαρ ὁδίταις
Δίψης, καὶ καμάτου, καὶ φλογὸς ἠελίου.

SATYRI. 5.

Certè pulcrum ſunt lauri, pulcra verò & in fundo aqua
Scaturit, denſum verò nemus obumbrat,
Germinans, Zephyris expoſitum, præſidium viatoribus
Sitis, & laboris, & flammæ ſolis.

Ἄδηλον.

Εἴ τις ἀπάγξασθαι μὲν ὀκνεῖ, θανάτου δ' ἐπιθυμεῖ,
Ἐξ ἱερᾶς πόλεως ψυχρὸν ὕδωρ πιέτω.

Incerti. 6.

Si quis ſuffocari quidem timet, mortem verò deſiderat,
Ex ſacrâ ciuitate frigidam aquam bibat.

Εἰς τὴν Σαλμακίδα, Ἄδηλον.

Εἰ μὲν ἀνὴρ ἥκεις, ἄρυσαι ξένε τῆσδ' ἀπὸ πηγῆς·
Εἰ δὲ φύσει μαλακός, μή με πίῃς προφάσει.
Ἄρρεν ἐγὼ ποτόν εἰμι, καὶ ἀνδράσι μούνοις ἀρέσκω·
Τοῖς δὲ φύσει μαλακοῖς ἡ φύσις ἐστὶν ὕδωρ.

In Salmacidem incerti. 7.

Si quidem vir venis, hauri hoſpes hoc ex fonte,
Sin verò naturâ mollis, ne me bibas *huius rei* cauſam.
Virilis ego potus ſum, & viris ſolummodo placeo:
Naturâ verò mollibus, ipſa natura eſt aqua.

ΕΙΣ ΠΛΟΥΤΟΥΝΤΑΣ,

κεφ. ξϛ.

Ἄδηλον.

Ἦν νέος, ἀλλὰ πένης· νῦν γηρῶν, πλούσιός εἰμι.
Ὦ μόνος ἐκ πάντων οἰκτρὸς ἐν ἀμφοτέροις.

Ὃς τότε μὲν χρῆσθαι δυνάμην ὁπότ' οὐδὲν εἶχον.
Νῦν δ' ὁπότε χρῆσθαι μὴ δύναμαι, τότ' ἔχω.

IN DITESCENTES, Cap. 1.

Incerti. 1.

Eram iuuenis, sed mendicus: nunc senex diues sum,
Heu, mihi, qui solus inter omnes miser sum in vtrisque.
Qui tunc quidem vti poteram, cùm nihil haberem:
Iam verò cùm vti non possum, tunc habeo.

ΠΑΛΛΑΔΑ.

Χρυσὲ, πάτερ κολάκων, ὀδύνης καὶ φροντίδος υἱὲ,
Καὶ τὸ ἔχειν σε, φόβος, καὶ μὴ ἔχειν σ', ὀδύνη.

PALLADÆ. 2.

Aurum, pater adsentatorum, doloris & curę fili,
Et te habere est metus, & non habere te dolor.

ΛΟΥΚΙΑΝΟΥ.

Πλοῦτος ὁ τῆς ψυχῆς, πλοῦτος μόνος ἐστὶν ἀληθής·
Τἄλλα δ' ἔχει ἄτην πλείονα τῶν κτεάνων.
Τὸν δὲ πολυκτέανον καὶ πλούσιόν ἐστι δίκαιον
Κλῄζειν, ὃς χρῆσθαι τοῖς ἀγαθοῖς δύναται.
Εἰ δέ τις ἐν ψήφοις κατατήκεται, ἄλλον ἐπ' ἄλλῳ
Σωρεύειν αἰεὶ πλοῦτον ἐπειγόμενος,
Οὗτος, ὁποῖα μέλισσα πολυτρήτοις ἐνὶ σίμβλοις,
Μοχθήσει, ἑτέρων δρεπτομένων τὸ μέλι.

LVCIANI. 3.

Diues animo, diues solus est verè,
Reliqua verò habet ipsa potiora possessionibus.
Illum verò locupletem & diuitem est iustum
Vocari, qui vti bonis potest.
Si quis verò in calculis tabesit, alias super alias
Coaceruando semper diuitias accumulat,
Hic, qualis apis multiforaminibus in fauis,
Laborabit, aliis colligentibus mel.

ΠΑΛΛΑΔΑ.

Πλουτεῖς; καὶ τί τὸ λοιπόν. ἀπερχόμενος, μετὰ σαυτοῦ
Τὸν πλοῦτον σύρεις εἰς σορὸν ἑλκόμενος;
Τὸν πλοῦτον συνάγεις, δαπανῶν χρόνον. οὐ δύνασαι δὲ
Ζωῆς σωρεῦσαι μέτρα περισσότερα.

PALLADÆ. 4.

Ditescis? at quid præterea? num moriens tecum
Diuitias trahis in cumulum contrahens?
Diuitias colligis insumens tempus. Non potes autem
Vitæ coaceruare terminos vlteriores.

Τοῦ αὐτοῦ.

Φεύγετε τοὺς πλουτοῦντας, ἀναιδέας, οἰκοτυράννους,
Μισοῦντας πενίην μητέρα σωφροσύνης.

Eiusdem. 5.

Fugite ditescentes, impudentes, in ædibus acerbos,
Odio habentes paupertatem matrem temperantiæ.

Ἄδηλον.

Βάπτων πάντα βαφεῦ, καὶ χρωματίοις μεταβάλλων,
Καὶ πενίην βάψας, πλούσιος ἐξεφάνης.

Incertum. 6.

Omnia tingens tinctor, & coloribus transmutans,
Et paupertatem tingens, diues apparuisti.

Εἰς κλέπτην δειλὸν, εὑρόντα ξίφος χρυσοῦν.

Καὶ χρυσὸν φιλέω, καὶ δήιον Ἄρεα φεύγω.

In furem timidum inuenientem ensem aureum. 7.

Et aurum amo, & infestum Martem fugio.

ΕΙΣ ΠΟΙΗΤΑΣ, κεφ. ξζ.

ΛΕΩΝΙΔΟΥ Ταραντίνου εἰς Ὅμηρον.

Ἄστρα μὲν ἠμαύρωσε καὶ ἱερὰ κύκλα σελήνης,
Ἄξονα δινήσας ἔμπυρος ἠέλιος·
Ὑμνοπόλους δ᾽ ἀγέλην δὲ ἀπημάλδυνεν Ὅμηρος,

Λαμπρότατον μουσῶν φέγγος ἀναγόμενος.

IN POETAS, Cap. LXVII.

LEONIDÆ Tarentini In Homerum.

Astra quidem obfuscauit, & sacros circulos Lunæ
  Axem voluens igneus Sol.
Poëtas verò gregatim demolitus est Homerus,
  Lucidissimum Musarum iubar exhibens.

ΑΛΦΕΙΟΥ Μιτυληναίου εἰς αὐτόν.

Ἀνδρομάχης ἔτι θρῆνον ἀκούομεν, εἰσέτι Τροίην
  Δερκόμεθ' ἐκ βάθρων πᾶσαν ἐρειπομένην,
Καὶ μόθον Αἰάντειον ὑπὸ στεφάνῃσι πόληος,
  Ἠδὲ τὸν ἐξ ἵππων Ἕκτορα συρόμενον,
Μαιονίδαο διὰ μοῦσαν· ὃν οὐ μία πατρὶς ἀοιδὸν
  Κοσμεῖται, γαίης δ' ἀμφοτέρης κλίματα.

ALPHÆI Mitylenæi in eundem.

Andromaches adhuc eiulatum audimus, adhuc Troiam
  Videmus ex imis sedibus omnem dirutam,
Et pugnam Aiacis sub propugnaculis vrbis,
  Et ab equis Hectora tractum,
Mæonidem ob solum, quem non patria vna Poëtam
  Exornat, terræ sed vtriusque climata.

ΑΝΤΙΦΙΛΟΥ εἰς Ἰλιάδα καὶ Ὀδύσσειαν.

Αἱ βίβλοι, τίνος ἐστέ; τί κεύθετε; θυγατέρες μὲν
  Μαιονίδου, μύθων δ' ἵστορες Ἰλιακῶν.
Ἁ μία μὲν μῆνιν θ' ὁ μὸν Ἀχιλλέος, ἔργα τε χειρὸς
  Ἑκτορέας, δεκέτους τ' ἆθλα λέγει πολέμου·
Ἁ δ' ἑτέρα, μόχθον τὸν Ὀδυσσέος, ἀμφί τε λέκτροις
  Χηρείοις ἀγαθᾶς δάκρυα Πηνελόπας.
Ἵλατε σὺν μούσαισι. μεθ' ὑμετέρας γὰρ ἀοιδάς,
  Εἶπεν ἔχει αἰὼν ἔνδεκα Πιερίδας.

ANTIPHILI in Iliadã & Odyssεam.

[a]Libri cuius estis? quid occultatis?[b]Filiæ quidem
Mæonidæ, fabularum historiæ Iliacarum.
Vnus quidem iram Achillis, operáque manus
Hectoreæ, decennalísque pugnas dicit belli.
Alter verò laborem Vlyssis, & in lectis
Viduatis bonæ lacrumas Penelopæ.
[a]Este propitij cum Musis. Post vestras enim cantiones,
Dixit habere hæc ætas vndecim Pierides.

Ερώτησις Ομήρου.

Ανδρες ἀπ' Αρκαδίης ἁλιήτορες, ἦ ῥ' ἔχομέν τι;

Interrogatio Homeri.

Viri ex Arcadiâ piscatores, An habemus aliquid?

Απόκρισις.

Οσσ' ἕλομεν, λιπόμεσθ'· ὅσσ' οὐχ ἕλομεν, φερόμεσθα.

Responsio.

Quæcunque cepimus, reliquimus: quæcunque a. non cepimus, (ferimus.

ΦΙΛΙΠΠΟΥ εἰς Ομηρον.

Οὐρανὸς ἄστρα τάχιον ἀποσβέσει, ἢ τάχα νυκτὸς
Ηέλιος φαιδρὴν ὄψιν ἀμαυρώσεται,
Καὶ γλυκὺ νᾶμα θάλασσα βροτοῖς ἀροτήσιμον ἕξει,
Καὶ νέκυς εἰς ζωῶν χῶρον ἀναδράμεται·
Η ποτὲ Μαιονίδαο βαθυκλεὲς οὔνομ' Ομήρου
Λήθη γηραλέων ἐκ πάσεται σελίδων.

PHILIPPI, In Homerum.

Cælum astra citius exstinguet, & forte nocte
Sol lucidam faciem præstabit,
Et non salsum fontem mare mortalibus arabile habebit,
Et mortuus in viuentium regionem recurret,
Quàm aliquando Mæonidæ profundæ laudis nomen Homeri
Obliuio senio confectis auferat libris.

Τίνας ἂν εἴποι λόγους Απόλλων περὶ

Ομήρου.

Ηειδον μὲν ἐγών, ἐχάρασσε δὲ θεῖος Ομηρος.

Quæ dixerit verba Apollo de Homero. 7.
Cecini quidem ego,exarauit verò diuinus Homerus.

ΑΝΤΙΠΑΤΡΟΥ Θεσσαλοῦ.

Τάσδε θεογλώσσους Ελικὼν ἔθρεψε γυναῖκας
 Ὕμνοις,καὶ Μακεδὼν Πιερίας σκόπελος,
Πρηξίλλαν,Μυρὼ,Ανύτης στόμα,θῆλυν Ομηρον,
 Λεσβιάδων Σαπφὼ κόσμον ἐϋπλοκάμων,
Ηρινναν,Τελέσιλλαν ἀγακλέα,καὶ σὲ Κόριννα,
 Θοῦριν Αθαναίης ἀσπίδα μελψαμέναν,
Νοσσίδα θηλύγλωσσον,ἰδὲ γλυκυαχέα Μύρτιν,
 Πάσας ἀενάων ἐργάτιδας σελίδων.
Εννέα μὲν μούσας μέγας οὐρανὸς,ἐννέα δ' αὐτὰς
 Γαῖα τέκε θνατοῖς ἄφθιτον εὐφροσύναν.

ANTIPATRI Theſſali. 8.

Has diuinis linguis Helicon nutriuit mulieres
 Hymnis & Macedon Pierias ſcopulus,
Prexillam,Myro,Anytæ os,fœminam Homerum,
 Leſbidum Sappho ornamentum capillatarum.
Erinnam Teleſillam nobilem,téque Corinna
 Strenuum Palladis ſcutum quæ cecinit.
Noſſidem muliebri linguâ,& dulciſonam Myrtin:
 Omnes immortalium operatrices librorum.
Nouem quidem Muſas magnum cælum:nouem verò illas
 Terra genuit hominibus immortalem lætitiam.

ΑΝΤΙΠΑΤΡΟΥ Σιδωνίου.

Μνημοσύνας ἕλε θάμβος,ὅτ' ἔκλυε τᾶς μελιφώνου
 Σαπφοῦς,μὴ δεκάτην μοῖσαν ἔχουσι βροτοί.

ANTIPATRI Sidonij. 9.

Mnemoſynem cepit metus,cùm audiuit dulciſonam
 Sappho,ne decimam Muſam forte haberent homines.

Ἄδηλον εἰς τοὺς ἐννέα λυρικούς.

Πίνδαρε,Μουσάων ἱερὸν στόμα,καὶ λάλε σειρὴν
 Βακχυλίδη,Σαπφοῦς τ' Αἰολίδες χάριτες,

Γράμμα

Γράμματ' Ανακρείοντος, Ομηρεικόν θ' τ' ἀπὸ ῥεῦμα
Εσπάσας οἰκείοις Στησίχορ' ἐν καμάτοις,
Ητε Σιμωνίδεω γλυκερὴ σελὶς, ἡδύ τε πειθοῦς
Ιβυκε καὶ παίδων ἄνθος ἀμησάμενε,
Καὶ ξίφος Αλκαίοιο, τὸ πολλάκις αἷμα τυράννων
Εσπεισεν, πάτρης θέσμια ῥυόμενον,
Θηλυμελεῖς τ' Αλκμᾶνος ἀηδόνες, ἵλατε· πάσης
Αρχὴν ὁ τῆς λυρικῆς καὶ πέρας ἐσπάσατε.

Incerti, in nouem Lyricos. 10.

Pindare Musarum sacrum os, & vocalis Siren
Bacchalides, Sapphúsque Æolides Charites,
Carmenque Anacreontis, Homerieum quique flumen
Traxisti familiaribus, Stesichore, in laboribus,
Pagina Simonidæ dulcis, dulcísque suâda
Ibyce, & puerorum florem decerpens,
Ensis & Alcæi, qui sanguinem sæpe tyrannorum
Libauit patriæ iura liberans.
Molliter canétésque Alcmanis luscíniæ, Estote propitij: omnis
Principium Lyricæ, & metam abstraxistis.

Εἰς τοὺς αὐτούς.

Εκλαγεν ἐκ Θηβῶν μέγα Πίνδαρος· ἔπνεε τερπνὰ
Ηδυμελεῖ φθόγγου μοῦσα Σιμωνίδεω.
Λάμπει Στησίχορός τε καὶ Ιβυκος· ἦν γλυκὺς Αλκμάν·
Λαρὰ δ' ἀπὸ στομάτων φθέγξατο Βακχυλίδης·
Πειθὼ Ανακρείοντι συνέσπετο· ποικίλα δ' αὐδᾷ
Αλκαῖος, κύκνος Λέσβιος, Αἰολίδι.
Ανδρῶν δ' οὐχ ἐνάτη Σαπφὼ πέλεν, ἀλλ' ἐρατειναῖς
Εν μούσαις δεκάτη μοῦσα καταγράφεται.

In eosdem. 11.

Clanxit ex Thebis magnum Pindarus: spirauit autem dulcia
Suaue canentis Musa Simonidis.
Lucet Stesichorúsque atque Ibycus: erat dulcis Alcman,

Grata verò ex ore profudit Bacchylides:
Suada Anacreontem subsequitur: varia verò canit
Alcæus, Cycnus Lesbius, Æolidi.
Virorum verò non nona Sappho fuit, sed amandis
In Musis decima Musa scribitur.

Εἰς Σαπφώ, Ἀδήλου.

Ἔλθετε πρὸς τέμενος γλαυκώπιδος ἀγλαὸν Ἥρης
Λεσβίδες, ἁβρὰ ποδῶν βήματ' ἐρεισάμεναι·
Ἔνθα καλὸν στήσασθε θεῇ χορόν. ὔμμι δ' ἀπάρξει
Σαπφώ, χρυσείην χερσὶν ἔχουσα λύρην.
Ὄλβιαι ὀρχηθμοῦ πολυγηθέος, ἦ γλυκὺν ὕμνον
Εἰσαΐειν αὐτῆς δόξετε Καλλιόπης.

In Sapph, Incerti. 12.

Venite ad delubrum cæsios oculos habentis inclytæ Iunonis
Lesbides, mollia pedum vestigia figentes:
Hic pulcrum ordinabitis Deæ chorum. Inter vos a prima erit
Sappho, auream manibus habens lyram.
Felices ob lætam nimis saltationem: sanè dulcem hymnum
Audire ipsius credite Calliopes.

ΠΛΑΤΩΝΟΣ εἰς τὴν αὐτήν.

Ἐννέα τὰς μούσας φασίν τινες ὡς ὀλιγώρως.
Ἠνίδε καὶ Σαπφὼ Λεσβόθεν ἡ δεκάτη.

PLATONIS in eandem. 13.

Nouem Musas dicunt quidam vt negligenter:
Ecce verò & Sappho è Lesbo decima.

Εἰς Ἤρινναν, Ἀδήλου.

Λέσβιον Ἠρίννης τόδε κηρίον· εἰ δέ τι μικρόν,
Ἀλλ' ὅλον ἐκ μουσέων κιρνάμενον μέλιτι.
Οἱ δὲ τριηκόσιοι ταύτης στίχοι, ἶσοι Ὁμήρῳ,
Τῆς καὶ παρθενικῆς ἐννεακαιδεκέτευς.
Ἣ καὶ ἐπ' ἠλακάτῃ, μητρὸς φόβῳ, ἣ καὶ ἐφ' ἱστῷ

Εςήκει, μουσέων λάτρις ἐφαπτομένη.
Σαπφὼ δ' Ηρίννης ὅσσον μελέεσσιν ἀμείνων,
Ηριννα Σαπφοῦς τόσσον ἐν ἑξαμέτροις.

In Erinnam, Incerti. 14

Lesbus Erinnæ hic fauus suauis aliquis paruus,
Sed totus ex Musarum mixtus melle.
Sed trecenti eius versus, æquales Homero:
Et virginis nouemdecim annorum.
Quæ & ad colum, matris metu, & ad telam
Stetit, Musas famula attingens.
Sappho verò Erinnâ quanto in Melicis melior,
Erinnâ ipsâ Sappho tantum in Hexametris.

Ως ἀπὸ τῆς βίβλου Λυκόφρονος.

Αδηλον.

Οὐκ ἂν ἐν ἡμετέροισι πολυγνάμπτοις λαβυρίνθοις
Ρηϊδίως προμόλοις ἐς φάος, αἶψα τύχης.
Τοίους γὰρ Πριαμὶς Κασσάνδρη φοίβασε μύθους
Αγγελος, οὓς βασιλεῖ φράσε λοξοτρόχις.
Εἰ δέ σε φίλατο Καλλιόπη, λάβε μ' ἐς χέρας· εἰ δὲ
Νῆις ἔφυς μουσέων, χερσὶ βάρος φορέεις.

Tanquam à libro Lycophronis, Incerti. 15

Non in nostris multiflexis Labyrinthis
Facilius veneris ad lucem, si in his verseris.
Tales enim Priami filia Cassandra diuinauit sermones,
Nuncia, quos regi dixit in ambages excurrens.
Si autem te dilexit Calliope, sume me in manus: sin verò
Alienus es à Musis, manibus onus fers.

Εἰς Αρχίλοχον, Αδηλον.

Αρχιλόχου τάδε μέτρα, καὶ ἠχήεντες ἴαμβοι,
Θυμοῦ καὶ φοβερῆς ἰὸς ἐπεσβολίης.

In Archilochum Incerti. 16.

Archilochi hæc metra, & sonori Iambi,
Iræ, & horrendæ telum conuiciorum iaculationis.

Εἰς Ἀριστοφάνην, ἄδηλον.

Βίβλοι Ἀριστοφάνιδος, θεῖος πόνος, αἷσιν Ἀχαρνεὺς
Κισσὸς ἐπὶ χλοερὴν πουλὺς ἔσεισε κόμην.
Ἠνὶ δ' ὅσον Διόνυσον ἔχει σελίς, οἷα δὲ μῦθοι
Ἠχεῦσιν, φοβερῶν πληθόμενοι χαρίτων.
Ὦ καὶ θυμὸν ἄριστε, καὶ Ἑλλάδος ἤθεσιν ἶσε
Κωμικέ, καὶ στύξας ἄξια, καὶ γελάσας.

In Aristophanem Incerti. 17.

Libri Aristophanis diuinus labor, quibus Acharnensis
Hedera super viride multa quatit caput.
Ecce quantum habeat Bacchum pagina, & qualia sermones
Resonent, horrendis pleni gratiis
O & animo optime, & Græciæ moribus æqualis
Comice, & pungens rectè, & irridens.

Εἰς Μένανδρον, ἄδηλον.

Αὐταί σοι στομάτεσσιν ἐνηρείσαντο μέλισσαι
Ποικίλα μουσάων ἄνθεα δρεψάμεναι.
Αὐταὶ καὶ χάριτές σοι ἐδωρήσαντο Μένανδρε,
Στωμύλον εὐστοχίην δράμασιν ἐνθέμεναι.
Ζώεις δ' εἰς αἰῶνα· τὸ δὲ κλέος ἐστὶν Ἀθήναις
Τοὐκ σέθεν, οὐρανίων ἁπτόμενον περάτων.

In Menandrum incerti. 18.

Ipsæ tibi in os consederunt apes
Varios Musarum flores decerpentes:
Ipsæ & Charites tibi dederunt Menander,
Suauem dexteritatem tabulis imponere.
Viuis verò in sæculum. gloria verò est Athenis
Ex te, quæ cælestes attingit fines.

ΑΝΤΙΠΑΤΡΟΥ Θεσσαλοῦ.

Ἀρκεῖ τέττιγας μεθύσαι δρόσος· ἀλλὰ πιόντες,
Ἀείδειν κύκνων εἰσὶ γεγωνότεροι.
Ὡς καὶ ἀοιδὸς ἀνὴρ ξενίων χάριν ἀνταποδοῦναι

Ὕμνους εὐέρκταις οἶδε παθὼν ὀλίγα.
Τοὔνεκα σὺ πρῶτος μὲν, ἀμειβομένην δ' ἐθέλουσι
Μοῖραν, πολλάκι μου κείσεαι ἐν σελίσιν.

ANTIPATRI Thessali. 19.

Sufficit ad cicadas inebriandas ros: verùm cùm biberunt
Ad canendum cygnis sunt vocaliores.
Sic & Poëta vir munerum gratiam reddere
Hymnos pro beneficiis nouit, cùm pauca acceperit.
Propterea tu primario quidem (Nam respondentem volunt
Fata) sæpius meis poneris in libris.

ΚΑΛΛΙΜΑΧΟΥ.

Ἦλθε Θεαίτητος καθαρὴν ὁδὸν· εἰ δ' ἐπὶ κισσὸν
Τὸν τεὸν, οὐχ αὕτη Βάκχε κέλευθος ἄγει.
Ἄλλων μὲν κήρυκες ἐπὶ βραχὺν οὔνομα καιρὸν
Φθέγξονται, κείνου δ' Ἑλλὰς ἀεὶ σοφίην.

CALLIMACHI. 20.

Venit Theætetus per puram viam: si autem ad hederam
Tuam, non hæc, Bacche, via agit.
Aliorum quidem præcones breui nomen tempore
Loquentur, illius verò Græcia semper sapientiam.

Τοῦ αὐτοῦ.

Μικρή τις Διόνυσε καλὰ πρήσσοντι ποιητῇ
Ῥῆσις. ὁ μὲν, νικῶ, φησὶ, τὸ μικρότατον·
Ὧι δὲ σὺ μὴ πνεύσῃς ἐνδέξιος, ἤν τις ἔρηται
Πῶς ἔβαλες, φησὶ, σκληρὰ τὰ γιγνόμενα.
Τῷ μερμηρίξαντι τὰ μὴ ἔνδικα, τοῦτο γένοιτο
Τοὔπος, ἐμοὶ δ' ὦ 'ναξ ἡ βραχυσυλλαβίη.

Eiusdem. 21.

Parua quidem Bacche, præclare facienti Poëtæ
Oratio. Hic quidem vinco dicit, quod est minimum.
Cui verò tu non spiraueris secundus, si quis interroget,
Quomodo iaculatus es, dicit grauia quæ facta sunt.
Illi, qui meditatur illegitima, hoc contingat verbum,

Mihi verò, ô rex, breuissima dictio.

Ὅσαι μοῦσαι καὶ οἷαι.

Καλλιόπη σοφίην ἡρωΐδος εὗρεν ἀοιδῆς·
Κλειὼ, καλλιχόρου κιθάρης μελιηδέα μολπήν·
Εὐτέρπη, τραγικοῖο χοροῦ πολυηχέα φωνήν·
Μελπομένη θνητοῖσι μελίφρονα βάρβιτον ἦρε·
Τερψιχόρη χαρίεσσα πόρεν τεχνήμονας αὐλούς·
Ὕμνους ἀθανάτων Ἐρατὼ πολυτερπέας εὗρε·
Τέρψιας ὀρχηθμοῖο Πολύμνια πάνσοφος εὗρεν·
Ἁρμονίην πάσαισι Πολύμνια δῶκεν ἀοιδαῖς.
Οὐρανίη πόλον εὗρε καὶ οὐρανίων χορὸν ἄστρων·
Κωμικὸν εὗρε Θάλεια βίον τε, καὶ ἤθεα κεδνά.

Quot Musæ, & quales. 22.

Calliope sapientiam Heroicæ inuenit cantilenæ,
Cleio, amabilis citharæ dulcem cantum,
Euterpe Tragici chori multisonam vocem,
Melpomene mortalibus mellisuauem barbiton sustulit.
Terpsichore gratiosa præbuit artificiosos tabicines.
Hymnos immortalium Erato valde suaues inuenit.
Voluptates saltationis Polymnia sapiens inuenit.
Harmoniam omnibus Polymnia dedit cantilenis,
Vrania cælum inuenit, & cælestium chorum astrorum,
Comicam inuenit Thalia vitam, & mores probatos.

Εἰς τὰς αὐτάς.

Οὐκ ἴδε Τερψιχόρην ὁ ζωγράφος, ἀλλ' ἀπὸ τέχνης
Ψεύδεται ὀφθαλμοὺς, εἴκελος ἀτρεκίῃ.
Εἴ ποτε τερψινόοιο φίλος φόρμιγγος ἀκούσῃς,
Τὴν Ἐρατὼ θαύμαζε τόσης εὑρήτορα τέχνης·
Εὐτέρπη δονάκεσσι πολυτρήτοισι λιγαίνει,
Πνεῦμα σοφῆς ὀχετηγὸν ἐπιπνείουσα μελίσσης.
Κωμικὸν ἀμφιέπω Θαλίη μέλος, ἔργα δὲ φωτῶν
Οὐχ ὁσίων θυμέλῃσι φιλοκροτάλοισιν ἀθύρω.

Εἰκόνα τῆς σοφίης ποτιδέρκεο. Καλλιόπης γὰρ
  Εἰκόνα σῇ κραδίῃ λάμβανε τὴν σοφίην.
Δαφνοκόμοις Φοίβοιο παρὰ τριπόδεσσι κελεύω
  Κλειὼ μαντοσύνης μοῦσα καὶ ἱστορίης.
Οὐρανίη ψήφοιο θεορρήτῳ τινὶ μέτρῳ
Ἀστρώην ἐδίδαξα παλινδίνητον ἀνάγκην.
Σκέπτεο χαλκεόφωνον ἐπιστέρχουσαν ἀοιδὴν,
  Μελπομένην, ἐρατῆς ἴδριν εὐεπίης.
Σιγῶ φθεγγομένης παλάμης θελξίφρονα παλμὸν,
Νεύματι φωνήεντα ἀπαγγέλλουσα σιωπήν.

In easdem. 25.

Non vidit Terpsichoren pictor, sed ab arte
  Effingit oculos, similis veritati.
Si quando animum oblectantem amice, citharam audieris
Erato admirare tantæ inuentricem artis.
Euterpe arundinibus multis foraminibus resonat,
Spiritum sapientis deriuatum seminans apis.
Comicum attingo Thalia carmen, Opera verò hominum
Non bonorum in pulpitis plausum amantibus ludo.
Effigiem sapientiæ aspice. Calliopes enim
  Effigiem tuo corde accipe sapientiam.
Lauro coronatas Phœbi apud Tripodas impero
  Cleo vaticinij Musa, & Historiæ,
Vrania numeri diuina quæpiam mensura
Cœlestem docui reciprocam cursus necessitatem.
Considera ferrea voce præditam vehementem cantilenam,
  Melpomenem amabilis peritam eloquentiæ.
Taceo loquentis manus delectabilem vibrationem
  Nutu vocale denunciantem silentium.

ΚΡΙΝΑΓΟΡΟΥ.

Καλλιμάχου τὸ τορευτὸν ἔπος τόδε. δὴ γὰρ ἐπ' αὐτῷ
  Ὡς ἀνὴρ τοὺς μουσέων πάντας ἔσεισε κάλως.
Ἀείδει δ' Ἑκάλης τε φιλοξείνοιο καλιὴν,

Καὶ Θησεῖ Μαραθὼν οὓς ἐπέθηκε πόνους.
Τοῦ, σοὶ καὶ νεαρῶν χειρῶν σθένος εἴη ἀρέσθαι
Μάρκελλε, κλεινοῦ τ' αἶνον ἴσον βιότου.

CRINAGORÆ. 24.

Callimachi limatum carmen hoc. Sanè enim in hoc
Hic vir Musarum omnes mouit rudentes:
Canit verò Hecales hospitibus amabilis casulam,
Et Theseo Marathon quos imposuit labores.
Cuius & tibi non lassatarum manuum robur contingat efferre
Marcelle, & illius parem gloriam vitæ.

Ἄδηλον.

Καλλίμαχος τὸ κάθαρμα, τὸ παίγνιον, ὁ ξύλινος νοῦς.
Αἴτιος ὁ γράψας αἴτια Καλλιμάχου.

Incerti. 25.

Callimachus illud piaculum, hæ nugæ, hæc mens lignea.
Culpæ reus est quisquis scripsit ætia Callimachi.

Ἀδέσποτον.

Ἡρόδοτος μούσας ὑπεδέξατο· τῇ δ' ἄρ' ἑκάστη
Ἀντὶ φιλοξενίης βίβλον ἔδωκε μίαν.

Incerti. 26.

Herodotus Musas hospitio suscepit. Cui sanè vnaquæque
Pro grato hospitio librum dedit vnum.

Ἄδηλον.

Ἡσιόδου ποτὲ βίβλον ἐμαῖς ὑπὸ χερσὶν ἑλίσσων,
Πυῤῥὼ ἐξαπίνης εἶδον ἐπερχομένην.
Βίβλον δὲ ῥίψας ἐπὶ γῆν χειρὶ τοῦτ' ἐβόησα,
Ἔργα τί μοι παρέχεις ὦ γέρον Ἡσίοδε;

Incerti auctoris. 27.

Hesiodi aliquando librum mêis manibus versans
Pyrrham continuò vidi supervenientem.
Librum verò proiiciens in terram manu, hoc exclamaui,
(Opera) negotia quid mihi exhibes ô senex Hesiode?

Ἄδηλον.

Ἄδηλον εἰς Νόννον.

Νόννος ἐγώ, Πανὸς μὲν ἐμὴ πόλις· ἐν Φαρίῃ δὲ
Ἔγχει φοινήεντι γονὰς ἤμησα γιγάντων.

Incerti in Nonnum. 28.

Nonnus ego, Panos quidem mî vrbs. In Ægypto verò
Enſe cruento genua meſſui gigantum.

ΛΕΩΝΙΔΟΥ.

Ἦν ὅποτε γραμμαῖσιν ἐμὴν φρένα μοῦνον ἔτερπον,
Οὐδ' ὄναρ εὐηγενέταις γνώριμος Ἰταλίδαις·
Ἀλλὰ τανῦν πᾶσιν ἐράσμιος. ὀψὲ γὰρ ἔγνων
Ὁππόσον Οὐρανίην Καλλιόπη προφέρει.

LEONIDÆ. 29.

Erat tempus cùm lineis meam mentem ſolam oblectarem,
Ne per ſomnum quidem nobilibus notus Romanis.
Sed iam omnibus amabilis. Serò enim didici
Quantum Vraniam Calliope antecellat.

ΕἸΣ ΠΟΙΜΕΝΑΣ, κεφ. ξη.

ΓΛΑΥΚΟΥ.

[a]Νύμφαι, πευθομένῳ φράσατ' ἀτρεκές, εἰ παροδεύων
Δάφνις τὰς λευκὰς ὧδ' ἀνέπαυσ' ἐρίφους.
[b]Ναὶ ναὶ Πὰν συρικτά, καὶ εἰς αἴγειρον ἐκείναν
Σοί τι κατὰ φλοιοῦ γράμμ' ἐκόλαψε λέγειν,
Πάν, Πάν, πρὸς Μαλέαν, πρὸς ὄρος Ψωφίδιον ἔρχευ.
[c]Ἵξομαι. νύμφαι χαίρετ', ἐγὼ δ' ὑπάγω.

IN PASTORES, Cap. LXVIII.

GLAVCI. I.

[a]Nymphæ interroganti dicite verè, an tranſiens
Daphnis candidos hîc refecit hœdos?
[b]Certè certè Pan fiſtulator, etiam in alnum illam

Tibi in corticc litteram inſcripſit,quam legas.
Pan Pan ad Maleam,ad montem Pſophidem veni
[a]Veniam. Nymphæ valete,ego abeo.

ΕΡΥΚΙΟΥ.

[a]Βουκόλε, πρὸς τοῦ Πανὸς, ὁ φήγινος (εἰπὲ) κολοσσὸς
Οὗτος, ὅτῳ σπένδεις τὸ γλάγος, ἐστὶ τίνος;
[b]Τῶ λεοντοπάλα Τιρυνθίω. οὐδὲ τὰ τόξα
Νήπιε, καὶ σκυτάλην ἀγριέλαιον ὁρῇς;
[a]Χαίροις Ἀλκείδα δαμαληφάγε, καὶ τάδε φρούρει
Αὔλια, κῆξ ὀλίγων μυριόβοια τίθει.

ERYCII. 2.

[a]Paſtor,per Pana,fagimus(dic)coloſſus
Hic,cui effers lac, eſt cuius?
[b]Cum leonc pugnantis Tirynthij.Neque ſagittas
O infans,& clauam ex ſilueſtri oleaſtro vides!
[a]Alcida vaccarum abſumtor,& hæc cuſtodi
Stabula,& ex paucis magnum gregem effice.

ΜΑΚΕΔΟΝΟΣ.

Κάπρον μὲν χέρσῳ Κόδρος ἔκτανε, τὴν δὲ ταχεῖαν
Εἰν ἁλὶ καὶ χαροποῖς κύμασιν εἷλ' ἔλαφον.
Εἰ δ' ἦν καὶ πτηνὴ θηρῶν φύσις, οὐδ' ἂν ἀν' αἴθρην
Τὴν κείνου κενεὴν Ἄρτεμις εἶδε χέρα.

MACEDONIS. 3.

Caprum quidem in litore Codrus interemit:hunc v.velocem
In mari & horridis fluctibus,capit ceruum.
Si etiam fuiſſet volucris ferarum natura,neque enim in aëre
Eius fruſtratam Artemis vidit manum.

ΑΝΤΙΦΙΛΟΥ.

Βόρχος ὁ βουποίμην ὅτ' ἐπὶ γλυκὺ κηρίον εἷρπεν,
Αἰγίλιπα σχοίνῳ πέτρον ἐπερχόμενος,
Εἵρπετο τῷ σκυλάκων τις, ὁ καὶ βοσὶν ὃς φάγε λεπτὴν
Σχοῖνον, ἀφ' ἧς κρεμάσῳ χειραγομένην μέχρι.

Κάππεσε δ' ἐς ἀΐδαο· τὸ δ' ἀπευγὲς ἀνδράσιν ἄλλοις
Κεῖνο μέλι, ψυχῆς ὤνιον εἰρύσατο.

ANTIPHILI. 4.

Borchus boum pastor, cùm ad dictum fauum accessisset,
Excelsum cum fune saxum ascendit.
Secutus est eum catulus, & boues sequens qui tenuẽ comede-
E iunco funem, tracto illitum melle. (bat
Cecidit v. ad inferos. illá a. mellis vindemiá aliis viris inaccensá,
Illud mel, cum vitâ emtam attraxit.

Ἀδέσποτον.

Ω Πὰν φερβομέναις ἱερὰν φάτιν ἄπυε ποίμναις,
Κυρτὸν ὑπὲρ χρυσέων χεῖλος ἱεὶς δονάκων,
Ὄφρ' αἱ μὲν λευκοῖο βεβριθότα δῶρα γάλακτος
Οὔθασιν ἐς Κλυμένου πυκνὰ φέρωσι δόμον,
Σοὶ δὲ καλῶς βωμοῖσι παριστάμενος πόσις αἰγῶν,
Φοίνιον ἐκ λασίου στήθεος αἷμ' ἐρύγῃ.

Incerti. 5.

O Pan pastis sacram vocem ede gregibus ouium,
Incuruum ad aureas labrum admouens arundines,
Vt hi quidem candidi aggrauata munera lactis
Vberibus in Clymeni crebra ferant domum.
Tibi verò ritè ad aras astans vir caprarum,
Cruentum ex hirsuto pectore sanguinem effundat.

ΕΙΣ ΠΟΛΕΜΟΝ ΚΑΙ ΕΙΡΗΝΗΝ,
κεφ. ζ.

ΑΠΟΛΛΩΝΙΔΟΥ

Σκύλλος ὅτε Ξέρξου δολιχὸς στόλος Ἑλλάδα πᾶσαν
Ἤλαυνεν, βυθίην εὕρατο ναυμαχίην,
Νηρῆος λαθρίοισιν ὑπὸ πλώσας τενάγεσσι,
Καὶ τῶν ἀπ' ἀγκύρης ὅρμον ἔκειρε νεῶν.
Αὐτανδρος δ' ἐπὶ γῆς ὀλίσθανε Περσὶς ἀναύδως
Ὀλλυμένη, πρώτη πεῖρα Θεμιστοκλέους.

IN BELLVM, ET PACEM, Cap. LXIX.

APOLLONIDÆ. 1.

Scyllus cùm Xerxis ingens classis Græciam totam
 Vexauit, profundam inuenit nauium pugnam,
Nerei occultum natans ad limum,
 Et ab anchora retinaculum abscidit nauium,
Vna verò cum viris capta in terram cecidit Persia muta
 Perdita, primum facinus Themistoclis.

ΦΙΛΙΠΠΟΥ.

Οὐκ ἔτι πυργωθεὶς ὁ φαλαγγομάχας ἐπὶ δῆριν
 Ἄσχετος ὁρμᾶται μυριόδους ἐλέφας,
Ἀλλὰ φόβῳ στείλας βαθὺν αὐχένα πρὸς ζυγοδέσμους,
 Ἄντυγα διφρουλκεῖ Καίσαρος οὐρανίου.
Ἔγνω δ' εἰρήνης καὶ θὴρ χάριν, ὄργανα ῥίψας
 Ἄρεος, εὐνομίης ἀντανάγει πατέρα.

PHILIPPI. 2.

Non amplius turritus cum phalangibus stans in acie
 Impetuosus irruit magnis dentibus Elephas,
Sed timore demittens profundam ceruicē ad lorum temonis,
 Currum trahit Cæsaris cælestis.
Nouit verò pacis etiam fera gratiam, instrumenta abiiciens
 Martis, bonæ constitutionis sursum vehit patrem.

Ἄδηλον.

Ἄρτεμις ἱδρώουσα, προάγγελός ἐστι κυδοιμοῦ.

Incerti. 3.

Artemis sudans, prænuncia est tumultus.

ΕΙΣ ΠΟΛΕΙΣ, κεφ. οζ.

ΕΥΗΝΟΥ εἰς Τροίαν.

Ξεῖνοι, τὴν περίβωτον ἐμὲ πόλιν, Ἴλιον ἱρήν,
 Τὴν πάρος ἐν πύργοις τείχεσι κληζομένην,

Αἰῶνος τέφρη κατεδήδοκεν· ἀλλ' ἐν Ὁμήρῳ
  Κεῖμαι, χαλκείων ἕρκος ἔχουσα πυλῶν.
Οὐκ ἔτι με σκάψει Τρωοφθόρα δούρατ' Ἀχαιῶν,
  Πάντων δ' Ἑλλήνων κείσομαι ἐν στόμασιν.

IN CIVITATES, Cap. LXX.

EVENI in Troiam.

Hoſpites, nobilem me ciuitatem, Ilium ſanctum,
  Quæ prius bene turritis mœnibus incluſa fuit,
Æui cinis deuorauit: ſed in Homero
  Iaceo, æ nearum ſepimentum habens portarum.
Non amplius me fodient Troiam perdentes haſtæ Grecorum,
  Omnium verò Græcorum verſabor in ore.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ εἰς τὸ αὐτό.

Ὦ πόλι, πῆ σέο κεῖνα τὰ τείχεα; πῆ πολύολβοι
  Νηοί; πῆ δὲ βοῶν κράατα τεμνομένων;
Πῆ Παφίης ἀλάβαστρα, καὶ ἡ πάγχρυσος ἐφεστρίς;
  Πῆ δὲ Τριτογενοῦς δείκελον ἐνδαπίης;
Πάντα μόθος, χρονίη τε χύσις, καὶ μοῖρα κραταιὴ
  Ἥρπασεν, ἀλλοίην ἀμφιβαλοῦσα τύχην.
Καί σε τόσον νίκησε βαρὺς φθόνος· ἀλλ' ἄρα μοῦνον
  Οὔνομα σὸν κρύψαι καὶ κλέος οὐ δύναται.

AGATHIÆ Scholaſtici in idem. 2.

O ciuitas, vbi tua illa mœnia, vbi verò ditia
  Templa, vbi verò boûm capita mactatorum.
Vbi Veneris alabaſtra, & totæ aureæ veſtes,
  Vbi verò Palladis ſimulacrum indigenæ?
Omnia bellum, & temporalis confuſio, & parca valida
  Abſtulit? longè aliam circumfuſa fortunam.
Et te vſque eò vicit grauis inuidia. Sed ſane ſolum
  Nomen tuum abſcondere & laudem non poteſt.

ΒΑΣΣΟΥ ΛΟΥΛΛΙΟΥ εἰς τὸ αὐτό.

Ἄῤῥηκτοι μοιρῶν πυμάτην ἐσφρήγισαν ὅρκοι

Τῷ Φρυγὶ πὰρ βωμῷ τὴν Πριάμου θυσίην.
Ἀλλὰ σοὶ Αἰνεία στόλος ἱερὸς Ἰταλὸν ἤδη
 Ὅρμον ἔχει, πάτρης φερίμιον οὐρανίης.
Ἐς καλὸν ὤλετο πύργος ὁ Τρώϊος. ἡ γὰρ ἐν ὅπλοις
 Ἡγέρθη κόσμου παντὸς ἄνασσα πόλις.

BASSI LOLLII in idem. 3.

Infracta parcarum vltimam insignierunt iuramenta
 Phrygiam ad aram Priami victimam.
Sed tibi, Ænea, classis sancta, Italum iam
 Portum habet, patriæ proœmium cœlestis.
Feliciter periit turris Troiana. Hæc enim in armis
 Excitata est mundi omnis regina ciuitas.

ΑΔΡΙΑΝΟΥ ΚΑΙΣΑΡΟΣ, ὡς δ' ἄλλοι, ΓΕΡΜΑΝΙΚΟΥ, εἰς τὸ αὐτό.

Ἕκτορ, Ἀρήϊον αἷμα, κατὰ χθονὸς εἴ που ἀκούεις,
 Χαῖρε, καὶ ἄμπνευσον βαιὸν ὑπὲρ πατρίδος.
Ἴλιον οἰκεῖται, κλεινὴ πόλις, ἄνδρας ἔχουσα
 Σοῦ μὲν ἀφαυροτέρους, ἀλλ' ἔτ' ἀρηϊφίλους.
Μυρμιδόνες δ' ἀπόλοντο. παρίστασο, καὶ λέγ' Ἀχιλλεῖ
 Θεσσαλίην κεῖσθαι πᾶσαν ὑπ' Αἰνεάδαις.

ADRIANI CÆSARIS, vt alij GERMANICI, in idem. 4.

Hector, Martialis sanguis, in terra sicubi diceris
 Salue, & respira paululum super patriâ.
Ilium inhabitatur, præclara vrbs, viros habens
 Te quidem debiliores, sed adhuc tamen bellicosos.
Myrmidones verò perierunt. Adsiste, & dic Achilli
 Thessaliam positam esse omnem sub Æneadis.

Τούτοις ὑπέγραψε λάθρα Σπαρτιάτης

ΔΗΜΑΡΑΤΟΣ.

Θάρσυνοι. οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι πρόσωπον,

Hisce subscripsit clam Spartanus DEMARATVS 5.

Confidentes sunt. Non enim meæ galeæ vident faciem.

Ζητηθεὶς δ' ὑπὸ τοῦ βασιλέως, αὖθις προσέθηκεν,

Εἰμὶ μὲν εὐθώρηκος Ἐνυαλίου πολεμιστής,
Εἰμὶ δὲ καὶ θεράπων Ἑλικωνίου Ἀπόλλωνος.

Quæsitus verò à rege, rursus addidit.

Sum quidem benè loricati Martis bellator,
Sum verò etiam minister Heliconij Apollinis.

ΑΓΑΘΙΟΥ εἰς τὸ αὐτό.

Εἰ μὲν ἀπὸ Σπάρτης τις ἔφυς, ξένε, μή με γελάσσῃς·
Οὐ γὰρ ἐμοὶ μούνῃ ταῦτ' ἐτέλεσσε τύχη.
Εἰ δέ τις ἐξ Ἀσίης, μὴ πένθεο. Δαρδανικοῖς γὰρ
Σκήπτροις Αἰνεαδῶν πᾶσα νένευκε πόλις.
Εἰ δὲ θεῶν τεμένη καὶ τείχεα καὶ ναετῆρας
Ζηλήμων δηίων ἐξεκένωσεν Ἄρης,
Εἰμὶ πάλιν βασίλεια· σὺ δ' ὦ τέκος ἄτρομε Ῥώμη,
Βάλλε καθ' Ἑλλήνων σῆς ζυγόδεσμα δίκης.

AGATHIÆ in idem. 6.

Si quidem ex Spartâ quis es, hospes, ne me irriseris,
Non enim mihi soli hæc fecit fortuna.
Si verò quis ex Asiâ, noli inquirere. Dardanicis enim
Sceptris Æneadum omnes vrbs nutauit.
Licet autem deorum delubra & muros, & inhabitatores
Inuidus vastans exinaniuerit Mars:
Sum (tamen) rursus regina. Tu verò ô filia intrepida Roma,
Coniice contra Græcos tuæ iugum pœnæ,

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ἅδε ποθ' ἁ κλεινὰ Πριάμου πόλις, οὐ δ' ἀλαπάξαι
Ἑλλάνων δεκέτης οὐκ ἐπάλαισεν ἄρης
Ἀμφαδόν, ἀλλ' ἵπποιο κακὸν ξύλον. αὖθι δ' Ἐπειὸς
Κάτθανε πρὶν τεῦξαι δουρατέαν παγίδα.
Οὐ γὰρ ἂν Ἀτρειδᾶν ὀρσηφάγον ἄψαυσεν πῦρ
Οὕτως ἐφ' ἁμετέροις λάεσιν ἠειπίμας.

Eiuſdem in idem. 7.

Hæc quondam inclyta Priami ciuitas, quam euertere
Græcorum decennalis non ſuſtinuit Mars,
Apertè, ſed equi malum lignum. Vtinam autem Epeus
Mortuus eſſet antequam fabricaſſet ligneum decipulum.
Non enim Alcidis tecta vorantem accendentibus ignem,
Sic ſuper meum populum cecidiſſet.

ΑΝΤΙΦΙΛΟΥ εἰς τὸ αὐτό.

Δέρκεο τὸν Τροίας δεκέτη λόχον, εἴσιδε πῶλον
Εὐόπλου Δαναῶν ἔγκυον ἡσυχίης.
Τεκταίνει μὲν Ἐπειός, Ἀθηναίη δὲ κελεύει
Ἔργον· ὑπὸ νώτου δ' Ἑλλὰς ὅλη δύεται.
Ἦ ῥα μάτην ἀπόλοντο τόσος στρατὸς, εἰ πρὸς ἄρηα
Ἦν δόλος Ἀτρείδαις ἐσθλότερος πολέμου.

ANTIPHILI in idem.

Intuere Troiæ decennales inſidias, intuere equum
Bene armatæ Danaûm grauidum tranquillitatis.
Fabricat quidem Epeus, Pallas verò iubet
Opus: ſub cuius dorſo Græcia tota abſconditur.
Sanè fruſtra periit tantus exercitus, ſi ad victoriam
Fuit dolus Atridis vtilior, quàm bellum.

ΠΟΜΠΗΙΟΥ, οἱ δὲ, ΜΑΡΚΟΥ νεωτέρου, εἰς Μυκήνην.

Εἰ καὶ ἐρημαίη κέχυμαι κόνις ἔνθα Μυκήνη,
Εἰ καὶ ἀμαυροτέρη παντὸς ἰδεῖν σκοπέλου·
Ἴλου τὶς καθορῶν κλεινὴν πόλιν, ἧς ἐπάτησα
Τείχεα, καὶ Πριάμου πάντ' ἐκένωσα δόμον,
Γνώσεται ἔνθεν ὅσον πάρος ἔσθενον. εἰ δέ με γῆρας
Ὕβρισεν, ἀρκοῦμαι μάρτυρι Μαιονίδῃ.

POMPEII, vt alij MARCI iunioris In Mycenam. 9.

Quamuis deſerta, fuſa ſim puluis hîc Mycena,
Quamuis etiam obſcurior omni videar ſcopulo,

Ili quis

Ili quis intuens inclytam ciuitatem, cuius conculcaui
Muros, & Priami vniuersam vacuaui domum,
Cognoscet inde quantum prius valui. Licet verò me senectus
Attriuerit, contentus sum teste Homerico.

ΑΝΤΙΠΑΤΡΟΥ Θετταλοῦ εἰς τὸ αὐτό.

Ηρώων ὀλίγαι μὲν ἐν ὄμμασιν, αἱ δέ τε λοιπαὶ
Πατρίδες, οὐ πολλῶν αἰπύτεραι πεδίων.
Οἵην καὶ σὲ τάλαινα παρερχόμενός γε Μυκήνην,
Εγνων αἰπολίου παντὸς ἐρημοτέρην.
Αἰπολικὸν μίσημα. γέρων δέ τις, ἡ πολύχρυσος,
Εἶπεν, Κυκλώπων τῇδ' ἐπέκειτο πόλις.

ΑΝΤΙΡΑΤΡΙ Thessali in idem. 10.

Heroûm paucæ quidem in oculis, quæ verò reliquæ
Patriæ, non multo sublimiores solo.
Qualem & te misera, præteriens Mycenam,
Cognoui scopulo omni desertiorem.
Caprarium indicium. Senex autem quis, aurea
Dixerit, Cyclopum hic sita fuit ciuitas.

ΑΝΤΩΝΙΟΥ Αργείου εἰς τὸ αὐτό.

Η πολύχρυσος ἐγὼ τὸ πάλαι πόλις, ἡ τῶν Ατρειδῶν
Οἶκον ἀπ' οὐρανίου δεξαμένη γενεῆς,
Η Τροίην πέρσασα θεόκτιτον, ἡ βασίλειον
Ασφαλὲς Ελλήνων οὖσά ποθ' ἡμιθέων,
Μηλόβοτος κεῖμαι καὶ βουνόμος ἔνθα Μυκήνη,
Τῶν ἐπ' ἐμοὶ μεγάλων οὔνομ' ἔχουσα μόνον.

ANTONII Argiui in idem. 11.

Aurea ego quondam ciuitas, quæ Atridarum
Familiam à cælesti accepi genere,
Quæ Troiam delens à Diis fabricatam, quæ regia
Firma Græcorum fui quondam semideorum.
Ouium pascuum iaceo & boûm hic Mycena,
Illorum quæ in me magna fuerunt nomen habens solùm.

ΑΛΦΕΙΟΥ Μιτυληναίου.

Ἄργος, Ὁμηρεικὲ μῦθε, καὶ Ἑλλάδος ἱερὸν οὖδας,
Καὶ χρυσέη τὸ πάλαι Περσέος ἀκρόπολι,
Ἐσβέσαθ' ἡρώων κείνων κλέος οἵ ποτε Τροίης
Ἤρειψαν κατὰ γῆς θεόδμητον στέφανον.
Ἀλλ' ἡ μὲν, κρείσσων ἐστὶ πόλις· αἱ δὲ, πεσοῦσαι,
Δείκνυσθ' εὐμύκων αὔλια βουκολίων.

ALPHEI Mitylenæi. 12.

Argus, Homerice ſermo, & Græciæ ſacrum ſolum,
Et aurea quondam Perſei arx,
Extincta es, heroum illorum decus, qui quondam Troiæ
Deiecerunt ad terram Diis inhabitatam coronam.
Sed hæc quidem melior eſt ciuitas. vos verò prolapſæ,
Oſtendimini mugientium ſtabula armentorum.

ΑΝΤΙΠΑΤΡΟΥ.

Ποῦ τὸ περίβλεπτον κάλλος σέο Δωρὶ Κόρινθε;
Ποῦ στεφάναι πύργων, ποῦ τὰ πάλαι κτέανα;
Ποῦ νηοὶ μακάρων, ποῦ δώματα; ποῦ δὲ δάμαρτες
Σισύφιαι, λαῶν θ' αἵ ποτε μυριάδες;
Οὐδὲ γὰρ οὐδ' ἴχνος πολυκάμμορε σεῖο λέλειπται,
Πάντα δὲ συμμάρψας ἐξέφαγε πόλεμος.
Μοῦναι ἀπόρθητοι Νηρηΐδες Ὠκεανοῖο
Κοῦραι, σῶν ἀχέων μίμνομεν Ἀλκυόνες.

ANTIPATRI. 13.

Vbi conſpicua pulcritudo tua, Dorica Corinthe?
Vbi coronæ turrium, vbi antiquæ apes?
Vbi templa Deorum & domus? Vbi vxores
Siſyphiæ & populorum quondam myriades?
Neque enim veſtigium, ô multum miſera, tui relinquitur,
Omnia verò corripiens abſumpſit bellum.
Solæ non euerſæ Nereides Oceani
Nymphæ tuarum calamitatum meminimus Alcyones.

ΟΝΕΣΤΟΥ Κορινθίου.

Ἔστην ἐν φόρμιγγι, κατηρείφθην δὲ σὺν αὐλῷ
Θήβη· φεῦ μούσης ἔμπαλιν ἁρμονίης.
Κωφὰ δέ μοι κεῖται λυροθελγέα λείψανα πύργων
Πέτραις μουσοδόμοις, τείχεσιν αὐτομάτοις.
Σῆς χερὸς Ἀμφίων ἄπονος χάρις. ἑπτάπυλον γὰρ
Πάτρην ἑπταμίτῳ τείχισας ἐν κιθάρῃ.

ONESTI Corinthij. 14.

Surrexi cum cithara, desolata verò fuit cum tubis
Thebe. Heu Musæ contrariæ harmoniam!
Surdæ verò mihi iacent à lyra oblectatæ reliquiæ turris
In petris à Musis constructis, & muris sponte coaptis.
Tuæ manus Amphion facilis gratia: septem portarum
Patriam septicordâ muniisti in citharâ.

Τοῦ αὐτοῦ.

Ἁρμονίης ἱερὸν φήσεις γάμον, ἀλλ' ἀθέμιτον
Οἰδίποδος· λέξεις Ἀντιγόνην ὁσίην,
Ἀλλὰ κασίγνητοι μιαρώτατοι· ἄμβροτος Ἰνώ,
Ἀλλ' Ἀθάμας τλήμων· τειχομελὴς κιθάρη,
Ἀλλ' αὐλὸς δεσμαυσος· ἴδ' ὡς ἐκεράσατο Θήβῃ
Δαίμων ἐσθλὰ, κακοῖς δ' εἰς ἓν ἔμιξεν ἴσα.

Eiusdem. 15.

Harmoniæ sacras dixeris nuptias, sed illegitimas
Oedipodis. Dixeris Antigonam sanctam.
Sed fratres sceleratissimi: felix Ino,
Sed Athamas miser. Muros excitans cithara,
Sed tibia destruens Musica. Vide qui miscuerit Thebes
Deus bona malis, & in vnum miscuit paria.

ΦΙΛΙΠΠΟΥ εἰς τὸ αὐτό.

Ἐν Θήβαις Κάδμου κλεινὸς γάμος, ἀλλ' ὁ μυσαρθεὶς
Οἰδίποδος· τελετὰς Εὔιος ἠσπάσατο,
Ἃς γὰρ ἴσας Πενθεὺς ὠδύρετο· τείχεα χορδαῖς

Ἔστη, καὶ λωτοῖς ἔστενε λυόμενα.
Ἀντιόπης ὁσίη, χαλεπὴ δ' ὠδὶς Ἰοκάστης,
Ἦν Ἰνὼ φιλόπαις, ἀλλ' ἀσεβὴς Ἀθάμας.
Οἰκτρὸν ἀεὶ πτολίεθρον· ἴδ' ὡς ἐσθλῶν περὶ Θήβας
Μύθων καὶ στυγερῶν ἤρκεσεν ἱστορίη.

PHILIPPI in idem. 16.

Thebis Cadmi inclytæ nuptiæ, sed abominabiles
Oedipodis: orgia Bacchus amauit,
Quæ ridens Pentheus indoluit: muri fidibus
Steterunt, & tibiis ingemuêre dissoluti.
Antiopes sanctus est, grauis est partus Iocastæ,
Ino amabat liberos, erat impius Athamas.
Miserandum semper opidū, vide quî bonorum circa Thebas
Sermonum & horribilium sufficiat historia.

ΒΙΑΝΟΡΟΣ.

Σάρδιες αἱ τὸ πάλαι Γύγου πόλις, αἵτ' Ἀλυάττου
Σάρδιες, αἱ βασιλεῖ Περσὶς ἐν Ἀσιάδι,
Αἳ Κροίσῳ τὸ παλαιὸν ἐπλινθώσασθε μέγαθρον,
Ὄλβον Πακτωλοῦ ῥεύματι δεξάμεναι·
Νῦν δὲ ὅλαι δύστηνοι ἐς ἓν κακὸν ἁρπασθεῖσαι,
Ἐς βυθὸν ἐξ ἀχάνους χάσματος ἠρίπετε,
Βοῦρα καὶ εἰς Ἑλίκην κεκλυσμέναι· αἱ δ' ἐνὶ χέρσῳ
Σάρδιες, ἐν βυθίαις εἰς ἓν ἔχεσθε τέλος.

BIANORIS. 17.

Sardus quæ olim Gyges ciuitas, quæque Halyatti
Sardus, quæ regi Persis in Asia,
Quæ Crœso quondam extruxistis atrium,
Diuitias Pactoli è flumine haurientes:
Iam verò totæ infelices in vnum malum abreptæ,
In profundum ex immenso chasmate corruistis.
Buræ & in Helicen absorptæ. Quæ verò in terra
Sardies, cum insulis in vnum ponimini exilium.

ΔΟΥΡΙΔΟΣ Ἐλεάτου εἰς τὸν κατακλυσμὸν Ἐφέσου.

Ἠέριαι νεφέλαι, πόθεν ὕδατα πικρὰ πιοῦσαι,
Νυκτὶ σὺν ἀστεμφεῖ πάντα κατεκλύσατε;
Οὐ Λιβύης, Ἐφέσου δὲ τὰ μυρία κεῖνα παλαιῆς
Αὔλια, καὶ μακάρων ἐξ ἐτέων κτέανα.
Ποῦ δὲ σαωτῆρες τότε δαίμονες ἔτρεπον ὄμμα;
Αἶ, αἶ, τὴν Ἰάδων πολλὸν ἀοιδοτάτην.
Κεῖνα δὲ κύμασι πάντα κυλινδομένοισιν ὁμοῖα
Εἰς ἅλα σὺν ποταμοῖς ἔδραμε πεπταμένοις.

DVRIDIS Eleatæ in diluuium Ephesi. 18.

Aëriæ nubes, vnde aquas graues bibentes,
In nocte lamentabili omnia inundastis?
Non Libyæ *deserta* sed Ephesi infinita illa miseræ
Stabula, & fertilibus ex annis opes.
Qui autem saluatores tunc Dij auerterunt oculum?
Æ, æ, inter Ionicas valde celeberrimam!
Illa verò fluctibus omnia voluentibus similia
In mare cum aquis cucurrerunt decidentibus.

ΙΩΑΝΝΟΥ ποιητοῦ τοῦ Βαρβουκάλλου ἐπὶ τῇ κατακαύσει Βηρυτοῦ.

Ἅδ᾽ ἐγὼ ἁ τλάμων ἄπολις πόλις, ἄμμιγα νεκροῖς
Ἐνναέταις κεῖμαι ἁ πάνυ πολμοτάτα.
Ἥφαιστός μ᾽ ἐδάμασσε, μετ᾽ κλόνον Ἐννοσιγαίου.
Φεῦ, ἀπὸ τοσσατίου κάλλεος εἰμὶ κόνις.
Ἀλλὰ παραστείχοντες ἐμὰν στοναχήσατε μοῖραν,
Σπείσατε Βηρυτῷ δάκρυα καὶ φθιμένᾳ.

IOANNIS Poëtæ Barbucalli de incendio Beryti. 19.

Hæc ego misera non vrbs vrbs, simul cum mortuis
Habitatoribus iaceo infelicissima.
Vulcanus me domuit, post mortem Neptuni,
Hei mihi ex tanto ornatu sum cinis.

Sed prætereuntes meam deflete ſortem,
Litate Beryto lacrumas vel mortuæ.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ποῦ τελέθει Κύπρις πολιάοχος, ὄφρα νοήσῃ
Ἔνδιον εἰδώλων, τὴν πρὶν ἕδος χαρίτων;

Eiuſdem in idem. 20.

Vbi eſt Venus tutelaris, vt ſciam
Domicilium mortuorum, quæ prius erat ſedes Charitûm?

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Τύμβος ἀπαρχύτων μερόπων πόλις, ἧς ὑπὸ τέφρῃ
Αἱ Βερόης πολλαὶ κείμεθα χιλιάδες,
Γράψατε δ' ἑνὸς καθύπερθε λίθου φίλα λείψανα φωτῶν,
Βηρυτὸς γοερὴ κεῖται ὑπὲρ δαπέδων.

Eiuſdem in idem. 21.

Sepulcrum inſepultorum hominum vrbs, cuius ſub fauillâ,
Beroë multæ iacemus Chiliades,
Scribite vnum ſuper lapidem amicas reliquas hominum,
Berytus luctuoſa iacet ſuper ſolum.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ναυτίλε, μὴ στήσῃς δρόμον ὁλκάδος εἵνεκ' ἐμεῖο,
Λαίφεα μὴ λύσῃς· χέρσον ὁρᾷς λιμένα.
Τύμβος ὅλη γενόμην, ἑτέρην δ' ἐς ἀπενθέα χώρην
Δουπήσει κώπη, νηὸς ἐπερχομένης.
Τοῦτο Ποσειδάωνι φίλον, ξενίοις τε θεοῖσι.
Χαίρεθ' ἁλιπλανέες, χαίρεθ' ὁδοιπλανέες.

Eiuſdem in idem. 22.

Nauta ne inſtituas curſum nauis meâ cauſâ,
Vela ne ſoluas, littus vides hunc portum.
Sepulcrũ tota facta ſum Aliam verò in non luctuoſam regioné
Sonabit remus nauis ſuperuenientis:
Ita Neptuno gratum eſt, & hoſpitibus Diis.
Valete in mari errantes, valete pedites.

ΑΝΤΩΝΙΟΥ Ἀργείου.

Ἡ πρὶν ἐγὼ Περσῆος ἀκρόπολις αἰθερίοιο,
   Ἡ πυρὸν Ἰλιάδαις ἀστέρα θρεψαμένη,
Αἰπολίοισιν ἔπαυλον ἐρημαίοισιν κεῖμαι,
   Τίσασα Πριάμου δαίμοσιν ὀψὲ δίκας.

ANTONII Argiui. 23.

Illa ego, quæ prius fui Perſei ſumma arx ætherei,
   Quæ grauem Iliadis ſtellam educaui.
Caprariis ſtabulum ſolitariis iaceo,
   Expendens Priami manibus ſerò pœnas.

ΕΙΣ ΠΟΝΗΡΟΥΣ, κεφ. οα.

Ἄδηλον.

Φασὶ παροιμιακῶς, κἂν μῦς δάκοι ἄνδρα πονηρόν·
   Ἀλλὰ τόδ᾽ οὐχ οὕτω φημὶ προσῆκε λέγειν,
Ἀλλὰ, δάκοι κἂν μῦς ἀγαθοὺς καὶ ἀπράγμονας ἄνδρας,
   Τὸν δὲ κακὸν δεδιὼς δήξεται οὐδὲ δράκων.

IN MALOS, Cap. LXIX.

Incerti. 1.

Dicunt iuxta Parœmiam, Vel mus mordeat malum virum:
   Sed illud non ſic, dico, conuenit dicere.
Sed mordeat vel mus bonos & litium fugitantes viros,
   Malum verò timens mordeat ne draco quidem.

ΠΑΛΛΑΔΑ.

Εἰ τοὺς ἀνδροφόνους εὐδαίμονας ὄντας ὁρῶμεν,
   Οὐ πάνυ θαυμάζω· τοῦ Διός ἐστι γέρας.
Τὸν γὰρ φιτύσαντα μεμισηκὼς καὶ ἐκεῖνος
   Κτεῖνεν ἄν, εἰ ὁ Κρόνος θνητὸς ἐτύγχανεν ὤν.
Ἀντὶ δὲ τοῦ κτεῖναι, σὺν τοῖς Τιτῆσι χαλάζῃ,
   Δέσμιον ὡς λῃστὴν εἰς τὰ βάραθρα ἐσεῖς.

PALLADÆ. 2.

Quod homicidas beatos esse videmus,
  Non adeò miror: munus enim hoc Iouis est.
Nam parentem odio habens & ipse
  Occidisset, si Saturnus mortalis fuisset.
Sed pro homicidio ipsum cum Titantibus punit.
  Dum ipsum vinctum tanquam latronem in tartarum mittit.

ΑΡΧΙΟΥ.

Ο σταφυλοκλοπίδας Ἑκατώνυμος εἰς Ἀΐδαο
  Ἔδραμε, μαστιχθεὶς κλήματι φωριδίῳ.

ARCHII. 3.

Vuarum fur Hecatonymus ad orcum
  Cucurrit, flagellatus palmite furto ablato.

Ἀδήλον.

Μισῶ τὸν ἄνδρα τὸν διπλοῦν πεφυκότα,
Χρηστὸν λόγοισι, πολέμιον δὲ τοῖς τρόποις.

Incerti. 4.

Odi virum duplicem existentem,
Bonum sermone, hostem verò moribus.

ΕΙΣ ΠΟΡΝΑΣ, κεφ. οβ'.

ΠΑΛΛΑΔΑ.

Τὴν Κίρκην οὔ φημι, καθὼς εἴρηκεν Ὅμηρος,
  Ἀντ' ἀνδρῶν ποιεῖν ἢ σύας, ἠὲ λύκους,
Τοὺς αὐτῇ προσιόντας· ἑταίρα δ' οὖσα πανοῦργος
  Τοὺς δελεασθέντας πτωχοτάτους ἐποίει.
Τῶν δ' ἀνθρωπείων ἀποσυλήσασα λογισμῶν,
  Εἶτ' ἀπὸ τῶν ἰδίων μηδὲν ἔχοντας ἔτι,
Ἔτρεφεν ἔνδον ἔχουσα, δίκην ζώων ἀλογίστων.
  Ἔμφρων δ' ὢν Ὀδυσεὺς, τὴν νεότητα φυγών,
Οὐχ Ἑρμοῦ, φύσεως δ' ἰδίας δώρημα λογισμὸν
  Εἶχε, γοητείας φάρμακον ἀντίπαλον.

IN

IN MERETRICES, Cap. LXX.

PALLADÆ. 1.

Non dico Circen, velut olim dixit Homerus,
  Pro viris facere aut ſues aut lupos,
Ad ſe accedentes: meretrix verò exiſtens verſuta,
  Ineſcatos pauperrimos faciebat.
At verò humanis priuans rationibus ipſos,
  Poſtea de propriis nihil habentes reliqui,
Nutriuit intus habens, velut ipſa animalia bruta:
  Prudens verò erat Vlyſſes iuuentutem euitans,
Non Mercurij, ſed naturæ propriæ munus rationem
  Habuit incantationis pharmacum antidotum.

ΣΙΜΩΝΙΔΟΥ.

Εὐφρὼ καὶ Θαῒς καὶ Βοίδιον, αἱ Διομήδους
  Γραῖαι, ναυκλήρων ὁλκάδες εἰκόσοροι,
Ἄπιν καὶ Κλεοφῶντα καὶ Ἀνταγόρην ἕν᾽ ἑκάστη
  Γυμνοὺς ναυηγῶν ἥσσονας ἐξέβαλον.
Ἀλλὰ σὺν αὐταῖς νηυσὶ τὰ ληςρικὰ τῆς Ἀφροδίτης
  Φεύγετε. Σειρήνων αἵδε γὰρ ἐχθρότεραι.

SIMONIDÆ. 2.

Euphro, & Thais, Bœdium, Diomedis
  Anus, nauclerorum naues viginti remorum,
Apida, & Cleophontem & Antagoram vnum vnaquæque
  Nudos naufragis inferiores eiecerunt.
Atqui cum ipſis nauibus furtiua hæc Veneris
  Fugite: Syrenibus hæc ſunt hoſtiliora.

ΝΙΚΑΡΧΟΥ.

Τῇ μὲν γαστρὶ λαβοῦσα Φιλαίνιον, Ἡλιοδώρῳ
  Θήλειαν τίκτει παῖδ᾽ ἀπὸ ταὐτομάτου.
Τοῦ δ᾽ ἐπὶ θηλείῃ λυπουμένου, ἐξ ἀφελείπτῃ
  Ἤματα, καὶ τίκτειν ἄρσενα παῖδ᾽ ἔφατο.
Οὕτω Βούβαστις καταλύεται. εἰ γὰρ ἑκάστη
  Τέξεται ὡς αὐτή, τίς θεοῦ ἐστι λόγος;

NICARCHI. 3.

In ventre concipiens Philænium, Heliodoro
Femellam parit puellam spontaneo.
Hoc vero ob femellam dolore adfecto, sex intermisit
Dies, & parere masculum puerum se dixit.
Sic autem Diana euertitur. Si enim vnaquæque
Pariet, vt hæc, quænam Deæ est ratio?

ΕΠΙΓΟΝΟΥ.

Η τὸ πάλαι Λαῒς πάντων βέλος, οὐκ ἔτι Λαῒς,
Ἀλλ' ἐτέων φανερὴ πᾶσιν ἐγὼ Νέμεσις.
Οὐ μὰ Κύπριν, οὐδ' ἡ Κύπρις ἐστιν ἐμοὶ ὅσσον ὅρκος
Γνώριμος, οὐδ' αὐτῇ Λαΐδι Λαῒς ἔτι.

EPIGONI. 4.

Illa ego quæ quondam omnium sagitta, non amplius Lais,
Sed ob annos nota omnibus ego Nemesis.
Non per Venerem, neque Venus est mihi tanquam iusiurádum
Nota, neque ipsi Laidi Lais adhuc.

Ἀδηλον.

Η Κύπριν αὐχήσασα πολυχρύσοις ἐπ' ἐρασταῖς,
Η Νέμεσιν δεινὴν οὐχὶ κύσασα θεὸν,
Μίσθια νῦν ἀσαθέοις πενιχροῖς πηνίσματα κρούει·
Ὀψὲ τὸ Ἀθηναίη Κύπριν ἐληΐσατο.

Incerti. 5.

Quæ prius superbiui multùm aureos ob amatores,
Quæ Nemesin grauem nunquam osculata sum Deam,
Mercedis caussa nunc instrumento tectorio misero telá pulsat:
Tandémque Minerua Cyprin deprædata est.

ΣΤΡΑΤΩΝΟΣ.

Ἐστι Δράκων τις Ἔφηβος, ἄγαν καλός· ἀλλὰ δράκων ὤν,
Πῶς εἰς τὴν τρώγλην ἄλλον ὄφιν δέχεται;

STRATONIS. 6.

Est Draco aliquis Ephebus, validè pulcher. Sed Draco cùm sit
Quomodo in foramen alium serpentem accipit?

ΕΙΣ ΠΟΤΑΜΟΥΣ,

ΑΝΤΙΦΙΛΟΥ.

Λαβροπόδη χείμαῤῥε, τί δὴ τόσον ὧδε κορύσσῃ,
　Πεζὸν ἀποκλείων ἴχνος ὁδοιπορίης;
Ἡ μεθύεις ὄμβροισι, καὶ οὐ νύμφαισι διαυγὲς
　Νᾶμα φέρεις, θολεραῖς δ' ἠράνισ' ἐν νεφέλαις;
Ὄψομαι ἠελίῳ σε κεκαυμένον, ὅστις ἐλέγχει
　Καὶ γόνιμον ποταμὸν καὶ νόθον οἶδεν ὕδωρ.

IN FLVVIOS, Cap. LXXI.

ANTIPHILI 1.

Vehemens pede torrens, quid sanè adeò huc conatus perfluis,
　Pedestre excludens vestigium itineris?
An ebrius es ob imbrem, & Nymphis non pellucidam
　Aquam fers, turbidis emendicâsti ex nubibus?
Videbo Sole te ambustum, qui discernere
　Et flumen naturale, & notham nouit aquam.

ΒΙΑΝΟΡΟΣ.

Λάρνακα πατρῴαν ἔτι λείψανα κομίζουσαν
　Νεκρῶν χειμάῤῥῳ παῖς ἴδε συρομένην·
Καί μιν ἄχος τόλμης ἐπλήσατο, χεῦμα δ' ἀναιδὲς
　Εἰσέθορεν, πικρὴν δ' ἦλθ' ἐπὶ συμμαχίην.
Ὀστέα μὲν γὰρ ἔσωσεν ἀφ' ὕδατος, ἀντὶ δὲ τούτων
　Αὐτὸς ὑπὸ βλοσυροῦ χεύματος ἐφθάνετο.

BIANORIS. 2.

Vrnam paternorum adhuc reliquias ferentem
　Cinerum torrente puer vidit abripi,
Et ipsum dolor audaciâ impleuit. flumen verò impudens
　Insiluit, & graue venit in auxilium.
Ossa enim seruauit quidem ab aquâ, pro his autem
　Ipse ab horribili occupatur flumine.

Ἀδήλου.

Ἱμερόεις Ἀλφειέ, Διὸς στεφανηφόρον ὕδωρ,
Ὃς διὰ Πισαίων πεδίων κεκονιμένος ἕρπεις,
Ἥσυχος τὸ πρῶτον ἐπὴν δ' ἐς πόντον ἵκηαι,
Ὀξὺς ἀμετρήτοιο πεσὼν ὑπὸ κῦμα θαλάσσης,
Νυμφίος αὐτοκέλευθος ἐὼν ὀχετηγὸς ἐρώτων,
Ἐς Σικελὴν Ἀρέθουσαν ἐπείγεαι ὑγρὸς ἀκοίτης.
Ἡ δέ σε κεκμηῶτα καὶ ἀσθμαίνοντα λαβοῦσα,
Φῦκος ἀποσμήξασα καὶ ἄγρια πικρὰ θαλάσσης,
Χείλεα μὲν στομάτεσσι συνήρμοσεν, οἷα δὲ νύμφη
Νυμφίον ἀμφιχυθεῖσα περίπλοκον ἡδέϊ δεσμῷ,
Κείμενον ἐν κόλποισιν Ὀλύμπιον εὔνασεν ὕδωρ.
Καὶ φονίῃ ῥαθάμιγξι λιβὰς κατεκίρνατο πηγή.
Οὐδὲ Συρακοσίης ἔτι σοὶ μέλεν ἱμερόεις εὐνῆς,
Γορφυρέῃ δ' ἀμέκοπτες ὕδωρ πεπιεσμένον αἰδοῖ,
Φειδόμενος καὶ πόντον ὁμοῦ καὶ λέκτρα μιγῆναι.
Πολλάκι δ' εὐναίων ὀάρων βεβιημένος ὁρμῇ,
Αὐτὴν ἐς φιλότητα χυτῆς ἀλόχοιο περήσας,
Ἐστήκεις ἄχραντον ἐρῶν Ἀρεθούσιον ὕδωρ.
Ἡ δέ σε παπταίνουσα Γελωειάδος κατὰ πέτρης
Δάκρυσι κυμαίνοντα, κατοικτείρουσα καὶ αὐτὴ
Εὐειδὴς Ἀρέθουσα, φίλοις αἰεχέπελετο μαζοῖς,
Καὶ δρόσος οἷα ῥόδοισιν ἐτήκετο· μυρομένῳ δὲ
Πισαίῳ ποταμῷ Σικελὴ προσεμύρετο πηγή.
Οὐδὲ δίκην ἔλαθεν πανδερκέα Φοίνιος ἀνὴρ
Ἑλλάδος ἀμφοῖν ἀγάμων στάχυν· ᾧ ἔπι πολλαὶ
Ἡρώων ἄλοχοι μινυώρεια τέκνα τεκοῦσαι,
Μαψιδίως ὠδῖνας ἀνεκλαύσαντο γυναῖκες.

Incerti. 2.

Desiderabilis Alphee, Iouis coronam ferens aqua.

Qui per Piſæos campos puluere ſordidatus fluis,
Tranquillus initio, vbi verò in pontum veneris,
Celer immenſi cadens in fluctus maris,
Sponſus ſpontaneus exiſtens irrigator amorum,
In Siculam Arethuſam vrgeris madidus maritus.
Hæc verò te defatigatum & anhelantem accipiens,
Spumam purgans, & flores graues maris,
Labra quidem ori applicuit: vt verò Nympha
Sponſum circumfuſa circumplicitum ſuaui vinculo,
Iacentem in ſinu cœleſtem ſopit aquam:
Et Lethali guttæ guttam commiſcuit aqua.
Neque Syracuſij adhuc tibi curæ eſt amor lectuli:
Purpurea verò repuliſti aquam repreſſam verecundiâ,
Nolens & pontum ſimul & lectum miſcere.
Sæpiùs verò colloquiorum in cubili oppreſſus impetu,
Ipſam in amicitiam fluentis coniugis cùm perueneris,
Stas imperturbatam cernens Arethuſiam aquam.
Hæc verò te aſpiciens Pelorium prope ſaxum
Lacrumis fluentem, miſerata & ipſa
Formoſa Arethuſa, charas abſcidit mamillas,
Et velut ros in roſis liquefacta eſt. Inuncto verò
Piſæo fluuio Siculus vnà cum eo vnctus eſt fons.
Neque pœnam effugit omnia videntem lethalis vir,
Græciæ dementes qui nondum nuptarum ſpicam, Quo multæ
Heroum coniuges breuis temporis partus edentes,
Fruſtra partus fleuerunt mulieres.

ΔΙΟΣΚΟΥΡΙΔΟΥ.

Αὔλιν Ἀρισταγόρεω καὶ κτήματα μυρίος ἀρθεὶς
  Νεῖλε μετ' εἰκάδας ἐξεφόρησας ὕδωρ.
Αὐτὸς δ' οἰκείης ὁ γέρων ἐπενήξατο βώλου
  Ναυηγὸς, πάσης ἐλπίδος ὀλλυμένης,
Γείτονος ὑψίθραν τὸν ἐπ' αὔλιον ὦ πολὺ, εἴπας,
  Μόχθος ἐμός, πολιῆς τ' ἔργα σιδηρὰ χερὸς,
Ὕδωρ πολύ τ' ἐξλύεαθε· ὃ δὲ γλυκὺ τοῦτο γεωργοῖς

Αδηλον.

Ιμερόεις Αλφειέ, Διὸς στεφανηφόρον ὕδωρ,
Ος διὰ Πισαίων πεδίων κεκονιμένος ἕρπεις,
Ησυχιος τοπρῶτον· ἐπὴν δ' ἐς πόντον ἵκηαι,
Οξὺς ἀμετρήτοιο πεσὼν ὑπὸ κῦμα θαλάσσης,
Νυμφίος αὐτοκέλευθος ἐὼν ὀχετηγὸς ἐρώτων,
Ες Σικελὴν Αρέθουσαν ἐπείγεαι ὑγρὸς ἀκοίτης.
Η δέ σε κεκμηῶτα καὶ ἀσθμαίνοντα λαβοῦσα,
Φῦκος ἀποσμήξασα καὶ ἄλμα πικρὰ θαλάσσης,
Χείλεα μὲν στομάτεσσι συνήρμοσεν, οἷα δὲ νύμφη
Νυμφίον ἀμφιχυθεῖσα περίπλοκον ἡδέϊ δεσμῷ,
Κείμενον ἐν κόλποισιν ὀλύμπιον εὔνασεν ὕδωρ.
Καὶ φονίη ῥαθάμιγξι λιβὰς κατεχεύατο πηγή.
Οὐδὲ Συρηκοσίης ἔτι σοὶ μένεν ἵμερος εὐνῆς,
Πορφυρέη δ' ἀνέκοπτες ὕδωρ πεπιεσμένον αἰδοῖ,
Φειδόμενος καὶ πόντον ὁμοῦ καὶ λέκτρα μιγῆναι.
Πολλάκι δ' εὐναίων ὀάρων βεβιημένος ὁρμῇ,
Αὐτὴν ἐς φιλότητα χυτῆς ἀλόχοιο περήσας,
Εστηκας ἄχραντον ἐρῶν Αρεθούσιον ὕδωρ.
Η δέ σε παπταίνουσα Γελωϊάδος κατὰ πέτρης
Δάκρυσι κυμαίνοντα, κατοικτείρουσα καὶ αὐτὴ
Εὐειδὴς Αρέθουσα, φίλοις αἰεὶ χέετο μαζοῖς,
Καὶ δρόσος οἷα ῥόδοισιν ἐτήκετο· μυρομένῳ δὲ
Πισαίῳ ποταμῷ Σικελὴ προσεμύρετο πηγή.
Οὐδὲ δίκην ἔλαθεν πανδερκέα φοίνιος ἀνὴρ
Ελλάδος ἀμήσων ἀγάμων στάχυν· ᾧ ἔπι πολλαὶ
Ηρώων ἄλοχοι μινυώρεα τέκνα τεκοῦσαι,
Μαψιδίως ὠδῖνας ἀνεκλαύσαντο γυναῖκες.

Incerti. 2.

Desiderabilis Alphee, Iouis coronam ferens aqua.

Qui per Pisæos campos puluere sordidatus fluis,
Tranquillus initio, vbi verò in pontum veneris,
Celer immensi cadens in fluctus maris,
Sponsus spontaneus existens irrigator amorum,
In Siculam Arethusam vrgeris madidus maritus.
Hæc verò te defatigatum & anhelantem accipiens,
Spumam purgans, & flores graues maris,
Labra quidem ori applicuit: vt verò Nympha
Sponsum circumfusa circumplicitum suaui vinculo,
Iacentem in sinu cœlestem sopit aquam:
Et Lethali guttæ guttam commiscuit aqua.
Neque Syracusij adhuc tibi curæ est amor lectuli:
Purpurea verò repulisti aquam repressam verecundiâ,
Nolens & pontum simul & lectum miscere.
Sæpiùs verò colloquiorum in cubili oppressus impetu,
Ipsam in amicitiam fluentis coniugis cùm perueneris,
Stas imperturbatam cernens Arethusiam aquam.
Hæc verò te aspiciens Pelorium prope saxum
Lacrumis fluentem, miserata & ipsa
Formosa Arethusa, charas abscidit mamillas,
Et velut ros in rosis liquefacta est. Inuncto verò
Pisæo fluuio Siculus vnà cum eo vnctus est fons.
Neque pœnam effugit omnia videntem lethalis vir,
Græciæ dementes qui nondum nuptarum spicam, Quo multæ
Heroum coniuges breuis temporis partus edentes,
Frustra partus fleuerunt mulieres.

ΔΙΟΣΚΟΥΡΙΔΟΥ.

Αὖλιν Ἀρισταγόρεω καὶ κτήματα μυρίος ἀρθεὶς
   Νεῖλε μετ' εἰαρινῆς ἐξεφόρησας ὕδος.
Αὐτὸς δ' οἰκείης ὁ γέρων ἐπενήξατο βώλου
   Ναυηγὸς, πάσης ἐλπίδος ὀλλυμένης,
Γείτονος ὑψίθραυτον ἐπ' αὔλιον· ὦ πολὺ, εἴπας,
   Μόχθος ἐμὸς, πολιῆς τ' ἔργα σεσιωτὰ χερὸς,
Ὕδωρ πάντ' ἐλμύσατο· ὃ δὲ γλυκὺ τοῦτο γεωργοῖς

Κῦμ' ἐπ' Ἀρισταγόρην ἔδραμε πικρότατον.

DIOSCORIDIS. 4.

Prædiolum Ariſtagoræ, & opes immenſè attollens
  Nile per temerariam abſtuliſti viam.
Ipſe verò proprio ſenex natabat in ſolo
  Naufragus, omni ſpe abiectâ,
Vicini ſemifractum ad prædium; O multus, dixit,
  Labor meus, & candidæ præclara opera manus,
Aqua omnia facta eſtis: & dulcis hic agricolis
  Fluctus in Ariſtagoram cucurrit grauiſſimus.

ΝΕΣΤΟΡΟΣ.

Ἄβροχοι ἐν πελάγεσσι δι' ὕδατος ἔπλεεν ὕδωρ.

NESTORIS. 5.

Immixta in pelago per aquam manſit aqua.

ΕΙΣ ΠΤΩΧΟΥΣ, κεφ. οδ'.

ΦΙΛΙΠΠΟΥ.

Λιμὸν ὀϊζυρὴν ἀπαμυνομένη πολύγηρως
  Νικὼ, σὺν κούραις ἠκρολόγει στάχυας·
Ὤλετο δ' ἐκ θάλπους· τῇ δ' ἐκ καλάμης συνέθεντο
  Νῆσαν πῦρ, καὶ ἦν ἄξυλον, ἐκ σταχύων.
Μὴ νεμέσα Δήμητερ ἀπὸ χθονὸς εἰ βροτὸν ὄντα
  Κοῦραι τοῖς γαίης σπέρμασιν ἠμφίεσαν.

IN MENDICOS, Cap. LXXIIII.

PHILIPPI. I.

Famem ærumnabilem expellens valde ſenex
  Nico, cum filiabus curioſè legit ſpicas,
Periit verò ex æſtu. Huic verò è ſtipulis mercenariæ
  Conſtruxerunt rogum, & erat ſine ligno è ſpicis.
Ne iraſcere Ceres, è terrâ ſi hominem exiſtentem
  Mulieres terræ ſeminibus circundederunt.

ΠΑΛΛΑΔΑ.

Μηδέποτε ζήσας ὁ πένης βροτὸς, οὐδ' ἀποθνήσκει.
Καὶ ζῆν γὰρ δοκέων, ὡς νέκυς ἦν ὁ τάλας.
Οἱ δὲ τύχας μεγάλας καὶ χρήματα πολλὰ λαχόντες,
Οὗτοι τὸν θάνατον πτῶσιν ἔχουσι βίου.

PALLADÆ. 2.

Qui nunquam vixit pauper homo, neque moritur vnquam.
Nam dum videtur viuere, vt mortuus erat miser.
Qui verò fortunas magnas, & opes multas consecuti sunt,
Hi mortem casum habent vitæ.

Ἄδηλον.

Εἰ κρίσις ἐστὶ κάτω, καὶ Τάνταλος, οὐδὲν ἀπιστῶ
Τῇ πενίῃ, μετιὼν τὴν ὑπὸ γῆν κόλασιν.

Incerti. 3.

Si est iudicium infra, & Tantalus, nihil dubito
De paupertate, dum considero eius sub terrâ pœnam.

Ἄδηλον.

Οὗτος ὁ μηδὲν, ὁ λιτὸς, ὁ καὶ λάτρις, ὅστις ὁρᾶται;
Ἔστι τίνος ψυχῆς κύριος ἀλλοτρίης;

Incerti. 4.

Hic qui nihil est, & simplex, & famulus etiam, qui videtur?
Cuius est animæ alterius dominus?

Ἀδέσποτον.

Χρήματα καὶ πόρναις παραγίγνεται· οὐκ ἀλεγίζω,
Μισείτω με τάλαν χρυσὸς ὁ πορνοφίλας.

Incerti. 5.

Opes etiam meretricibus contingunt. Non curo,
Odio me habeat miserum aurum meretrices amans.

ΕΙΣ ΣΙΩΠΗΝ, κεφ. οε.

ΠΑΛΛΑΔΑ.

Ἡ μεγάλη παίδευσις ἐν ἀνθρώποισι, σιωπή.

Μάρτυρα Πυθαγόρην ἔχω σοφὸν αὐτὸν ἔχω·
Ὃς λαλέειν εἰδὼς, ἑτέρους ἐδίδασκε σιωπᾷν,
Φάρμακον ἡσυχίης ἐγκρατὲς εὑράμενος.

IN SILENTIVM, Cap. LXXV.

PALLADÆ. 1.

Magna doctrina est in hominibus, silentium.
Testem Pythagoram sapientem ipsum habeo.
Qui loqui cùm sciret reliquos docuit tacere,
Qui pharmacum tranquillitatis fortissimum inuenit.

Τοῦ αὐτοῦ.

Πᾶς τις ἀπαίδευτος, φρονιμώτατός ἐστι σιωπῶν,
Τὸν λόγον ἐγκρύπτων ὡς πάθος αἴσχιστον.

Eiusdem. 2.

Omnis stultus sapientissimus est dum tacet.
Dum sermonem occultat tanquam morbum turpissimum.

ΕΙΣ ΣΟΦΙΑΝ, κεφ. ος.

ΚΡΙΝΑΓΟΡΟΥ.

Ἄχρι τεῦ ὦ δείλαιε κεναῖς ἐπὶ ἐλπίσι θυμὲ
Πωτηθεὶς ψυχρῶν ἀστεπάτων νεφέων,
Ἄλλοις ἀλλ' ἐπ' ὄνειρα διαγράψεις ἀφένοιο;
Κτητὸν γὰρ θνητοῖς οὐδὲν αὐτόματον.
Μουσέων ἀλλ' ἐπὶ δῶρα μετέρχεο· ταῦτα δ' ἀμυδρὰ
Εἴδωλα ψυχῆς ἠλεμάτοισι μέθες.

IN SAPIENTIAM, Cap. LXVI.

CRINAGORÆ. 1.

Quousque, ô miser, vanâ spe, anime,
Sublatus frigidas prope nubes
Alia post alia insomnia consignabis diuitiarum?

Perpetuum

Perpetuum enim mortalibus nihil per se est.
Musarum verò ad dona transi. Hæc verò obscura
Simulacra illis qui animi vani sunt, relinque.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Αἴλιος, Αὐσονίων ὕπατον κλέος, εἶπεν ἀθρήσας
Εὐρώταν, Σπάρτης χαῖρε φέριστον ὕδωρ.
Μουσάων δ' ἐπὶ χεῖρα βαλὼν πολυΐστορι βίβλῳ,
Εἶδεν ὑπὲρ κορυφῆς σύμβολον εὐμαθίης,
Κίσσας, μιμηλὴν βιότου πτερὸν, ἐν σκιεροῖσιν
Ἄγκεσι παμφώνων μιμήτορα στομάτων.
Ὡρμάθη δ' ἐπὶ τοῖσδε. τί δ' οὐ ζηλωτὸς ὁ μόχθος,
Εἰ καὶ τὰ πτηνὰ ποθεῖ γήρυος ἡμετέρης;

APOLLONIDÆ. 2.

Ælius Ausoniorum supremum decus, dixit intuitus
Eurotan, Spartæ salue optima aqua.
Musarum verò manum admouens multiscio libro,
Vidit in summitate symbolum præclaræ doctrinæ,
Picas, imitandi solertia præditam vitæ auem, in vmbris
Vallium omnisono canentem ore.
Incitatus autem est propter has. Quidni appetendus sit labor,
Si etiam volucres desiderent cantilenam nostram?

ΝΕΣΤΟΡΟΣ.

Τίπτε με θρυλλήσαντες, ἐμὴν ἀπεπαύσατ' ἀοιδήν;
Ἱππεὺς ἱππεύειν ἔδαη, καὶ ἀοιδὸς ἀείδειν·
Ἢν δέ τις ἱππεύειν δεδαὼς, ἐθέλησιν ἀείδειν,
Ἀμφοτέρων ἥμαρτε, καὶ ἱπποσύνης καὶ ἀοιδῆς.

NESTORIS. 3.

Quare me iactantes meam interrupistis cantilenam?
Eques equitare didicit, & cantor cantare.
Vbi verò quis qui equitare didicit, volet cantare,
In vtroque peccat, & in equitatu, & in cantilenâ.

ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Οὐ ζωῶν τελέθουσαν ἔχει φύσιν, ἀλλὰ τὰ ῥίζαι

Φροντίδας ἐκ στέρνων τὰς πολιοκροτάφους.
Πλοῦτον ἔχειν ἐθέλω τὸν ἐπαρκιον· ἡ δὲ περισσὴ
Θυμὸν ἀεὶ κατέδει χρυσομανὴς μελέτη.
Ἔνθεν ἐν ἀνθρώποισιν ἀρείονα πολλάκι δήεις
Καὶ πενίην πλούτου, καὶ θάνατον βιότου.
Ταῦτα σὺ γιγνώσκων, κραδίης ἴθυνε κελεύθους,
Εἰς μίαν εἰσορόων ἐλπίδα, τὴν σοφίην.

PAVLI SILENTIARII. 4.

Non vita gratiosam habet naturam, sed proijcere
Curas è pectoribus caniciem inducentes:
Diuitias habere volo sufficientes: at verò vlterior
Animum semper exest auro insaniens cura.
Vnde in hominibus meliorem sæpe deprehendas
Et paupertatem divitijs, & mortem vitâ.
Hac tu cognoscens, cordis dirige vias,
In vnam intuens spem, sapientiam.

Εἰ τὴν φιλόσοφον Ὑπατίαν.

Ὅταν βλέπω σε, προσκυνῶ, καὶ τοὺς λόγους,
Τῆς παρθένου τὸν οἶκον ἀστρῷον βλέπων.
Εἰς οὐρανὸν γάρ ἐστι σοῦ τὰ πράγματα
Ὑπατία σεμνή, τῶν λόγων εὐμορφία,
Ἄχραντον ἄστρον τῆς σοφῆς παιδεύσεως.

In Philosopham Hypatian. 5.

Quando intueor te, adoro, & sermones,
Virginis domum sydeream intuens.
E Cælis enim tua sunt opera,
Hypatia casta, sermonum venustas,
Impollutum Astrum sapientis doctrinæ.

ΕΙΣ ΣΥΓΚΡΙΣΙΝ, καὶ ὅσα

Ἄδηλον.

Εἰ κύκνοι δύνανται κόρυδος παραπλήσιον ᾄδειν,
Τολμῷεν δ' εἴποι σκῶπες ἀηδονίαν,

Εἰ κόκκυξ τέττιγος ἐρεῖ λιγυρώτερος εἶναι,
  Ἶσα ποιεῖν καὶ ἐγὼ Παλλαδίῳ δύναμαι.

IN COMPARATIONEM,
Cap. LXXVI.
Incerti. I.

Si cycno potest graculus consimiliter canere,
  Et audeant contendere noctuæ cùm luscinijs,
Si cuculus cicadâ dicetur vocalior esse,
  Æqualia facere & ego Palladio possum.

ΕΙΣ ΣΩΦΡΟΣΥΝΗΝ, κεφ. οϛ
ΑΝΤΙΠΑΤΡΟΥ Θεσσαλοῦ.

Ἀντιγένης ὁ Γελῷος ἔπος ποτὶ τοῦτο θυγατρὶ
  Εἶπεν, ὅτ' ἦν ἤδη ἰθύμενος εἰς Ἀΐδην,
Παρθένε καλλιπάρῃε, κόρη δ' ἐμή, ἴσχε συνεργὸν
  Ἠλακάτην, ἀρκιοῦ κτῆμα πένητι βίῳ.
Ἢν δ' ἴκῃ ἐς ὑμέναιον, Ἀχαιΐδος ἤθεα μητρὸς
  Χρηστὰ φύλασσε, πόσει προῖκα βεβαιοτάτην.

IN TEMPERANTIAM, LXXIIX.
ANTIPATRI THESSALI. I.

Antigenes Gelensis verbum aliquando hoc filiæ
  Dixit, cùm esset iam destinatus ad inferos:
Filia pulcris genis, filia mea, exerce cooperatorem
  Colum, sufficientem possessionem pauperi vitæ.
Cum verò veneris in Hymenæum, Græcæ mores matris
  Bonos serua, marito dotem firmissimam.

Ἀδηλον.

Σωφροσύνη καὶ ἔρως κατεναντίον ἀλλήλοισιν
  Ἐλθόντες, ψυχὰς ὤλεσαν ἀμφότεροι.
Φαίδρην μὲν κτείνει πυρόεις πόθος Ἱππολύτοιο,

Ἱππόλυτον δ᾽ ἀγνὴ πέφνε σαοφροσύνη.

Incerti. 2.

Castitas & amor contraria sibi inuicem
 Venientia, animas perdiderunt vtrumque.
Phædram interemit igneum desiderium Hippolyti:
 Hippolytum verò sancta perdidit temperantia.

ΠΑΛΛΑΔΑ.

Νηδὺν ἀναίσχυντον στιβαροῖς ἤλασα λογισμοῖς,
 Σωφροσύνῃ κολάσας ἔντερον ἀργαλέον.
Εἰ γὰρ ἔχω τὸν νοῦν ἐπικείμενον ὑψόθι γαστρός,
 Πῶς μὴ νικήσω τὴν ὑποτασσομένην;

PALLADÆ. 3.

Ventrem impudentem validis conuici rationibus,
 Temperantiâ puniens ventrem grauem.
Si enim habeo mentem constitutam super ventrem grauem,
 Quomodo non superabo subiectum?

Τοῦ αὐτοῦ.

Οὐδὲν σωφροσύνης τεκμήριόν ἐστι πρόδηλον·
 Τοῖς ἐμπαιζομένοις ἀνδράσι ταῦτα λέγω.
Οὔτε τὸ δύσμορφον πάντως ἀνύποπτον ὑπάρχει,
 Οὔτ᾽ ἀκολασταίνειν πᾶσα πέφυκε καλή.
Καὶ γάρ τις διὰ τὴν ὥραν τοῖς πολλὰ διδοῦσιν
 Οὐχ ἕπεται· πολλὰς δ᾽ ἔστι γυναῖκας ἰδεῖν
Οὐχὶ καλὰς τὴν ὄψιν, ὁπλιζομένας ἀκορέστως,
 Καὶ τοῖς χρησαμένοις πολλὰ χαριζομένας.
Οὐκ εἴ τις συνάγει τὰς ὀφρύας, οὐδὲ γελῶσα
 Φαίνεται, ὀφθῆναί τ᾽ ἀνδράσιν ἐκτέτραπται·
Σωφροσύνης τρόπος οὗτος ἐχέγγυος· ἀλλά τις εὗρε
 Μαχλάδα μὲν χρύβδην, τὴν πρὶν σεμνοπατεῖν·
Τὰς δ᾽ ἱλαράς, καὶ πᾶσι φίλας, θερμῶς προσιούσας,
 Σώφρονας· εἰ σώφρων ἐστὶ γυνή τις ὅλως.

Eiusdem. 4.

Nullum temperantiæ indicium est manifestum,
  Deceptis viris hæc loquor.
Neque n. quod deforme est planè extra suspicionem est,
  Neque intemperans esse omnis solet pulchra.
Etenim quædam ob pulchritudinem multa dantibus
  Non obtemperat. Multas v. est mulieres videre,
Non formosas facie, expeditas (ad ven.) insatiabiliter,
  Et rem secum habentibus multa largientes.
Non si quæ contrahit supercilia, neque ridens
  Apparet, & videri à viris recusat:
Temperantiæ mos hic fidelis: sed aliquis deprehendat
  Scortum occultùm, vel planè seuerissimam.
Verùm hilaras, & omnibus humaniter occurrentes,
  Pudicas. Si modò pudica omnino mulier quædam est.

Τοῦ αὐτοῦ.

Γαστέρα μισήσειε θεός, καὶ βρώματα γαστρός.
  Εἵνεκα γὰρ τούτων σωφροσύνη λύεται.

Eiusdem. 5.

Ventrem odio habeat deus, & escas ventris.
  Harum enim caussâ temperantia soluitur.

ΑΓΑΘΙΟΥ.

Καλὸν μὲν στυγόδεμνον ἔχειν νόον· εἰ δ' ἄρ' ἀνάγκη,
  Ἀρσενικὴ φιλότης μήποτε σε κλονέοι.
Θηλυτέρας φιλέειν, ὀλίγον κακόν, οὕνεκα κείναις
  Κυπριδίους ὀάρους πότνια δέδωκε φύσις.
Δέρκεο τῶν ἀλόγων ζώων γένος· οὐ γὰρ ἐκείνων
  Φύσις ἀτιμάζει θέσμια συζυγίης.
Ἄρσενι γὰρ θήλεια συνάπτεται· οἱ δ' ἀθέμιστοι
  Ἄνδρες ἐς ἀλλήλους ξεῖνον ἄγουσι γάμον.

AGATHIÆ. 6.

Pulcrum quidem castam habere mentem. Si v. necesse sit
  Masculus amor nunquam te perturbet.
Mulieres amare breue malum. Ob id illis

Οὐδὲν ἐμοὶ χ' ὑμῖν· παίζετε τοὺς μετ' ἐμέ.

IN FORTVNAM, Cap. LXXX.

Incerti. 1.

Spes & tu fortuna longum valete. Portum inueni.
Nihil mihi vobiſcum, ludite illos qui poſt me.

ΛΟΥΚΙΑΝΟΥ.

Ἀγρὸς Ἀχαιμενίδου γενόμην ποτὲ, νῦν δὲ Μενίππου.
Καὶ πάλιν ἐξ ἑτέρου βήσομαι εἰς ἕτερον.
Καὶ γὰρ ἐκεῖνος ἔχειν με ποτ' ᾤετο, καὶ πάλιν οὗτος
Οἴεται· εἰμὶ δ' ὅλως οὐδενὸς, ἀλλὰ τύχης.

LVCIANI. 2.

Ager Achæmenidæ fui olim. Nunc verò Menippi,
Et rurſus ab alio tranſibo ad alium.
Etenim & ille me quondam habere cenſebat, & rurſus hic
Putat. Sum verò planè nullius, ſed fortunæ.

Ἀδηλον.

Αἴθε πατήρ μ' ἐδίδαξε δασύτριχα μῆλα νομεύειν,
Ὥς κεν ὑπὸ πτελέῃσι καθήμενος, ἢ ὑπὸ πέτραις,
Συρίσδων καλάμοισιν, ἐμὰς τέρπεσκον ἀνίας.
Πιερίδες φεύγωμεν, ἐϋκτιμένην πόλιν ἄλλην
Πατρίδα μαστεύσωμεν. ἀπαγγελέω δ' ἄρα πᾶσιν
Ὡς ὀλοοὶ κηφῆνες ἐδηλήσαντο μελίσσας.

Incerti. 3.

Vtinam pater me docuiſſes villoſas oues cuſtodire
Vt ſub vlmis ſedens & ſub petris
Canens calamis meas ſolarer calamitates.
Pierides fugimus benè habitatam vrbem, aliam
Patriam quæramus. Annunciabo verò ſanè omnibus,
Quòd pernicioſi fuci læſerunt ipſas apes.

ΠΑΛΛΑΔΑ.

Τύχη καπηλεύουσα πάντα τὸν βίον,
Ἀσυγκέραστον τὴν φύσιν κεκτημένη,

Eiuſdem. 7.

Et tu fortuna deinceps tranſmutata illudaris,
 Quæ ne tuæ quidem fortunæ denique parcis.
Quę prius templum habebas, cauponariá exerces in ſenectute,
 Calida vendens hominibus iam apparens,
Nunc ſanctè ingemiſce & tu tuum infortunium inſtabilis Deus
 Tuam vt hominum nunc reportans fortunam.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ἀγγελίης ἤκουσεν ἀελπίστου Μελίτινα,
 Υἱέα σὺν φόρτῳ κύματι κρυπτόμενον·
Ἠϊόσιν δ' ἐπικέλσαν ἁλίκλυστον δέμας ἄλλου
 Δύσμορος οἰκείης σύμβολον εἶδε τύχης·
Υἱέα δ' ὡς ἔστειλε. Δίων δ' ἐπὶ νηὸς ἀθραύστου
 Ἤλυθεν ἐς γαῖαν σῶος ἀπ' ἐμπορίης.
Μητέρες ὡς ἄνισον μοίρης λάχον· ἣ μὲν ἄελπτον
 Ζωὸν ἔχει, κείνη δ' ὄψεται οὐδὲ νέκυν.

APOLLONIDÆ. 8.

Nuncium audiuit inſperatum Mitylena
 Filium cum mercibus fluctibus obrutum,
Ad litora v. appulſum marinis fluctibus aſperſum corpus aliud
 Infelix propriæ exemplum vidit fortunæ:
Et vt filium ſepeliit Dion verò in naui infractâ
 Venit in terram ſaluus à peregrinatione.
Matres quam imparem fortunam conſecutæ ſunt! Hæc enim quem non ſperarat
 Viuentem habet, illa verò videbit neque mortuum.

ΑΓΑΘΙΟΥ.

Γειτνιάς τις μογέεσκεν ἐπ' ἰχθύσι. τὸν δ' ἐσιδοῦσα
 Εὐκτέανος κούρη θυμὸν ἔκαμνε πόθῳ·
Καί μιν θῆκε σύνευνον. ὁ δ' ἐκ βιότοιο πενιχροῦ
 Δέξατο παντοίης ὄλβον ἀγλαΐης.
Η δὲ τύχη γελόωσα παρίσατο, καὶ ποτὶ Κύπριν,
 Οὐ τεὸς οὗτος ἀγών, ἀλλ' ἐμός ἐστιν, ἔφη.

AGATHIÆ. 9.

Piscator quis laboriosam agebat vitã ex piscibus. Hunc intuens
Diues puella animo laborauit amore,
Et illum fecit coniugem. Hic verò ex vitâ pauperculâ
Accepit variæ cumulum superbiæ.
Fortuna vérò ridens astabat, & ad Venerem:
Non tuum hoc certamen, sed meum est, inquit.

Εἰς ἄρχοντα ἀνάξιον τῆς τοιαύτης προαγωγῆς.

Οὐκ ἐθέλουσα τύχη σε προήγαγεν, ἀλλ' ἵνα δείξῃ
Ὡς ὅτι καὶ μέχρι σοῦ πάντα ποιεῖν δύναται.

In principem indignum tali dignitatis gradu. 10.

Non volens fortuna te extulit, sed vt ostenderet
Quod etiam vsque ad te omnia facere possit.

ΛΟΥΚΙΑΝΟΥ.

Μὴ πταίων, φίλος εἶ θνητοῖς, φίλος εἶ μακάρεσσι,
Καί σευ ῥηϊδίως ἔκλυον εὐξαμένου·
Ἂν πταίσῃς, οὐδεὶς ἔτι σοι φίλος, ἀλλ' ἅμα πάντα
Ἐχθρά, τύχης τε ῥοπαῖς συμμεταβαλλόμενα.

LVCIANI. 11.

Felix existens amicus es hominibus, amicus es Diis,
Et te facilè audient precantem.
Sin infelix, hic nullus amplius tibi amicus, sed simul omnia
Hostilia, & fortunæ momentis permutata.

ΠΑΛΛΑΔΑ.

Εὖγε λέγων, τὸν καιρὸν ἔφης θεόν, εὖγε Μένανδρε,
Ὡς ἀνὴρ Μουσῶν καὶ Χαρίτων τρόφιμος.
Πολλάκι γὰρ τοῦ σφόδρα μεριμνηθέντος ἄμεινον,
Προσπεσὸν εὐκαίρως, εὗρέ τι ταὐτόματον.

PALLADÆ. 12.

Euge dicens, Occasionem dicis Deam. Euge Menander,
Vt vir Musarum & Charitum alumnus.
Sæpe enim, quàm valde deliberata melius
Incidens oportunè, inuenit quoddam spontaneum.

Τοῦ αὐτοῦ.

Οὐ λόγον, οὐ νόμον οἶδε τύχη, μερόπων δὲ τυραννεῖ,
 Ταῖς ἰδίαις ἀλόγως ῥεύμασι συρομένη.
Μᾶλλον τοῖς ἀδίκοισι ῥέπει, μισεῖ δὲ δικαίους,
 Ὡς ἐπιδεικνυμένη τὴν ἄλογον δύναμιν.

Eiuſdem. 13.

Non rationem, non leges nouit fortuna. hominibus v. imperat,
 Propriis abſque ratione fluctibus incitata,
Magis ad improbos inclinat, odit verò iuſtos,
 Tanquam oſtendens irrationalem potentiam.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ εἰς ἄρχοντα ἀποπεσόντα.

Ἠρά γε ποῦ τὸ φρύαγμα τὸ τηλίκον; ἢ δὲ περισσοὶ
 Πῆ ἔβαν ἐξαίφνης ἀγχίποροι κόλακες;
Νῦν γὰρ ἑκὰς πόλιος φυγὰς ᾤχεο· τοῖς πρότερον δὲ
 Οἰκτροῖς τὴν κατὰ σοῦ ψῆφον ἔδωκε τύχη.
Πολλή σοι, κλυτοεργὲ τύχη, χάρις, οὕνεχ' ὁμοίως
 Πάντας ἀεὶ παίζεις, κεἰς σέ τι τερπόμεθα.

AGATHIÆ Scholaſtici in Principem deiectum. 14.

Vbi nunc eſt ſuperbia illa tanta? & arrogantes
 Quò abierunt ſubitò prope te incedentes adulatores?
Nunc enim procul à ciuitate exulas Prius verò
 Miſeris illum tuum calculum dedit fortuna.
Magna tibi, ô inclyta opibus fortuna, gratia, quòd ſimiliter
 Omnes ſemper illudis, & ob te aliquid delectamur.

Τοῦ αὐτοῦ.

Εἴ τέ τις ἐκ πενίης πλούτου τύχοι, ἤδε καὶ ἀρχῆς,
 Οὐκ ἔτι γιγνώσκει τίς πέλε τὸ πρότερον.
Τὴν ποτὲ γὰρ φιλίην ἀπαναίνεται· ἀφρονέων δέ,
 Τέρψιν ὀλισθηρῆς οὐ δεδάηκε τύχης.
Ἧς ποτὲ γὰρ πτωχὸς ταλαπείριος· οὐκ ἐθέλεις δέ,

Αἰτίζων ἀκόλους, νῦν ἑτέροις παρέχειν.
Γαῖα (φίλος) μερόπεσσι παρέρχεται. εἰ δ' ἀπιθήσεις,
Ἔμπαλιν αἰτίζων, μάρτυρα σαυτὸν ἔχεις.

Eiusdem. 15.

Vbi quis ex paupertate diuitias consecutus est, & principatum,
Non amplius cognoscit, quis fuerit prius.
Nam veterem amicitiam recusat. Stultus verò
Delectationem lubricæ non didicit fortunæ.
Eras quondam enim mendicus miser, non vis autem
Cum rogeris frusta panis nunc aliis dare.
Omnia, ô amice, hominibus transeunt. Si verò non credis
Rursus mendicans, testem te ipsum habere poteris.

ΠΑΛΛΑΔΑ.

Παίγνιόν ἐστι τύχης μερόπων βίος, οἰκτρὸς ἀλήτης,
Πλούτου καὶ πενίης μεσσόθι ῥεμβόμενος.
Καὶ τοὺς μὲν κατάγουσα, πάλιν σφαιρηδὸν ἀείρει,
Τοὺς δ' ἀπὸ τῶν νεφελῶν εἰς ἀΐδην κατάγει.

PALLADÆ. 16.

Lusus fortuna est vita hominum, miserabilis, erroneus
Inter diuitias & paupertatem medio loco errans.
Et hos quidem inferens rursus in gyrum attollit,
Hos verò è nubibus ad inferos deducit.

Τοῦ αὐτοῦ.

Ἂν μὴ γελῶμεν τὸν βίον τὸν δραπέτην,
Τύχην τε πόρνης ῥεύμασι κινουμένην,
Ὀδύνην ἑαυτοῖς προξενοῦμεν πάντοτε,
Ἀναξίους ὁρῶντες εὐτυχεστέρους.

Eiusdem. 17.

Nisi rideamus vitam fugacem,
Et fortunam meretricis fluctibus motam
Dolorem nobis ipsis conciliamus vndique
Indignos videntes feliciores.

Ἀδήλου.

Ὄλβιον ἀνθρώποισιν ἔχει φάος ἄμβροτος αἰὼν
Σῇσιν ὑπ' ἐννεσίαις, εὐγενέτειρα τύχη.
Νεύματι γὰρ σῷ πάντα φέρει κλέος, ὁππότε χειρὶ
Δεξιτερῇ παρέχῃς αὐχένα θεσπέσιον.
Τούτῳ καὶ βασιλῆες ἀμύμονες ἁρμόζονται,
Καὶ λογίων ἀγέλης ἄμβροτοι ἡγεμόνες.

Incerti. 18.

Felicem hominibus habet lucem immortale æuum
Tuis consiliis, generosa fortuna.
Nutu enim tuo omnia ferunt gloriam, cùm manui
Dexteræ indulges collum tuum sanctum.
Huc etiam inculpati reges compinguntur,
Et rationalium gregis sancti duces.

Ἀδήλου.

Ὅταν λογισμοῖς καταμάθω τὰ πράγματα,
Καὶ τὰς ἀκαίρους τοῦ βίου μεταστροφάς,
Καὶ ῥεῦμ' ἄπιστον τῆς αἰωμάλου τύχης,
Πῶς τοὺς πένητας πλουσίους ἐργάζεται,
Καὶ τοὺς ἔχοντας χρημάτων ἀποστερεῖ·
Τότε κατ' ἐμαυτὸν τῇ πλάνῃ σκοτούμενος,
Μισῶ τὰ πάντα, τῆς ἀδηλίας χάριν.
Οἵῳ τρόπῳ γὰρ προσελθώμεν τῆς τύχης,
Τῆς δὲ ἀδήλου τῷ βίῳ φανερουμένης,
Πόρνης γυναικὸς τοῖς τρόποις κεκτημένης;

Incerti. 19.

Cùm ratione perpendo res,
Et intempestiuas vitæ conuersiones,
Et fluctum incertum inæqualis fortunæ:
Quomodo pauperes diuites faciat,
Et habentes opibus priuat:
Tunc contra meipsum errore obtenebratus
Odi omnia propter incertitudinem.

Quâ enim ratione superabo fortunam,
Cùm ex incerto vitæ apparet,
Meretricis mulieris mores possidentem?

ΛΟΥΚΙΑΝΟΥ.

Θεοῦ μὲν ἐκτὸς οὐδεὶς εὐτυχεῖ βροτός.

LVCIANI. 20.

Extra Deum nullus beatus est homo.

Ἀδήλου.

Φεῦ, τῶν βροτείων ὡς ἀνώμαλοι τύχαι.
Οἱ μὲν γὰρ, εὖ πράττουσι· τοῖς δὲ συμφοραὶ
Σκληραὶ πάρεισιν, εὐσεβοῦσι πρὸς θεούς.

Incerti. 21.

Heu, mortalium quàm incertæ fortunæ!
Hi enim felices sunt. Quibus verò calamitates
Graues adsunt, pij sunt erga Deos.

ΛΟΥΚΙΑΝΟΥ.

Πολλὰ τὸ δαιμόνιον δύναται, κἂν ᾖ παράδοξα·
Τοὺς μικροὺς ἀνάγει, τοὺς μεγάλους κατάγει.
Καὶ σοῦ τὴν ὀφρὺν καὶ τὸν τῦφον καταπαύσει,
Κἂν ποταμοὺς χρυσοῦ νάματά σοι παρέχῃ.
Οὐ θρύον, οὐ μαλάχην ἄνεμος ποτὲ, τὰς δὲ μεγίστας
Ἢ δρύας ἢ πλατάνους οἶδε χαμαὶ κατάγειν.

LVCIANI. 22.

Multa fortuna potest, licet sint absurda:
Paruos attollit, magnos deiicit.
Et tuum supercilium & fastum compescet,
Licet fluuius auri riuos tibi præbeat.
Non iuncum aut maluam ventus vnquam, sed maximas
Aut quercus aut platanum nouit in terrâm deiicere.

ΕΙΣ ΥΠΕΡΟΨΙΑΝ, καὶ παζ

Ἀδήλου.

Ἤλλακτ' ἐξαπίνης Κορνήλιος, οὐδ' ἔτι λιτῷ

Τέρπεται ἡμετέρῳ μουσοχαρεῖ βιότῳ.
Κούφης δ' αἰωρεῖται ἀπ' ἐλπίδος· οὐκ ἔτι δ' ἡμεῖς
Οἱ πάρος, ἀλλ' ἑτέρης ἐλπίδος ἐκ κρέμαται.
Εἴκωμεν ψυχή, πεπαλαίσμεθα· μηδὲ βιάζου·
Εἰς ἔδαφος τέχνης κείμεθ' ὑπ' ἀργυρέης.

IN SVPERBIAM. Cap. LXXXI.

Incerti. 1.

Mutatus est statim Cornelius, neque amplius simplici
Gaudet nostrâ Musis gaudente vitâ.
Vana autem attollitur à spe. Non verò amplius nos
Qui prius, sed aliâ à spe dependet.
Cedamus anima, deuicti sumus. Neque affligere,
Humi propter artem iacemus argenteam.

ΠΑΛΛΑΔΑ.

Αν μνήμην ἄνθρωπε λάβῃς, ὁ πατήρ σε τί ποιῶν
Εσπειρεν, παύσῃ τῆς μεγαλοφροσύνης.
Αλλ' ὁ Πλάτων σοὶ τῦφον ὀνειρώσσων ἐνέφυσεν,
Αθάνατόν σε λέγων, καὶ φυτὸν οὐράνιον.
Εκ πηλοῦ γέγονας· τί φρονεῖς μέγα; τοῦτο μὲν οὕτως
Εἶπ' ἄν τις κοσμῶν πλάσματι σεμνοτέρῳ.
Εἰ δὲ λόγον ζητεῖς τὸν ἀληθινόν, ἐξ ἀκολάστου
Λαγνείας γέγονας, καὶ μιαρᾶς ῥανίδος.

PALLADAE. 2.

Si recordationem, ô homo suscipias, pater te quid faciens
Seminârit, cessabis à superbiâ.
Sed Plato tibi superbiam somnians inspirauit
Immortalem te dicens, & plantam cælestem.
Ex argillâ natus es: quid superbis? Hoc quidem sic
Dicat quis ornans simulacro splendidiore.
Si verò rationem requiris veram, ex intemperanti
Libidine natus es, & sordidâ guttulâ.

Τοῦ αὐτοῦ.

Ἠέρα λεπταλέον μυκτήρεσιν ἀμπνείοντες,
  Ζώομεν ἠελίου λαμπάδα δερκόμενοι,
Πάντες ὅσοι ζώομεν κατὰ τὸν βίον· ὄργανα δ' ἐσμὲν,
  Αὔραις ζωογόνοις πνεύματα δεχνύμενοι.
Εἰ δέ τις οὖν ὀλίγην παλάμῃ σφίγξειεν ἀϋτμὴν,
  Ψυχὴν συλήσας, εἰς ἀΐδην κατάγει.
Οὕτως οὐδὲν ἐόντες, ἀγηνορίῃ τρεφόμεσθα,
  Πνοιῆς ἐξ ὀλίγης ἠέρα βοσκόμενοι.

Eiuſdem. 3.

Aëra tenuem per nares reſpirantes
  Viuimus, ſolis lampada intuentes.
Omnes quotquot viuimus iuxta vitã. Inſtrumẽta verò ſumus,
  Auris vitam gignentibus ſpiritum ducentes.
Si quis igitur paruum manu conſtringat ſpiritum,
  Animam deprædans, ad inferos deducit.
Sic cùm nihil ſimus, ſuperbiâ nutrimur,
  Spiritu ex paruo aërem depaſcentes.

ΕΙΣ ΦΗΜΗΝ, κεφ. πβ΄.

ΠΑΛΛΑΔΑ.

Εἰ θεὸς ἡ Φήμη, κεχολωμένη ἐστὶ καὶ αὐτὴ
  Ἕλλησι, σφαλεροῖς ἐξαπατῶσα λόγοις.
Φήμη δ' αὖτ' ἀπαθὴς ἀναφαίνεται εὐθὺς ἀληθής.
  Πολλάκι καὶ φήμην ἔφθασεν ἡ ταχυτής.

IN FAMAM, Cap. LXXXII.

PALLADÆ. I.

Si Dea fama eſt, irata eſt & ipſa
  Græcis, fallibilibus decepta ſermonibus.
Fama verò cum re conſentiens apparet ſtatim vera,
  Sæpius & famam anteuertit celeritas.

ΕΙΣ

ΕΙΣ ΦΘΟΝΟΝ, κεφ. πγ.

ΠΑΛΛΑΔΑ.

Ο φθόνος οἰκτιρμοῦ, κατὰ Πίνδαρον, ἐστὶν ἀμείνων.
Οἱ βασκαινόμενοι λαμπρὸν ἔχουσι βίον.
Τοὺς δὲ λίαν ἀτυχεῖς οἰκτείρομεν. ἀλλά τις εἴην
Μήτ' ἄγαν εὐδαίμων, μήτ' ἐλεεινὸς ἐγώ.
Ἡ μεσότης γὰρ ἄριστον. ἐπεὶ τὰ μὲν ἄκρα πέφυκε
Κινδύνους ἐπάγειν, ἔσχατα δ' ὕβριν ἔχει.

IN INVIDIAM, Cap. LXXXIII.

PALLADÆ. 1.

Inuidia miseratione iuxta Pindarum est melior.
Inuidiâ tacti splendidam habent vitam.
Nimium verò infelices miseramur. Sed aliquis sim
Neque nimis felix, neque miserabilis ego:
Mediocritas enim optima. Quoniam suprema solent
Pericula adducere: ima verò contumeliam habent.

Τοῦ αὐτοῦ.

Ὢ τῆς μεγίστης τοῦ φθόνου πονηρίας.
Τὸν εὐτυχῆ μισεῖ τις ὃν θεὸς φιλεῖ.
Οὕτως ἀνόητοι περὶ φθόνῳ πλανώμεθα.
Οὕτως ἑτοίμως μωρίᾳ δουλεύομεν.
Ἕλληνές ἐσμεν ἄνδρες ἐσποδωμένοι,
Νεκρῶν ἔχοντες ἐλπίδας τεθαμμένας.
Ἀνεστράφη γὰρ πάντα νῦν τὰ πράγματα.

Eiusdem. 2.

O maximam inuidiæ malitiam!
Felicem quis odit quem Deus diligit.
Sic stolidi per inuidiam erramus:
Sic sponte stultitiæ inseruimus.
Græci sumus viri vani,
Mortuorum habentes spes sepultas.
Conuersa enim sunt omnia nunc opera.

Τοῦ αὐτοῦ.

Ὅταν στυγῇ τις ἄνδρα ὃν θεὸς φιλεῖ,
Οὗτος μεγίστην μωρίαν κατεισάγει.
Φανερῶς γὰρ αὐτῷ τῷ θεῷ κορύσσεται,
Χόλον μέγιστον ἐκ φθόνου δεδεγμένος.
Δεῖ γὰρ φιλεῖν ἐκεῖνον ὃν θεὸς φιλεῖ.

Eiuſdem. 3.

Cùm odit virum quis hunc Deus quem diligit,
Hic maximam ſtultitiam introducit.
Manifeſtè enim contendit ille ipſi Deo,
Dum maximam iram ex liuore concipit.
Nam æquum eſt illum amare, quem Deus amat.

ΑΡΙΣΤΩΝΟΣ, ἢ ΕΡΜΙΟΔΩΡΟΥ.

Γειτνιάδα κάλλει Γανυμήδεος εἶπέ ποθ' Ἥρη,
   Θυμοβόρου ζήλου κέντρον ἔχουσα νόῳ,
Ἄρσεν πῦρ ἔτεκε Τροία Διΐ, τοιγὰρ ἐγὼ πῦρ
   Πέμψω ἐπὶ Τροίαν πῆμα φέροντα Πάριν.
Ἥξει δ' Ἰλιάδαις οὐκ αἰετὸς, ἀλλ' ἐπὶ θοίναις
   Γῦπες, ὅταν Δαναοὶ σκῦλα φέρωσι πόνων.

ARISTONIS vel HERMIODORI. 4.

Dolens ob pulcritudinem Ganymedis dixit quondam Iuno,
   Cordiuori liuoris aculeum habens in mente,
Virilem ignem peperit Troia Ioui. Cui ego ignem
   Mittam in Troiam damna ferentem Parin.
Venit verò Iliadis non aquila, ſed ob epulas
   Vultures, vbi Danais ſpolia auferent laborum.

Ἀδήλου.

Ὁ φθόνος ἐστὶ κάκιστον, ἔχει δέ τι καλὸν ἐν αὐτῷ·
   Τήκει γὰρ φθονερῶν ὄμματα καὶ κραδίην.

Incerti. 5.

Grande malum inuidia eſt. Tamen hoc bonitatis in illa eſt.
   Cor etenim oſorum deuorat, atque oculos.

Αδηλον.

Ο φθόνος αὐτὸς ἑαυτὸν ἑοῖς βελέεσσι δαμάζει.

Incerti. 6.

Inuidia atra ſuis telis domat ipſa ſeipſam.

ΕΙΣ ΦΙΛΑΡΓΥΡΟΥΣ, κεφ. πδ.

ΠΛΑΤΩΝΟΣ, οἱ δὲ, ΑΝΤΙΠΑΤΡΟΥ.

Χρυσὸν ἀνὴρ, ὁ μὲν, εὗρεν, ὁ δ' ὤλεσεν· ὧν ὁ μὲν εὑρὼν
Ῥῖψεν, ὁ δ' οὐχ εὑρὼν, λυγρὸν ἔδησε βρόχον.

IN AVAROS, Cap. LXXXIIII.

PLATONIS, vt alij ANTIPATRI. 1.

Hic vir repperit aurum, hic perdidit: quorum qui inuenit,
Abiicit, at qui non inuenit, crudelem aptauit laqueum.

ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.

Χρυσὸν ἀνὴρ εὑρὼν, ἔλιπε βρόχον· αὐτὰρ ὁ χρυσὸν
Ὃν λίπεν οὐχ εὑρὼν, ἧψεν ὃν εὗρε βρόχον.

STATYLLII FLACCI. 2.

Vir auro inuento, laqueum abiicit: ille ſed aurum
Quod reliquit vbi non inuenit, aptauit quẽ inuenit laqueũ.

Αδηλον.

Τέρπε δανειζόμενος τὴν σὴν φρένα τοῖς δὲ δανεισταῖς
Κάλλιπε τὴν ψῆφον δάκτυλι καμψοδύνῳ.

Incerti. 3.

Oblecta pecuniam mutuans tuum animum, fœneratoribus v.
Relinque calculum digitis cum dolore inflexis.

ΕΙΣ ΦΙΛΙΑΝ, κεφ. πε.

Αδηλον.

Κισσῷ μὲν Διόνυσος ἀγάλλεται, αἰγίδι δὲ Ζεύς·
Οἱ ναέται, ξείνοις, ἡ δὲ πόλις ναέταις.

IN AMICITIAM, Cap. LXXXV.

Incerti. 1.

Hederâ quidem Bacchus delectatur, capellâ verò Iupiter,
Incolæ hospitibus, hæc verò vrbs incolis.

Ἀδηλον.

Θησαυρὸς μέγας ἐστ' ἀγαθὸς φίλος, Ἡλιόδωρε,
Τῷ καὶ τηρῆσαι τοῦτον ἐπισταμένῳ.

Incerti. 2.

Thesaurus magnus est bonus amicus, Heliodore,
Illi qui & retinêre hunc nouit.

Ἀδηλον.

Μήποτε τὸν παρεόντα παρεὶς φίλον, ἄλλον ἐρεύνα,
Δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.

Incerti. 3.

Nunquam præsentem relinquens amicum, alium quære,
Malorum hominum sermonibus persuasus.

Τίνας ἂν εἴποι λόγους Φιλήμων δι' Εὐριπίδην.

Εἰ ταῖς ἀληθείαισιν οἱ τεθνηκότες
Αἴσθησιν εἶχον ἄνδρες, ὥς φασιν τινὲς,
Ἀπηγξάμην ἂν ὥστ' ἰδεῖν Εὐριπίδην.

Quæ verba dixerit Philemon ob Euripidem. 4.

Si reuera qui mortui sunt
Sensum haberent viri, vt dicunt quidam,
Strangulari me paterer, vt viderem Euripidem.

Ἀδηλον.

Γνήσιός εἰμι φίλος, καὶ τὸν φίλον ὡς φίλον οἶδα·
Τοὺς δὲ κακοὺς, διόλου πάμπαν ἀποστρέφομαι·
Οὐδένα θωπεύω πρὸς ὑπόκρισιν· οὓς δ' ἄρα τιμῶ,
Τούτους ἐξ ἀρχῆς μέχρι τέλους ἀγαπῶ.

Incerti. 5.

Genuinus ego sum amicus, & amicum vt amicum noui:
Et malos in vniuersum omnes auersor:
Nulli adulor per hypocrisin: quos autem profecto amo,

Illos ab initio ad finem amo.

Ἀδήλου.

Πρᾶγμα μέν ἐστ' ὁ φίλος πάνυ δύσκολον· εἰσὶ δὲ πολλοί,
Καὶ σχεδὸν εἰσὶ πάντες, μέχρι προσηγορίας.

Incerti. 6.

Res quidem est amicus valde difficilis: sunt verò multi,
Et prope omnes vsque ad linguam tantùm.

ΕΙΣ ΦΙΛΟΣΟΦΟΥΣ, κεφ. πϛ΄.

ΕΜΠΕΔΟΚΛΕΟΥΣ περὶ ἑαυτοῦ.

Ἤδη γάρ ποτ' ἐγὼ γενόμην κοῦρός τε κόρη τε,
Θάμνος τ', οἰωνός τε, καὶ ἐξ ἁλὸς ἔμπυρος ἰχθύς.

IN PHILOSOPHOS, Cap. LXXXVI.

EMPEDOCLIS de seipso. 1.

Iam enim quondam ego factus sum puer, & puella,
Frutéxque auisque, & ex mari assatus piscis.

Τοῦ αὐτοῦ.

Ὦ φίλοι, οἳ μέγα ἄστυ κατὰ ξανθοῦ Ἀκράγαντος
Ναίετ' ἀν' ἄκρα πόλεως, ἀγαθῶν μελεδήμονες ἔργων,
Χαίρετ'· ἐγὼ δ' ὑμῖν θεὸς ἄμβροτος, οὐκ ἔτι θνητὸς,
Πωλεῦμαι μετὰ πᾶσι τετιμένος, ὥσπερ ἔοικε,
Ταινίαις τε περίστεπτος, στέφεσίν τε θαλείοις.
Τοῖσιν ἅμ' εὖτ' ἂν ἵκωμαι ἐς ἄστεα τηλεθόωντα,
Ἀνδράσιν ἠδὲ γυναιξὶ σεβίζομαι. οἱ δ' ἅμ' ἕπονται
Μυρίοι, ἐξερέοντες ὅπη πρὸς κέρδος ἀταρπός.
Οἱ μὲν, μαντοσυνέων κεχρημένοι, οἱ δ' ἐπὶ νούσων
Παντοίων ἐπύθοντο κλύειν εὐηκέα βάξιν.

Eiusdem. 2.

O amici, qui magnam vrbem iuxta flauum Agrigentum
Habitatis in summitate ciuitatis, bonorum curiosi operum,
Saluete. Ego vobis Deus immortalis, non amplius mortalis
Versor cum omnibus honoratus, vt conuenit,

Et vittis coronatus, & sertis florentibus.
Quibus simul atque venio in vrbem floridam,
A viris & mulieribus color. Illi verò simul sequuntur
Innumeri, interrogantes quorsum sit ad lucrum via:
Hi quidem vaticinio indigentes: illi verò morborum
Variorum quærunt audire valde acutum sermonem.

Εἰς τὸ ἐγχειρίδιον Ἐπικτήτου.

Μῆτιν Ἐπικτήτοιο τεῷ ἐνὶ κάτθεο θυμῷ,
Ὄφρα κεν εἰσαφίκηαι καὶ οὐρανίους κενεῶνας,
Ψυχὴν ὑψικέλευθον ἐλαφρίζειν ἀπὸ γαίης.

In Enchiridion Epicteti. 3.

Sermonem Epicteti tuo impone animo,
Vt vbi perueneris etiam ad cœlestia receptacula
Animum altigradum eleues à terrâ.

Εἰς τὸ αὐτό.

Ὅς κεν Ἐπικτήτοιο σοφὴν τελέσῃ ἐννοίην,
Μειδιάει, βιότοιο γαληνιόων ἐνὶ πόντῳ,
Καὶ μετὰ ναυτιλίην βιοτήσιον εἰσαφικάνει
Οὐρανίην ἁψῖδα, καὶ ἀστερίην περιωπήν.

In idem. 4.

Quisquis Epicteti sapientem perfecerit sententiam,
Ridet, vitæ securè degens in ponto,
Et post nauigationem vitalem peruenit
Ad cœlestem summitatem, & stellatam speculam.

Εἰς Μαρῖνον.

Καὶ τόδε σῆς ζαθέης κεφαλῆς περιώσιον ἔργον
Πρόκλε μάκαρ, πάντων βρέτας ἔμπνοον ἔπλε Μαρῖνον
Ἀθανάτων, μερόπεσσι βοηθόον εὐσεβέεσσιν,
Ἀντὶ τεῆς ἱερῆς κεφαλῆς ψυχοσσόον ἄλκαρ
Κάλλιπες· ὃς βιοτὴν θεοτερπέα σεῖο λιγαίνων,
Γράψε τάδ' ἐσσομένοις μνημήια σῶν ἀρετάων.

In Marinum. 5.

Et hoc sacri tui capitis sanctum opus.

Procle beate, omnium simulacrum virum quòd Marinum
Deorum, mortalibus auxiliarem piis,
Pro tuo sancto capite animos seruans auxilium
Reliquisti, qui vitam Deo gratam tuam prædicans,
Scripsit hæc futuris monumenta tuarum virtutum.

Εἰς Πλάτωνα, Ἄδηλον.

Ἀτθίδος ἀγλώσσου στόμα φέρτατον, οὐ σέο μεῖζον
Φθέγμα Πανελλήνων πᾶσα κέκευθε πόλις.
Πρῶτος δ᾽ εἴς τε θεὸν καὶ ἐς οὐρανὸν ὄμμα τανύσσας
Θεῖε Πλάτων, ἤθη καὶ βίον ηὐγάσαο,
Σωκρατικῷ Σάμιον κεράσας κρητῆρι φρόνημα,
Κάλλιστον σεμνῆς σῆμα διχοστασίης.

In Platonem, Incerti. 6.

Atticæ facundæ os optimum, non te maius
Eloquium omnium Græcorum tota conclusit ciuitas.
Primus verò inque Deum, & in cœlum oculos defigens,
Diuine Plato, mores & vitam illustras.
Socratico Samiam miscens cratere sapientiam,
Pulcherrimum sobriæ signum inquisitionis.

Ἀποφθέγματα τῶν ἑπτὰ σοφῶν.

Ἑπτὰ σοφῶν ἐρέω κατ᾽ ἔπος πόλιν, οὔνομα, φωνήν.
Μέτρον μὲν Κλεόβουλος ὁ Λίνδιος εἶπεν ἄριστον·
Χίλων δ᾽ ἐν κοίλῃ Λακεδαίμονι, γνῶθι σεαυτόν·
Ὃς δὲ Κόρινθον ἔναιε, χόλου κρατέειν, Περίανδρος·
Πιττακὸς, οὐδὲν ἄγαν, ὃς ἔην γένος ἐκ Μιτυλήνης·
Τέρμα δ᾽ ὁρᾷν βιότοιο, Σόλων ἱεραῖς ἐν Ἀθήναις·
Τοὺς πλέονας κακίους δὲ, Βίας ἀπέφηνε Πριηνεύς·
Ἐγγύην φεύγειν δὲ, Θαλῆς ὁ Μιλήσιος ηὔδα.

Apophthegmata septem sapientum. 7.

Septem sapientum dico ad verbum ciuitatē, nomina, dictum.
Modum quidem Cleobulus Lindius dixit optimum:
Chilon verò ex caua Lacedæmone, Nosce teipsum:
Qui verò Corinthum habitabat, Iram moderari, Periander:

Pittacus, Nihil nimis, qui erat genere ex Mitylene:
Finem verò intueri vitæ Solon sanctis in Athenis:
Plures malos verò Bias dixit Prieneus:
Sponsionem fugere verò Thales Milesius dixit.

ΙΟΥΛΙΑΝΟΥ βασιλέως εἰς τὸ ὄργανον.

Ἀλλοίην ὁρόω δονάκων φύσιν· ἦπου ἀπ' ἄλλης
Χαλκείης τάχα μᾶλλον ἀνεβλάστησαν ἀρούρης,
Ἄγριοι, οὐδ' ἀνέμοισιν ὑφ' ἡμετέροις δονέονται,
Ἀλλ' ὑπὸ ταυρείης προθορὼν σπήλυγγος ἀήτης,
Νέρθεν εὐτρήτων καλάμων ὑπὸ ῥίζαν ὁδεύει.
Καί τις ἀνὴρ ἀγέρωχος ἔχων θοὰ δάκτυλα χειρὸς,
Ἵσταται ἀμφαφόων κανόνας συμφράδμονας αὐλῶν·
Οἱ δ', ἁπαλὸν σκιρτῶντες, ἀποθλίβουσιν ἀοιδήν.

IVLIANI regis in organum. 8.

Variam arundinum video naturam: an in alio
Æreo forte magis germinarunt agro
Agrestes, neque spiritu nostro incitantur:
Sed ex bubulo erumpens folle ventus,
Subter bene foratorum calamorum sub radicem intrat:
Et aliquis vir egregius habens veloces digitos manus,
Stat vndique tangens tabulas concordes tibiarum.
Hæ verò molliter saltantes exprimunt cantilenam.

Ἄδηλον.

Τῇ τῶν λόγων σου κογχύλῃ Πορφύριε
Βάπτεις τὰ χείλη, καὶ στολίζεις τὰς φρένας.

Incerti. 9.

Sermonum tuorum purpurâ Porphyrie
Tingis labra, & exornas mentes.

Ἄδηλον.

Ἡ φύσις ἐξεῦρεν, φιλίης θεσμοὺς ἀγαπῶσα,
Τῶν ἀποδημούντων ὄργανα συντυχίης,
Τὸν κάλαμον, χάρτην, τὸ μέλαν, τὰ χαράγματα χειρὸς,
Σύμβολα τῆς ψυχῆς τηλόθεν ἀχνυμένης.

Incerti.

Incerti. 10.

Natura inuenit amicitiæ leges amans,
Inter absentes organa præsentiæ,
Calamum, chartam, atramentum, & characteres manus,
Indicia animæ procul vexatæ.

Ἄδηλον, εἰς Ἡράκλειτον.

Μὴ ταχὺς Ἡρακλείτου ἐπ' ὀμφαλὸν εἴλυε βίβλον
Τοὐφεσίου· μάλα τοι δύσβατος ἀτραπιτός.
Ὄρφνη καὶ σκότος ἐστὶν ἀλάμπετον· ἢν δέ σε μύστης
Εἰσαγάγῃ, φανεροῦ λαμπρότερ' ἠελίου.

Incerti in Heracletum. 11.

Non cito Heracleti sub vmbilicum claude librum
Ephesij. Valde inuia in eo via,
Caligo & tenebræ sunt obscuræ. Sin verò te doctor
Introduxerit, lucido sunt splendidiora sole.

Ἄδηλον, εἰς Πυθαγόραν.

Ἡνίκα Πυθαγόρης τὸ περικλεὲς εὕρετο γράμμα
Κεῖν' ἐφ' ὅτῳ κλεινὴν ἤγαγε βουθυσίην,
Δὴ τότε μὲν στυφελιζομένου σκύλακος παριόντα
Φασὶν ἐποικτεῖραι, καὶ τόδε φάσθαι ἔπος,
Παῦσαι, μηδὲ ῥάπιζ', ἐπεὶ ἦ φίλου ἀνέρος ἐστὶ
Ψυχή, τὴν ἔγνων, φθεγξαμένης ἀΐων.

Incerti in Pythagoram. 12.

Cùm Pythagoras insignem inuenit figuram
Illam, ob quam insigne fecit boûm sacrificium,
Tunc sanè cùm verberaretur canis, transeuntem
Dicunt ipsius canis misertum, & hoc dixisse verbum,
Desine, nec verbera, cùm sit amici viri
Anima, quam cognoui vociferantem audiens.

ΕΙΣ ΦΙΛΟΣΤΟΡΓΙΑΝ, καὶ περὶ

ΑΛΦΕΙΟΥ.

Χειμερίαις νιφάδεσσι παλυνομένα πθὰς ὄρνις,

Τέκνοις εὐναίας ἀμφέχεε πτέρυγας.
Μέσφα μιν οὐράνιον κρύος ὤλεσεν· ἣ γὰρ ἔμεινεν
Αἰθέρος οὐρανίων ἀντίπαλος νεφέων.
Πρόκνη καὶ Μήδεια κατ' ἄϊδος αἰδέσθητε
Μητέρες, ὀρνίθων ἔργα διδασκόμεναι.

IN PHILOSTORGIAM, Cap. LXXXVII.

ALPHÆI. I.

Hyemalibus niuibus humectata mansueta gallina,
Pullis soporiferas circumfudit alas,
Donec illam cæleste frigus perdidit: certè permansit
Ætheris cælestium oppugnatrix niuium.
Procne & Medea in inferno erubescite
Matres, auium opera discentes.

Ἄδηλον.

Ἐκ πυρὸς Ἰλιακοῦ, δορὰ τῶν μέσον ἥρπασεν ἥρως
Αἰνείας ὅσιον παιδὶ βάρος πατέρα.
Ἔκλαγε δ' Ἀργείοις, μὴ ψαύετε· μικρὸν ἐς Ἄρη
Κέρδος ὁ γηραλέος, τῷ δ' ἣ φέροντι, μέγα.

Incerti. 2.

Ex igne Iliaco enses per medios rapuit heros
Æneas sanctum filio onus patrem.
Inclamauit verò Argiuos, Ne lædite: vile ad Martem
Lucrum hic senex, at ferenti, magnum.

ΑΡΧΙΟΥ.

Οὐ τόσον οὐδ' Ἀθάμας ἐπεμήνατο παιδὶ Λεάρχῳ,
Ὅσσον ὁ Μηδείης θυμὸς ἐτεκνοφόνει·
Ζῆλος ἐπεὶ μανίης μεῖζον κακόν. εἰ δ' φονεύοι
Μήτηρ, ἐν τίνι νῦν πίστις ἔτ' ἐστὶ τέκνων;

ARCHII. 3.

Non Athamas adeò iratus fuit filio Learcho,

Quantum Medeæ ira pueros trucidauit:
Zelotypia enim insaniâ maius malum. Si verò occidit
Mater, in quo nunc amplius est fides liberorum?

Τοῦ αὐτοῦ.

Αἶαν ὅλην νήσους τε διϊπταμένη σὺ χελιδὼν,
Μηδείης γραπτῇ πυκτίδι νοσσοτρέφεις.
Ἔλπῃ δ' ὀρταλίχων πίστιν σέο τήνδε φυλάξειν
Χολχίδα, μηδ' ἰδίων φεισαμένην τεκέων;

Eiusdem. 4.

Terram totam insulásque dum peruolasti hirundo,
Medeæ sculptâ in statuâ pullos nutris.
Sperásne implumium pullorum tuorum fidem hác seruaturam
Colchida, quæ propriis non pepercit liberis.

ΜΕΝΕΚΡΑΤΟΥΣ Σμυρναίου.

Παῖδ' ἐπὶ προτέροις ἤδη τρίτον ἐν πυρὶ μήτηρ
Θεῖσα, καὶ ἀπλήστῳ δαίμονι μεμφομένη,
Τέτρατον ἄρσεν ἔτικτε, καὶ οὐκ ἀνέμεινεν ἀδήλους
Ἐλπίδας, ἐν δὲ πυρὶ ζωὸν ἔθηκε βρέφος·
Οὐ θρέψω, λέξασα· τί γὰρ πλέον ἄϊδι μαστοὶ
Κάμνετε; κερδήσω πένθος ἀμοχθότερον.

MENECRATIS Smyrnæi. 5.

Pueris è prioribus iam tertium in ignem mater
Ponens, & ab insatiabili morte adflicta,
Quartum dolorem peperit: & non exspectauit incertas
Spes: in ignem verò viuum posuit infantem:
Non nutriam, dixit: Quid enim amplius vbera morti
Laboratis? Lucrabor dolorem minus laboriosum.

ΑΝΤΙΠΑΤΡΟΥ Θεσσαλονικέως.

Παιδὸς ἀφ' ὑψηλῶν κεράμων ὑπὲρ ἄκρα μέτωπα
Κύπτοντος, (μοῖραν νηπίοις ἄφοβον)
Μήτηρ ἐξόπιθεν μαζῷ μετέτρεψε νόημα,
Δὶς δὲ τέκνῳ ζωὴν ἔσχε χέουσα γάλα.

ANTIPATRI Thessalonicensis. 6.

Puero ex altis tegulis, super summum verticem
Deorsum pendenti (per casum pueris non formidatum)
Mater à tergo mammis reuocauit voluntatem:
Bis verò puero vitam dedit lac.

ΕΙΣ ΦΡΟΝΗΣΙΝ, κεφ. πη΄

ΛΟΥΚΙΑΝΟΥ.

Ἡ βραδύπους βουλή, μέγ' ἀμείνων· ἡ δὲ ταχεῖα
Αἰὲν ἐφελκομένην τὴν μετάνοιαν ἔχει.

IN PRVDENTIAM, LXXXVIII.

LVCIANI. 1.

Tardum consilium longè melius: velocius verò
Semper secum tractam pœnitentiam habet.

Ἀδήλου.

Εἰς σὲ καὶ ἀψευδὴς ἐψεύσατο βίβλος Ὁμήρου,
Ὁπλοτέρων εἰποῦσα μετήορα δήνεα φωτῶν.

Incerti. 2.

In te etiam verax mentitus liber Homeri est,
Iuuenum dicens esse leuia consilia virorum.

ΕΙΣ ΦΡΟΝΤΙΔΑΣ, κεφ. πθ΄

ΜΙΜΝΕΡΜΟΥ.

Τὴν σαυτοῦ φρένα τέρπε· δυσηλεγέων δὲ πολιτῶν
Ἄλλος τίς σε κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

IN CVRAS, Cap. LXXXIX.

MIMNERMI. 1.

Tuam ipsius mentem oblecta: morosorum verò ciuium
Alius tibi malè, alius benè dicet.

ΠΑΛΛΑΔΑ.

Εἰ τὸ μέλειν δύναταί τι, μερίμνα, καὶ μελέτω σοί.
  Εἰ δὲ μέλει περὶ σοῦ δαίμονι, σοὶ τί μέλει;
Οὔτε μεριμνήσεις δίχα δαίμονος, οὔτ' ἀμελήσεις·
  Ἀλλ' ἵνα σοί τι μέλῃ, δαίμονι τοῦτο μέλει.

PALLADÆ. 2.

Si curare aliquid valet, cura, & curam gere:
  Si verò curæ est de te Deo, quid tu curas?
Neque anxiè curabis sine Deo, neque negliges:
  Sed vt tu aliquid cures, Deo hoc curæ est.

Τοῦ αὐτοῦ.

Τίπτε μάτην ἄνθρωπε πονεῖς, καὶ πάντα ταράσσεις,
  Κλήρῳ δουλεύων τῷ κατὰ τὴν γένεσιν;
Τούτῳ σαυτὸν ἄφες, τῷ δαίμονι μὴ φιλονείκει
  Σὴν δὲ τύχην στέργων, ἡσυχίην ἀγάπα.
Μᾶλλον ἐπ' εὐφροσύνην δὲ βιάζεο, καὶ παρὰ μοῖραν
  Εἰ δυνατὸν ψυχὴν τερπομένην μετάγειν.

Eiusdem. 3.

Quare frustra homo laboras, & omnia perturbas,
  Sorti inseruiens illi iuxta tuam generationem?
Huic te relinque, & noli Deo contendere.
  Tuam verò animam amans tranquillitatem dilige.
Magis verò ad lætitiam contende, & præter fatum
  Si possibile est animam gaudentem traducere.

ΕΙΣ ΚΡΟΝΟΝ, κεφ. ϟ.

ΠΛΑΤΩΝΟΣ.

Αἰὼν πάντα φέρει· δολιχὸς χρόνος οἶδεν ἀμείβειν
  Οὔνομα, καὶ μορφήν, καὶ φύσιν, ἠδὲ τύχην.

IN TEMPVS, Cap. X C.

PLATONIS. 1.

Omnia fert æuum, longum tempus nouit mutare

Nomen, & figuram, & naturam, & fortunam.

Ἀδηλον.

Ἀργαλέως φέρεται πολιὸς χρόνος· ἀλλὰ παρέρπων,
Καὶ φωνὰς κλέπτει φθεγγομένων μερόπων.
Καὶ μὴ φαινόμενος, τοὺς φαινομένους ἀφανίζει.
Καὶ μὴ φαινομένους, εἰς φανερὸν προφέρει.
Ὦ ζωῆς ἀόριστος ἐν ἀνθρώποισι τελευτή,
Ἦμαρ ἐπ' ἦμαρ ἀεὶ πρὸς ζόφον ἐρχομένων.
Μηκέτι κληρονόμους ὀνομάζετε φέγγος ὁρῶντας,
Τοὺς δ' ἀποθνήσκοντας, κληρονόμους λέγετε.
Οἱ νῦν κληρονόμοι νέκυες μέγα κέρδος ἔχουσι,
Τὴν ἀναχώρησιν τοῦ μογεροῦ βιότου.
Τὴν πόλιν οἱ νέκυες πρότερον ζῶσαν κατέλειψαν.
Ἡμεῖς δὲ ζῶντες τὴν πόλιν ἐκφέρομεν.

Incerti. 2.

Grauiter fertur canum tempus, sed transiens,
Et voces delet loquentium hominum.
Et non apparens illos qui apparent non apparere facit.
Et non apparentes, in lucem profert.
O vitæ indefinitus in hominibus finis,
Die ad diem semper ad occasum transiente!
Neque hæredes appellate lucem intuentes,
Sed morientes hæredes dicite.
Qui nunc hæredes mortui magnum lucrum habent,
Disiunctionem à laboriosâ vitâ.
Ciuitatem hanc mortui prius viuentem reliquerunt.
Nos verò viuentes ciuitatem efferimus.

ΠΑΛΛΑΔΑ.

Νυκτὸς ἀπερχομένης γινώμεθα, ἦμαρ ἐπ' ἦμαρ,
Τοῦ προτέρου βιότου μηδὲν ἔχοντες ἔτι.
Ἀλλοτριωθέντες τῆς ἐχθεσινῆς διαγωγῆς;
Τοῦ λοιποῦ δὲ βίου σήμερον ἀρχόμενοι.

Μὴ τοίνυν λέγε σαυτὸν ἐτῶν πρεσβῦτα περισσῶν.
Τῶν γὰρ ἀπελθόντων σήμερον οὐ μετέχεις.

PALLADÆ. 3.

Nocte recedente naſcimur quotidie,
Prioris vitæ nihil habentes adhuc.
Spoliati heſterno vitæ ſtatu
Et reliquum vitæ hodie incipientes.
Ne igitur dicas teipſum annorum ſenem multorum.
Illorum enim quæ abierunt hodie non es particeps.

Τοῦ αὐτοῦ.

Ὦ τῆς βραχείας ἡδονῆς τῆς τοῦ βίου.
Τὴν ὀξύτητα τοῦ χρόνου πενθήσατε.
Ἡμεῖς καθεζόμεσθα καὶ κοιμώμεθα,
Μοχθοῦντες ἢ τρυφῶντες· ὁ δὲ χρόνος τρέχει,
Τρέχει καθ' ἡμῶν τῶν ταλαιπώρων βροτῶν,
Φέρων ἑκάστου τῷ βίῳ καταστροφήν.

Eiuſdem. 4.

O breuem voluptatem vitæ.
Celeritatem temporis doletis.
Nos ſedemus vel decumbimus,
Laborantes vel delitiantes: tempus currit,
Currit contra nos miſeros homines,
Ferens vniuſcuiuſque vitæ mortem.

Ἄδηλον.

Τὴν προτέρην θυμέλην μήτ' ἔμβλεπε, μήτε παρέλθῃς.
Νῦν ἄπαγε δραχμῆς εἰς κολοκορδόκολα.
Καὶ σῦκον δραχμῆς ἐγγίγνεται· ἢν δ' ἀναμείνῃς,
Χίλια· τοῖς πτωχοῖς ὁ χρόνος ἐστὶ θεός.

Incerti 5.

Priorem ſcenicum apparatum non intuere neque præteri.
Nunc defer pecuniam in inteſtina emenda.
Etiam ficus drachmâ emitur. Sin verò exſpectes,
Mille. pauperibus Deus eſt tempus.

Ἀδηλον.

Τῆς ὥρας ἀπόλαυε. παρακμάζει ταχὺ πάντα·
Ἐν θέρος ἐξ ἐρίφου τρηχὺν ἔθηκε τράγον.

Incerti. 6.

Tempore perfruere. Senescunt celeriter omnia:
Vna æstas ex hædo hirsutum fecit hircum.

Ἀδηλον.

Τὸ ῥόδον ἀκμάζει βαιὸν χρόνον· ἢν δὲ παρέλθῃ,
Ζητῶν εὑρήσεις οὐ ῥόδον, ἀλλὰ βάτον.

Incerti. 7.

Rosa senescit breui tempore: vbi verò transierit,
Inquirens inuenies non rosam, sed rubum.

ΕΙΣ ΩΡΑΣ, ΚΑΙ ΜΗΝΑΣ, κεφ. ϟα.

Ἀδηλον.

Ἓξ ὧραι μόχθοις ἱκανώταται· αἱ δὲ μετ' αὐτὰς,
Γράμμασι δεικνύμεναι, ζῆθι λέγουσι βροτοῖς.

IN HORAS ET MENSES. Cap. XCI.

Incerti. 1.

Sex horæ laboribus conuenientissimæ. Post illas verò,
Literis demonstratæ: viue dicunt mortalibus.

Μῆνες Αἰγυπτίων, ὧν πρῶτος Σεπτέμβριος.

Πρῶτος Θὼθ ἐδάην δρεπάνην ἐπὶ βότρυν ἐγείρειν,
Ἰχθυβόλοισι Φαωφὶ φέρει πανδήμιον ἄγρην,
Πλειάδων φαίνουσαν Ἀθὺρ τεκμαίρεται ὥρην,
Χοιὰκ σπερμαλέων σταχύων δείκνυσι γενέθλην,
Τυβὶ δὲ πορφύρεον βουληφόρον εἷμα πιπαίνει,

Σημαίνει

Σημαίνει πλωτῆρσι Μεχεὶρ πλόον ἀμφιπολεύειν.
Ἄρεος ὅπλα φέρειν Φαμενὼθ δείκνυσι μαχηταῖς,
Εἰαρινῶν Φαρμουθὶ ῥόδων προάγγελός ἐστι,
Λήϊα δ' ἀνθήσαντα Παχὼν δρεπάνοισι φυλάσσει,
Εὐκάρπου δὲ Παϋνὶ προάγγελός ἐστιν ὀπώρης,
Καὶ σταφυλὴν κατέχων εὐάμπελός ἐστιν Ἐπηφί.
Καὶ Μεσορὶ Νείλοιο φέρει φυσίζοον ὕδωρ.

Menses Ægyptiorum quorum primus
September. 2.

Primus Thoth nouit falcem ad vuam erigere,
Piscatoribus Phaothi fert communem piscationem,
Pleiadum apparens Athyr indicat tempus,
Chæac seminatarum spicarum ostendit generationem,
Tybi verò purpureum consularem vestem demittit,
Indicat nautis Mechir nauigationem instituere,
Martis arma ferre Phamenoth demonstrat pugnatorib.
Vernarum prænuncius est Pharmuthi rosarum,
Segetes florentes Psachon falce custodit,
Fœcundi verò Payni prænuncius est autumni,
Et vuam tenens pulcher vitibus est Epephi,
Et Mesori Nili fert naturam viuificantem aquam.

Μῆνες Ῥωμαίων.

Ἰανουάριος.

Ἐξ ἐμόθεν, λυκάβαντος ὑπ' ἠελίοιο θύρετρα
Αὐσονίοις ὕψος δέρκεται ἠέλιος.

Menses Romanorum.
Ianuarius. 1.

Ex me anni à sole sunt vestibula,
Ausoniis fastigium cernitur sol.

Φεβρουάριος.

Αὐτὰρ ἐγὼ θαμινῆς γαῖαν νιφάδεσσι διαίνω,
Τεύχων εἰαρινῆς ἔγκυον ἀγλαΐης.

Februarius. 2.

Verùm ego crebris terram niuibus irrigo,

Faciens vernâ ipſam grauidam venuſtate.

Μάρτιος.

Αρχετ' Αρης ἀπ' ἐμοῖο, καὶ ἄνθεα, καὶ γλάγος ἤδη·
Ιση δ' εἰκοστῷ ἤματι νὺξ πέλεται.

Martius. 3.

Incipit à me Mars, & flores, & lac iam:
Æqualis verò vigeſimo diei nox eſt.

Απρίλιος.

Εντύνοι τῆμος δὲ φυτοσκάφος ἔρνεα τάμνων,
Ρίζῃ ἐπ' ἀκροτάτῃ ἥμερον ἀκρέμονα.

Aprilis. 4.

Tunc verò inſerat plantator ſcrobe factâ ſurculos incidens,
Radice in ſummâ deſiderabilem ramum.

Μάϊος.

Οἴγνυται ἤδη θάλασσα, ἐφοπλίζοιτε δὲ νῆας·
Ωριον ἀκλύστων ἐκτὸς ἄγειν λιμένων.

Maïus. 5.

Aperitur iam mare, exſtruantur verò naues:
Tempeſtiuum à tutis extrà ducere littoribus,

Ιουνίος.

Μεσσάτιος ῥόδων εἰμὶ καὶ ἀρτιφύτοιο κρίνοιο,
Καὶ ξανθῆς κεράσου βρίθομαι ἀκρέμοσιν.

Iunius. 6.

Medius inter roſas ſum, & modo genita lilia,
Et flauis ceraſis ſcateo in ramis.

Ιούλιος.

Καρκίνον ἠέλιος μεταμείβεται· ἀστάχυας δὲ
Καρφαλέους κείρει γυιοπόνος δρεπάνῃ.

Iulius. 7.

Cancrum ſol ingreditur: ſpicas verò
Aridas tondit laborioſus meſſor ſeculà.

Αὔγουστος.

Κείνω ἐγὼ πυρρὸν καὶ ἀχυμιάς, ἐν δὲ λέοντι

Ἀτρεκέα πέλει χεύματα νηϊάδων.

Augustus. 8.

Diuido ego flaua grana,& paleas,in leone verò
Veri sunt fluctus imbrium.

Σεπτέμβριος.

Βρίθω ἐγὼ σταφυλῇ, βρίθω δ' ἐπὶ πάσῃ ὀπώρῃ·
Αὖθις δ' ἰσοπαλὴς γίγνεται ἤματι νύξ.

September. 9.

Onustus ego sum vuis,& onustus sum omnis generis pomis:
Rursus verò æqualis fit diei nox.

Οκτώβριος.

Τίς δ' ἂν ἐμεῖο πέλει γλυκερώτερος, ὃς μέθυ ληνῷ
Ἡδὺ ἐπικατάγω, Βάκχον ἀπ' οἰνοπέδου;

October. 10.

Quis me dulcior est,qui vinum torculari
Dulce deorsum defundo,Bacchum in vinifero solo?

Νοέμβριος.

Εἴ τοι Ἀθηναίης πέλει ἔρνεα, ὥριον ἤδη
Καρπὸν ἀποθλίβειν, μνῆστιν ἔχειν καμάτων.

Nouember. 11.

Si quidem Mineruæ sunt rami,tempestiuum iam
Fructum exprimere,& recordari laborum.

Δεκέμβριος.

Παύεσθαι νειοῦ κέλομαι. γλαγόωντι γὰρ ἤδη
Σπέρματι ῥιγεδανὴ πηγυλὶς ἀντιάσει.

December. 12.

Cessare à nouali iubeo.Lactescenti enim iam
Semini horrens frigus resistit.

Εἰς τὸ αὐτό.

Μὴν ὑπάτων πρῶτος· ὁ δ' ὕστερος αὖ λάχε τιμήν·
Ὁ τρίτος, Αὐσονίων θρεπτὸς ἐπὶ μῆλον ἐγείρει·
Τέτρατος ἀγλαΐει ῥοδοδάκτυλον εἴαρος ὥρην.

Εἰμὶ ῥόδων γενέτης, καὶ ἐγὼ κρίνα λευκὰ κομίζω.
Οὗτος ἀμαλλοδέτης· τὰ δ' ἐμὰ πτερὰ Νεῖλον ἐγείρει.
Οὗτος ἄριστα φίλῳ πεφιλημένος ἐστὶ τῷ Βάκχῳ,
Τεύχω δ' οἶνον ἐγὼ μελιηδέα, χάρμα βροτοῖσι.
Δαῖτα φέρω χαριέσσαν ἐς οὔνομα φωτὸς ἑκάστου.
Φορμίζειν δεδάηκα, καὶ ὑπνώοντας ἐγείρειν.

In eosdem.

Mensis consulum primus: secundus sulcum secat:
Tertius Ausonium genus ad pugnam excitat:
Quartus annunciat roseam veris horam,
Sum rosarum genitor, & egò lilia candida porto.
Hic ligat manipulos: & meæ alæ Nilum excitant.
Hic generoso amicus est Baccho.
Paro vinum ego dulce gaudium hominibus.
Conuiuium fero gratiosum ad nomen hominis cuiusque
Citharâ cantare nouit, & dormientes excitare.

ΘΕΩΝΟΣ μονόστιχον εἰς τὴν ἑβδόμαδα.

Ζεὺς, Ἄρης, Παφίη, Μήνη, Κρόνος, Ἥλιος, Ἑρμῆς.

THEONIS Monostichon in septimanam.

Iupiter, Mars, Venus, Luna, Saturnus, Sol, Mercurius.

Τέλος τοῦ πρώτου τμήματος τῆς ἀνθολογίας
διαφόρων ἐπιγραμμάτων

Finis primæ sectionis Anthologiæ Variorum
Epigrammatum.

Ἐν τῷ ἑξῆς δευτέρῳ τμήματι σκωπτικῷ ὄντι περιέχεται κεφάλαια τάδε.

In sequenti secunda sectione, quæ est scoptica, comprehenduntur hæc captia.

ΑΝΘΟΛΟΓΙΑΣ ΔΙΑΦΟΡΩΝ ἐπιγραμμάτων, εἰς ἑπτὰ βιβλία διῃρημένης, τὸ δεύτερον.

ΕΙΣ ΑΓΩΝΙΣΤΑΣ, κεφ. αʹ.

ΛΟΥΚΙΛΛΙΟΥ.

Οὗτος ὁ νῦν βέλτιστος ὀλυμπικὸς εἶχε ποτ' ἔαθεν
 Ῥῖνα, γένειον, ὀφρυὼ, ὠτάρια, βλέφαρα·
Εἶτ' ἀπογραψάμενος πύκτης, ἀπολώλεκε πάντα,

Ὥστ' ἐκ τῶν πατρικῶν μηδὲ λαβεῖν τὸ μέρος.
Εἰκόνιον γὰρ ἀδελφὸς ἔχων προσενήνοχεν αὐτοῦ·
Καὶ κέκριτ' ἀλλότριος, μηδὲν ὅμοιον ἔχων.

IN CERTATORES, Cap. 1.

LVCIANI. 1.

Hic, qui nunc optimus Olympicus, habuit prius
Nasum, mentum, supercilium, aures, palpebras.
Postea transcriptus, pugilem perdidit omnia,
Ita vt paternorum bonorum ne partem quidem acciperet.
Imaginem enim frater habens produxit eius
Et iudicatus est alienus cùm nihil simile haberet.

Τοῦ αὐτοῦ.

Εἰκοσέτους σωθέντος Ὀδυσσέος εἰς τὰ πατρῷα,
Ἔγνω τὴν μορφὴν Ἄργος ἰδὼν ὁ κύων·
Ἀλλὰ σὺ πυκτεύσας Στρατοφῶν ἐπὶ τέσσαρας ὥρας,
Οὐ κυσὶν ἄγνωστος, τῇ δὲ πόλει γέγονας.
Ἢν ἐθέλῃς τὸ πρόσωπον ἰδεῖν ἐς ἔσοπτρα σεαυτοῦ,
Οὐκ εἰμὶ Στρατοφῶν, αὐτὸς ἐρεῖς ὀμόσας.

Eiusdem. 2

Cùm viginti annos seruatas Vlysses à patriâ adfuisset
Cognouit eius faciem Argus videns canis:
Sed tu pugilatum exercens Stratophon per quatuor horas
Non canibus incognitus, sed vrbi factus es.
Sin velis faciem videre in speculo tuam
Non sum Stratophon ipse dices iurans.

Τοῦ αὐτοῦ.

Κόσκινον ἡ κεφαλή σου, Ἀπολλόφανες, γεγένηται,
Ἢ τῶν σητοκόπων βυβλαρίων τὰ κάτω.
Ὄντως μυρμήκων τρυπήματα λοξὰ καὶ ὀρθὰ,
Γράμματα τῶν λυρικῶν Λύδια καὶ Φρύγια.
Πλὴν ἀφόβως πύκτευε· καὶ ἢν τρωθῇς γὰρ ἄνωθεν,

Ταῦθ' ὅσ' ἔχεις, ἕξεις· πλείονα δ' οὐ δυνάσαι.

Eiusdem. 3.

Cribrum caput tuum Apollophanes factum est
 Aut à tineis erosorum librorum inferior pars.
Reuera formicarum foramina obliqua & recta,
 Literæ Lyricorum Lydiæ & Phrygiæ.
Quin tu confidenter depugna. Si enim vulneteris in capite,
 Illa quæ habes habebis. Plura autem non potes.

Τοῦ αὐτοῦ.

Πύκτης ὢν κατέλυσε Κλεόμβροτος· εἶτα γαμήσας,
 Ενδον ἔχει πληγῶν ἴσθμια καὶ νέμεα,
Γρηαῦν μαχίμην τύπτουσαν, ὀλύμπια· καὶ τὸ ἑαυτοῦ
 Μᾶλλον ἰδεῖν φρίσσων ἢ ποτὲ τὸ στάδιον.
Αν γὰρ ἀναπνεύσῃ, δέρεται πᾶσι πάντας ἀγῶνος
 Πληγαῖς, ὡς ἀποδῷ, κἂν ἀποδῷ, δέρεται.

Eiusdem. 4.

Pugil existens artem desiit Cleombrotus, inde vxorem ducens
 Intus habet plagarum Isthmia & Nemea.
Anum litigiosam verberantem vt in Olympico certamine, & apud scriptum
 Magis dum videt tremens, quam olim stadium.
Cùm respirat enim pulsatur in omni certamine
 Plagis, vt reddat. Et cùm reddit pulsatur.

ΝΙΚΑΡΧΟΥ.

Πέντε μετ' ἄλλων Χάρμος ἐν Αρκαδίᾳ δολιχεύων,
 Θαῦμα μὲν, ἀλλ' ὄντως ἕβδομος ἐξέπεσεν.
Εξ ὄντων, τάχ' ἐρεῖς, πῶς ἕβδομος; εἷς φίλος αὐτοῦ,
 Θάρσει Χάρμε, λέγων, ἦλθεν ἐν ἱματίῳ.
Εβδομος οὖν οὕτω παραγίγνεται, εἰ δ' ἔτι πέντε
 Εἶχε φίλους, ἦλθ' ἂν Ζωΐλε, δωδέκατος.

Nicarchi. 5.

Quinque cum aliis Charmus in Arcadiâ currens,
 Mirandum quidem, sed verè septimus explosus?
Sex cùm essent forte rogabis, quî septimus. vnus amicus eius

Confide

Confide Charme dicens, venit in vestimento,
Septimus igitur sic euadens. Si verò adhuc quinque
Habuisset amicos, venisset, Zoile, duodecimus.

ΛΟΥΚΙΛΛΙΟΥ.

Τὸν σαδιέα πρώην Ἐρασίστρατον, ἡ μεγάλη γῆ
Πάντων σειομένων, οὐκ ἐσάλευσε μόνον.

LVCILII. 6.

Stadiodromum nuper Eresistratum magna terra
Omnibus commotis non commouit solùm.

Τοῦ αὐτοῦ.

Οὔτε τάχιον ἐμοῦ τις ἐν ἀντιπάλοισιν ἔπιπτεν,
Οὔτε βραδύτερον ὅλως ἔδραμε τὸ σάδιον.
Δίσκῳ μὲν γὰρ ὅλως οὐδ᾽ ἤγγισα, τοὺς δὲ πόδας μου
Ἐξᾶραι πηδῶν ἴσχυον οὐδέποτε.
Κυλλὸς δ᾽ ἠκόντιζεν ἀμείνονα. πέντε δ᾽ ἀπ᾽ ἄθλων
Πρῶτος ἐκηρύχθην πεντετελαζόμενος.

Eiusdem. 7.

Non facilius me quis inter contendentes cecidit,
Neque tardiùs omnino cucurrit stadium.
Disco quidem in totum non appropinquaui, pedes verò meos
E terra tollere saltans potui nunquam.
Asinus verò iacularetur melius. In quinque auté certaminibus
Primus proclamatus sum quinquies victus.

Τοῦ αὐτοῦ.

Νύκτα μέσην ἐποίησε τρέχων ποτὲ Μάρκος ὁπλίτης,
Ὥστ᾽ ἀποκλεισθῆναι πάντοθε τὸ σάδιον.
Οἱ γὰρ δημόσιοι κεῖσθαί τινα πάντες ἔδοξαν
Ὁπλίτην τιμῆς εἵνεκα τῶν λιθίνων.
Καὶ τί γάρ; εἰς ὥρας ἠνοίγετο, καὶ τότε Μάρκος
Ἦλθε, προσελλείπων τῷ σαδίῳ δίπλεθρον.

Eiusdem. 8.

Noctem mediam fecerat currens quondam Marcus armatus,
Ita vt clausum esset vndique stadium.

Ministri enim iacere quempiam omnes censebant
  Armatum ob honorem lapideæ statuæ.
Quid autem? consueto tempore aperitur,& tunc Marcus
  Cucurrit,deficiens in stadio per duo iugera.

Ἀδήλου.

Τὸ στάδιον Περικλῆς εἴτ' ἔδραμεν εἴτ' ἐκάθητο,
  Οὐδεὶς οἶδεν ὅλως· δαιμόνιος βραδυτής.
Ὁ ψόφος ἦν ὕσπληγος ἐν οὔασι, καὶ στεφανοῦται
  Ἄλλος, καὶ Περικλῆς δάκτυλον οὐ προέβη.

Incerti. 9.

Stadium Pericles siue curreret,siue sederet,
  Nemo nouit omnino;diuina tarditas.
Et strepitus erat carceris in auribus,& coronatur
  Alius,& Pericles latum digitum non progressus est.

ΛΟΥΚΙΛΛΙΟΥ.

Τῷ Πίσης μεδέοντι τὸ κρανίον Αὖλος ὁ πύκτης,
  Ἓν καθ' ἓν ἀθροίσας ὀστέον, ἀντίθεται.
Σωθεὶς δ' ἐκ Νεμέας, Ζεῦ δέσποτα, σοὶ τάχα θήσει
  Καὶ τοὺς ἀστραγάλους τοὺς ἔτι λειπομένους.

Lucillii. 10.

Pisæ regi(Ioui)cranium Aulus pugil
  Ab vno ad vnum os colligens,reponit.
Vbi verò in Nemeis seruabitur,Iupiter rex,tibi forte reponet
  Etiam talos adhuc sibi relictos.

Τοῦ αὐτοῦ.

Εἰς ἱερόν ποτ' ἀγῶνα Μίλων μόνος ἦλθ' ὁ παλαιστής,
  Τὸν δ' εὐθὺς στεφανοῦν ἀθλοθέτης ἐκάλει.
Προσβαίνων δ' ὤλισθεν ἐπ' ἰσχίον. οἱ δ' ἐβόησαν
  Τοῦτον μὴ στεφανοῦν, εἰ μόνος ὢν ἔπεσεν.
Ἀνστὰς δ' ἐν μέσσοισιν ἀνέκραγεν, οὐχὶ τρί' ἐστιν;
  Ἓν κεῖμαι, λοιπὸν τἄλλα μέ τις βαλέτω.

Eiusdem. 11.

In sacrum certamen Milo solus venit pugil.

Hunc verò statim vt coronaret agonumcurator vocabat.
Progressus verò lubricans cecidit in nates. Spectatores verò
Ne illum coronaret, si solus existens cecidisset. (clamarunt.
Resurgens verò in medio clamauit; Nonne tria steterunt?
Vno tantum pede iaceo. Ceterũ in reliquis me quis deiiciat.

ΛΟΥΚΙΑΝΟΥ.

Εἰ ταχὺς εἰς τὸ φαγεῖν καὶ πρὸς δρόμον ἀμβλὺς ὑπάρχεις,
Τοῖς ποσί σου τρῶγε, καὶ τρέχε τῷ στόματι.

LVCIANI. 12.

Si celer in comedendo, & ad cursum tardus es,
Pedibus tuis comede, & curre ore.

Τοῦ αὐτοῦ.

Οἱ συναγωνισταὶ τὸν πυγμάχον ἐνθάδ' ἔθηκαν
Ἆπιν· οὐδένα γὰρ πώποτ' ἐτραυμάτισεν.

Eiusdem. 13.

Concertatores pugilem hunc posuerunt
Apin: neminem enim vnquam vulnerauit.

Τοῦ αὐτοῦ.

Πᾶσαν ὅσην Ἕλληνες ἀγωνοθετοῦσιν ἅμιλλαν
Πυγμῆς, Ἀνδρόλεως πᾶσαν ἀγωνισάμην.
Ἔσχον δ' ἐν Πίσῃ μὲν, ἓν ὠτίον· ἐν δὲ Πλαταιαῖς,
Ἓν βλέφαρον· Πυθοῖ δ', ἄπνοος ἐξεφερόμην·
Δαμοτέλης δ' ὁ πατὴρ ἐκηρύσσετο σὺν πολιήταις
Ἆραί μ' ἐκ σταδίων ἢ νεκρὸν ἢ κολοβόν.

Eiusdem. 14.

Omne quodcunque Græci certamen proposuerunt
Pugilatus, Androleos omne certaui.
Habui enim in Pisâ quidem vnam aurem, ad Plateas verò
Vnum supercilium, è Pythiis verò exanimis efferor.
Damoteles pater se parauit ad hoc cum ciuibus,
Tollere me studio vel mortuum vel truncatum.

ΕΙΣ ΑΔΥΝΑΤΟΝ, κεφ. β.

ΛΟΥΚΙΑΝΟΥ.

Εἰς τί μάτην νίπτεις δέμας ἰνδικόν; ἴσχεο τέχνης,
Οὐ δυνάσαι δνοφερὴν νύκτα καθηλιάσαι.

IN IMPOSSIBILE, Cap. II.

LVCIANI. I.

Cur frustra corpus abluis indicum, inhibe artem,
Non poteris caliginosam noctem illustrare.

ΕΙΣ ΑΝΟΗΤΟΥΣ, κεφ. γ.

ΑΝΤΙΟΧΟΥ εἰς ἀπαίδευτον ἐπιδειξάμενον.

Βήσας, εἰ φρένας εἶχεν, ἀπήγχετο· νῦν δ' ὑπ' ἀνοίας,
Καὶ ζῇ καὶ πλουτεῖ, καὶ μετὰ τὴν πάροδον.

IN STOLIDOS, Cap. III.

ANTIOCHI in indoctum ostentatorem. 1.

Besas, si sapiens esset, se suspenderet, nunc verò præ stultitia
Et viuit, & diues est etiam post ingressum.

Ἀδήλου.

Ἐν πᾶσιν μεθύουσιν Ἀκίνδυνος ἤθελε νήφειν,
Τοὔνεκα καὶ μεθύειν αὐτὸς ἔδοξε μόνος.

Incerti. 2.

Inter omnes ebrios Acindynus vult esse sobrius,
Ob id etiam ebrius esse ipse videtur solus.

Ἀδήλου.

Ἔσβεσε τὸν λύχνον μωρὸς ψυλλῶν ὑπὸ πολλῶν
Δακνόμενος, λέξας, οὐκ ἔτι με βλέπετε.

Incerti. 3.

Exstinxit lychnum morio à multis pulicibus
Morsus,& me inquit non cernitis amplius.

ΠΑΛΛΑΔΑ.

Παίτες μὲν δειλοὶ καὶ ἀλαζόνες εἰσί, καὶ εἴ τι
Ἐν τοῖς ἀνθρώποις ἄλλο πέφυκε πάθος·
Ἀλλ' ὁ λογισμὸν ἔχων τῷ πλησίον οὐκ ἀναφαίνει,
Ἔνδον ἀποκρύπτων τῇ συνέσει τὸ πάθος.
Σῆς δὲ θύρα ψυχῆς ἀναπέπταται, οὐδένα λήθεις
Οὔτε καταπλήσσων, οὔτε θρασυνόμενος.

PALLADÆ. 4.

Omnes quidem ignaui etiam arrogantes sunt,& siquis
In hominibus alius est adfectus.
Sed qui rationem habet vicino non demonstrat
Intus abscondens prudentiâ adfectum.
Tuæ verò ianua mentis aperta est,neminem lates,
Neque consternatus,neque animo confidens.

ΑΒΒΙΑΝΟΥ.

Κύλλος, καὶ Λεῦρος, δύο Θεσσαλοὶ ἐγχεσίμωροι·
Κύλλος δ' ἐκ τούτων ἐγχεσιμωρότερος.

ABBIANI. 5.

Cyllus & Leurus,duo Thessali hastâ insanientes:
Cyllus verò ex his hastâ insanior.

Αδηλον.

Ἢν ἐσίδῃς κεφαλὴν μαδαρὴν καὶ στέρνα καὶ ὤμους,
Μηδὲν ἐρωτήσῃς, μωρὸν ὁρᾷς φαλακρόν.

Incerti. 6.

Si inspicias caluum caput & pectora & humeros,
Nihil interroga,stultam vides caluitiem.

ΕΙΣ ΑΡΠΑΓΑΣ, κεφ. λδ

ΑΥΤΟΜΕΔΟΝΤΟΣ.

Δέξαι Φοῖβε τὸ δεῖπνον ὅ σοι φέρω. ἢν τις ἐάσῃ,

Δέξομαι. εἶτα φοβῇ καὶ σύ γε Λητοΐδη;
Οὐδένα τῶν ἄλλων πλὴν Ἄῤῥιον. οὗτος ἔχει γὰρ
Ἅρπαγος ἰκτίνου χεῖρα κραταιοτέρην·
Ἀκνίσσου βωμοῖο νεωκόρος ἣν τελέσῃ δὲ
Τὴν πομπὴν, ἄρας ᾤχεθ' ἅπαντα πάλιν.
Ἐν Διὸς ἀμβροσίῃ πολλὴ χάρις. εἷς γὰρ ἂν ὑμέων
Ἤμην, εἰ λιμοῦ καὶ θεὸς ᾐσθάνετο.

IN RAPTORES, Cap. IIII.

AVTOMEDONTIS. I.

Accipe Phœbe epulum, tibi quod fero. Si quis relinquat
Accipiam. An metuis tu quoque Latoïda?
Ex aliis nullum solum Arrion: ipsius habet nam
Raptoris milui manum rapaciorem:
Nidore carentis altaris æditiuus. Vbi verò celebrat
Festum, auferens abit omnia rursus.
In Iouis Ambrosiâ est multum beneficium. Vestrũ etenim vnus
Essem, si famem etiam Deus sentiret.

ΕΙΣ ΑΣΕΛΓΕΙΣ, κεφ. ε

ΛΟΥΚΙΛΛΙΟΥ.

Τὸν φιλόπαιδα Κράτιππον ἀκούσατε· θαῦμα γὰρ ὑμῖν
Καινὸν ἀπαγγέλλω. πλὴν μεγάλαι Νεμέσεις.
Τὸν φιλόπαιδα Κράτιππον αἰθύερμην ἄλλο γένος. τί;
Τῶν ἐπερεζήλων. ἤλπισα τοῦτ' ἂν ἐγώ,
Ἤλπισα τοῦτο Κράτιππος; μαντήσομαι, εἰ λύκος εἶ
Πᾶσι λέγων, ἐφάνης ἐξαπίνης ἔριφος.

IN IMPVDICOS, Cap. V.

LVCILLII. I.

Puerorum amatorem Cratipum audite. Miraculũ enim vobis

Nouum annuncio. Niſi quòd magna indignatio.
Puerorum amatorem Cratippum inuenimus aliud genus inſe-
Altera parte pollutorum. Speraui hoc ego? (&antè aliquod.
Speraui hoc ego Cratippe? Inſaniam vtpote cùm lupus eſſe
Omnibus te dicens, apparuiſti ſubitò ceruus.

Αδηλον.

Ανέρας ἠρνήσαντο, καὶ οὐκ ἐγένοντο γυναῖκες·
Οὔτ' ἄνδρες γεγάασιν, ἐπεὶ πάθον ἔργα γυναικῶν·
Οὐδὲ γυναῖκες ἔασιν, ἐπεὶ φύσιν ἔλλαχον ἀνδρῶν·
Ανέρες εἰσὶ γυναιξὶ, καὶ ἀνδράσιν εἰσὶ γυναῖκες,

Incerti. 2.

Viri eſſe recuſant, & non facti ſunt mulieres,
Neque viri facti ſunt, cùm patiantur opera mulierum.
Nec mulieres ſunt, cùm naturam conſecuti ſint virorum,
Viri ſunt mulieribus, & viris ſunt mulieres.

ΑΝΤΙΠΑΤΡΟΥ.

Εστηκὸς τὸ Κίμωνος ἰδὼν πέος εἶφ' ὁ Πρίηπος,
Οἴμοι, ὑπὸ θνητοῦ λείπομαι ἀθάνατος.

ANTIPATRI. 3.

Stans Cimonis videns mentulam, dixit Priapus,
Hei mihi, à mortali ego Deus ſuperor.

ΣΤΡΑΤΩΝΟΣ.

Η κλίνη πάσχοντας ἔχει δύο καὶ δύο δρῶντας·
Οὓς σὺ δοκεῖς πάντως τέσσαρας· εἰσὶ δὲ τρεῖς.
Ην δὲ πύθῃ πῶς τοῦτο, τὸν ἐν μέσσῳ δὶς ἀρίθμει,
Κοινὰ πρὸς ἀμφοτέρους ἔργα σαλευόμενον.

STRATONIS. 4.

Lectus patientes duos habet, & duos agentes:
Quos tu putas omnino quatuor. Sunt verò tres:
Si interroges, quomodo hoc? Illum in medio bis numera,
Communia ad vtrumque opera iactantem.

Αδηλον.

Εἰρήνη πάντεσσιν ὅτι σκοπὸς εἶπεν ἐπελθών.

Πῶς δύναται πᾶσιν, ἣν μόνος ἔνδον ἔχει;

Incerti. 5.

Pax sit omnibus, Episcopus dixit abiens,
Quomodo potest omnibus, quam solam intus habet.

Ἄδηλον.

Φεύγων τὴν ὑπόνοιαν Ἀπολλοφάνης ἐγάμησεν,
Καὶ διὰ τῆς ἀγορᾶς νυμφίος ἦλθε μέσης,
Αὔριον εὐθὺ λέγων ἕξω τέκνον· εἶτα προῆλθεν
Αὔριον ἀντὶ τέκνου τὴν ὑπόνοιαν ἔχων.

Incerti. 6.

Fugiens suspicionem Apollophanes vxorem duxit,
Et per forum sponsus iuit medium.
Cras statim dicens habebo puerum. Postea abiit
Cras de puero suspicionem habens.

Ἄδηλον.

Ἀλφειοῦ στόμα φεῦγε· φιλεῖ κόλπους Ἀρεθούσης,
Πρηνὴς ἐμπίπτων ἁλμυρὸν ἐς πέλαγος.

Incerti. 7.

Alphei os fuge, osculatur sinus Arethusæ,
Pronus incidens in salsum pelagus.

Ἄδηλον.

Οὐχ ὅτι τὸ κάλαμον λείχεις, διὰ τοῦτό σε μισῶ,
Ἀλλ' ὅτι τοῦτο ποιεῖς καὶ δίχα τοῦ καλάμου.

Incerti. 8.

Non quòd cunnum lingis, ob id te odi,
Sed quod illud facis etiam sine cunno.

Ἄδηλον.

Χείλων, καὶ λείχων, ἴσα γράμματα· ἐς τί δὲ τοῦτο;
Λείχει γὰρ Χείλων κἂν ἴσα, κἂν ἄνισα.

Incerti. 9.

Chilon & lichon, eædem litteræ. Quare autem illud?
Lingit enim Chilon siue æqualia, siue inæqualia.

Ἄδηλον.

Υἱὸς Πατρικίου μάλα κόσμιος, ὃς διὰ Κύπριν
  Οὐχ ὁσίην ἑτάρους πάντας ἀποστρέφεται.

Incerti. 10.

Patritij filius valde pulcher. qui ob Venerem
  Non castam socios omnes inclinat.

Ἄδηλον.

Ἂν μετ' Ἀλεξάνδρειαν ἐς Ἀντιόχειαν ἀπέλθῃς,
  Καὶ μετὰ τὴν Συρίην Ἰταλίης ἐπιβῇς,
Τῶν δυνατῶν οὐδείς σε γαμήσει. τοῦτο γὰρ αἰεὶ
  Οἰομένη, πηδᾷς εἰς πόλιν ἐκ πόλεως.

Incerti. 11.

Si post Alexandriam in Antiochiam transeas,
  Et post Syriam Italiam ingrediaris:
Potentiorum nemo te vxorem ducit. Hoc enim semper
  Rata, saltas in ciuitatem ex ciuitate.

ΕΙΣ ΑΣΤΡΟΛΟΓΟΥΣ, κεφ. ς.

ΛΟΥΚΙΛΛΙΟΥ.

Τῷ πατρί μου τὸν ἀδελφὸν τὸν ἀστρολόγοι μακρόγηρων
  Πάντες ἐμάντευσανθ' ὡς ἀφ' ἑνὸς στόματος·
Ἀλλ' Ἑρμοκλείδης αὐτὸν μόνος εἶπε πρόμοιρον,
  Εἶπε δ' ὅτ' αὐτὸν ἔσω νεκρὸν ἐκοπτόμεθα.

IN ASTROLOGOS, Cap. VI.

LVCILLII. 1.

Patri meo fratrem Astrologi longæuum
  Omnes vaticinati sunt tanquam vno ore.
Verùm Hermoclides ipsum solus dixit præmaturâ morte obi-(turum.
  Dixit autem cùm ipsum iam domi mortuum lugeremus.

Τοῦ αὐτοῦ.

Πάντες ὅσοι τὸν Ἄρη καὶ τὸν Κρόνον ὡροθετοῦσιν,
  Ἄξιοί εἰσι τυχεῖν πάντες ἑνὸς τυπάνου.

Οἴομαι οὐ μακρὰν αὐτοὺς τυχὸν εἰδότας ὄντως
Καὶ τί ποιεῖ ταῦρος καὶ τί λέων δύναται.

Eiuſdem. 2.

Omnes quotquot quid Mars & Saturnus ſignificet, indagant,
Digni ſunt vt conſequantur omnes vnum tympanum.
Videbo breui ipſos fortaſſis ſcientes reuera
Et quid faciat taurus, & quid Leo poſſit.

Τοῦ αὐτοῦ.

Εἶπεν ἐληλυθέναι τὸ πεπρωμένον. αὐτὸς ἑαυτοῦ
Τὴν γένεσιν διαθεὶς, Αὖλος ὁ ἀστρολόγος·
Καὶ ζήσειν ὥρας ἔτι τέσσαρας· ὡς δ' παρῆλθεν
Ἡ πέμπτη, καὶ ζῆν εἰδότα μηδὲν ἔδει,
Αἰδεσθεὶς Πετόσιριν, ἀπήγξατο· καὶ μετέωρος
Θνήσκει μὲν, θνήσκει δ' οὐδὲν ἐπιστάμενος.

Eiuſdem. 3.

Dixit veniſſe fatum, ipſe ſuam
Geneſin explicans Aulus Aſtrologus:
Et ſe victurum horas adhuc quatuor. Vt verò tranſierat
Quinta, & viuere ſcientem nihil oportebat:
Pudens ob Petoſirin ſe ſuſpendit, & ſublimis
Moritur. Mortuus verò eſt nihil ſciens.

Τοῦ αὐτοῦ.

Πρὸς τὸν μάντιν Ὄλυμπον Ὀνήσιμος ἦλθεν ὁ πύκτης,
Εἰ μέλλει γηρᾶν βουλόμενος προμαθεῖν.
Κἀκεῖνος, ναὶ, φησὶν, ἐὰν ἤδη καταλύσῃς·
Ἂν δέ γε πυκτεύῃς, ὡρόθετεῖ σε Κρόνος.

Eiuſdem. 4.

Ad vatem Olympum Oneſimus venit pugil,
An etiam ſenex eſſet futurus volens præſcire.
Et ille, certè, dixit, ſi iam rudi doneris.
Vbi verò pugil fueris, calamitatem tibi denuntiat Saturnus.

ΝΙΚΑΡΧΟΥ.

Εἰς Ῥόδον εἰ πλεύσοι, τὶς Ὀλυμπικὸν ἦλθεν ἐρωτῶν

Τὸν μάντιν, καὶ πῶς πλεύσεται ἀσφαλέως.
Χὠ μάντις, πρῶτον μὲν, ἔφη, καινὴν ἔχε τὴν ναῦν,
Καὶ μὴ χειμῶνος, τοῦ δὲ θέρους ἀνάγου.
Τοῦτο γὰρ ἂν ποιῇς, ἥξεις κἀκεῖσε καὶ ὧδε,
Αν μὴ πειρατὴς ἐν πελάγει σε λάβῃ.

NICARCHI. 5.

In Rhodum an nauigaret, aliquis Olympicum venit rogans
Vatem, & numine nauigaret tuto.
Et vates, primò, quidem, inquit, nouam habe nauem,
Et non in hyeme sed æstate transuehere.
Si enim hoc facies, venies, illuc & huc:
Ni fors Piratæ te in pelago capiant.

ΛΟΥΚΙΛΛΙΟΥ.

Πρὸς τὸν μάντιν Ὄλυμπον Ὀνήσιμος ἦλθ' ὁ παλαιστὴς,
Καὶ πένταθλος Ὕλας, καὶ σταδιεὺς Μενεκλῆς,
Τίς μέλλει νικᾶν αὐτῶν τὸν ἀγῶνα, θέλοντες
Γνῶναι. κἀκεῖνος τοῖς ἱεροῖς ἐνιδὼν,
Πάντες, ἔφη, νικᾶτε, μόνον μή τίς σε παρέλθῃ,
Καί σε καταστρέψῃ, καὶ σὲ παρατροχάσῃ.

LVCILLII. 6.

Ad vatem Olympum Onesimus venit palæstrita,
Et Pentathlus Hylas, & stadiodromus Menecles.
Quis victurus esset illorum certamen volentes
Scire. Et ille sacra inspiciens.
Omnes, inquit, vincetis, solummodo ne quis te prætereat,
Neque te supplantet, neque te præcurrat.

ΠΑΛΛΑΔΑ.

Εἰπὲ πόθεν σὺ μετρεῖς κόσμον καὶ πείρατα γαίης,
Ἐξ ὀλίγης γαίης σῶμα φέρων ὀλίγον.
Σαυτὸν ἀρίθμησον πρότερον, καὶ γνῶθι σεαυτὸν,
Καὶ τότ' ἀριθμήσεις γαῖαν ἀπειρεσίην.
Εἰ δ' ὀλίγον πηλὸν τοῦ σώματος οὐ καταριθμεῖς,

Πῶς δυνάσαι γνῶναι τῶν ἀμέτρων τὰ μέτρα;

PALLADÆ. 7.

Dic vnde tu mensuras mundum, & fines terræ,
Ex parua terra corpus ferens paruum?
Teipsum metire prius, & cognosce teipsum,
Et tunc metieris terram infinitam.
Si autem paruam glebam corporis non numeras,
Qui poteris scire immensorum mensuras?

Ἀδήλου.

Ἀντικράτης ᾔδει τὰ σφαιρικὰ μᾶλλον Ἀράτου
Πολλῷ, τὴν δ' ἰδίην οὐκ εἰδὼς γένεσιν.
Διστάζειν γὰρ ἔφη πότερ' ἐν κριῷ γεγένηται,
Ἢ διδύμοις ἢ τοῖς ἰχθύσιν ἀμφοτέροις.
Εὕρηται δὲ σαφῶς ἐν τοῖς τρισί· καὶ γὰρ ὀχευτὴς,
Καὶ μωρὸς, μαλακός τ' ἐστὶ, καὶ ὀψοφάγος.

Incerti. 8.

Anticrates nouit Sphærica magis quàm Aratus
Longè, propriam verò non nouit genesin.
Dubitare enim se ait, verùm in ariete natus sit
An geminis, an verò piscibus vtrisque.
Inuenitur verò reuera in tribus. Ipse enim fututor
Et stultus, & mollisque est, & obsoniorum abliguritor.

Ἀδήλου.

Κλεινίης ἀγέλαρχος ὅτε σπόρον ἔμβαλε γαίῃ,
Οἶκον Ἀστροφίοιο ἤλθεν ἐς ἀστρολόγον,
Ἤ τινα δ' ἐξερέεινεν εἰ θέρος αἴσιον αὐτῷ
Ἔσται, καὶ σταχύων ἄφθονος εὐπορίη.
Ὃς δὲ λαβὼν ψηφῖδας, ἐπὶ πίνακός τε πυκάζων,
Δάκτυλά τε γνάμπτων, φθέγξατο Κλεινίῃ,
Εἴπερ ἐπομβρηθῇ κατ' ἀρούριον ὅσσον ἀπαρκεῖ,
Μηδὲ τὴν ὕλαν τέξεται ἀνθεμόεσσαν,
Μηδὲ πάγος ῥήξῃ τὴν αὔλακα, μηδὲ χάλαζα
Ἄκρον ἀποδρύψῃ δράγματος ὀρνυμένου,

Μηδὲ νεφέλη ῥήξωσι τὰ λήια, μηδέ τιν' ἄλλην
　Ἠέρος ἢ γαίης ὄψεται ἀμπλακίην,
Ἐσθλόν σοι τὸ θέρος μαντεύομαι, εὖ δ' ἀποκόψεις
　Τοὺς στάχυας. μούνας δείδιθι τὰς ἀκρίδας.

Incerti. 9.

Calligenes rusticus cùm tritici semen terræ iniiceret,
　Domum Aristophanis venit in Astrologi,
Quærebat interrogans an messis æqua ipsi
　Futura esset, & spicarum abundans prouentus.
Hic verò sumens calculos, super tabulámque componens,
　Digitósque flectens dixit Calligeni:
Siquidem irrigabitur agellus quantum oportet,
　Neque pariet siluosam inutilem herbam,
Nisi etiam gelu frangat sulcum, neque grandine
　Summitas quatiatur spicæ surgentis,
Neue hinnuli detondeant segetes, nec aliquam aliam
　Aeris aut terræ videbit calamitatem.
Felicem tibi æstatem vaticinor, & bene demetes
　Spicas. Solas time locustas.

ΕΙΣ ΒΡΑΧΕΙΣ, κεφ. ζ.

ΤΙΜΩΝΟΣ εἰς Κλεάνθην.

Τίς δ' οὗτος, κτίλος ὥς, ἐπιπωλεῖται στίχας ἀνδρῶν,
Μωλίτης, ἐπέων φίλος, ἄσιος, ὅλμος ἄτολμος.

IN NANOS, Cap. VII.

TIMONIS IN CLEANTHEM. I.

Quisnam hic, qui vt veruex perambulat turmas virorum?
Hebes, verborum amicus, sinum extendens, pistillus imbellis.

ΙΟΥΛΙΑΝΟΥ ἀντικήνσωρος.

Ἀσπιδίως εἴκτοσθεν ἐὼν μή σε καλύψῃ
　Αἷμα τὸ Πυγμαίων ἱδομένη γέρανος.

IVLIANI Anticinsoris. 2.

Tutò habita in ciuitate, ne tibi noceat
 Sanguine Pygmæorum gaudens grus.

ΛΟΥΚΙΛΛΙΟΥ.

Ἀγρὸν Μηνοφάνης ὠνήσατο, καὶ διὰ λιμὸν
 Ἐκ δρυὸς ἀλλοτρείας αὐτὸν ἀπηγχόνισεν.
Γῆν δ' αὐτῷ τεθνεῶτι βαλεῖν οὐκ ἔσχον ἄνωθεν,
 Ἀλλ' ἐτάφη μισθοῦ πρός τινα τῶν ὁμόρων.
Εἰ δ' ἔγνω τὸν ἀγρὸν τὸν Μηνοφάνους Ἐπίκουρος,
 Πάντα γέμειν ἀγρῶν εἶπεν ἄν, οὐκ ἀτόμων.

LVCILLII. 3.

Agrum Menophanes emerat, & ob famem
 Ex quercu alterius seipsum suspendit,
Terram a. quæ ipsi mortuo iniiceretur, non habuit, super.
 Sed sepultus est precio in agro quodam vicino.
Si autem vidisset agrum Menophanis Epicurus,
 Omnia plena agris diceret, haud atomis.

Ἀδήλου.

Ὁ βραχὺς Ἑρμογένης, ὅταν ἐκβάλῃ εἰς τὸ χαμαί τι,
 Ἕλκει πρὸς τὰ κάτω τοῦτο δρυδρεπάνῳ.

Incerti. 4.

Hermogenes breuis cùm decidit in terram aliquid,
 Trahit deorsum illud falce.

ΕΙΣ ΒΑΛΑΝΕΙΟΝ ΨΥΧΡΟΝ.

κεφ. πζ

ΝΙΚΑΡΧΟΥ.

Λούσασθαι πεπόρευται Ὀνήσιμος εἰς βαλανεῖον
 Δωδεκάτῃ δύστρου μηνός, ἐπ' Ἀντιφίλου,
Παῖδα λιπὼν οἴκοις ἐπιτίτθιον, ὃν δύο τέκνων
 Ἄλλων εὑρήσει λυσάμενος, πατέρα.
Ἥξειν δ' εἰς ὥρας ἡμῖν γράφει· τὸ βαλανεῖον γὰρ

Εἰς τότε πάσσονται τὴν πυελίαν κατακλεῖν.

IN BALNEVM FRIGIDVM, Cap. VIII.

NICARCHI. I.

Lauatum abiit Onesimus in balneum
Duodecimo Martis die, Antiphilo prætore:
Puerum domi relinquens lactantem. quem duorum puerorum
Aliorum inueniet vbi lotus erit, patrem.
Venturum verò in horas nobis scribit. Balneatores enim
Tunc imperant balneum claudere.

ΕἸΣ ΓΡΑΙΑΣ, κεφ. θ.

ΜΥΡΙΝΟΥ.

Υ τετρακόσι' ἐστίν· ἔχεις δὲ σὺ τοὺς ἐνιαυτούς
Δὶς τόσσους τρυφερὴ πεντακόρων' Εκάβη.
Σισύφου ὦ μάμμη καὶ Δευκαλίωνος ἀδελφή.
Βάπτε δὲ τὰς λευκάς, καὶ λέγε πᾶσι τατᾶ.

IN ANVS, Cap. IX.

MYRINI. I.

Hy quadringentorum est. Habes autem tu annos
Bis tot deliciosa quinque cornicis ætates peragens Hecuba:
Sisyphi ô nutrix, & soror Deucalionis.
Tinge verò canos, & dic omnibus Tata.

ΛΟΥΚΙΛΛΙΟΥ.

Τὰς τρίχας, ὦ Νίκυλλα, τινὲς βάπτεσθαι λέγουσιν,
Ἃς σὺ μελαινοτάτας ἐξ ἀγορᾶς ἐπρίω.

LVCILII. 2.

Comas, Nicylla, quidam tingere te dicunt,
Quas tu nigerrimas ex foro emisti.

Τοῦ αὐτοῦ.

Τὰς πολιὰς βάψασα Θεμιστονόη τρικόρωνος,
 Γίγνεται ἐξαπίνης οὐ νέα, ἀλλὰ Ῥέα.

Eiuſdem. 3.

Canos tingens Themiſtonoë tertiam cornicis ætatem agens,
 Fit extemplo non noua, ſed Rhea.

ΛΕΩΝΙΔΟΥ.

Γρηῦν ἔγημε Φιλῖνος, ὅτ᾽ ἦν νέος· ἡνίκα πρέσβυς,
 Δωδεκέτιν· παφίη δ᾽ ὄφελος οὐδέποτε·
Καὶ γὰρ ἄπαις διέμεινε τότε σπείρων ἐς ἄκαρπα·
 Νῦν δ᾽ ἑτέροις γήμας, ἀμφοτέρων στέρεται.

LEONIDÆ. 4.

Anum duxit Philenus, cùm eſſet iuuenis. Cùm ſenex
 Iam 12. annorum virginem. Venus tempeſtiua nullibi.
Nam ſine filiis manſit tunc ſeminans in ſterilem.
 Iam verò cùm aliis duxerit, vtroque priuatur.

ΝΙΚΑΡΧΟΥ.

Ἡ πολιὴ κροτάφοισι Κοτυττάρις, ἡ πολύμυθος
 Γραῖα, δι᾽ ἣν Νέστωρ οὐκ ἔτι πρεσβύτατος,
Ἡ φάος ἀθρήσασ᾽ ἐλάφου πλέον, ἡ χερὶ λαιῇ
 Γῆρας ἀριθμεῖσθαι δεύτερον ἀρξαμένη,
Ζῶς καὶ λεύσσουσα καὶ ἄρτιπος, οἷά τε νύμφη,
 Ὥστε με διστάζειν μή τι πέπονθ᾽ Ἀΐδης.

NICARCHI. 5.

Cana in vertice Kotyttaris, loquax
 Anus, ob quam Neſtor non amplius maximè longæuus:
Quæ ſæcla videt ceruo plura, quæ manu ſiniſtra
 Senium numerans iterum incepit.
Viuit, & videns, & pedibus valens, tanquam virgo,
 Adeo vt ambigam ne quid forte paſſus ſit Pluto.

Τοῦ αὐτοῦ.

Τὴν δύσκωφον γραῖαν Ὀνήσιμος πρὸς Διὸς ἔξω

Ἐκβάλε

Ἢν αὐτῇ τυροὺς ἁπαλοὺς εἴπωμεν ἐνέγκαι,
Οὐ τυρούς, πυροὺς δ᾽ ἔρχετ᾽ ἔχουσα νέους.
Πρῴην τὴν κεφαλὴν ἐπόνουν, καὶ πήγανον αὐτὴν
Ἤτουν· ἡ δ᾽ ἔφερεν τήγανον ὀστράκινον.
Ἢν ὀπὸν αἰτήσω, δοκὸν εἰσφέρει. αὖ λάχανόν μοι,
Εἴπω, δός, πεινῶ, αὐτὸ φέρει λάσανον.
Ὄξος αὖ αἰτήσω, τόξον φέρει· ἂν δέ γε τόξον,
Ὄξος. ὅλως δ᾽ ὃ λέγω, οὔποτ᾽ ἐπαισθάνεται.
Αἰσχρὸν τῆς γραός με χάριν κήρυκα γενέσθαι,
Καὶ μήγε ταῖν ἔξω, νυκτὸς ἐγειρόμενον.

Eiusdem. .6.

Surdam illam anum Onesime per Iouem è domo
Eiice: multa valde negotia mihi exhibet.
Cùm ipsi caseos molles dicimus inferre,
Non caseum; sed triticum venit habens nouum.
Nuper cùm caput dolerem, & rutam ab ipsa
Peterem, illa mihi ferebat sartaginem ostraceam.
Si succum petam trabem infert, si olus mihi
Dico da, esuriens, statim affert matulam.
Acetum cùm posco, sagittam fert. Cùm autem sagittam,
Acetum. Denique quod dico nunquam animaduertit.
Turpe est me ob vetulam præconem fieri,
Et curare extra de nocte excitatum.

ΛΟΥΚΙΛΛΙΟΥ.

Λούεσθαί σε λέγουσι πολὺν χρόνον Ἡλιοδώρα,
Γραῖαν ἐτῶν ἑκατὸν μὴ καταλυομένην.
Πλὴν ἔγνωκα τίνος ποιεῖς χάριν· ὡς ὁ παλαιὸς
Ἐλπίζεις Πελίας ἑψομένη νεάσαι.

LVCILLII. 7.

Lauari te dicunt multo tempore Heliodora,
Anum annorum centum non solutam.
Verùm scio cuius facias caussâ: Velut antiquus
Speras Pelias elixata iuuenescere.

ΜΑΚΕΔΟΝΙΟΥ.

Τῷ ψιμύθῳ μὲν ἀεὶ λιποσαρκέα τεῖνε παρειὴν
  Λαοδίκη, λαοῖς ἔνδικα τιμωμένη·
Μήποτε δ' εὐρύνῃς σέο χείλεα· τίς γὰρ ὀδόντων
  Ὄρχατον ἐμπήξει φαρμακόεντι δόλῳ;
Τὴν χάριν ἐξέρρευσας, ὅσην ἔχες· οὐκ ἀπὸ γαίης
  Ἀγλαΐην μελέων ἕλκεται ἀενάου.
Ὡς γὰρ ῥόδον θαλέθεσκες ἐν εἴαρι· νῦν δ' ἐμαράνθης,
  Γήραος αὐχμηρῷ καρφομένη θέρεϊ.

MACEDONII. 8.

Fuco quidem ſemper macilentam extende genam,
  Laodice, pœnas dans meritas populo.
Nunquam verò dilatabis tua labra. Quis enim dentium
  Ordinem firmabit medicinali dolo?
Gratia effluxit, quantam habuiſti. Non ex terra
  Decor membrorum trahitur perpetuus.
Vt flos florebas in vere, nunc emarcuiſti,
  Senij ſqualidâ attenuata æſtate.

ΛΟΥΚΙΛΛΙΟΥ.

Τὴν κεφαλὴν βάπτεις, γῆρας δ' οὔποτε βάψεις,
  Οὐδὲ παρειάων ῥυτίδας ἐκτανύσεις.
Μὴ τοίνυν τὸ πρόσωπον ἅπαν ψιμύθῳ κατάπλαττε,
  Ὥστε προσωπεῖον, κοὐχὶ πρόσωπον ἔχειν.
Οὐδὲν γὰρ πλέον ἐστί. τί μαίνεαι; οὔποτε φῦκος
  Καὶ ψίμυθος τεύξει τὴν Ἑκάβην Ἑλένην.

LVCILLII. 9.

Caput tingis, ſenectutem autem nunquam tinges,
  Nec genarum rugas explicabis.
Ne igitur faciem totam fucô efforma,
  Tanquam laruam non amplius faciem habens.
Nihil enim hoc te iuuat. Quid inſanis, nunquam fucus,
  Et color ex Hecaba fecerit vnquam Helenam.

ΓΑΙΤΟΥΛΙΟΥ.

Τετράκις ἀμφορέως περὶ χείλεσι χείλεα θεῖσα
  Σελλωὶς πάσας ἐξεφόρησε τρύγας.
Εὐχαῖτα Διόνυσε, σὲ δ' ὕδασιν οὐκ ἐμίηνεν,
  Ἀλλ' οἷος πρώτης ἦλθες ἀπ' οἰνοπέδης,
Τοῖόν σε προὔπινεν ἀφειδὲς ἐς ἄγγος ἔχουσα,
  Εἰσότε καὶ νεκύων ἦλθ' ἐπὶ συμμορίην.

GÆTVLI. 10.

Quater amphoræ ad labra labra adponens
  Baccha omnem exhausit fæcem.
Benè comate Dionyse, te in aquis non fœdauit,
  Sed qualis primâ venisti è vineâ,
Talem te propinauit non parcè in dolio habens,
  Donec peruenit mortuorum ad commercia.

Ἀδηλον.

Τὴν γραῦν ἐκκομίσας, φρονίμως πάνυ Μόσχος ἔγημε
  Παρθένον· ἡ φερνὴ δ' ἔνδον ἔμεινεν ὅλη.
Ἄξιον αἰνῆσαι Μόσχου φρένας, ὃς μόνος οἶδε
  Καὶ τίνα δεῖ κινεῖν, καὶ τίνα κληρονομεῖν.

Incerti. 11.

Anum efferens, sapienter admodum Moschus duxit
  Virginem. Dos verò intus mansit tota.
Dignus laudari Moschi animus, qui solus nouit
  Et quam oporteat subigere, & cuius hæreditatem adire.

Ἀδηλον.

Ἤκμασε Νικονόη, κἀγὼ λέγω· ἤκμασε δ' αὐτὴ
  Ἡνίκα Δευκαλίων ἄπλετον εἶδεν ὕδωρ.
Ταῦτα μὲν οὖν ἡμεῖς οὐκ οἴδαμεν, ἀλλ' ὅτι ταύτην
  Οὐκ ἄνδρα ζητεῖν νῦν ἔδει, ἀλλὰ τάφον.

Incerti. 12.

Floruit Niconoë, & ego dico. Floruit autem ipsa
  Cùm Deucalion immensam videret aquam.
Hoc quidem igitur nos non sciuimus, sed quòd hanc

Non virum nunc oporteat quærere ſed tumulum.

Αδηλον.

Αλλην δρῦν βαλάνιζε Μενέσθιον· οὐ γὰρ ἔγωγε
Εκχυμέους μήλων προσδέχομαι ῥυτίδας·
Αλλ' αἰεὶ πεπόθηκα συνακμάζουσαν ὀπώρην..
Ωστε τί πειράζεις λευκὸν ἰδεῖν κόρακα;

Incerti. 13.

Aliam quercum percute,Meneſtion:Non enim ego
Exoletas pomorum accipio rugas.
Sed ſemper deſideraui vnà florentem autumnum:
Adeoque quid tentas album videre coruum?

Αδηλον.

Γινώσκειν σε θέλω Πλακιανὲ σαφῶς, ὅτι πᾶσα
Εξαλκος γραῖα, πλουσία ἐστὶ σορός.

Incerti. 14.

Te Placiane volo liquidò nouiſſe,quòd omnis
Diues anus eſt ſepulcrum locuples.

ΝΙΚΙΟΥ.

Τὴν κεφαλὴν βάπτων τις, ἀπώλεσε τὰς τρίχας αὐτάς,
Καὶ δασὺς ὢν λίαν, ὠὸν ἅπας γέγονεν.
Τοῦτο βαφεὺς ἐβίησε, τὸ μηκέτι κουρέα τέμνειν
Μήτε κόμην λευκήν, μήτε μελαινομένην.

NICIÆ. 15.

Caput tingens aliquis perdidit capillos ipſos,
Et hirtus exiſtens valde tanquam ouum omnino factus eſt.
Hoc tinctor clamauit quòd non amplius tonſor ſecare *debeat*
Neque comam canam,neque nigram.

ΕΙΣ ΓΡΑΜΜΑΤΙΚΟΥΣ, κεφ. ιζ

ΛΟΥΚΙΛΛΙΟΥ.

Αν τοῦ γραμματικοῦ μνησθῶ μόνον Ἡλιοδώρου,
Εὐθὺ σολοικίζειν τὸ στόμα μου δέδεται.

IN GRAMMATICOS, Cap. X.

LVCILLII. 1.

Quando ego Grammatici memini solùm Heliodori,
Statim solæcismum faciens os meum inhibet.

Τοῦ αὐτοῦ εἰς γραμματικὸν κερασφόρον.

Οὐδεὶς γραμματικῶν δύναταί ποτε ἄρτιος εἶναι,
Ὀργὴν καὶ μῆνιν καὶ χόλον εὐθὺς ἔχων.

Eiusdem in Grammaticum Cornigerum. 2.

Nemo Grammaticorum potest vnquam sanus esse,
Iram & Furorem & bilem statim habens.

ΦΙΛΙΠΠΟΥ.

Γραμματικοί, Μώμου Στυγίου τέκνα, σῆτες ἀπολότων,
Τελχῖνες βίβλων, Ζηνοδότου σκύλακες,
Καλλιμάχου στρατιῶται, ὃν ὡς ὅπλον ἐκτανύσαντες,
Οὐδ' αὐτοῦ κείνου γλῶσσαν ἀποστρέφετε·
Συνδέσμων λυγρῶν θηρήτορες, οἷς τὸ μὶν ἢ σφὶν
Εὔαδε, καὶ ζητεῖν εἰ κύνας εἶχε Κύκλωψ·
Τρίβοισθ' εἰς αἰῶνα, καταπρίζοντες ἀλιτροὶ
Ἄλλων· ἐς δ' ἡμᾶς ἰὸν ἀποσβέσατε.

PHILIPPI. 3.

Grammatici sunt Momi stygij filij, tineæ omnium
Furiosi librorum, Zenodoti canes,
Callimachi milites, quem tanquam scutum extendentes,
Neque ab illo ipso linguam abstinetis:
Coniunctionum difficilium venatores, quibus μὶν aut σφὶν
Placuit, & quærere an canes habuerit Cyclops:
Conterimini in æternum inter vos stridentes errones,
Inuicem, at contra nos telum extinguite.

ΑΝΤΙΦΑΝΟΥΣ.

Γραμματικῶν περίεργα γένη, ῥιζώρυχα μούσης
Ἀλλοτρίης, ἀτυχεῖς σῆτες ἀκανθοβάται;

Ταὶ μεγάλων κηλῖδες, ἐπ' Ἠρίννῃ δὲ κομῶντες,
Πικροὶ καὶ ξηροὶ Καλλιμάχου πρόκυνες,
Ποιητῶν λῶβαι, παισὶ σκότος ἀρχομένοισι,
Ἔρροιτ' εὐφώνων λαθροδάκναι κόρεες.

ANTIPHANIS. 4.

Grammaticorum curiosum genus, eradicatorium Musæ
Alienæ, infelices tineæ per spinas incedentes,
Magnorum maculæ, in Erynnâ laudandâ operam nauantes,
Graues & duri Callimachi procanes.
Poëtarum contumeliæ pueris tenebræ incipientibus
Peritè benè sonantium clanculum mordentes tineæ.

ΠΑΛΛΑΔΑ.

Οὐ δύναμαι γαμετῆς καὶ γραμματικῆς ἀνέχεσθαι,
Γραμματικῆς ἀπόρου, καὶ γαμετῆς μαχίμου.
Ἀμφοτέρων τὰ πάθη, θάνατος καὶ μοῖρα τέτυκται.
Τὴν οὖν γραμματικὴν καὶ μόλις ἐξέφυγον·
Οὐ δύναμαι δ' ἀλόχου τῆς Ἀνδρομάχης ἀναχωρεῖν·
Εἴργει χάρτης γὰρ καὶ νόμος Αὐσόνιος.

PALLADÆ. 5.

Non possum ab vxore & Grammaticâ abstinere,
Grammaticâ inexplicabili & muliere contentiosâ.
Vtriusque affectus mors & fatum sunt.
Quarè Grammaticam quamuis ægrè effugi
Non possum autem ab vxore Andromacha seiungi.
Prohibent enim tabulæ & lex Italica.

ΑΠΟΛΛΙΝΑΡΙΟΥ.

Γραμματικός ποτ' ὄνῳ ἐποχούμενος, ἐξεκυλίσθη,
Καὶ τῆς γραμματικῆς (ὡς λόγος) ἐξέπεσεν·
Εἶθ' ἑξῆς ἔζη κοινὸν βίον, ὡς ἰδιώτης,
Ὧν ἐδίδασκεν ἀεί, μηδὲν ἐπιστάμενος.
Ἀλλὰ Γλύκων ἔπαθεν τοὐναντίον· ὢν γὰρ ἄπειρος
Καὶ κοινῆς γλώττης, οὐχ ὅτι γραμματικῆς,
Νῦν Λιβυκοὺς κανθῶνας ὀχούμενος, εἶτ' ἀποπίπτων

Πολλάκις, ἐξαίφνης γραμματικὸς γέγονεν.

APOLLINARII. 6.

Grammaticus quondam asino inuectus delapsus est,
Et Grammatica vt sermo est excidit.
Postea viuebat communem vitam vt priuatus,
Cùm docuisset semper nihil sciens
Sed Glycon contrarium passus est: cùm enim esset rudis
Etiam communis linguæ, nedum Grammaticæ.
Nunc Libycis asinis inuectus, deinde decidens
Sæpius, subitò Grammaticus factus est.

ΛΟΥΚΙΛΛΙΟΥ.

Ἔξω παιδεύεις Πάριδος κακὰ καὶ Μενελάου,
Ἔνδον ἔχων πολλοὺς τῆς Ἑλένης Πάριδας.

LVCILLII. 7.

Extra doces Paridis mala & Menelai,
Intus habens multos tuæ Helenæ Paridas.

ΛΟΥΚΙΑΝΟΥ.

Ἵλαθι γραμματικὴ φυσίζοε, ἵλαθι μοῦσα,
Φάρμακον εὑρομένη μήνιος ἄειδε θεά.
Νηὸν ἐχρῆν καὶ σοὶ περικαλλέα δωμήσασθαι,
Καὶ βωμὸν θυέων μήποτε δευόμενον.
Καὶ γὰρ σοῦ μεσταὶ μὲν ὁδοὶ, μεστὴ δὲ θάλασσα,
Καὶ λιμένες· πάντων δέκτρια γραμματική.

LVCIANI. 8.

Miserere Grammatica victum suppeditans, miserere Musa
Medicamentum inueniens, iram cane Dea.
Templum oportebat & tibi præpulchrum construi,
Et aram sacrificiis nunquam carentem.
Te enim plenæ sunt viæ, plenum & mare
Et portus: omnium susceptrix Grammatica.

Ἄδηλον.

Τούτοις τοῖς παρὰ δεῖπνον ἀοιδομάχοις λογολέσχαις,
Ταῖς ἀφ᾽ Ἀριστάρχου γραμματολικριφίσιν,

Οἷς οὐ σκῶμμα λέγειν, οὐ πίνειν φίλον, ἀλλ' ἀνάκεινται
    Νηπυτιευόμενοι Νέστορι καὶ Πριάμῳ,
Μή με βάλῃς κατὰ λέξιν ἕλωρ καὶ κύρμα γενέσθαι.
    Σήμερον οὐ δειπνῶ μῆνιν ἄειδε θεά.

Incerti. 9.

Illis qui in conuiuio cum poëtis certant garrientibus,
    Et ab Aristarcho obliquis literis. Scilicet valedicas,
Quibus non iocum dicere & non bibere gratum est, sed qui iacent
    Stolidè altercantes de Nestore & Priamo:
Ne me obiicias in verbis spolium & lanienam fieri,
    Hodiè non cœno Iram cane Dea.

Ἄδηλον.

Γραμματικὸς Ζήνων, ὃς ἔχει πώγωνα μὲν ἄνδρον,
    Τὸν δ' υἱὸν τούτῳ φησὶ συνεστακέναι,
Τὰς νύκτας δ' αὐτῷ μηδ' ἔτι οὐ παύεται οὕτως,
    Πτώσεις, συνδέσμους, σχήματα, συζυγίας.

Incerti. 10.

Grammaticus Zeno, qui habet barbam virilem,
    Filium verò huic dicunt commendatum esse.
Noctu verò ab hac cura non cessatur sic,
    Casus, colligationes, figuras, coniunctiones.

Ἀδέσποτον.

Χαίροιθ' οἱ περὶ κόσμον ἀεὶ πεπλανηκότες ὄμμα,
    Οἵ τ' ἀπ' Ἀριστάρχου σῆτες ἀκανθολόγοι.
Ποῖ γὰρ ἐμοὶ ζητεῖν τίνας ἔδραμεν ἥλιος οἴμους;
    Καὶ τίνος ἦν Πρωτεύς, καὶ τίς ὁ Πυγμαλίων;
Γινώσκοιμ' ὅσα λευκὸν ἔχει στίχον· ἡ δὲ μέλαινα
    Ἱστορίη τήκοι τοὺς περὶ Καλλιμάχους.

Incerti. 11.

Valete qui circa mundum semper errantes oculis,
    Quique ab Aristarcho tineæ estis spinilegæ.
Quorsum enim mihi inquirere quas cucurrerit Sol vias,

Et cuius filius fuerit Proteus, & quis Pygmaleon?
Quin cognoscam ego quæcunque facilem habent intellectum, nigra verò
Historia tabefaciat Callimachi socios.

Αδηλον.

Ω τλῆμον Κυνέγειρε καὶ ἐν ζωοῖς καὶ ἀπελθών,
Ως αἰεὶ κόπτῃ ῥήμασι καὶ κοπίσιν,
Πρόσθε μὲν ἐν πολέμοισι τεὴ πέσε μαρναμένη χείρ,
Νῦν δέ σ' ὁ γραμματικὸς καὶ ποδὸς ἐστέρισεν.

Incerti. 12.

O miserande Cynegire, & inter viuos & mortuos
Qui semper mutilaris verbis & mucronibus.
Prius quidem in bello tua cecidit pugnans manus,
Nunc verò te Grammaticus etiam pede priuauit.

Αδηλον.

Ην ἄρα καὶ κανθῶσι τύχη χαλεπή τε καὶ ἐσθλή,
Καὶ Κρόνος ὡροσκοπεῖ τετραπόδων γένεσιν.
Εξότε γὰρ καὶ τοῦτον ὄνον χαλεπὸς χρόνος ἔσχεν,
Εξ ἀλαβαρχείης γραμματικοῦ γέγονεν.
Τλῆθι φέρειν λοιπὸν κανθήλια. γραμματικοῖς γὰρ
Οὐδὲ τέλος κριθή, κρῖ δὲ μόνον λέγεται.

Incerti. 13.

Erat sane & asinis fortuna grauis & bona,
Etiam Saturnus in Horoscopo constitutam habet quadrupedum genesin.
Etenim etiam hunc asinum graue tempus habuit,
E figulinâ Grammatici factus est.
Perseuera ferre vlterius onera asinorum. Grammaticæ enim
Neque finis est hordeum, hor verò solum dicitur.

ΕΙΣ ΓΥΝΑΙΚΑΣ, κεφ. ια

ΠΑΛΛΑΔΑ.

Πᾶσα γυνὴ χόλος ἐστίν, ἔχει δ' ἀγαθὰς δύο ὥρας,

Τὴν μίαν ἐν θαλάμῳ, τὴν μίαν ἐν θανάτῳ.

IN MVLIERES, Cap. XI.

PALLADAE. I.

Omnis mulier bilis est, habet verò duas bonas horas:
Vnam in thalamo, vnam in morte.

ΕΙΣ ΔΕΙΛΟΥΣ, κεφ. ιβʹ.

ΛΟΥΚΙΛΛΙΟΥ.

Ἄνθρακα καὶ δάφνην παραβαίνεται ὁ στρατιώτης
Αὖλος, ἀποσφίγξας μήλινα λωμάτια.
Φρίσσει καὶ τὸ μάτην ἴδιον ξίφος· ἢν δέ ποτ' εἴπῃς,
Ἔρχοντ', ἐξαπίνης ὕπτιος ἐκπέταται.
Οὐδενὶ δ', οὐ Πολέμωνι προσέρχεται, οὐ Στρατοκλείδῃ,
Ἀλλὰ φίλῳ χρῆται πάντοτε Λυσιμάχῳ.

IN TIMIDOS, Cap. XII.

LVCILLII. I.

Carbonem & laurum crepitantes reformidat miles
Aulus, circumstringens croceam vestem
Horret verò frustrà proprium ensem: sin verò aliquando dicas:
Veniunt hostes statim sublimis in terram prostratus est.
Nullum autem Polemonem accedit vel stratolidem
Sed amico vtitur vbique Lysimacho.

Τοῦ αὐτοῦ.

Γραπτὴν ἐν τοίχῳ Καλπούρνιος ὁ στρατιώτης,
Ὡς ἔθος ἐστὶν, ἰδὼν τὴν ἐπὶ ναυσὶ μάχην,
Ἄσφυκτος καὶ χλωρὸς ὁ θούριος ἐξετανύσθη,
Ζωγρεῖτε, κράξας, Τρῶες ἀρηΐφιλοι.
Καὶ μὴ τέτρωται κατεμάνθανε, καὶ μόλις ἔγνω·

Ζῆν· τότε τοῖς τοίχοις ὡμολόγησε λύτρα.

Eiuſdem. 2.

Pictam in pariete Calpurnus miles
  Vt mos eſt, videns in nauibus pugnam,
Morti vicinus & pallidus proſtratus eſt,
  Viuum me capite clamans, Troiani, Martis amici.
Et annè vulneratus eſſet, quæſiuit & ægrè cognouit
  Se viuere: tunc ipſi parieti conſtituit redemptionis precia.

ΕΙΣ ΔΥΣΕΙΔΕΙΣ, κεφ. ιγ.

ΛΟΥΚΙΛΛΙΟΥ.

Ρύγχος ἔχων τοιοῦτον Ὀλυμπικὲ, μήτ' ἐπὶ κρήνην
  Ἔλθῃς, μήτ' ἐν ὄρει πρόσιθι διαυγὲς ὕδωρ.
Καὶ σὺ γὰρ, ὡς Νάρκισσος, ἰδὼν τὸ πρόσωπον ἐναργὲς,
  Τεθνήξῃ, μισῶν σαυτὸν ἕως θανάτου.

IN DEFORMES, Cap. XIII.

LVCILLII. 1.

Roſtrum habens tantum Olympice, neque ad Fontem
  Venias, neque inſpice propè pellucidam aquam:
Etenim tu vt Narciſſus videns faciem manifeſtam
  Morieris, odio habens te vſque ad mortem.

Τοῦ αὐτοῦ.

Ρύγχος ἔχουσα Βιτὼ τριπίθηκον, οἷον ἰδοῦσαν
  Τὴν Ἑκάτην αὐτὴν οἴομ' ἀπαγχονίσαι,
Εἰμὶ λέγει σώφρων Λουκίλλιε, καὶ μονοκοιτῶ.
  Αἰδεῖται γὰρ ἴσως παρθένος εἰμὶ λέγειν.
Ὃς δὲ λέγει μισεῖν με, κακὸν τοιοῦτο γαμήσαι,
  Τῆς αὐτῆς σχοίη τέκνα σαοφροσύνης.

Eiuſdem. 2.

Roſtrum habens Bito qualem tres ſimiæ, quale videntem

Hecaten ipſam cenſeo ſe ſuſpenſuram,
Sum dicit temperans Lucili,& iaceo ſola,
Putet enim forte ipſam,Virgo ſum,dicere.
Qui verò dicit me odiſſe,malum tale ducens
Ipſius habeat filios temperantiæ.

Τοῦ αὐτοῦ.

Ἤθελε δριμὺς ἄγαν ποτ' ἔσθ' Ἱερώνυμος εἶναι·
Νῦν δὲ τὸ δρῖ μὲν ἔχει, λὸς δὲ τὸ μῦς γέγονεν.

Eiuſdem. 3.

Voluit aſper valde Hieronymus eſſe
Nunc verò dri quidem habet,mys,verò los factum eſt.

Ἀδηλον.

Ἡ ῥὶς Κάστορός ἐστιν ὅταν σκάπτῃ τι, δίκελλα·
Σάλπιγξ δ' ἂν ῥέγχῃ· τῇ δὲ τρύγῃ, δρέπανον·
Ἐν πλοίοις, ἄγκυρα· κατασπείρουσι δ' ἄροτρον·
Ἀγκιστρον ναύταις, ὀψοφάγοις κρεάγρα·
Ναυπηγοῖς, χένδυλα· γεωργοῖς δὲ, πρασόκουρον·
Τέκτοσιν, ἀξίνη· τοῖς δὲ πυλῶσι, κόραξ.
Οὕτως εὐχρήστου σκεύους Κάστωρ τετύχηκε,
Ῥῖνα φέρων πάσης ἄρμενον ἐργασίας.

Incerti. 4.

Naſus Caſtoris eſt cùm fodit,ligo:
Tuba verò cum ſtertit,in vindemia verò Falx
In nauibus anchora,ſeminanti aratrum
Hamus nautis,Coquis Furca·
Nauium fabris ſcalprum,ruſticis verò falx amputandis oleribus
Fabris ſecuris,in atriis verò roſtrum.
Adeo vtilis inſtrumenti Caſtor particeps factus eſt,
Naſum ferens omni aptum operi.

ΘΕΟΔΩΡΟΥ.

Ἑρμοκράτης τῆς ῥινός· ἐπεὶ τὴν ῥῖνα λέγοντες
Ἑρμοκράτους, μικροῖς μακρὰ χαριζόμεθα.

THEODORI. 5.

Hermocrates nasi est, nam cùm nasum dicimus
Hermocratis esse, tunc paruis magna tribuimus.

ΛΕΩΝΙΔΟΥ.

Ἰχθὺν ὁ γρυπὸς Σωσίπολις οὐκ ἀγοράζει,
Προῖκα δ' ἔχει πολλὴν ἐξ ἁλὸς εὐβοσίην.
Οὐ λίνον, οὐ κάλαμον προσάγων, τῇ ῥινὶ δὲ προσθεὶς
Ἄγκιστρον, σύρει πάντα τὰ νηχόμενα.

LEONIDÆ. 6.

Piscem nasum aduncum habens Sosiptolis non emit,
Gratis verò habuit multam ex mari victus facilitatem.
Non rete aut calamum producens, naso verò addens
Hamum, trahit omnia natantia.

Τοῦ αὐτοῦ.

Ζηνογένους οἶκος κατεκαίετο, πολλὰ δ' ἐμόχθει,
Ἐκ θυρίδος ζητῶν αὐτὸν ἀποχαλάσαι.
Ἰκρία συμπήξας οὐκ ἔφθασεν, ὀψὲ δ' ἐπιγνούς,
Τὴν ῥῖν' Ἀντιμάχου κλίμακα θείς, ἔφυγεν.

Eiusdem. 7.

Zenogenis domus ardebat, multum verò laborabat
E ianua quærens seipsum per funes dimittere
Recta ligna compingens non euasit, serò verò animaduertens
Nasum Antimachi scalam ponens aufugit.

ΑΜΜΩΝΙΔΟΥ.

Ἀντιπάτραν γυμνὴν εἴ τις Πάρθοισιν ἔδειξεν,
Ἐκτὸς ἂν στηλῶν Ἡρακλέους ἔφυγον.

AMMONIDÆ. 8.

Antipatram nudam si quis Parthis monstraret,
Longè vltra columnas Hercules profugerent.

ΛΟΥΚΙΛΛΙΟΥ.

Ψευδὲς ἔσοπτρον ἔχει Δημοσθενίς· εἰ γὰρ ἀληθὲς
Ἔβλεπεν, οὐκ ἂν ὅλως ἤθελεν αὐτὸ βλέπειν,

LVCILLII. 9.

Fallax speculum habet Demosthenis: si enim verum
Videret, non omninò vellet id intueri.

Ἄδηλον.

Κερκίδος οὐ χρῄζεις ὁ λογιστικός, οὐδὲ μέλει σοι.
Καὶ γὰρ ἀβασκάντως ῥῖνα τρίπηχυν ἔχεις.

Incerti. 10.

Radio mathematico non indigos Astronome, neque tibi curæ
Etenim sine inuidiâ nasum trium cubitorum habes. (est.

ΑΜΜΙΑΝΟΥ.

Οὐ δύναται τῇ χειρὶ Πρόκλος τὴν ῥῖν' ἀπομύσσειν,
Τῆς ῥινὸς γὰρ ἔχει τὴν χέρα μικροτέρην.
Οὐδὲ λέγει Ζεῦ σῶσον, ἐὰν πταρῇ· οὐ γὰρ ἀκούει
Τῆς ῥινός. πολὺ γὰρ τῆς ἀκοῆς ἀπέχει.

AMMIANI. II.

Non potest manu Proclus nasum emungere,
Naso enim habet manum breuiorem
Neque dicit. Iupiter serua quando sternutat: non enim audit
Nasus sternutantem multum enim ab aure abest.

ΠΑΛΛΑΔΑ.

Ὁ τὴν γυναῖκα τὴν ἄμορφον δυστυχῶν,
Λύχνους ἀνάψας ἑσπέρας, σκότος βλέπει.

PALLADÆ. 12.

Quicunque propter mulierem deformem infœlix est
Lychnum emungens vesperi tenebras videt.

Τοῦ αὐτοῦ.

Ἠγόρασας πλοκάμους, φῦκος, μέλι, κηρόν, ὀδόντας·
Τῆς αὐτῆς δαπάνης ὄψιν ἂν ἠγόρασας.

Eiusdem. 13.

Emens comam, fucum, mel, ceram dentes.
Hac impensâ laruam emisses.

ΙΟΥΛΙΑΝΟΥ ἀντικίνσωρος.

Ὄψιν ἔχεις στρουθῷ παλινομοίιον. ἦ ῥά σε Κίρκη

Ἐς πτηνὴν μετέθηκε φύσιν, κυκεῶνα πιόντα.

IVLIANI. 14.

Faciem habes struto persimilem. & sane te Circe (tem.
In volucrem trásformauit naturam, poculum Circes biben-

Τοῦ αὐτοῦ.

Ἀμητὸς πολὺς ἐστὶ τεὴν κατὰ δάσκιον ὄψιν.
Τῷ σε χρὴ δρεπάνοισι καὶ οὐ ψαλίδεσσι καρῆναι.

Eiusdem. 15.

Tempus messis copiosum est ad tuam densam vmbram facientem faciem:
Quo te oportet falcibus non forficibus tondere.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Οὐ λαλέει τὸ κάτοπτρον, ἐγὼ δέ σε πάλιν ἐλέγξω
Τὴν νοθοκαλλοσύνην φύκεϊ χριομένην.
Τοῦτο καὶ ἡδυλύρης ποτὲ Πίνδαρος αὐτὸς ἐλέγχων,
Εἶπεν ἄριστον ὕδωρ, φύκεος ἐχθρότατον.

MACEDONII Consulis. 16.

Non loquitur speculum, ego verò rursus te reprehendam
Adulterinam pulchritudinem fuco vnctam,
Hoc etiam suauis lyra quondam Pyndarus ipse reprehendens
Dixit, optimam esse aquam, fuco inimicissimam.

ΤΡΑΙΑΝΟΥ βασιλέως.

Ἀντίον ἠελίου στήσας ῥῖνα, καὶ στόμα χάσκων,
Δείξεις τὰς ὥρας πᾶσι παρερχομένοις.

TRAIANI Regis. 17.

Ante Solem constituens nasum, & os distrahens
Demonstrabis horas omnibus prætereuntibus.

Ἄδηλον.

Ῥήτορα Μαῦρον ἰδὼν ἐτεθήπεα, ῥυγχελέφαντα,
Χείλεσι τετραπλοῖς φθόγγον ἱέντα φόνον.

Incerti. 18.

Rhetorem Maurum videns, obstupui rostro Elephanti,
Labiis triplicibus vocem emittentem cædem.

Ἄδηλον.

Τὴν φωνὴν ἐνοπὴν σε λέγειν ἐδίδαξεν Ὅμηρος·
 Τὴν γλῶσσαν δ' ἐν ἐπῇ τίς σ' ἐδίδαξεν ἔχειν;

Incerti. 19.

Vocem tumultuariam te loqui docuit Homerus,
 Linguam in vulua quis te docuit habere?

Ἄδηλον.

Ὤμοσα μυριάκις ἐπιγράμματα μηκέτι ποιεῖν·
 Πολλοῖς γὰρ μωροῖς ἔχθραν ἐπεσπασάμην.
Ἀλλ' ὁπόταν κατίδω τοῦ Παφλαγόνος τὸ πρόσωπον
 Πανταγάθου, στέξαι τὴν νόσον οὐ δύναμαι.

Incerti. 20.

Iuraui millies epigrammata non amplius facere,
 Multorum enim ſtultorum inimicitiam contraxi.
Sed quando video Paphlagonis faciem
 Pantagathi, morbum continere non poſſum.

Ἀδέσποτον.

Κήλην κηλήτου μὴ φαινομένου προέτεινας.
 Μή μοι τὴν κήλην· αὐτὸν ἰδεῖν ἐθέλω.

Incerti. 21.

Herniam hernioſo non apparente prætendiſti.
 Non mihi herniam propone, ipſum videre volo.

Ἄδηλον.

Ἑρμολύκου θυγάτηρ μεγάλῳ παρέλεκτο πιθήκῳ,
 Ἣ δ' ἔτεκεν πολλοὺς ἑρμοπιθηκιάδας.
Εἰ δ' Ἑλένην ὁ Ζεὺς καὶ Κάστορα καὶ Πολυδεύκην
 Ἐκ Λήδης ἔτεκεν, κύκνον ἀμειψάμενος,
Ἑρμιόνη γε κόραξ παρηέξατο· ἣ δὲ τὰ λαιμά,
 Φευκτῶν δαιμονίων ἑρμαγέλην ἔτεκεν.

Incerti. 22.

Hermolyci filia magno concumbit cum ſimio,
 Hæc verò peperit multos Hermoſimios.
Si verò Helenam Iupiter & Caſtorem & Pollucem

Ex Læda

Ex Leda peperit in cygnum transmutatus:
Cum Hermione verò coruus concubuit, hæc verò misera
Horribilium Dæmoniorum Mercurij gregem peperit.

Ἀδέσποτον.

Οὐδέποτ' εἰς πορθμεῖον ὁ κηλήτης ἐμβαίνει,
Μέλλων εἰς τὸ πέραν ἀπιέναι Διοφῶν.
Τῆς κήλης δ' ἐπάνωθι τὰ φορτία πάντα τεθεικώς,
Καὶ τὸν ὄνον, διαπλεῖ σινδόν' ἐπαράμενος.
Ὥστε μάτην Τρίτωνες ἐν ὕδασι δόξαν ἔχουσιν,
Εἰ καὶ κηλήτης τοῦτο ποιεῖν δύναται.

Incerti. 23.

Nunquam nauem traiectoriam herniosus conscendit,
Cùm vult ad aliud littus transire Diophon.
Super herniam verò omnes merces ponens,
Et asinum, transnauigat velum expandens.
Ob id frustra Tritones in aquis gloriam habent,
Si etiam herniosus hoc facere potest.

Ἄδηλον.

Ὁ γρυπὸς Νίκων ὀσφραίνεται οἴνου ἄριστα·
Οὐ δύναται δ' εἰπεῖν οἷος ἂν ᾖ ταχέως.
Ἐν τρισὶν ὥραις γὰρ θεριναῖς μόλις αἰσθάνετ' αὐτός·

Incerti. 24.

Adunco naso Nicon odoratur vinum optimè:
Non potest autem dicere quale sit subitò:
In tribus horis enim æstiualibus ægrè sentit ipse.

Ἄδηλον.

Τοῦ γρυποῦ ῥητῆρος ὁρῶ τὴν ῥῖνα Μένιππε.
Αὐτὸς δ' οὐ μακρὰν φαίνεται εἶναι ἔτι.
Πλὴν ἥξει, μείνωμεν ὅμως. εἰ γὰρ πολύ, πέντε
Τῆς ῥινὸς σταδίους οἴομαι οὐκ ἀπέχει.
Ἀλλ' αὐτὴ μὲν (ὁρᾷς) προπορεύεται· ἣν δ' ἐπὶ βουνὸν
Ὑψηλὸν στῶμεν, καὐτὸν ἐσοψόμεθα.

Incerti. 25.

Aduncæ naris Rhetoris video Nasum Menippe:
Is verò haud procul hinc esse videtur adhuc.
Verùm veniet, exspectemus tamen. si enim multum, quinque
A naso stadiis censeo non distat.
Sed ille quidem (vides) procedit: si verò in colle
Sublimi stemus, etiam ipsum intuebimur.

ΕΙΣ ΔΥΣΩΔΕΙΣ, κεφ. ιδʹ.

ΑΝΤΙΠΑΤΡΟΥ.

Οὐ προσέχω. καίτοι πιστοί τινες. ἀλλὰ μεταξὺ,
Πρὸς Διὸς, εἴ με φιλεῖς Πάμφιλε, μή με φίλει.

IN GRAVEOLENTIS, Cap. XIV.

ANTIPATRI. I.

Non (*os*) adhibeo, licet fideles quidam amici. sed deinceps,
Per Iouem, si me amas Pamphilo, non me osculare.

ΝΙΚΑΡΧΟΥ.

Εἴ με φιλεῖς, μισεῖς με· καὶ εἰ μισεῖς σὺ, φιλεῖς με.
Εἰ δέ με μὴ μισεῖς φίλτατε, μή με φίλει.

NICARCHI. 2.

Si me oscularis odisti me, & cùm me odisti tu, oscularis me.
Si verò me non odisti amicissime, ne me osculeris.

ΛΟΥΚΙΑΝΟΥ.

Δαίμονα πολλὰ λαλῶν ὀζόστομος ἐξορκιστὴς
Ἐξέβαλ᾽, οὐχ ὅρκων, ἀλλὰ κόπρου δυνάμει.

LVCIANI. 3.

Dæmonem multum loquens os fœdum habens exorcista
Eiecit, non adiurationum sed fœditatis oris potentiâ.

Τοῦ αὐτοῦ.

Οὔτε Χίμαιρα τοιοῦτον ἔπνει κακὸν ἢ καθ᾽ Ὅμηρον,
Οὐκ ἀγέλη ταύρων (ὡς ὁ λόγος) πυρίπνοος,

Οὐ Λῆμνος σύμπασ᾽, οὐχ ἁρπυιῶν τὰ περισσά,
Οὐδ᾽ ὁ Φιλοκτήτου πούς ἀποσηπόμενος·
Ὥστε σε παμψηφεὶ νικᾷν Τελέσιλλα Χιμαίρας,
Σηπεδόνας, ταύρους, ὄρνεα, Λημνιάδας.

Eiusdem. 4.

Neque Chimæra tale ſpirabat malum iuxta Homerum,
Non armentum taurorum (vt ſermo eſt) ignem ſpirans,
Non Lemnus vniuerſa, non Harpyiarum fœdæ reliquiæ,
Neque Philoctєti pes computreſcens.
Adeo vt omnium ſuffragio vincas Teleſilla, Chimæras,
Putredinem tauros, volucres Lemniades.

Ἄδηλον.

Οὐ μόνον αὐτὴ ὄζει Δημοστρατίς, ἀλλὰ δι᾽ αὐτῆς
Τοὺς ὀσμησαμένους ὄζειν πεποίηκε τράγου.

Incerti. 5.

Non ſolùm ipſa malè olet Demoſtratis, ſed per ipſam
Illos qui odorati ſunt olere fecit hircum.

Ἄδηλον.

Τὸ στόμα χὼ πρωκτὸς ταὐτὸν Θεόδωρέ σου ὄζει,
Ὥστε διαγνῶναι τοῖς φυσικοῖς καλὸν ἦν.
Ἢ γράψαι σε ἔδει ποῖον στόμα, ποῖος ὁ πρωκτός.
Νῦν δὲ λαλοῦντός σου, κἄμμιγα πορδομένου,
Οὐ δύναμαι γνῶναι πότερον ἔχανεν Θεόδωρος,
Ἢ βδεῖσ᾽. ἔχει γὰρ ἔχει πνεῦμα κάτω καὶ ἄνω.

Incerti. 6.

Os & anus idem, Theodore, tua olent,
Adeo vt hoc ſcire Phyſicis pulchrum eſſet.
Aut ſcribere te oportebat quale os, & qualis anus.
Iam verò loquente te, ſimúlque pedente,
Non poſſum ſcire vtrum os aperiat Theodoſius, (perius.
An verò pepederit. Habet enim habet ſpiritū inferius, & ſu-

Ἀδέσποτον.

Τίς σε Μενοείδη περιφανῶς οὕτω μετέθηκεν

Τὴν πυγὴν, ὅσπερ τὸ στόμ' ἔκειτο πάρος τοῦ;
Βδεῖς γὰρ, κοὐκ ἀναπνεῖς· φθέγγῃ δ' ἐκ τῶν κατωγείων.
Θαῦμα μ' ἔχει, τὰ κάτω πῶς σου ἄνω γέγονεν.

Incerti. 7.

Quis tuum Mentoride conſpicuo loco ſic tranſpoſuit
Anum, vbi os ponebatur prius.
Pedis & non reſpiras: loqueris verò è podice.
Mirum me habet, inferiora quî tibi ſuperiora facta ſint.

ΕΙΣ ΔΟΛΙΟΥΣ, κεφ. ιε.

ΛΟΥΚΙΛΛΙΟΥ.

Εἴ με φιλεῖς, ἔργῳ με φίλει, καὶ μή μ' ἀδίκει σὺ,
Ἀρχὴν τοῦ βλάπτειν τὴν φιλίαν θέμενος.
Πᾶσι γὰρ ἀνθρώποισιν ἐγὼ πολὺ κρέσσονα φημὶ
Τὴν φανερὰν ἔχθραν τῆς δολερῆς φιλίης.
Φασὶ δὲ καὶ νήεσσιν ἀλιπλανέεσσι χερείους
Τὰς ὑφάλους πέτρας τῶν φανερῶν σπιλάδων.

IN DOLOSOS, Cap. XV.

LVCILLII. 1.

Si me amas, reuera me ama, nec me iniuriâ affice tu,
Initium nocendi amicitiam ponens.
Omnibus enim hominibus ego multùm meliorem dico
Manifeſtam inimicitiam doloſâ amicitiâ.
Dicunt enim & nauibus in mari errantibus peiores
Submarinas petras manifeſtis ſcopulis.

ΑΠΟΛΛΙΝΑΡΙΟΥ.

Ἂν μὲν ἀπόντα λέγῃς με κακῶς, οὐδὲν ἀδικεῖς με·
Ἂν δὲ παρόντα, καλῶς, ἴσθι κακῶς με λέγων.

APOLLINARII. 2.

Quando quidem abſenti mihi maledicis, nihil lædas me.
Cùm verò præſenti bene mihi dicis, ſcito quod malè mihi (dicis.

Τοῦ αὐτοῦ.

Μέχρι τίνος Πολύκαρπε κενῆς παράσιτε τραπέζης
Λήσεις, κέρμασι φευδόμενος ἀλλοτρίοις;
Οὐ γὰρ ἔτ' εἰν ἀγορῇ σε βλέπω πολύν, ἀλλ' ὑποκάμπτεις
Ἤδη, καὶ ζητεῖς ποῖ σε φέρουσι πόδες.
Πᾶσιν ἐπαγγέλλῃ, κόμισαι τὸ σὸν αὔριον, ἔρχου,
Καὶ λάβε. κοὐδ' ὀμόσας, οὐκ ἔτι πίστιν ἔχεις.
Κυζικόθεν σε φέρων ἄνεμος Σαμόθραξι πέλασσεν.
Τοῦτό σε τοῦ λοιποῦ τέρμα μένει βιότου.

Eiuſdem. 3.

Quouſque Polycarpe vacuæ paraſite menſæ
Falles, nummis mentite alienis?
Non enim amplius in foro te video multùm, ſed flecteris
Iam, & quæris quò te ferant pedes.
Omnibus reſpondes; recipe quod tuum eſt cras, veni
Et accipe, & neque iuratus amplius fidem habes.
E Cyzico te ferens ventus ad Samothracas appulit.
Hæc te vlterius meta manet vitæ.

ΕΙΣ ΔΟΥΛΟΥΣ, κεφ. ιϛ.

Ἄδηλον.

Τοῦτο τὸ βούλευμ' εἶχες πάλαι· ἀλλὰ τὸ βῆτα
Οὐκ ἐπιγιγνώσκω, δέλτα γὰρ ἐγράφετο.

IN SERVOS, Cap. XVI.

Incerti. 1.

Hoc conſilium dare habuiſti quondam. ſed Beta
Non cognoſco, Delta enim ſcribebatur.

Ἄδηλον.

Βουλεύεις Ἀγαθῖνε. τὸ βῆτα δὲ τοῦτ' ἐπορίων νῦν
Εἰπὲ πόσης τιμῆς· δέλτα γὰρ ἦν πρότερον.

ΕΙΣ ΔΩΡΑ, κεφ. ιζ.

ΠΑΛΛΑΔΑ, Εἰς οἶνον φαυλότατον σταλέντα αὐτῷ.

Εἴ τιν' ἔχεις Διόνυσον ἐνὶ μεγάροισι τεοῖσι,
Τὸν κισσὸν ἀφελὼν, θριδάκων φύλλοις στεφάνωσον.

IN MVNERA, Cap. XVII.

PALLADÆ In vinum vtilissimum missum sibi. 1.

Si quod habes vinum in domo tuâ
Hederam auferens lactucæ foliis corona.

Τοῦ αὐτοῦ, Εἴς τινα πέμψαντα αὐτῷ ἰσχάδας.

Βρώματά μοι χοίρων συκιζομένων παρέθηκας,
Ξηρῶν, διψαλέων, Κυπρόθεν ἐρχομένων.
Ἀλλ' ἐμὲ συκωθέντα μαθὼν, ἢ σφάξον ἑτοίμως,
Ἢ σβέσον ἐκ δίψης νάματι τῷ Κυπρίῳ.

Eiusdem in mittentem sibi Ficus aridas. 2.

Cibum mihi porcorum, ficis pastorum, mihi apposuisti,
Aridorum, sitientium, è Cypro venientium:
Sed me ficis pastum vbi cognoris aut interfice statim
Aut extingue sitim flumine Cyprio.

Τοῦ αὐτοῦ.

Ἀντίσπαστον ἐμοί τις ὄνον μακρόθυμον ἔδωκεν,
Τῶν βασταζομένων ὅρμον ὁδοιπορίης,
Υἱὸν τῆς βραδυτῆτος, ὄνον, πόνον, ὄκνον, ὄνειρον,
Τῶν αἰὲν καμπτόντων ὕστατον, ὑστέριον.

Eiusdem. 3.

Contra nitentem mihi aliquis asinum patientem dedit
Exportantibus portum itineris,
Filium tarditatis, asinum, laborem, tarditatem, somnium,

Qui si ordo reflectatur vltimus prior erit.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Τὴν πήραν, τὴν αὐτὸς ἀποσφίγξας ἀποπέμπεις,
Εὗρεν ὁ παῖς, λύσας φῦσαν ὑπ' ἠνέμιον.

Eiusdem in Idem.

Peram quam ipse constrictam mittis
Inuenit puer soluens follem à vento agitatum.

Τοῦ αὐτοῦ εἰς τινὰ πέμψαντα αὐτῷ σιτεύσιμα.

Ἀσκὸν τῶν ἀνέμων ἔλαβέν ποτε δῶρον Ὀδυσσεὺς,
Πόντον ἐπιπλώων· χρῆμα γὰρ ἦν τι μέγα.
Ἀλλ' ἐμὸς Αἴολος οὗτος, ἔχων ἀνέμων πλέον ἦτρον,
Ὀρνέον ἐκπέμπει τῶν ἀνέμων γεμίσας.
Πνεύματά μοι πτερόεντα φίλος καὶ πνεύματα πέμπεις·
Οὐ δύναμαι δὲ φαγεῖν θλιβομένους ἀνέμους.

Eiusdem in quempiam qui miserat ipsi saginata. 5.

Vtrem ventorum accepit quondam munus Vlysses
Pontum nauigans: res enim fuit quædam magna.
Sed meus hic Æolus habens vento plus abdomen,
Auiculam mittit vento implens.
Spiritus mihi alatos amice & spiritus mittis:
Non possum verò comedere excruciantes ventos.

ΕΙΣ ΕΡΩΝΤΑΣ, κεφ. ιη

ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ἀντιγόνην ἔστεργε Φιλόστρατος· ἦν δὲ παλαιστῆς
Ὁ τλήμων Ἴρου πέντε πενιχρότερος.
Εὗρε δ' ὑπὸ κρυμοῦ γλυκὺ φάρμακον· αἴτια γὰρ χιὼν
Γούνατ' ἐκοιμήθη ξεῖνε μετ' Ἀντιγόνης.

IN AMANTES, Cap. XVIII.

ARGENTARII. 1.

Antigonam amabat Philostratus: erat autem palæstrita

Miser, Iro quinquies pauperior.
Inuenit verò sub frigore dulce remedium: propè enim habens
Genua, obdormiuit hospes, cum Antigonâ.

ΕΙΣ ΖΩΓΡΑΦΟΥΣ, κεφ. ιθ.

ΛΕΩΝΙΔΟΥ.

Εἰκόνα Μηνοδότου γράψας Διόδωρος, ἔθηκε,
Πλὴν τοῦ Μηνοδότου πᾶσιν ὁμοιοτάτην.

IN PICTORES, Cap. XIX.

LEONIDÆ. 1.

Effigiem Menodoti pingens Diodorus, posuit
Præter Menodoti omnibus similimam.

Τοῦ αὐτοῦ.

Γράψας Δευκαλίωνα Μενέστρατε καὶ Φαέθοντα,
Ζητεῖς τίς τούτων ἄξιός ἐστι τίνος.
Τοῖς ἰδίοις αὐτοὺς τιμήσομεν· ἄξιος ὄντως
Ἐστὶ πυρὸς Φαέθων, Δευκαλίων δ' ὕδατος.

Eiusdem. 2.

Depingens Deucalionem Menestrate, & Phaëthontem.
Quæris quis horum dignus sit aliquo.
Suis propriis istos æstimabimus: dignus reuera
Est igne Phaëthon, Deucalion verò aquâ.

ΛΟΥΚΙΛΛΙΟΥ.

Εἴκοσι γεννήσας ὁ ζωγράφος Εὔτυχος υἱούς,
Οὐδ' ἐπὶ τῶν τέκνων οὐδὲν ὅμοιον ἔχει.

LVCILLII 3.

Viginti generans pictor Eutychus filios,
Neque in illis liberis aliquid simile habet.

Τοῦ αὐτοῦ.

Ζωγράφε, τὰς μορφὰς κλέπτεις μόνον· οὐ δυνάσαι δὲ
Φωνὴν συλῆσαι χρώματι πειθομένην.

Eiusdem.

Eiusdem. 4.

Pictor formas furaris solúm, non potes autem
Vocem furari colori obedientem.

ΕΙΣ ΗΓΕΜΟΝΑΣ, κεφ. κ.

ΠΑΛΛΑΔΑ εἰς Δημόνικον ὕπαρχον.

Πολλοὶ πολλὰ λέγουσιν, ὅμως δ' οὐ πάντα δυνανται
Ρήμασιν ἐξειπεῖν ῥεύματα τῶν παθέων.
Εν δ' ἐπὶ σοὶ παράδοξον ἐθαυμάσαμεν καὶ ἄπιστον,
Δάκρυα πῶς κλέπτων εἶχες ἑτοιμότατα.
Χαλκίδος ἐκ γαίης ἀπεχάλκισε τὴν πόλιν ἡμῶν,
Κλέπτων, καὶ κλαίων δάκρυσι κερδαλέοις.

IN DVCES, Cap. XX.

PALLADÆ IN DEMONICVM
Præfectum. 1.

Multi multa dicunt, tamen non omnia possunt
Verbis exprimere impetus tuorum affectuum.
Vnum verò in te absurdum demiramur & incredibile,
Lacrumas quomodo cùm furaris habueris promptissimas.
Chalcidis ex terra ære exhausit vrbem nobis,
Furans & plorans lacrumis lucrosis.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Εκ γῆς Λωτοφάγων μέγας ὄρχαμος ἦλθε Λυκάων,
Χαλκίδος ἐκ γαίης ἀντιοχευόμενος.

Eiusdem in Idem. 2.

Ex terra Lothophagorum magnus dux venit Lycaon
Chalcide è terrâ Antiochensis factus.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Θηλυφανὲς παράδοξον ἐθαυμάσαμεν πάθος ἄλλο,
Εκλαιε κλέπτων, κλεπτομένοις ἐλεῶν·
Ος κλέπτων ἤγνοιε, καὶ ἀγνοίην ἀπεσύλα,
Μηδὲν ἔχων καθαρὸν, μηδὲ τὸ σῶμα ῥύπου.

Eiuſdem in Idem. 3.

Fœminæ ſimilis abſurdum demirati ſumus affectum alium
Flebat furans, illos quibus furabatur miſerans:
Qui furans ſanctè egit & ſanctè agens prædabatur,
Nihil habens purum, neque corpus à ſordibus.

Ἄδηλον.

Ἀνθρακίων δέκα μέτρα φέρων, ἔσο καὶ σὺ πολίτης·
Ἢν δὲ καὶ ὗν ἀγάγῃς, αὐτὸς ὁ Τριπτόλεμος.
Δεῖ δὲ καὶ Ἡρακλείδῃ ὑφηγητῇ δοθῆναι
Ἢ καυλὸν κράμβης, ἢ φακόν, ἢ κοχλίας.
Ταῦτ' ἔχε, καὶ λέγε σαυτὸν Ἐρεχθέα, Κέκροπα, Κόδρον,
Ὅν κε θέλῃς· οὐδεὶς οὐδὲν ἐπιστρέφεται.

Incerti. 4.

Carbonum decem menſuras ferens, ſis & tu ciuis:
Si verò ſuem adducas, ſis ipſe Triptolemus:
Oportet verò etiam Heraclidi ſubprætori dare
Aut caulem braſſicæ, aut lentem, aut cochleas.
Hæc habe & dic teipſum Erechtea, Cecropa, Codrum,
Et quem velis nemo tui curam gerit.

ΕΙΣ ΘΥΓΑΤΕΡΑΣ, κεφ. κα'

ΛΟΥΚΙΛΛΙΟΥ.

Οὐκ ἔστι θυγατρὸς μεῖζον βάρος· εἰ δὲ δοκεῖ σοι
Εὐκτήμων, εἶναι κοῦφον, ἄκουσον ἐμοῦ.
Ἔστι σοὶ κήλη, κἀμοὶ θυγάτηρ, λάβε ταύτην,
Καὶ δός μοι κήλας ἀντὶ μιᾶς ἑκατόν.

IN FILIAS, Cap. XXI.

LVCILLII. 1.

Non eſt filia maior moleſtia: ſi verò videtur tibi
Euctemon, eſſe leuis, audi me:
Eſt tibi Hernia & mihi filia, hanc ſume,
Et da mihi hernias pro vna *filia* centum.

ΕΙΣ ΙΑΤΡΟΥΣ, κβ

ΛΟΥΚΙΛΛΙΟΥ.

Πρίν σ' ἐνδείψασθαι Δημόστρατε, χαῖρ' ἱερὸν φῶς,
 Εἰπὲ τάλας. οὕτως ὀξυκοπός ἐστι Δίων.
Οὐ μόνον ἐξετύφλωσεν ὀλυμπικὸν, ἀλλὰ δι' αὐτοῦ
 Εἰκόνος ἧς εἶχεν τὰ βλέφαρ' ἐξέβαλεν.

IN MEDICOS, Cap. XXII.

LVCILLII. 1.

Antequam inungeris Demostrate, salue sacrum lumen
 Dic miser: adeo prouidus est Dion.
Non solum excæcauit Olympicum, sed etiam per ipsum
 Statuæ quam habuit oculos perdidit.

Τοῦ αὐτοῦ.

Τοῦ λιθίνου Διὸς ἐχθὲς ὁ κλινικὸς ἥψατο Μάρκος·
 Καὶ λίθος ὤν, καὶ Ζεύς, σήμερον ἐκφέρεται.

Eiusdem. 2.

Lapideum Iouem cras ægrotos visitans tetigit Marcus,
 Et lapis existens & Iupiter, hodie effertur.

Τοῦ αὐτοῦ.

Ἑρμογένην τὸν ἰατρὸν ὁ ἀστρολόγος Διόφαντος
 Εἶπε μόνους ζωῆς ἐννέα μῆνας ἔχειν.
Κἀκεῖνος γελάσας, τί μὲν ὁ Κρόνος ἐννέα μησὶν
 Φησὶ λέγει, σὺ νόει· τὰ μὰ δὲ σύντομά σοι.
Εἶπε, καὶ ἐκτείνας, μόνον ἥψατο· καὶ Διόφαντος,
 Ἄλλον ἀπελπίζων, αὐτὸς ἀπεσκάρισεν.

Eiusdem. 3.

Hermogenem medicum Astrologus Diophantus
 Dixit solum ad vitam decem menses habere:
Et ille ridens, quid quidem Saturnus in nouem mensibus
 Dicat, ait, tu vide: Mea verò sunt compendiosa tibi.
Dixit, & extendens, tantum tetigit: & Diophantus

Alium victurum desperans ipse mortuus est.

Τοῦ αὐτοῦ.

Ἤν τιν᾽ ἔχῃς ἐχθρὸν Διονύσιε, μὴ καταράσῃ
 Τὴν Ἶσιν τούτῳ, μηδὲ τὸν Ἁμφικράτην,
Μηδ᾽ εἴ τις τυφλοὺς ποιεῖ, θεόν· ἀλλὰ Σίμωνα·
 Καὶ γνώσῃ τί θεὸς καὶ τί Σίμων δύναται.

Eiusdem. 4.

Si quem habes hostem Dionysi, non impreceris
 Isidem huic neque Harpocratem,
Neque siquis cæcos facit, Deum; sed Simonem,
 Et cognosces quid Deus, & quid Simon possit.

Τοῦ αὐτοῦ.

Εἰς ἀΐδας κατέπεμψε πάλαι ποτὲ δέσποτα Καῖσαρ,
 Ὡς λόγος, Εὐρυσθεὺς τὸν μέγαν Ἡρακλέα·
Νῦν δ᾽ ἐμὲ Μηνοφάνης ὁ Κλινικός. ὥστε λεγέσθω
 Κλινικὸς Εὐρυσθεύς, μηκέτι Μηνοφάνης.

Eiusdem. 5.

Ad inferos misit quondam aliquando Domine Cæsar,
 Vt sermo est, Eurystheus magnum Herculem.
Iam verò me Menophanes ægros visitans: adeo vt dicatur
 Medicus Eurystheus non amplius Menophanes.

ΣΤΡΑΤΩΝΟΣ.

Ἰητρὸς Καπίτων Χρύσην ἐνέχρισεν, ὁρῶντα
 Ὀκτὼ μὲν μακρὸν πύργον ἀπὸ σταδίων,
Ἄνδρα δ᾽ ἀπὸ σταδίου, δὲ δώδεκα δ᾽ ὄρτυγα πηχῶν·
 Φθεῖρα δ᾽ ἀπὸ σπιθαμῶν καὶ δύο δερκόμενον.
Νῦν δ᾽ ἀπὸ μὲν σταδίου πόλιν οὐ βλέπει, ἐκ δὲ διπλέθρου
 Καιόμενον κατιδεῖν τὸν φάρον οὐ δύναται.
Ἵππον ἀπὸ σπιθαμῆς δὲ μόλις βλέπει, ἀντὶ δὲ τοῦ πρὶν
 Ὄρτυγος, οὐδὲ μέγαν στρουθὸν ἰδεῖν δύναται.
Ἂν δὲ προσεγχρίσας αὐτὸν φθάσῃ, οὐδ᾽ ἐλέφαντα

Οὐκ ἔτι μήποτ' ἴδῃ πλησίον ἑστεῶτα,

STRATONIS. 6.

Medicus Capiton Chrysam inunxit, videntem
Octo quidem longam turrem per stadia,
Virum verò per stadium, per duodecim v. coturnicem cubitos,
Pediculum verò per spithamos etiam duos videntem.
Iam verò per stadium ciuitatem nō videt, per duo verò iugera
Ardentem videre Pharum non potest:
Equum per spithamam verò vix videt, pro ipsa autem prius
Coturnice ne magnum quidē struthocamelū videre potest.
Vbi verò illinens ipsam pergat, vel Elephantem
Ne amplius vnquam viderit propè stantem.

ΝΙΚΑΡΧΟΥ.

Οὔτ' ἔκλυσεν Φείδων μ', οὔθ' ἥψατο· ἀλλὰ πυρέξας
Ἐμνήσθην αὐτοῦ τοὔνομα, κἀπέθανον.

NICARCHI. 7.

Neque soluit ventrem meum Phædon, neq; tetigit, sed febri-
Memini eius nominis & mortuus sum. (citans

Τοῦ αὐτοῦ.

Ἰητὴς τὴν γραῦν εἴτ' ἔκλυσεν, εἴτ' ἀπέπνιξεν,
Οὐδεὶς γινώσκει· δαιμόνιον τὸ τάχος.
Ὁ ψόφος ἦν κλυστῆρος ἐν οὔασι, καὶ στεφανοῦτο
Ἡ σορός. οἱ δ' ἄλλοι τὸν τάφον ἠτρέπισαν.

Eiusdem. 8.

Medicus anum siue soluit siue suffocauit
Non scit. diuina planè celeritas.
Sonitus erat clisteris in auribus, & coronabatur
Sandapila, alij verò sepulchrum appararunt.

Τοῦ αὐτοῦ.

Ὀρθῶσαι τὸν κυρτὸν ὑποσχόμενος Διόδωρον
Σωκλῆς, τετραπέδους τρεῖς ἐπέθηκε λίθους
Τοῦ κυρτοῦ στιβαροὺς ἐπὶ τὴν ῥάχιν· ἀλλὰ πιεσθεὶς
Τέθνηκεν, γέγονεν δ' ὀρθότερος κανόνος.

Eiusdem. 9.

Rectum facere gibbosum promittens Diodorum
Socles, quatuor pedes latos tres imposuit illi lapides
Curui validos in spinam. Sed oppressus
Mortuus est, factus est autem rectior canone.

Τοῦ αὐτοῦ.

Χειρουργῶν ἔσφαξεν Ἀκεστορίδην Ἀγέλαος.
Ζῶν γὰρ χωλεύειν (φησὶν) ἔμελλε τάλας.

Eiusdem. 10.

Chirurgus iugulauit Acestoridem Agelaus.
Viuens enim claudicaturus erat, dixit, miser.

Τοῦ αὐτοῦ.

Πέντ' ἰητρὸς Ἄλεξις ἅμ' ἔκλυσε, πέντ' ἐκάθηρε,
Πέντ' ἴδεν ἀρρώστους, πέντ' ἐνέχρισε πάλιν·
Καὶ πᾶσιν μία νύξ, ἓν φάρμακον, εἷς σορεπηγός,
Εἷς τάφος, εἷς ἀΐδης, εἷς κοπετὸς γέγονεν.

Eiusdem. 11.

Quinque medicus Alexis simul soluit, quinque sustulit,
Quinque vidit infirmos, quinque inunxit rursus.
Et omnibus vna nox, vnum pharmacon, vnus pollinctor,
Vnum sepulchrum, vnus infernus, vnus planctus factus.

ΗΔΥΛΟΥ.

Ἆγις Ἀρισταγόρην οὔτ' ἔκλυσεν, οὔτ' ἔθιγ' αὐτοῦ,
Ἀλλ' ὅσον εἰσῆλθεν, χὤχετ' Ἀρισταγόρης.
Ποῦ τοίην ἀκόνιτον ἔχει φύσιν; ὦ σορεπηγοί,
Ἆγιν καὶ μίτραις βάλλετε καὶ στεφάνοις.

HEDYLI. 12.

Agis Aristagoram nec soluit, nec tetigit ipsum,
Sed vix ingressus est, & obiit Aristagoras.
Vbi talem aconitum habet naturam? O fabri loculorum,
Agin & mitris circumdate & coronis.

ΝΙΚΑΡΧΟΥ.

Ξεῖνε, τί μαὶ πεύθῃ; πίες ἐν χθονὶ τῖσδ' ὑπὸ τύμβοις,

Οὓς γλυκεροῦ φέγγους Ζώπυρος ἐστέρισε;
Δᾶμις, Ἀριστοτέλης, Δημήτριος, Ἀρχεσίλαος,
Σώστρατος, οἵ τ᾽ ὀπίσω, μέχρι Παραιτονίου.
Κηρύκειον γὰρ ἔχων ξύλινον, καὶ πλαστὰ πέδιλα,
Ὡς Ἑρμῆς, κατάγει τοὺς θεραπευομένους.

NICARCHI. 13.

Hoſpes quid quæris? Quinam in terra ſub his tumbis,
Quos dulci luce Zopyrus priuauit?
Damis, Ariſtoteles, Demetrius, Archeſilaus,
Soſtratus, & qui deinceps vſque ad Parætonium.
Caduceum enim habens ligneum, & ficta calceamenta
Vt Mercurius, deducit (ad Orcum) ægros.

Ἀδέσποτον.

Ἰητρὸς Κρατέας καὶ Δάμων ἐνταφιαστὴς
Κοινὴν ἀλλήλοις θέντο συνωμοσίην·
Καὶ ῥ᾽ ὁ μέν, οὓς ἐκλέπτεσκεν ἀπ᾽ ἐνταφίων τελαμῶνας
Εἰσεπιδεσμεύειν πέμπε φίλῳ Κρατέᾳ·
Τὸν δ᾽ ἀπαμειβόμενος Κρατέας, εἰσενταφιάζειν
Πέμπεν ὅλους αὐτοὺς τοὺς θεραπευομένους.

Incerti. 14.

Medicus Crateas & Damon veſpillo,
Communem inuicem inſtituerunt coniurationem:
Et hic quidem quas furabatur à ſepultis faſcias,
Ad liganda vulnera miſit amico Crateæ.
Huic reſpondens Crateas, ad ſepeliendum
Mittit omnes ipſi quos curat.

Ἄδηλον.

Οὐ μήλῃ, τελόδοντι δ᾽ ἐνήλατόν με Χαρῖνος,
Σπόγγον ἔχων κενεὸν τῶν γραφικῶν πινάκων.
Τὴν μήλην δ᾽ ἕλκων, ἐξέσπασε τὸ βλέφαρόν μου
Ῥιζόθεν, ἡ μήλη δ᾽ ἔνδον ἔμεινεν ὅλη.
Ἂν δὲ δὶς ἐξχρίσῃ με, ποιῶν πάλιν οὐκ ἐνοχλήσω

Ὀφθαλμοὺς αὐτῷ· πῶς γὰρ; ὁ μηκέτ' ἔχων;

Incerti. 15.

Non ſpatula, Tridenti verò inunxit me Chatinus,
Spongiam habens vacuam fullonicarum tabularum,
Spatulam verò trahens abſtulit etiam oculum meum
Radicitus, ſpatula verò intus manebat tota.
Si verò bis me inunxerit, dolens vlterius non exhibebo
Oculos illi. Quî enim? cùm amplius non habeam.

ΛΟΥΚΙΛΛΙΟΥ.

Ἑρμογένην τὸν ἰατρὸν ἰδὼν Διόφαντος ἐν ὕπνοις,
Οὐκ ἔτ' ἀνηγέρθη, καὶ περίαμμα φέρων.

Lvcillii. 16.

Hermogenem medicum videns Diophantus in ſomniis,
Nunquam excitatus eſt, quamuis amuletum ferens.

ΠΑΛΛΑΔΑ.

Βέλτιον ἡγεμόνος λῃστοκτόνου ἐς κρίσιν ἐλθεῖν,
Ἢ τοῦ χειρουργοῦ Γενναδίου παλάμας.
Ὃς μὲν γὰρ φονέας ὁσίως ςυγέων, κατατέμνει·
Ὃς δὲ, λαβὼν μισθοὺς, εἰς ἀΐδην κατάγει.

Palladæ. 17.

Melius ducis interficientis latrones in iudicium venire
Quàm in Chirurgi Gennadij manus.
Hic enim homicidas ſanctè odio habens, detruncat:
Hic verò capiens mercedem, in infernum deducit.

ΚΑΛΛΙΚΗΡΟΥ.

Φαρμακίῃσι ῥόδων λέπρας καὶ χοιράδας αἴρει,
Τἄλλα δὲ πάντ' αἴρει καὶ δίχα φαρμακιῶν.

Calliceri. 18.

Medicamento roſarum lepram & ſtrumas tollit,
Reliqua verò omnia tollit etiam ſine medicamentis.

ΑΓΑΘΙΟΥ.

Κεῖτο μὲν Ἀλκιμένης κεκακωμένος ἐκ πυρετοῖο,
Καὶ περὶ λευκανίην βραχὺ λαρυγγιόων·

Νυσσόμενός

Νυσσόμενός τε δὲ πλευρὸν, ἅτε ξιφέεσσιν ἀμυχθεὶς,
Καὶ θαμὰ δυσκελάδοις ἄσθμασι πνευστιόων.
Ἦλθε δὲ Καλλίγνωτος ὁ Κῷος, ὁ πλατυλέσχης,
Τῆς παιηονίδος πληθόμενος σοφίης,
Πᾶσαν ἔχων πρόγνωσιν ἐν ἄλγεσιν, οὔτι περισσὸν
Ἄλλο προαγγέλλων, ἢ τὸ γενησόμενον.
Ἀλκιμένους δ' ἐδόκευεν ἀνάκλισιν, ἔκ τε προσώπου
Φράζετο, καὶ παλάμης ψαῦεν ἐπισταμένως.
Καὶ τὸ περὶ κρισίμων φαέων ἐλογίζετο γράμμα,
Πάντ' ἀναπεμπάζων, οὐχ ἑκὰς Ἱπποκράτους.
Καὶ τότε τὴν πρόγνωσιν ἐς Ἀλκιμένην ἀνεφώνει,
Σεμνοπροσωπήσας καὶ σοβαρευσάμενος.
Εἴγε φάρυγξ βομβεῦσα, καὶ ἄγρια τύμματα πλευροῦ,
Καὶ πυρετοῦ λήξει πνεῦμα δασυνόμενον,
Οὐκ ἔτι τεθνήξῃ πλευρίτιδι. τοῦτο γὰρ ἡμῖν
Σύμβολον ἐσσομένης ἐστὶν ἀπημοσύνης.
Θάρσει. τὸν νομικὸν δὲ κάλει, καὶ χρήματα σαυτοῦ
Εὖ διαθεὶς, βιότου λῆγε μακροτόκου·
Καί με τὸν ἰητρὸν, προρρήσιος εἵνεκεν ἐσθλῆς,
Ἐν τριτάτῃ μοίρῃ κάλλιπε κληρονόμον.

AGATHIÆ. 19.

Iacebat quidem Alcimenes malè habens febre,
Et circa gulam raucè è faucibus, vt recessu, loquens.
Percussus verò latus, tanquam gladio laceratus,
Et crebro difficili anhelitu spirans.
Venit verò Callignotus Cous, nugator
Pœonicâ plenus sapientia:
Omnem habens præscientiam in doloribus, neque vlterius
Aliud quid annuncians quàm futurum.
Alcimenis verò obseruabat cubitûm, & ex facie
Meditabatur, & manum tetigit peritè.
Et de criticis diebus ratiocinabatur scriptùm,

Omnia enuncians propemodum cum Hippocrate.
Et tunc præscientiam in Alcimenem pronunciauit,
Grauiter se gerens & insolescens.
Si guttur obstrepens,& horridi pulsus lateris,
Et febri cessabit spiritus densatus,
Nondum morieris pleuritide.Hoc enim nobis
Symbolum futuræ est bonæ valetudinis.
Confide,& notarium voca & diuitias tuas
Benè disponens à vitâ cessa ærumnosâ
Et me medicum prædictionis ergô bonæ
In tertia sorte relinque heredem.

Τοῦ αὐτοῦ.

Ιητήρ τις ἐμοὶ τὸν ἑὸν φίλον υἱὸν ἔπεμψεν,
Ὥστε μαθεῖν παρ' ἐμοὶ ταῦτα τὰ γραμματικά.
Ὡς δὲ τὸ, μῆνιν ἄειδε, καὶ, ἄλγεα μυρί' ἔθηκεν,
Ἔγνω, καὶ τὸ τρίτον τοῖσδ' ἀκόλουθον ἔπος,
Πολλὰς δ' ἰφθίμους ψυχὰς ἄϊδι προΐαψεν,
Οὐκ ἔτι μιν πέμπει πρός με μαθησόμενον.
Ἀλλά μ' ἰδὼν ὁ πατὴρ, σοὶ μὲν χάρις, εἶπεν, ἑταῖρε·
Αὐτὰρ ὁ παῖς παρ' ἐμοὶ ταῦτα μαθεῖν δύναται.
Καὶ γὰρ ἐγὼ πολλὰς ψυχὰς ἄϊδι προϊάπτω,
Καὶ πρὸς τοῦτ' οὐδὲν γραμματικοῦ δέομαι.

Eiusdem. 20.

Medicus quispiam mihi suum charum filium misit
Vt disceret apud me hæc Grammatica.
Cùm verò,Iram cane,& dolores mille fecit,
Didicit,& tertium hunc sequentem versum,
Multas verò validas animas inferno misit,
Non amplius ipsum misit ad me disciturum,
Sed me videns pater,tibi quidem gratia,dixit,amice:
Sed puer ex me hæc discere potest.
Etenim ego multas animas inferno mitto,
Et ad hoc nihil Grammatico indigeo.

ΕΙΣ ΙΠΠΟΥΣ, κεφ. κγ.

ΛΟΥΚΙΛΛΙΟΥ.

Θεσσαλὸν ἵππον ἔχεις Ἐρασίστρατε, ἀλλὰ σαλεῦσαι
 Οὐ δυνάτ' αὐτὸν ὅλης φάρμακα Θεσσαλίης.
Οντως δούρειον ἵππον· ὃν εἰ Φρύγες εἷλκον ἅπαντες
 Σὺν Δαναοῖς, Σκαιὰς οὐκ ἂν ἐσῆλθε πύλας.
Ον στήσας ἀνάθημα θεοῦ τινος, εἰ προσέχεις μοι,
 Τὰς κριθὰς ποίει τοῖς τεκνίοις πτισάνην.

IN EQVOS, Cap. XXIII.

LVCILLII. 1.

Theſalum equum habes Eraſiſtrate, ſed agitare
 Non poſſunt ipſum totius incantamenta Theſſaliæ.
Reuera ligneum equum, quem ſi Phryges traxiſſent omnes
 Cum Danais, Scæam non intraſſet portam.
Quem ſtatuens donarium Dei alicuius, ſi obtemperas mihi,
 Ex hordeo fac pueris ptiſanam.

Τοῦ αὐτοῦ.

Ιππον ὑποσχόμενός μοι Ολύμπιος, ἤγαγεν οὐρὴν,
 Ης ὀλιγοδρανέων ἵππος ἀπεκρέματο.

Eiuſdem. 2.

Equum pollicitus mihi Olympius, adduxit caudam,
 E quâ languens equus dependebat.

ΕΙΣ ΚΙΘΑΡΩΔΟΥΣ, ΚΑΙ ΤΡΑΓΩΔΟΥΣ, κεφ. κδ.

ΛΟΥΚΙΛΛΙΟΥ.

Νυκτικόραξ ᾄδει θανατηφόρον· ἀλλ' ὅταν ᾄσῃ
 Δημόφιλος, θνήσκει καὐτὸς ὁ νυκτικόραξ.

IN CITHAROEDOS, ET TRAgœdos. Cap. XXIIII.

LVCILLII. 1.

Nocticorax canit lethale,ſed cùm canit
Demophilus,moritur ipſe etiam nocticorax.

Τοῦ αὐτοῦ.

Σιμύλος ὁ ψάλτης τοὺς γείτονας ἔκτανε πάντας,
Νυκτὸς ὅλης ψάλλων, πλὴν ἑνὸς Ὠριγένους.
Κωφὸν γὰρ φύσις αὐτὸν ἐθήκατο· τοὔνεκεν αὐτῷ
Ζωὴν ἀντ' ἀκοῆς δῶκε περισσοτέρην.

Eiuſdem. 2.

Similus cantor,vicinos interemit omnes,
Tota nocte canens,præter vnum Origenem.
Surdum enim ipſum natura fecerat,propterea ipſe
Vitam pro auditu dedit vlteriorem.

ΑΜΜΙΑΝΟΥ.

Νικήτης ᾄδων, τῶν ᾠδῶν ἐστιν Ἀπόλλων·
Ἂν δ' ἰατρεύῃ, τῶν θεραπευομένων.

AMMIANI. 3.

Nicetes canens odarum eſt Apollo(id eſt,perdens)
Cùm verò curat,illorum quos curat (eſt Apollo)

ΛΟΥΚΙΛΛΙΟΥ.

Πέντ' ὀβολῶν πέπρακεν Ἀπολλοφάνης ὁ τραγῳδὸς
Πέντε θεῶν σκευήν, Ἡρακλέους ῥόπαλον,
Τισιφόνης τὰ φόβητρα, Ποσειδῶνος δὲ τρίαιναν,
Ὅπλον Ἀθηναίης, Ἀρτέμιδος φαρέτρην.
Οἱ δὲ θεοὶ παρὰ Ζηνὶ καθήμενοι ἐξεδύθησαν
Εἰς βραχὺ σιταρίου κέρμα καὶ οἰναρίου.

LVCILLII. 4.

Quinque obolis emit Apollophanes Tragœdus
Quinque Deûm Inſtrumenta,Herculis clauam,
Tiſiphones terrores,Neptuni tridentem,

Scutum Palladis, Mineruæ pharetram.
Hi verò Dij apud Iouem sedentes exuerunt
Breui ipsum victus stipem & vini.

ΔΙΟΣΚΟΡΙΔΟΥ.

Γάλλον Ἀρισταγόρης ὠρχήσατο· τοὺς δὲ φιλόπλους
Τιμηνίδας ὁ καμὼν πολλὰ διῆλθον ἐγώ.
Χὼ μὲν, τιμηθεὶς ἀπεπέμπετο· τὴν δ' ταλαίναν
Ὑρνηθὼ κροτάλων εἷς ψόφος ἐξέβαλεν.
Εἰς πῦρ ἡρώων ἴτε ῥήσιες. ἐν γὰρ ἀμούσοις
Καὶ κόρυδος κύκνου φθέγξατ' ἀοιδότερον.

DIOSDORIDIS. 5.

Gallum Aristagoras saltabat, armorum verò amatores
Temenides laborans multum saltaui ego.
Et hic quidem honoratus dimittebatur. Miseram verò
Hyrnethe sistrorum vnus sonitus eiecit.
In ignem Heroum ite opera. Apud amusos enim
Etiam Corydus cycno loquitur vocalius.

ΕΙΣ ΚΛΕΠΤΑΣ, κε̄ζ κεζ

ΛΟΥΚΙΛΛΙΟΥ.

Τὴν ἀναδυομένην ἀπὸ μητέρος ἄρτι θαλάσσης
Κύπριν ὅλην χρυσῆν ἐχθὲς ἔκλεψε Δίων.
Καὶ χεῖρας τε σκαπτοῦχον ὁλοσφύρατον Ἀδώνιν,
Καὶ τὸν περὶ ἐσχηκὸς μικρὸν ἐρωτάριον.
Αὐτοὶ νῦν ἐρέουσιν ὅσοι ποτὲ φῶρες ἄριστοι,
Οὐκ ἔτι σοι χειρῶν εἰς ἕτερον ἐρχόμεθα.

IN FVRES, Cap. XXV.

LVCILLII. 1.

Emergentem è matre iam mari
Cyprin totam auream heri furatus est Dion.

Et manu simul traxit totum aureum Adonin,
Et astantem paruum puerulum.
Ipsi nunc dicunt quicunque quondam fures óptimi.
Non amplius tibi furandi dexteritatis in contentionem venìemus.

Τοῦ αὐτοῦ.

Τὸν θεὸν αὐτὸν ἔκλεψεν ὃν ὁρκίζεσθαι ἔμελλεν
Εὐτυχίδης, εἰπὼν, οὐ δύναμαί σ' ὀμόσαι.

Eiusdem. 2.

Deum ipsum furabatur, per quem debebat iurare
Eutychides, dicens, non possum per te iurare.

Τοῦ αὐτοῦ.

Τὸν πτηνὸν Ἑρμείαν, τὸν θεῶν ὑπηρέτην,
Τὸν Ἀρκάδων ἄνακτα, τὸν βοηλάτην,
Ἑστῶτα τῶνδε γυμνασίων ἐπίσκοπον,
Ὁ νυκτοκλέπτης Αὖλος εἶπε βαστάσας,
Πολλοὶ μαθηταὶ κρείττονες διδασκάλων.

Eiusdem. 3.

Volucrem Hermetem Deorum nuncium,
Arcadum regem, boum agitatorem,
Stantem horum gymnasiorum inspectorem,
Nocturnus fur Aulus dixit portans,
Multi discipuli meliores præceptoribus.

Τοῦ αὐτοῦ.

Τὸν τῶν κλεπτόντων μηνυτῆρα Φοῖβον ἔκλεψεν
Εὐτυχίδης, εἰπὼν, μὴ πάνυ πολλὰ λάλει·
Σύγκρινον δὲ τέχνῃ τέχνην, καὶ χείρεσι χρησμοὺς,
Καὶ μάντιν κλέπτῃ, καὶ θεὸν Εὐτυχίδῃ.
Τῶν δ' ἀγαλματίων σομφῶν χάριν αὐτίκα παραθεὶς,
Τοῖς ὠνησαμένοις πᾶν ὃ θέλεις ἐν λέγε.

Eiusdem. 4.

Furum indicem Phœbum furatus est?
Eutychides, dicens, non valde multa loquere,
Compara verò arti artem, & manibus oracula,

Et vatem cum fure, & Deum cum Eutychide.
Quare ob effrene os statim venditus
Illis qui emerunt, quidquid voles de me dicito.

Τοῦ αὐτοῦ.

Βουκόλε, τὴν ἀγέλην πόῤῥω νέμε, μή σε Περικλῆς
Ὁ κλέπτης αὐταῖς βουσὶ συνεξελάσῃ.

Eiusdem. 5.

Boum pastor, gregem procul pasce, ne te Pericles
Fur ipsis cum bobus vna abigat.

Τοῦ αὐτοῦ.

Εἰ πόδας εἶχε Δίων οἵας χέρας, οὐκ ἔτ' ἂν Ἑρμῆς
Πτηνὸς ἐν ἀνθρώποις, ἀλλὰ Δίων ἐκλήθη.

Eiusdem. 6.

Si pedes haberet Dion, quales manus, non amplius Mercurius
Volucris in hominibus, sed Dion iudicaretur.

Τοῦ αὐτοῦ.

Τὴν γένεσιν λυπουμένα μαθὼν Κρόνον Ἡλιόδωρος,
Νύκτωρ ἐκ ναοῦ χρύσεον ἦρε Κρόνον,
Τίς πρῶτος κακοποιὸς ἐλήλυθε, πείρασον, εἰπών,
Δέσποτα, καὶ γνώσῃ τίς τίνος ἐστὶ Κρόνος.
Ὃς δ' ἄλλῳ κακὰ τεύχει, ἑῷ κακὸν ἥπατι τεύχει.
Εὑρὼν μοι τιμήν, πᾶν ἀπάτευ' ὃ θέλεις.

Eiusdem. 7.

Genesin lædentem, cùm didicisset Saturnum in genitura constitutum Heliodorus,
Noctu ex templo aureum sustulit Saturnum.
Quis primus malignus venit, exquire dicens,
Domine, & cognosces quis cuius sit Saturnus.
Qui autem alij mala molitur, suo malum hepati molitur.
Cùm mihi inuenerim aliquod honorarium, ortu tuo significa quicquid voles.

Τοῦ αὐτοῦ.

Ἐκ τῆς Ἑσπερίδων τῶν τοῦ Διὸς ἦρε Μενίσκος,

Ὡς δ᾽ πρὶν Ἡρακλέης, χρύσεα μῆλα τρία.
Καὶ τί γάρ; ὡς ἑάλω, γέγονεν μέγα πᾶσι θέαμα,
Ὡς δ᾽ πρὶν Ἡρακλέης, ζῶν κατακαιόμενος.

Eiusdem. 8.

Ex Hesperidum Iouis templo sustulit Meniscus
Vt prius Heracles, aurea mala tria.
Quid enim? Et fur factus est, magnum omnibus spectaculum,
Et prius Hercules, viuens combustus.

Τοῦ αὐτοῦ.

Εἴσιδεν Ἀντίοχος τὴν Λυσιμάχου ποτὲ τύλην,
Κοὐκ ἔτι τὴν τύλην εἴσιδε Λυσίμαχος.

Eiusdem. 9.

Intuitus est Antiochus Lysimachi quondam culcitram,
Et non amplius culcitram vidit Lysimachus.

Ἄδηλον.

Χοῖρον μὲν, οὐκ ἴδιον δέ με θύετε· καί με καλεῖτε
Χοιρίδιον, φανερῶς εἰδότες οὐκ ἴδιον.

Incerti. 10.

Me porcellum quidem, non proprium verò sacrificatis, & me
Porcillum manifestò scientes non esse proprium. (vocatis

Ἄδηλον.

Ἤδειμεν πολέμων αἰτώνιον ὄντα σε πάντες,
Ἐξαπίνης τρία σοι γράμματα πῶς ἔλιπεν;

Incerti 11.

Nouimus Polemon Antonium esse te omnes.
Subito tres tibi literas quomodo reliquerunt?

ΕΙΣ ΚΟΥΡΕΑΣ, κδ´ κς´

ΛΟΥΚΙΛΛΙΟΥ.

Τὸν δασεῖν Ἑρμογένην ζητεῖ πόθεν ἄρξεθ᾽ ὁ κουρεὺς
Κείρειν τὴν κεφαλὴν, ὅλον ὡς κεφαλήν.

IN TONSORES, Cap. XXVI.

Lvcillii 1.

Villoſum Hermogenem quærit vnde incipiat tonſor
Tondere caput, qui totus erat vt caput.

Τοῦ αὐτοῦ.

Ἄρες ἄρες βροτολοιγὲ, μιαιφόνε, παύεο κουρεῦ
Τέμνων· οὐ γὰρ ἔχεις οὐκ ἔτι ποῦ με τάμῃς.
Ἀλλ᾽ ἤδη μεταβὰς ἐπὶ τοὺς μύας, ἢ τὰ κάτωθεν
Τῶν γονάτων, οὕτω τέμνε με· καὶ παρέχω.
Νῦν μὲν γὰρ μυιῶν ὁ τόπος γέμει· ἢν δ᾽ ἐπιμείνῃς,
Ὄψει καὶ γυπῶν ἔθνεα καὶ κοράκων.

Eiuſdem. 2.

Apage apage carnifex, cæde contaminate, deſine tonſor
Secare: non enim habes amplius vbi me ſeces.
Sed iam tranſiens ad mures, aut inferiùs
Ad genua, ſic me ſeca: & præbeo.
Nunc enim muſcarum locus plenus eſt: ſi autē perſeueraueris,
Videbis etiam vulturum copiam & coruorum.

Ἄδηλον.

Κουρεὺς καὶ ῥαφιδεὺς κατεναντίον ἦλθον ἀγῶνος,
Καὶ τάχα νικῶσιν τὸ ξυρὸν αἱ ῥαφίδες.

Incerti. 3.

Tonſor & ſutor contra ſe venerunt in certamen,
Et prope vicerunt nouaculam ſubulæ.

ΕΙΣ ΚΥΒΕΥΤΑΣ, κεφ. κζ.

ΠΑΛΛΑΔΑ.

Πάντων μουσοπόλων ἡ Καλλιόπη θεός ἐστιν.
Σοὶ δὲ Κυβιόπη; Ζαβλιόπη λέγεται.

IN ALEATORES, Cap. XXVII.

Palladæ. 1.

Omnium Poëtarum Calliope Dea eſt.

Tua verò Calliope Tabliope dicitur.

ΕΙΣ ΚΥΝΗΓΟΥΣ, κεφ. κη.

ΛΟΥΚΙΛΛΙΟΥ.

Πανὶ φιλοσπήλυγγι, καὶ οὑρεοφοιτάσι νύμφαις,
Καὶ σατύροις, ἱεραῖς τ᾽ ἔνδον Ἁμαδρυάσι,
Σὺν κυσὶ, καὶ λόγχαις τοὺς πρὶν συοφόντισι Μάρκος,
Μηδὲν ἑλὼν, αὐτοὺς τοὺς κύνας ἐκρέμασεν.

IN VENATORES, Cap. XXVIII.

LVCILLII. 1.

Pani ſpeluncis gaudenti,& in montibus vagantibus Nymphis,
Et Satyris,ſanctiſque intus Hamadryadibus,
Cum canibus,& iaculis prius ſues necantibus, Marcus,
Cùm nihil cepiſſet,ipſos canes ſuſpendit.

ΕΙΣ ΚΩΜΩΔΟΥΣ, κεφ. κθ.

ΠΑΛΛΑΔΑ.

Παύλῳ κωμῳδῷ κατ᾽ ὄναρ σταὶς εἶπε Μένανδρος,
Οὐδὲν ἐγὼ κατὰ σοῦ, καὶ σὺ κακῶς με λέγεις.

IN COMOEDOS, Cap. XXIX.

PALLADÆ. 1.

Paulo Comœdo in ſomno aſtans dixit Menander,
Nihil mihi contra te, & tu tamen mihi maledicis.

ΕΙΣ ΚΩΦΟΥΣ, κεφ. λ.

ΝΙΚΑΡΧΟΥ.

Δισκώφῳ δίσκωφος ἐκρίνετο· καὶ πολὺ μᾶλλον
Ἦν ὁ κριτὴς τούτων τῶν δύο κωφότερος.

Ὧν ὁ μὲν αἰτίλεγεν τὸ ἐνοίκιον αὐτὸν ὀφείλειν
    Μηνῶν πένθ᾽· ὁ δ᾽ ἔφη νυκτὸς ἀληλεκέναι.
Ἐμβλέψας δ᾽ αὐτοῖς ὁ κριτής, λέγει, ἐς τί μάχεσθε;
    Μήτηρ ἔστ᾽ ὑμῖν· ἀμφότεροι τρέφετε.

IN SVRDOS, Cap. XXX.

Nicarchi. I.

Surdaſtro ſurdaſter litem mouebat,& multò magis
    Erat iudex his duobus ſurdior.
Quorum hic accuſans locarium ipſum debere
    Pro menſibus quinque: hic verò dicit ſe noctu moluiſſe.
Intuitus verò ipſos iudex dicit, quid contenditis?
    Mater eſt vobis? ambo nutrite.

ΕΙΣ ΛΑΙΜΑΡΓΟΥΣ, κεφ. λα.

ΛΟΥΚΙΛΛΙΟΥ.

Οὐδὲν ἀφῆκεν ὅλως Διονύσιε λείψανον Αὔλῳ
    Εὐτυχίδης δειπνῶν, ἦρε δὲ πάντ᾽ ὀπίσω.
Καὶ νῦν Εὐτυχίδης μὲν ἔχει μέγα δεῖπνον ἐν οἴκῳ,
    Μὴ κληθεὶς δ᾽ Αὖλος ξηροφαγεῖ καθίσας.

IN HELLVONES, Cap. XXXI.

Lvcillii. I.

Nihil reliquit in totum, ô Dionyſi, reliquum Aulo
    Eutychides cœnans, ſuſtulit verò omnia poſt ſe.
Et nunc Eutychides quidem habet magnam cœnam in domo,
    Non vocatus verò Aulus ſicca epulatur ſedens.

Τοῦ αὐτοῦ.

Οὕτω σοι πέψαι Διονύσιε ταῦτα γένοιτο
    Γαῖτα· νόμου δὲ χάριν, δός τι καὶ ὧδε φαγεῖν.
Κἀγὼ κέκλημαι, κἀμοὶ παρέθηκέ τι τούτων
    Γεύσασθαι Πόπλιος· κἀμὸν ἔπεισι μέρος.

Εἰ μὴ λεπτὸν ἰδών με, δοκεῖς κατακεῖσθαι ἄρωστον,
Εἶθ' οὕτω τηρεῖς, μή σε λαθών τι φάγω.

Eiusdem. 2.

Sic tibi concoquere Dionysi hæc contingat
Omnia, legis verò gratia da etiã hîc nobis aliquid comedere.
Et ego vocatus sum, & mihi apposuit aliquid horum
Vt gustarem Publius, & mea præsto est pars.
Nisi tenuem videns me, existimabis decumbere infirmum,
Deinde sic cauebis ne te ipsum latens comedam.

Τοῦ αὐτοῦ.

Καὶ τρώγεις ὅσα πέντε λύκοι, Γάμε, καὶ τὰ περισσά,
Οὐ τὰ σά, τῶν δὲ πέλας, πάντα δίδως ὀπίσω.
Πλεῖο μετὰ τοῦ κοφίνου τοῦ πρὸς πόδας αὔριον ἔρχου,
Πείσματα καὶ σπόγγον καὶ σάρον εὐθὺς ἔχων.

Eiusdem. 3.

Et comedis quantum quinque lupi, Game, & panis micas,
Non tuas, & quæ superfluâ, omnia das post tergum (famulo.)
Quin tu cum corbe ad pedes posito cras veni,
Scobem, & spongiam & scopas statim habens.

Τοῦ αὐτοῦ.

Ἦν βραδὺς Εὐτυχίδης σταδιοδρόμος. ἀλλ' ἐπὶ δεῖπνον
Ἔτρεχεν, ὥστε λέγειν, Εὐτυχίδης πέταται.

Eiusdem. 4.

Erat tardus Eutychides stadij cursor. sed ad cœnam
Currebat, adeò vt dici posset, Eutychides volat.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Οὔτις ἀγυρτῆρας ἰδεῖν τέτληκεν ὀδόντας
Ὑμετέρους, ἵνα σοῖς ἐν μεγάροις πελάσῃ.
Εἰ γὰρ ἀεὶ βουβρῶστιν ἔχεις Ἐρυσίχθονος αὐτοῦ,
Ναὶ τάχα Δαρδανίδας καὶ Φιλεινὸν καλέσεις.
Ἀλλ' οὐ σεῖο μέλαθρα με δέξεται· οὐ γὰρ ἔγωγε
Βήσομ' ὑφ' ὑμετέρῃ γαστρὶ λαφυξόμενος.
Εἰ δέ ποτ' ἐς τεὸν οἶκον ἐλεύσομαι, οὐ μὲν ἄνευ

Λαρτιάδης Σκύλλης χάσμασιν ἀντιάσας·

Ἀλλ' ἔσομαι πολύτλας τις ἐγὼ πλέον, εἴ σε περήσω,

Κύκλωπος κρυεροῦ μηδὲν ἐλαφρότερον.

AGATHIAE Scholastici. 5.

Nemo molares videre sustinuit dentes

Vestros, vt tuas in ædes appropinquat.

Si enim famem magnam habes Erisichtonis ipsius,

Certè fortè deuorabis & amicum quem vocas.

Verùm tuæ ædes me non accipient: non enim ego

Vadam vt à vestro ventre deuoret.

Si verò in tuam domum venero, non multum effecit,

Laërtæ filius Scyllæ hiatui occurrens:

Sed ego multa plura perpetiar si te superabo,

Cyclope horridulo nihilo mitiorem.

Τοῦ αὐτοῦ.

Υἱὸς καὶ γενετὴρ δῆριν φιλόνεικον ἔθεντο,

Τίς πλέον ἐκ δαπάνης κλῆρον ἅπαντα φάγοι·

Καὶ μετὰ τὴν βρῶσιν τὴν χρηματικὴν μάλα πάντων,

Ὕστατον ἀλλήλους λοιπὸν ἔχουσι φαγεῖν.

Eiusdem. 6.

Filius & pater litem contentiosam inuicem habuerunt,

Quis plus insumens sortem omnem deuoret:

Et post deuorationem facultatum prorsus omnium,

Postremò se inuicem reliquum habent quod comedant.

Τοῦ αὐτοῦ.

Ὄρνεον ἠσθίομεν κεκλημένοι ἄθλιον ἄνδρες,

Ἄλλων ὀρνίθων βρώματα γιγνόμενοι.

Καὶ τὸν μὲν Τιτυὸν κατὰ γῆς δύο γῦπες ἔδουσιν,

Ἡμᾶς δὲ ζῶντας τέσσαρες αἰγυπιοί.

Eiusdem. 7.

Auem comedimus inuitati miseram viri,

Aliarum auium cibus euadimus.

Et Tityum quidem in terra duo vultures comedunt,

Nos verò viuentes quatuor vultures.

Τοῦ αὐτοῦ.

Μηδείς μοι ταύτην Ἐρασίστρατε τὴν ἁπαλὴν σὺ
Ποιήσειε θεῶν, ἣν σὺ κατασπαταλᾷς.
Ἔσθων ἐκτραπέλως στομάχῳ κακὰ χείρονα λιμοῦ,
Οἷα φάγοιεν ἐμῶν ἀντιδίκων τεκνία.

Eiuſdem. 8.

Nemo mihi has Eraſiſtrate delicias tuas
Faciat Deorum, quibus tu deliciaris.
Edens iucundè in ventrem mala peiora quàm fames,
Qualia comedant meorum hoſtium filij.

ΕΙΣ ΛΕΠΤΟΥΣ κεφ. λβ´

ΛΟΥΚΙΛΛΙΟΥ.

Τὴν μικρὴν παίζουσαν Ἐρώτιον ἥρπασε κώνωψ·
Ἡ δὲ, τί φησιν; ἐδῶ Ζεῦ πάτερ, εἴ μ' ἐθέλεις.

IN TENVES, Cap. XXXII.

LVCILLII. 1.

Paruam ludentem Erotion rapuit culex:
Hæc verò quid dixit? concedo hoc Iupiter pater, ſi me vis.

Τοῦ αὐτοῦ.

Τῷ πατρὶ θυμωθεὶς Διονύσιε Μάρκος ὁ μικρὸς,
Πυῤῥῆνα στήσας, αὑτὸν ἀπηγχόνισε.

Eiuſdem. 2.

Patri iratus, Dionyſi, Marcus paruus,
Acinum conſtituens ſeipſum ſtrangulauit.

Τοῦ αὐτοῦ.

Ἐν καλάμῳ πήξας ἀθέρα Στρατόνικος ὁ λεπτὸς,
Καὶ τειχὸς ἐκδήσας, αὑτὸν ἀπηγχόνισε.
Καὶ τί γάρ; οὐχὶ κάτω βρίθειν βαρὺς, ἀλλ' ὑπὲρ αὐτοῦ,
Νηνεμίας οὔσης, νεκρὸς ἄνω πέταται.

Eiusdem. 3.

In calamo fixus cuspide Stratonicus tenuis,
Et capillo implicatus seipsum suspendit.
Quî sic? non enim deorsum tendebat grauitas, sed super ipsis,
Cùm ventus esset, mortuus in sublime euolauit.

Τοῦ αὐτοῦ.

Γάϊος ἐκπνεύσας τὸ πανύστατον ἐχθὲς ὁ λεπτὸς,
Εἰς τὴν ἐκκομιδὴν οὐδὲν ἀφῆκεν ὅλως.
Καὶ πέρας εἰς ἅδην καταβὰς οἷος περ ὅτ' ἔζη
Τῶν ὑπὸ γῆν σκελετῶν λεπτότερος πέταται.
Τὴν δὲ κενὴν κλίνην οἱ φέρτορες ἦραν ἐπ' ὤμοισι,
Ἐγγράψαντες ἄνω, Γάϊος ἐκφέρεται.

Eiusdem. 4.

Gaius exspirans penitissime heri tenuis,
In exsequias verò nihil dimisit totum.
Et denique in infernum descẽdens qualis cùm adhuc viueret,
Sub terra sceletis tenuior volabat.
Vacuam verò sandapilam affines tulerunt in humeris,
Inscribentes supra, Gaius effertur.

Τοῦ αὐτοῦ.

Τῶν Ἐπικουρείων ἀτόμων ποτὲ Μάρκος ὁ μικρὸς,
Τῇ κεφαλῇ τρήσας, εἰς τὸ μέσον διέβη.

Eiusdem. 5.

Epicureorum atomorum quondam Marcus paruus,
Cùm capite perterebrasset, per medium transiit.

Τοῦ αὐτοῦ.

Εἰς σάλπιγγ' ἐνέπνευσεν ὅσον βραχὺ Μάρκος ὁ λεπτὸς,
Καὶ κατὰ τῆς κεφαλῆς εὐθὺς ἀπῆλθε κάτω.

Eiusdem. 6.

In tubam inflauit ad modum parum Marcus paruus,
Et per caput statim transiit ad intra.

ΑΜΜΙΑΝΟΥ.

Τὸν μικρὸν Μάκρωνα θέρους κοιμώμενον εὑρὼν,

Εἰς τρώγλην μικρὸν τοῦ ποδὸς εἵλκυσε μῦς.
Ὃς δ᾽ ἐν τῇ τρώγλῃ ψιλὸς τὸν μῦν ἀποπνίξας,
Ζεῦ πάτερ, εἶπεν, ἔχεις δεύτερον Ἡρακλέα.

AMMIANI. 7.

Paruum Macronem in æſtate recubantem inueniens,
In foramen paruo cum pede traxit mus.
Hic verò in foramine paruus murem ſtrangulans,
Iupiter pater, dixit, habes ſecundum Herculem.

Ἄδηλον.

Ἔστω μητρόπολις, πρῶτον πόλις, εἶτα λεγέσθω
Μητρόπολις· μὴ νῦν, ἡνίκα μηδὲ πόλις.

Incerti. 8.

Sit Metropolis primùm ciuitas, deinde dicatur
Metropolis: non iam, cùm ne ciuitas quidem eſt.

ΛΟΥΚΙΛΛΙΟΥ.

Τὸν λεπτὸν φυσῶντα τὸ πῦρ Πρόκλον ἦρεν ὁ καπνός,
Καὶ διὰ τῶν θυρίδων ἔνδον ἀπῆλθεν ἔχων.
Ἀλλὰ μόλις νεφέλῃ προσενήξατο, καὶ δι᾽ ἐκείνης
Προσκατέβη τρωθεὶς μυρία ταῖς ἀτόμοις.

LVCILLII. 9.

Tenuem cùm ſufflaret ignem, Proclum ſuſtulit fumus.
Et per ianuas intus abiit habens (ipſum Proclum)
Sed vix ad nubes adnatauit, & per ipſas
Deſcendit vulneratus millies ab atomis.

Τοῦ αὐτοῦ.

Οὕτω κουφότατος πέλε Γάϊος, ὥστ᾽ ἐκολύμβα
Τοῦ ποδὸς ἐκκρεμάσας ἢ λίθον ἢ μόλιβον.

Eiuſdem. 10.

Sic leuiſſimus fuit Caïus, vt nataret,
Sibi ad pedem adpendens aut lapidem aut plumbum.

ΑΜΜΙΑΝΟΥ, οἱ δὲ, ΝΙΚΑΡΧΟΥ.

Ἐξαίρων ποτ᾽ ἄκανθαν ὁ λεπτακινὸς Διόδωρος,
Αὐτὸς ἐτρύπησε τῷ ποδὶ τὴν βελόνην.

AMMIANI, vt alij, NICARCHI. II.

Eximens aliquando ſpinam tenuis Diodorus,
Ipſe perforauit pede acum.

ΛΟΥΚΙΛΛΙΟΥ.

Ἐξ ἀτόμων Ἐπίκουρος ὅλον τὸν κόσμον ἔγραψεν
Εἶναι, τοῦτο δοκῶν Ἄλκιμε λεπτότατον.
Εἰ δὲ τότ' ἦν Διόφαντος, ἔγραψεν ἂν ἐκ Διοφάντου,
Τοῦ καὶ τῶν ἀτόμων πουλύ τι λεπτοτέρου,
Ἢ τὰ μὲν ἄλλ' ἔγραψε συνεστάναι ἐξ ἀτόμων ἄν,
Ἐκ τούτου δ' αὐτὰς Ἄλκιμε τὰς ἀτόμους.

LVCILLII. 12.

Ex atomis Epicurus totum mundum ſcripſit
Eſſe, illas cenſens, Alcime, tenuiſſimas.
Si autem tum fuiſſet Diophantus, ſcripſiſſet ex Diophanto,
Atomis longè tenuiore.
Vel alia quidem ſcripſiſſet conſtare ex atomis,
Ex hoc verò ipſas, Alcime, atomos.

Τοῦ αὐτοῦ.

Ἱππεύων μύρμηκι Μενέστρατος ὡς ἐλέφαντι,
Δύσμορος ἐξαπίνης ὕπτιος ἐξετάθη.
Λακτισθεὶς δ' ὡς εἶχε τὸ καίριον, ὦ φθόνε, φησίν,
Οὕτως ἱππεύων ὤλετο καὶ Φαέθων.

Eiuſdem. 13.

Equitans in formica Meneſtratus vt Elephante,
Infelix ſtatim ſupinus proſtratus eſt.
Calce verò percuſſus, ita vt eſſet lethale, ô inuidia, inquit,
Sic equitans periit & Phaëthon.

Τοῦ αὐτοῦ.

Τὸν μέγαν ἐζήτουν Εὐμήκιον· ὃς δ' ἐκάθευδε,
Μικρῷ ὑπ' ὀξυβάφῳ τὰς χέρας ἐκτανύσας·

Eiuſdem. 14.

Magnum quærebant Eumecion, cùm verò dormiiſſet,
Paruâ ſub cotylâ manum extendens.

Τοῦ αὐτοῦ.

Ἀρθεὶς ἐξ αὔρης λεπτῆς ἐποτᾶτο δι' αἴθρης
Χαιρήμων, ἀχύρου πολλὸν ἐλαφρότερος·
Καὶ τάχ' ἂν ἐῤῥοίζητο δι' αἰθέρος, εἰ μὴ ἀράχνῃ
Τοὺς πόδας ἐμπλεχθεὶς, ὕπτιος ἐκρέματο.
Αὐτοῦ δὴ νύκτας τε καὶ ἤματα πέντε κρεμασθεὶς,
Ἕκταιος κατέβη νήματι τοῦ ἀράχνης.

Eiusdem. 15.

Sublatus ab aëre tenui volabat per æthera
Chæremon, paleis longè leuior:
Et fortè penetrasset per æthera, nisi ab araneo
Pedibus implicatus supinus pependisset.
Ibi verò noctes & dies quinque suspensus,
Sexto descendebat filo aranei.

Τοῦ αὐτοῦ.

Αἰγείρου φύλλῳ πεφορημένῳ ἐξ ἀνέμοιο
Πληγεὶς Χαιρήμων, ὕπτιος ἐξετάθη.
Κεῖται δὴ Τιτυῷ ἐναλίγκιος, ἢ πάλι κάμπῃ,
Ἁπλώσας κατὰ γῆς σῶμα τὸ χαννάβινον.

Eiusdem. 16.

Populi folio sublato per ventum
Percussus Chæremon supinus prostratus est.
Iacet verò Tityo similis, aut rursus erucę,
Extendens per terram corpus gracile.

ΝΙΚΑΡΧΟΥ.

Τρεῖς λεπτοὶ περὶ τῆς λεπτοσύνης ἐμάχοντο,
Τίς προκριθεὶς εἴη λεπτολεπτότερος.
Ὧν ὁ μὲν εἷς, Ἑρμων, μεγάλην ἐνεδείξατο τέχνην,
Καὶ διέδυ ῥαφίδος τρῆμα λίνον κατέχων·
Δημᾶς δ' ἐκ τρώγλης βαίνων, ἐς ἀράχνιον ἔστη,
Ἡ δ' ἀράχνη νήθουσ' αὐτὸν ἀπεκρέμασεν.
Σωσίπατρος δ' ἐβόησεν, ἐμὲ στεφανώσατ'· ἐγὼ γὰρ

Εἰ βλέπομ', ἥττημαι· πνεῦμα γάρ εἰμι μόνον.

NICARCHI. 17.

Tres tenues nuper de tenuitate contenderunt,
Quis præferretur tanquam tenui tenuior.
Quorum vnus quidem Hermon magnam monſtrauit artem,
Et ſubiit acus foramen filum tenens.
Demas verò è foramine tranſiens ſuper aranei telam ſtetit,
Araneus verò nens ipſum ſuſpendit.
Soſipater verò clamauit, me coronate. Ego enim
Si videor, victus ſum. ſpiritus enim ſum ſolùm.

ΛΟΥΚΙΛΛΙΟΥ.

Βουλόμενός ποτ' ὁ λεπτὸς ἀπάγξασθαι Διόφαντος,
Νῆμα λαβὼν ἀράχνης, αὑτὸν ἀπηγχόνισεν.

LVCILLII. 18.

Cùm vellet aliquando tenuis ſuſpendi Diophantus,
Filum ſumens aranei ſeipſum ſuſpendit.

Τοῦ αὐτοῦ.

Σῶμα φέρων σκιοειδὲς, ἀειδεῖ σύμπνοον αὔρῃ,
Μήποτε θαρσήσῃς ἄγχι τινὸς πελάσαι.
Μή τις ἔσω μυκτῆρος ἀναπνείων σε κομίσῃ,
Ἄσθματος ἠερίου πολλὸν ἐλαφρότερον.
Οὐ σὺ μόρον τρομέεις· τότε γὰρ πάλιν οὐδὲν ἀμείψας,
Ἔσεαι ὡσαύτως φάσμα, τόπερ τελέθεις.

Eiuſdem: 19.

Corpus ferens vmbratile, obſcurâ conſpirans cum aurâ,
Nunquam auſis prope ad aliquem accedere.
Ne quis intra naſum reſpirans te recipiat
Spiritu aërio longè leuiorem.
Non tu morté formidas. Tunc enim rurſum nihil tráſformatus,
Eris conſimiliter phaſma, quod fuiſti.

Τοῦ αὐτοῦ.

Μύρμηκος πτερόεντος ὑπὲρ νώτοιο καθεσθεὶς
Ἄδρηστος ῥήτωρ τοῖον ἔλεξεν ἔπος,

Ἵπτασο, ἔχεις σὸν ἔχεις ὦ Πήγασε Βελλεροφόντην,
Φέρτατον ἡρώων, ἡμιθανῆ σκελετόν.

Eiusdem. 20.

Formicę volucris super humeris insidens
Adrestus rhetor, tale dixit verbum,
Vola, tuum habes, ô Pegase, Bellerophontem,
Optimum heroum, semimortuum sceleton.

Ἀδήλου.

Ῥιπίζων ἐν ὕπνοις Δημήτριος Ἀρτεμιδώραν
Τὴν λεπτὴν, ἐκ τοῦ δώματος ἐξέβαλεν.

Incerti. 21.

Vento sufflans in somnis Demetrius Artemidoran
Gracilem, domo eiecit.

Ἀδήλου.

Ἀρκάδας οὐχ οὕτω στυμφαλίδες, ὡς ἐμὲ κίχλαι
Αἱ νέκυες ξηροῖς ἤκαχον ὀστακίοις,
Ἅρπυιαι, δραχμῆς ξηρὴ δεκάς. ὦ ἐλεειναὶ
Λειμώνων ἐτύμως ἔρρετε νυκτερίδες.

Incerti 22.

Arcades non sic Stymphalides, quemadmodum me turdulę
Exiles aridis tristitia affecerunt ossibus.
Harpyę, drachma valens arida decas. ô miserabiles
Pratorum verè pereatis vespertiliones.

Ἀδήλου.

Εἰ μὲν ἐπ' ἀττελάβοις ἄγεται στρατὸς, ἢ κυνόμυιας,
Ἢ μύας, ἢ ψυλλῶν ἱππικὸν, ἢ βατράχων,
Γάϊε, καὶ σὺ φοβοῦ μὴ καὶ σέ τις ἐγκαταλέξῃ,
Ὡς ἂν τῆς τούτων ἄξιον ὄντα μάχης·
Εἰ δ' ἀρετῆς ἀνδρῶν ἄγεται στρατὸς, ἀτρέμας ἧσο.
Ῥωμαίοις οὐδεὶς πρὸς γραίους πόλεμος.

Incerti. 23.

Siquidem in brucchos ducitur exercitus, aut caninas muscas,

Aut muſcas,aut pulicum equitatum aut ranarum:
Gaïe tu quoque time,ne quis te quoque nomen dare cõpellat,
Vtpote talium dignum exiſtentem bello:
Si verò propter virtutem virorum ducitur exercitus, quietè ſe-
Romanis nullum aduerſus grues bellum. (deas.

ΕΙΣ ΜΑΚΡΟΥΣ, κεφ. λγ'.

ΛΟΥΚΙΛΛΙΟΥ.

Τιμόμαχον τὸν μακρὸν ὁ πεντόργυιος ἐχώρει
Οἶκος, ὑπὲρ γαίης πάντοτε κεκλιμένον·
Στῆναι δ' εἴποτ' ἔχρηζεν, ἔδει τοὺς παῖδας ἀπ' ὄρθρου
Τὴν ὀροφὴν τρῆσαι πέντ' ἐπὶ πέντε πόδας.

IN LONGOS, Cap. XXXIII.

LVCILLII. 1.

Timomachum longum quinque vlnarum capit
Domus, in terra vndique recumbentem:
Stare verò ſicubi opus habuit,oportuit filios à diluculo
Culmen perforare ad decem vſque pedes.

ΑΜΜΙΑΝΟΥ.

Τῷ Στρατονικείῳ πόλιν ἄλλην οἰκοδομεῖτε,
Ἢ τούτοις ἄλλην οἰκοδομεῖτε πόλιν.

AMMIANI. 2.

Stratonico aliam ciuitatem ædificate,
Aut his(homuncionibus)aliam ædificate ciuitatem.

ΕΙΣ ΜΕΘΥΣΟΥΣ, κεφ. λδ'.

ΠΑΛΛΑΔΑ.

Σιλβανὸς δύο παῖδας ἔχων, οἶνόν τε καὶ ὕπνον,
Οὐκ ἔτι τὰς μούσας οὐδὲ φίλους φιλέει·
Ἀλλ' ὁ μὲν ἐκ λεχέων μιν εὔρροος ἐς φρένα θέλγει,

Ἄλλος δ' ἐν θαλάμοις ῥεγχόμενον κατέχει.

IN EBRIOS, Cap. XXXIIII.

PALLADÆ. 1.

Silbanus duos filios habens vinúmque & ſomnum,
Neque amplius Muſas neque amicos amat:
Sed hic quidem in lecto ipſius irriguus animam mulcet,
Alius verò in thalamis ronchos ducentem tenet.

Ἄδηλον.

Ἡ γραῦς ἡ Βάκχου κυλίκων σποδὸς, ἔν ποτε νούσῳ
Κεκλιμένη, Ζηνὶ τοῖον ἔλεξεν ἔπος,
Ἢν ὀλοοῦ διάκαυμα φύγω πυρὸς, εἰς ἑκατόν σοι
Ἠελίους δροσερᾶς πίομαι ἐκ λιβάδος,
Ἀβρόμιος καὶ ἄοινος. ἐπεὶ δ' ὑπάλυξεν ἀνάγκην,
Αὐτῆμαρ τοῖον μῆχος ἐπεφράσατο·
Τρητὸν γὰρ θεμένη χειρὶ κόσκινον, ἃ διὰ πυκνῶν
Σχοίνων ἠελίους πλείονας ἠγάσατο.

Incerti. 2.

Anus Bacchi poculorum exſiccatrix, in morbo aliquando
Decumbens, Ioui tale dixit verbum,
Si pernicioſæ ardor fugerit febris, per centum tibi
Soles rorido bibam ex fonte,
Sine Baccho & vino. Cùm verò effugiſſet morbum,
Eodem die tale inuentum excogitauit.
Perforatum enim ponens in manu cribrum, bene per denſos
Funes ſoles plurimos aſpexit.

Ἄδηλον.

Πῶς φιλέεις ὦ μῆτερ ἐμοῦ πλέον υἱέος οἶνον;
Δὸς πιέειν οἴνοιο, ἐπεὶ γάλα τοπρὶν ἔδωκας.
Ὦ παῖ, σὴν μὲν δίψαν ἐμὸν γάλα τοπρὶν ἔπαυσε.
Νῦν δ' ἴθι πῖνε ὕδωρ, καὶ σβέννυ τὴν σέο δίψαν.

Incerti. 3.

Quomodo amas ô mater me plus vino filium?

Da bibere è vino, cùm lac prius dederis.
ᵇO puer tuam quidam sitim meum lac tibi prius sedauit,
Nunc verò ito, bibe aquam, & extingue tuam sitim.

Αδήλου.

Δέρκεο πῶς δὴ ψᾶν υἱὸς χέρα μητέρι τείνει.
Η δὲ γυνὴ, ἅτε πᾶσα γυνὴ κεκρατημένη οἴνῳ,
Εν λαγυνίῳ πίνουσα, τόδ' ἔννεπε λοξὸν ἰδοῦσα,
ᵃΕκ δὴ βρόχθου ἐμεῖο, τί σοι δῶ τέκνον ἐμεῖο;
Ξέστας γὰρ τριάκοντα μόνους λάγυνος τόδε χωρεῖ.
ᵇΜῆτερ, μητρυιῆς χαλεπὸν τρόπον αἰτικρατοῦσα,
Αμπέλου ἡδυπότης τάδε δάκρυα δός μοι ἀφύσσειν.

Incerti. 4.

Vide quomodo sitiens filius manum matri tendit,
Hæc verò mulier velut omnis mulier occupata vino,
E lagena bibens hoc dixit toruum videns,
ᵃEx poculo meo quid tibi dem fili mi?
Sextarios enim triginta solos lagena hæc capit.
ᵇ Mater nouercæ duros mores tenens,
Vitis dulcissimæ has lacrymas da mihi haurire.

Εἰς Ἀππιανὸν ἡγεμόνα πόλιν.

Γράμμα περισσὸν ἔχεις τὸ προκείμενον· ἢν ἀφέλῃ τις
Τοῦτό σοι, οἰκεῖον κτήσῃ ἁπλῶς ὄνομα.

In Appianum. 5.

Literam abundantem habes præpositam, si auferat quis
Hanc tibi, conueniens possidebis simpliciter nomen.

ΕΙΣ ΜΙΛΙΑΡΙΟΝ, ΨΥΧΡΟΝ,
χεζ λεζ

ΝΙΚΑΡΧΟΥ.

Ηγόρασας χαλκοῦν μιλιάριον Ἡλιόδωρε
Τοῦ περὶ τὴν Θρᾴκην ψυχρότερον Βορέου.
Μὴ φύσα, μὴ κάμνε· μάτην [illegible] καπνὸν ἐγείρεις.

Εἰς δ' θέρος χαλκῆν βαύκαλιν ἠγόρασας.

IN VAS QVO AQVA CALEFIT, Cap. XXXV.

NICARCHI. I.

Emisti cereum vas ad aquam calefaciendam, Heliodore,
Circa Thraciam frigidius Boreâ,
Non suffla ignem, ne labores: frustra fumum excites.
In æstatem æneum vas vinarium emisti.

ΕΙΣ ΝΟΜΙΚΟΥΣ, κεφ. λϛ

ΛΟΥΚΙΛΛΙΟΥ.

Φαῖδρος πραγματικὸς καὶ ζωγράφος ἤριζε Ροῦφος
Τίς θᾶσσον γράψαι, καὶ τίς ὁμοιότερον.
Ἀλλ' ἐν ὅσῳ Ροῦφος τρίβειν τὰ χρώματ' ἔμελλε,
Φαῖδρος ἔγραψε, λαβὼν εἰκονικὴν ἀποχήν.

IN LEGVLEIOS, Cap. XXXVI.

LVCILLII. I.

Phędrus pragmaticus, & pictor contendebat Rufus,
Quis celerius scriberet, & quis conuenientius.
Sed in quo tempore Rufus terere colores volebat,
Phædrus scripsit, sumens imaginariam apocham.

Τοῦ αὐτοῦ.

Τοὺς πόδας εἰ Κρατερὸς καὶ τὰς χεῖρας εἶχ' ὁλοκλήρους,
Οὐκ ἂν τὴν κεφαλὴν εἶχε τοιαῦτα γράφων.

Eiusdem. 2.

Pedes si Craterus & manus haberet integras,
Non sanè caput haberet (sc. amputatum) talia scribens.

ΕΙΣ ΟΚΝΗΡΟΥΣ, κεφ. λζ

ΛΟΥΚΙΛΛΙΟΥ.

Εἰς φυλακὴν βληθείς ποτε Μάρκος ὁ ἀργὸς ἑκοντί,

Ὀκνῶν

Οὐκ ἐθέλων ἐξελθεῖν, ὡμολόγησε φόνον.

IN TARDOS, Cap. XXXVII.

LVCILLII. 1.

In carcerem coniectus quondam Marcus tardus vltrò,
Nolens exire, confessus est cędem.

Τοῦ αὐτοῦ.

Τῆς νυκτὸς σκάπτων ἐν ὕπνοις ποτὲ Μάρκος ὁ ἀργὸς,
Οὐκ ἔτ' ἐκοιμήθη, μὴ πάλι που σκάψῃ.

Eiusdem. 2.

Noctu currens insomnis quondam Marcus ignauus,
Non amplius dormiuit, ne quâ rursus curreret.

Τοῦ αὐτοῦ.

Οὕτως ἐστ' ἀργὸς Πανταίνετος, ὥστε πυρέξας,
Μηκέτ' ἀναστῆναι πάντας ἐδεῖτο θεούς.
Καὶ νῦν οὐκ ἐθέλων μὲν ἐγείρεται, ἐν δὲ ἑαυτῷ
Κωφὰ θεῶν ἀδίκων οὔατα μεμφόμενος.

Eiusdem. 3.

Hic est ignauus Pantænetus, adeò vt febricitans,
Ne vnquam resurgeret omnes orauerit Deos.
Et nunc nolens quidem excitatur, in se ipso autem
Surdas Deorum iniustorum aures reprehendens.

Τοῦ αὐτοῦ.

Ἐκλήθην ἐχθὲς Δημήτριε, σήμερον ἦλθον
Δειπνεῖν· μὴ μέμψῃ, κλίμακ' ἔχεις μεγάλην.
Ἐν ταύτῃ πεπόνηκα πολὺν χρόνον· οὐδ' ἂν ἐσώθην
Σήμερον, ἀλλ' ἀνέβην κέρκον ὄνου κατέχων.

Eiusdem. 4.

Ad cœnam inuitatus sum heri Demetrij, hodie veni
Vt cœnarem: ne repræhendas, scalam habens magnam.
In hoc enim laboraui multo tempore: neque fuissem seruatus
Hodie, sed intraui caudam asini tenens.

ΕΙΣ ΟΡΧΗΣΤΑΣ, κεφ. λη.

ΛΟΥΚΙΛΛΙΟΥ.

Εκ ποίων ὁ πατήρ σε δρυῶν τέτμηκεν Ἀρίστων,
    Η ποίου σε μύλου κόψατο λατομιῶν;
Η γὰρ ἀπὸ δρυός ἐσσὶ παλαιφάτου, ἢ ἀπὸ πέτρης,
    Ορχηστής, Νιόβης ἔμπνοον ἀρχέτυπον.
Ωστέ με θαυμάζοντα λέγειν ὅτι καὶ σύ τι Λητοῖ
    Ηρισας. οὐ γὰρ ἂν ἦς αὐτομάτως λίθινος.

IN SALTATORES, Cap. XXXVIII.

LVCILLII. 1.

Ex quibus pater te quercubus exſecuit Ariſton,
    Et quali dente te molari abſcidit lapides ſecans?
Aut enim è quercu es fatidicâ, aut è petrâ,
    Saltator, Niobę viuum es archetypon.
Adeò vt ego demirás dicam, quòd tu etiam alicubi cũ Latona
    Contendiſti. non enim eſſes ſponte lapideus.

Τοῦ αὐτοῦ.

Πάντα καθ' ἱστορίην ὀρχούμενος, ἓν δὲ μέγιστον
    Τῶν ἔργων παριδὼν, ἠνίασας μεγάλως.
Τὴν μὲν γὰρ Νιόβην ὀρχούμενος, ὡς λίθος ἔστης,
    Καὶ πάλιν ὢν Καπανεὺς, ἐξαπίνης ἔπεσες·
Αλλ' ἐπὶ τῆς Κανάκης ἀφυῶς, ὅτι καὶ ξίφος ἦν σοι,
    Καὶ ζῶν ἐξῆλθες· τοῦτο παρ' ἱστορίην.

Eiuſdem. 2.

Omnia iuxta hiſtoriam ſaltans, vnum maximum,
    In operibus negligens, dolorem intuliſti nobis valdè.
Niobem enim ſaltans, vt lapis ſtetiſti,
    Et rurſum exiſtens Capaneus, ſtatim concidiſti.
Sed in Canace ineptè, quòd etiam enſis eſſet tibi,
    Et viuus exiſti, hoc contra hiſtoriam.

ΠΑΛΛΑΔΑ.

Δάφνιν καὶ Νιόβην ὠρχήσατο Μέμφις ὁ σιμός·
Ὡς ξύλινος, Δάφνιν· ὡς λίθινος, Νιόβην.

PALLADÆ. 3.

Daphnin & Niobem ſaltauit Memphis depreſſis naribus:
Vt ligneus Daphnem, & lapideus Niobem.

ΕΙΣ ΠΑΧΕΙΣ, κεφ. λη.

Ἀδέσποτον.

Τὸν παχὺν εὖ ἔγραψεν ὁ ζωγράφος· ἀλλ' ἀπόλοιτο
Εἰ δύο μισητοὺς ἀνθ' ἑνὸς ὀψόμεθα.

IN OBÆSOS, Cap. XXXIX.

Incerti. 1.

Pinguem bene pinxit pictor: ſed pereat
Si duos pingues pro vno videbimus.

ΕΙΣ ΠΟΙΗΤΑΣ, κεφ. μ.

ΠΟΛΛΙΑΝΟΥ.

Εἰσὶ καὶ ἐν μούσῃσιν ἐρινύες, αἵ σε ποιοῦσι
Ποιητήν, ἀνθ' ὧν πολλὰ γράφεις ἀκρίτως.
Τοίνυν σοῦ δέομαι, γράφε πλείονα· μείζονα γάρ σοι
Εὔξασθαι ταύτης οὐ δύναμαι μανίην.

IN POETAS. Cap. XL.

Polliani. 1.

Sunt etiam in Muſis Erinnyes, quæ te faciunt
Poëtam, idcirco multa ſcribis temerè.
Quare oro te, ſcribe plurima. Maiorem enim tibi
Precari hac non poſſum inſaniam.

Τοῦ αὐτοῦ.

Εἰ μὴ χαίρω Φλαῦρε, γενοίμην δάκτυλος, ἤ που
Εἰς τὴν σὴν τούτων τὴν κατατεινομένην.

Χαίρω τῷ κλήρῳ, ὃν ἐκλήρησας ἐν ἄθλοις,
  Ὡς περὶ χηρείας τοῦ στεφάνου μερίδος.
Τοιγὰρ θάρσει Φλῶρε, καὶ εὔθυμος πάλι γίγνου·
  Οὕτω νικῆσαι καὶ δόλιχον δυνάσαι.

Eiusdem. 2.

Si non gaudeo, Flore, fiam digitus, aut pes
  Vnus è tuis sic extensis.
Gaudeo certè sortem, quam sortitus es in certaminibus,
  Tanquam de viduali victoriæ parte.
Quare confide, Flore, & animosus rursus esto:
  Sic superare etiam longum poteris.

Τοῦ αὐτοῦ.

Τοὺς κυκλίους τούτους, τοὺς αὐτὰρ ἔπειτα, λέγοντας
  Μισῶ, λωποδύτας ἀλλοτρίων ἐπέων.
Καὶ διὰ τοῦτ' ἐλέγοις προσέχω πλέον· οὐδὲν ἔχω γὰρ
  Παρθενίου κλέπτειν, ἢ πάλι Καλλιμάχου.
Θηρὶ μὲν οὐατόεντι γενοίμην, εἴποτε γράψω,
  Εἴκελος, ἐκ ποταμῶν χλωρὰ χελιδόνια.
Οἱ δ' οὕτως τὸν Ὅμηρον ἀναιδῶς λωποδυτοῦσιν,
  Ὥστε γράφειν ἤδη, μῆνιν ἄειδε θεά.

Eiusdem. 3.

Non Cyclicos illos qui, sed postquam, dicunt
  Odi, fures aliorum verborum.
Et ob id elegis delector magis: non enim habeo
  Ex Parthenio quod furer, aut rursus è Callimacho.
Ferę quidem auritæ fierem, si quando scriberem,
  Similis, ex fluuiis viridem hirundinariam.
Hi verò Homerum impudenter exspoliant,
  Adeò vt scribant iam, iram cane Dea.

ΛΟΥΚΙΛΛΙΟΥ.

Οὔτ' ἐπὶ Δευκαλίωνος, ὕδωρ ὅτε πάντ' ἐλυμήνθη,
  Οὔθ' ὁ καταφλέξας τοὺς ἐπὶ γῆς Φαέθων,
Ἀνθρώπους ἔκτεινεν ὅσους Ποτάμων ὁ ποιητής,

Καὶ χειρουργήσας ὤλεσεν Ἑρμογένης.
Ὥστ' ἐξ αἰῶνος κακὰ τέσσαρα ταῦτ' ἐγενήθη,
Δευκαλίων, Φαέθων, Ἑρμογένης, Ποτάμων.

LVCILLII. 4.

Neque Deucalionis tempore, cùm aqua omnia fierent,
Neque comburens illos qui in terra erant Phaethon,
Homines tot occidit quot Potamon Poëta,
Et chirurgum agens perdidit Hermogenes.
Adeò vt omni tempore mala quatuor hæc fuerint,
Deucalion, Phaëthon, Hermogenes, Potamon.

Τοῦ αὐτοῦ.

Τέθνηκ' Εὐτυχίδης ὁ μελογράφος. οἱ κατὰ γαῖαν
Φεύγετ', ἔχων ᾠδὰς ἔρχεται Εὐτυχίδης.
Καὶ κιθάρας αὐτῷ διετάξατο συγκατακαῦσαι
Δώδεκα, καὶ κίστας εἰκοσιπέντε νόμων.
Νῦν ὑμῖν ὁ Χάρων ἐπελήλυθε. ποῦ τις ἀπέλθῃ
Λοιπόν, ἐπεὶ καὶ γῆν Εὐτυχίδης κατέχει;

Eiusdem. 5.

Mortuus est Eutychides Poëta. Vos inferi
Fugite, habens odas venit Eutychides.
Et citharas secum iussit comburi
Duodecim, & cistas viginti quinque carminum.
Nunc vobis Charon periit: quò aliquis abeat
In posterum, postquam etiam terram Eutychides tenet?

Τοῦ αὐτοῦ.

Ἀρχόμεθ' Ἡλιόδωρε, ποιήματα παίζομεν, οὕτω
Ταῦτα πρὸς ἀλλήλους Ἡλιόδωρε θέλεις;
Ἆσσον ἴθ', ὡς κεν θᾶσσον ὀλέθρου. καὶ γὰρ ἔμ' ὄψει
Μακροφλυαρητὴν ἡλιοδωρότερον.

Eiusdem. 6.

Incipimus, Heliodore, poëmata ludimus, sic
Hæc ad inuicem, Heliodore, vis?
Propius accede vt citius moriaris. Etenim me videbis

Prolixè nugantem. & Heliodorum ſuperantem.

Τοῦ αὐτοῦ.

Μηκέτι, μηκέτι Μάρκε τὸ παιδίον, ἀλλ' ἐμὲ κόπτου,
    Τὸν πολὺ τοῦ παιδὸς σοῦ νεκρότερον τεκνίου.
Εἰς ἐμὲ νῦν ἐλέγους ποίει πάλιν, εἰς ἐμὲ θρήνους,
    Δήμιε, τὸν στιχίνῳ σφαζόμενον θανάτῳ.
Τοῦ σοῦ γὰρ πάσχω νεκροῦ χάριν οἷα πάθοιεν
    Οἱ καταδείξαντες βιβλία καὶ καλάμους.

Eiuſdem. 7.

Non amplius,non amplius,Marce,puerum,ſed me luge,
    Qui longè magis propter te mortuus ſum puero.
In me nunc Elegos fac denuò,in me lugubria,
    Carnifex,verſicali interfectum morte.
Tuæ enim patior mortis cauſa,qualia paterentur
    Qui demonſtrarunt libros & calamos.

Τοῦ αὐτοῦ.

Οὐχ οὕτω κακοεργὸν ἐχαλκεύσαντο μάχαιραν
    Ἄνθρωποι, διὰ τὰς ἐξαπίνης ἐνέδρας,
Οἷον ἀκήρυκτον Καλλίστρατε καὶ σὺ προελθὼν
    Ποιεῖς μοι φονικῶν ἑξαμέτρων πόλεμον.
Σάλπιγξον ταχέως ἀνακλητικόν· εἰς ἀνοχὰς γὰρ
    Καὶ Πρίαμος κλαύσας ἡμερίων ἔτυχεν.

Eiuſdem. 8.

Non adeò malam fabricarunt macheram
    Homines,per ſubitaneas inſidias,
Quale non annunciatum,Calliſtrate,& tu procedens
    Facis mihi faſtidio necantium hexametrorum bellum.
Cane ſubitò receptui: per inducias enim
    Etiam Priamus ſupplex homines impetrauit.

Τοῦ αὐτοῦ.

Οὐδενὸς ἐνθάδε νῦν τεθνηκότος ὦ παροδῖτα,
    Μάρκος ὁ ποιητὴς ᾠκοδόμησε τάφον·
Καὶ γράψας ἐπίγραμμα μονόστιχον, ὧδ' ἐχάραξε,

Κλαύσατε δωδεκέτη Μάξιμον ἐξ Ἐφέσου.
Οὐδὲ γὰρ εἶδον ἐγώ τινα Μάξιμον· εἰς δ' ἐπίδειξιν
Ποιητοῦ, κλαίειν τοῖς παριοῦσι λέγει.

Eiuſdem. 9.

Nemine hîc iam mortuo, ô viator,
Marcus Poëta exſtruxit ſepulchrum:
Et ſcribens Epigramma monoſtichon, ſic exarauit,
Flete duodecim annorum Maximum ex Epheſo.
Non enim noueram ego aliquem Maximum: in oſtẽtationem (verò
Poëtæ, plorare prætereuntibus dicit.

Τοῦ αὐτοῦ.

Ποιητὴς πανάριστος ἀληθῶς ἐστιν ἐκεῖνος
Ὅστις δειπνίζει τοὺς ἀκροασαμένους.
Ἢν δ' ἀναγιγνώσκῃ, καὶ νήστιας οἴκαδε πέμπῃ,
Εἰς αὑτὸν τρεπέτω τὴν ἰδίην μανίην.

Eiuſdem. 10.

Poëta longè optimus verè eſt ille
Qui cœna excipit auditores.
Si verò recitet, & ieiunos domum mittit,
In ſeipſum conuertat propriam inſaniam.

ΑΡΑΤΟΥ.

Αἰάζω Διότιμον, ὃς ἐν πέτρῃσι κάθηται,
Γαργαρέων παισὶν βῆτα καὶ ἄλφα λέγων.

ARATI. 11.

Deploro Diotimon qui in petris ſedet,
Gargaricorum pueris Beta & Alpha dicens.

Ἄδηλον.

Μισῶ δίσσοπτα καὶ βρώσοις νέος οὐδέ ποτ' οὐδεὶς
Ἤρεσε, κἂν εἴποι, μὴν ἄδε θεά.
Ἀλλ' ἢν μὴ Πριάμου τις ἔχῃ χρόνον ἠμιφάλακρος,
Ἢ καὶ κυρτὸς ἄγαν, οὐ δύνατ' ἄλφα γράφειν.
Εἰ δ' οὕτως οὔπω τοῦτ' ἐς ἔχοι ὦ ὕπατε Ζεῦ,
Εἰς τοὺς κηλήτας ἔρχεται ἡ σοφία.

Incerti. 12.

Odi domine Cæsar quibus iuuenis nunquam vllus
Placuit, quamuis dicat, iram cane Dea.
Sed nisi quis Priami habeat tempus semicaluum,
Aut nisi curuus admodum, non potest Alpha scribere.
Si verò reuera sic hoc se habet, ô supreme Iupiter,
In herniosos venit sapientia.

ΛΟΥΚΙΑΝΟΥ.

Ποιητὴς ἐλθὼν εἰς Ἴσθμια πρὸς τὸν ἀγῶνα,
Εὑρὼν ποιητάς, εἶπε παρίσθμι' ἔχειν.
Μέλλει δ' ἐξορμᾶν εἰς Πύθια· κἂν πάλιν εὕρῃ,
Εἰπεῖν οὐ δύναται· καὶ παραπύθι' ἔχω.

LVCIANI. 13.

Poëta veniens in Isthmia ad certamen,
Inueniens Poëtas dixit faucium tumores habere.
Vult verò transire ad Pythia: & vbi rursus inuenerit,
Dicere non poterit, etiam Parapythia habeo.

Ἀδέσποτον.

Ὠμοβοείου μοι παραθεὶς τόμον Ἡλιόδωρε,
Καὶ τρία μοι κεράσας ὠμοβοδότερα,
Εὐθὺ κατακλύζεις ἐπιγράμμασιν. εἰ δ' ἀσεβήσας
Βεβρώκειν τινὰ βοῦν τῶν ἀπὸ Τρινακρίας,
Βούλομ' ἅπαξ πρὸς κῦμα χανεῖν. εἰ δ' ἐστὶ τὸ κῦμα
Ἔνθεν μακράν, ἄρας εἰς τὸ φρέαρ με βάλε.

Incerti. 14.

Crudæ bouinæ carnis mihi apponens frustum Heliodore,
Et tria mihi miscens pessimi vini pocula,
Statim me obruis Epigrammatibus. Si verò impie agens
Comedi aliquem bouem ex Trinacria,
Malo semel fluctu absorberi. Si verò est fluctus
Hinc procul, tollens in puteum me coniice.

Ἄδηλον.

Τί ὠφέλησας τὴν πόλιν, εἴχοις γράφων,

Χρυσὴν

Χρυσὸν ποσοῦτον λαμβάνων βλασφημίας,
Πωλῶν ἰάμβους ὡς ἔλαιον ἔμπορος;

Incerti. 15.

Quid iuuisti ciuitatem versus scribere,
Aurum tantum sumens blasphemiæ causa,
Vendens Iambos vt oleum mercator?

ΜΑΚΕΔΟΝΙΟΥ πρὸς τὸν εἰπόντα, Εἰ μὴ πότνια Δίκη χρυσὸν ἀποστρέφεται.

Παρθένος εὐπατέρεια Δίκη, πρέσβειρα πολήων,
Οὐ τὸν ἐν εὐσεβίῃ χρυσὸν ἀποστρέφεται·
Ἀλλὰ καὶ αὐτὰ τάλαντα Διὸς ταῖς χρυσᾶ πελέθη,
Οἷσι ταλαντεύει πάντα νόμον βιότου.
Καί ποτε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα,
Εἰ μὴ Ὁμηρείων ἐξελάθου χαρίτων.

Macedonii ad illum qui dixit: Nisi sancta iustitia aurum auersatur. 16.

Filia generosa iustitia, perfecta ciuitatum,
Non in pietate aurum auersatur.
Verùm etiam ipsa talenta Iouis tota aurea facta sunt,
Quibus ponderat omnem legem vitæ.
Et tunc sanè aurea pater rependit talenta,
Ni Homericarum oblitus es gratiarum.

ΕΙΣ ΠΛΟΙΑ, καὶ ναῦς

ΛΟΥΚΙΛΛΙΟΥ.

Οἱ τοῖχοι Διόφαντε τὰ κύματα πάντα δέχονται,
Καὶ διὰ τῶν θυρίδων Ὠκεανὸς φέρεται.
Δελφίνων δ' ἀγέλαι καὶ Νηρέος ἀγλαὰ τέκνα
Ἐν τῷ πλοίῳ σου νηχόμενα βλέπεται.
Ἂν δ' ἀναμείνωμεν, τάχα πλεύσει καί τις ἐν ὑμῖν.
Οὐδὲ γὰρ ἐστιν ὕδωρ ἐκεῖ ἐν τῷ πελάγει.

IN NAVES, Cap. XLI.

LVCILLII 1.

Latera Diophante, omnes fluctus capiunt,
Et per foramina Oceanus fertur.
Delphinum verò greges, & Nerei præclari liberi
In naui tua natantes cernuntur.
Si autem expectemus, fortè natabit quis in nobis.
Neque enim est aqua amplius in mari.

Τοῦ αὐτοῦ.

Εἰς πέλαγος πλέομεν Διονύσιε, καὶ γεγέμισται
Τὸ πλοῖον πάντος πανταχόθεν πελάγους.
Ἀντλεῖται δ' Ἀδρίας Τυῤῥηνικὸς Ἰστρικὸς αἶγαιον,
Οὐ πλοῖον, πηγὴ δ' Ὠκεανοῦ ξυλίνη.
Ὁπλίζου Καῖσαρ, Διονύσιος ἔρχεται ἤδη,
Οὐκ ἔτι ναυκληρεῖ, ἀλλὰ θαλασσοκρατεῖν.

Eiusdem. 2.

In mare nauigamus, Dionysi, & impletur
Nauis omni vndique aquâ.
Hauritur verò Adrias, Tyrrhenicus Istricus Ægæum,
Non nauis, fons verò Oceani ligneus.
Armare Cæsar, Dionysius venit iam,
Non amplius vt nauclerus sit, sed vt mari imperet.

ΒΙΑΝΟΡΟΣ.

Τὸ σκάφος οὐ βυθὸς εἷλε, (πόθεν βυθός; οὐ γὰρ ἔπλωσεν)
Οὐδὲ νότος· περὶ νότου δ' ὤλετο καὶ πελάγους.
Ἤδη γάρ μιν ἅπασαν ἐπὶ ζυγὰ γομφωθεῖσαν
Ἤλειφον πεύκης τῇ λιπαρῇ νοτίδι·
Πίσσα δ' ὑπερβρασθεῖσα πυρὸς φλογί, τὴν ἁλὶ πιστὴν
Τῶν χομένων, γαίῃ δεῖξεν ἀπιστοτέρην.

Bianoris. 3.

Nauiculam non profundum rapuit, (vnde profundum; si non nauigauit?)

Neque notus: ante notum enim periit & pelagus.
Iam enim ipſam omnem ad tranſtra clauis compactam
Inunxerunt picis pingui humiditate:
Pix verò ſupra modũ efferueſcens ignis flamma, in mari fidelẽ
Fabricatam, terræ demonſtrauit infideliorem.

ΑΝΤΙΠΑΤΡΟΥ Θεσσαλοῦ.

Εἶχε Φίλων λέμβον σωτείριχον, ἀλλ' ἐν ἐκείνῳ
Σωθῆν' οὐδὲ Ζεὺς αὐτὸς ἴσως δύναται.
Θοὔνομα γὰρ μόνον ἦν σωτείριχος· οἱ δ' ἐπιβαῖται,
Ἔπλεον ἢ παρὰ γῆν, ἢ παρὰ Περσεφόνην.

ANTIPATRI Theſſali. 4.

Habuit Philon lembum ſalutarem, ſed in ipſo
Saluari neque Iupiter ipſe fortè poſſet.
Nomen enim ſolum erat ſalutaris. Vectores verò,
Natarunt aut ad terram, aut ad Proſerpinam.

ΛΟΥΚΙΛΛΙΟΥ.

Ἐκ ποίων ἔταμες Διονύσιε τὰ, ξύλα ταῦτα
Λατομιῶν; ποίου δὲ σκάφος ἐστὶ μύλου;
Εἰ γὰρ ἐγώ τι νοῶ, μολίβου γένος, οὐ δρυός ἐστιν,
Οὐδ' ἐλάτης· μικροῦ ῥιζοβολεῖ τὰ κάτω.
Καὶ τυχὸν, ἐξαπίνης ἔσεται λίθος. εἶτα δὲ χεῖρον,
Γράψει μ' ὡς Νιόβην δρᾶμα σαπρὸν Μελίτων.

LVCILLII. 5.

Ex quibus excidiſti Dionyſi, hæc ligna
Lapicidinis? ex qualibus hæc nauis eſt molaribus lapidibus?
Si enim ego quid intelligo, plumbi genus, non querci eſt,
Neque abietis, parum abeſt quin infimæ partes radices egerint.
Et fortè ſtatim erit lapis. Deinde quod peius,
Scribet me tãquam Nioben Tragœdiam auſteram Meliton.

ΕΙΣ ΠΟΛΥΤΕΧΝΕΙΣ, κεφ. μβ.

ΠΑΛΛΑΔΑ.

Τέκνον ἀναιδείης, ἀμαθέστατε, θρέμμα μορίης,

Εἰπέ τι βρειθόῃ, μηδὲν ἐπιστάμενος·
Ἐν μὲν γραμματικοῖς, ὁ Πλατωνικός· αἲ δὲ Πλάτωνος
Δόγματά τις ζητῇ, γραμματικὸς σὺ πάλιν.
Ἐξ ἑτέρου φεύγεις ἐπὶ θάτερον· οὔτε δὲ τέχνην
Οἶσθα γραμματικὴν, οὔτε Πλατωνικὸς εἶ.
Πάντα μὲν οἶδα λέγεις, ἀτελὴς δ᾽ ἐν πᾶσιν ὑπάρχεις·
Γευόμενος πάντων, οὐδὲν ἔχεις ἴδιον.

IN ARTIFICES, Cap. XLII.

PALLADÆ. I.

Fili impudentiæ, indoctiſſime, fili ſtultitiæ,
Dic quid ſuperbis, cùm nihil ſcias?
Inter quidem Grammaticos tu Platonicus. Si verò Platonis
Dogmata quis quærat, Grammaticus tu rurſus.
Ab altero fugis ad alterum. Neque verò artem
Noſti Grammaticam, neque Platonicus es.
Omnia quidem noui, dicis. Imperfectus verò in omnibus es,
Guſtans omnes nihil habes proprium.

ΕΙΣ ΓΟΝΗΡΟΥΣ, κεφ. μγ.

ΑΜΜΙΑΝΟΥ.

Εἴη σοι κατὰ γῆς κούφη κόνις οἰκτρὲ Νέαρχε,
Ὄφρα σε ῥηϊδίως ἐξερύσωσι κύνες.

IN MALOS, Cap. XLIII.

AMMIANI. I.

Sit tibi terra cinis leuis, miſerande Nearche,
Vt te faciliùs eruant canes.

Τοῦ αὐτοῦ.

Θᾶττον ποιήσει μέλι κάνθαρος, ἢ γάλα κώνωψ,
Ἢ σύ τι ποιήσεις, σκορπίος ὢν, ἀγαθόν.

Οὔτι γὰρ αὐτὸς ἑκὼν τι ποιεῖς, οὔτ' ἄλλον ἀφίης,
  Ὡς ἀστὴρ κρονικὸς πᾶσιν ἀπεχθόμενος.

Eiusdem. 2.

Citius faciet mel scarabeus, aut lac musca,
  Quàm tu quid facias, scorpius existens, boni.
Neque enim ipse sponte quid facis, neque alium permittis,
  Tanquam stella Saturnia omnibus irata.

Τοῦ αὐτοῦ.

Μητέρα τὶς, πατέρ' ἄλλος ἀπέκτεινεν, ἄλλος ἀδελφόν·
  Πολλιανὸς τοὺς τρεῖς, πρῶτος ἀπ' Οἰδίποδος.

Eiusdem. 3.

Matrem quis, patrem alius interfecit, alius fratrem:
  Pollianus hos tres primus post Oedipodem.

Τοῦ αὐτοῦ.

Ὀψέ ποθ' ἡ ποδάγρα τὸν ἑαυτῆς ἄξιον εὗρεν,
  Ὃν ποδαγρᾶν πρὸ ἐτῶν ἄξιον ἦν ἑκατόν.

Eiusdem. 4.

Serò tandem podagra se dignum inuenit,
  Quem podagrâ laborare ante annos fas erat centum.

Τοῦ αὐτοῦ.

Μασταύρων ἀφελὼν δύο γράμματα Μάρκε τὰ πρῶτα,
  Ἄξιος εἶ πολλῶν τῶν ἀπολειπομένων.

Eiusdem. 5.

Mastauron ferens duas literas, Marce, priores,
  Dignus es multis illis, quæ relinquuntur.

Τοῦ αὐτοῦ.

Θηρίον εἶ παρὰ γράμμα, καὶ ἄνθρωπος διὰ γράμμα,
  Ἄξιος εἶ πολλῶν, ὧν παρὰ γράμμα γράφῃ.

Eiusdem. 6.

Fera es præter literam, & homo per literas,
  Dignus es multis quibus præter literam scriberis.

ΚΑΛΛΙΟΥ Ἀργείου.

Αἰεὶ θηρίον ἦσθα Πολύκριτε· νῦν δὲ πεπωκὼς,

Ἐξαπίνης ἐγένου λυσσώμενές τι κακόν.
Αἰεί μοι δοκέεις κακὸς ἔμμεναι. οἶνος ἐλέγχει
Τὸν τρόπον· οὐκ ἐγένου νῦν κακός, ἀλλ' ἐφάνης.

CALLII Argiui. 7.

Semper fera fuisti, Polycrite: iam verò cùm bibisti,
Statim factus es rabiosum aliquod malum.
Semper mihi videris malus esse. Vinum indicat
Mores. Non factus nunc es malus, sed apparuisti.

ΔΗΜΟΔΟΚΟΥ.

Καὶ τόδε Δημοδόκου, Χῖοι κακοί· οὐχ' ὁ μὲν, ὃς δ' οὔ,
Πάντες πλὴν Προκλέους· καὶ Προκλέης δὲ Χίος.

DEMODOCI. 8.

Et hoc est Demodoci: Chij mali: non hic quidem, ille verò nō,
Omnes præter Proclea. Et verò Procles est Chius.

Τοῦ αὐτοῦ.

Καππαδόκην ποτ' Ἔχιδνα κακὴ δάκεν· ἀλλὰ καὶ αὐτὴ
Κάτθανε γευσαμένη αἵματος ἰοβόλου.

Eiusdem. 9.

Cappadocem quondam Echidna mala momordit. Sed & ipsa
Mortua est gustans sanguinem venena iaculantem.

Τοῦ αὐτοῦ.

Καππαδόκαι, φαῦλοι μὲν ἀεί· ζώνης δὲ τυχόντες,
Φαυλότεροι· κέρδους δ' εἵνεκα, φαυλότατοι·
Ἢν δ' ἄρα δὶς καὶ τρὶς μεγάλης δράξωνται ἀπήνης,
Δὴ τότε γίγνονται φαυλεπιφαυλότατοι.
Μή, λίτομαι βασιλεῦ, μὴ τετράκις ὄφρα μὴ αὐτὸς
Κόσμος ὀλισθήσῃ καππαδοκιζόμενος.

Eiusdem. 10.

Cappadoces semper mali, cingulum verò nacti
Peiores: lucri verò gratia pessimi:
Cùm verò bis aut ter magnum prehenderint currum,
Tunc sanè euadunt mali ter & amplius.
Ne, supplex oro rex, ne quater dicam, ne ipse

Mundus corruat Cappadox redditus.

ΛΟΥΚΙΑΝΟΥ.

Εἰπέ μοι εἰρομένῳ Κυλλήνιε πῶς κατέδυνε
Λολλιανοῦ ψυχὴ δῶμα τὸ Φερσεφόνης.
Θαῦμα μὲν, εἰ σιγῶσα, τυχὸν δέ τι καὶ σὲ διδάσκειν
Ἤθελε· φεῦ, κείνου καὶ νέκυν ἀντιάσαι.

LVCIANI. 11.

Dic mihi interroganti Cyllenie, quomodo subiit
Lolliani anima domum Proserpinę?
Mirum sanè! si tacens: fortè verò quid & te docere
Voluit. Vah, ipsi & mortuum occurrere.

Ἀδέσποτον.

Δαμαγόραν, καὶ λοιμὸν, ἰσόψηφόν τις ἀκούσας,
Ἔστησ' ἀμφοτέρων τὸν τρόπον ἐκ κανόνος.
Εἰς δὲ μέρος δὴ καθείλκετ' αἰελκυσθὲν τὸ τάλαντον
Δαμαγόρου, λοιμὸν δ' εὗρεν ἐλαφρότερον.

Incerti. 12.

Demagoram & pestem eiusdem valoris, quis audiens,
Constituit vtriusque mores in librâ.
In latus verò trahebatur sursum tracta trutina,
Demagora verò pestem inuenit leuiorem.

ΑΝΤΙΟΧΟΥ.

Ψυχὴν μὲν γράψαι χαλεπὸν, μορφὴν δὲ χαράξαι,
Ῥᾴδιον· ἀλλ' ἐπὶ σοὶ τοὔμπαλιν ἀμφότερα.
Τῆς μὲν γὰρ ψυχῆς τὸ διάστροφον ἔξω ἄγουσα·
Ἐν τοῖς φαινομένοις ἡ φύσις εἰργάσατο·
Τὸν δ' ἐπὶ τῆς μορφῆς θόρυβον, καὶ σώματος ὕβριν,
Πῶς ἄν τις γράψῃ, μηδ' ἐσιδεῖν ἐθέλων;

ANTIOCHI. 13.

Animam quidem describere difficile. Formã verò deprimere
Facile: sed in te contra habent vtraque.
Animæ verò peruersitatem extrà ducens,
In apparentibus natura operatur.

Verùm in forma tumultum & corporis contumeliam,
 Quomodo quis describat, cùm ne quidem intueri velit?

Τοῦ αὐτοῦ.

Γαίης ἐκ Γαλατῶν μηδ' ἄνθεα· ἧς ἀπὸ κόλπων,
Ἀνθρώπων ὀλέτειραι Ἐριννύες ἐβλάστησαν.

Eiusdem. 14.

Terra ex Gallorum ne flores quidem: cuius è finibus,
 Hominum perditrices Erinnyes pullularunt.

ΕΙΣ ΠΟΡΔΗΝ, κεφ. μδ.

ΝΙΚΑΡΧΟΥ.

Πορδὴ ἀποκτείνει πολλοὺς ἀδιέξοδος οὖσα·
 Πορδὴ καὶ σώζει, τραυλὸν ἱεῖσα μέλος.
Οὐκοῦν εἰ σώζει καὶ ἀποκτείνει πάλι πορδή,
 Τοῖς βασιλεῦσιν ἴσην πορδὴ ἔχει δύναμιν.

IN CREPITVM, Cap. XLIIII.

NICARCHI. 1.

Crepitus occidit multos, cùm exire nequeat.
 Crepitus & seruat, blesum emittens cantum.
Quare si seruat & occidit rursus crepitus,
 Regibus æqualem crepitus habet vim.

ΕΙΣ ΠΑΡΟΡΙΣΤΑΣ, κεφ. με.

ΑΜΜΙΑΝΟΥ.

Κἂν μέχρις Ἡρακλέους στηλῶν ἔλθῃς προξίζων,
 Γῆς μέρος ἀνθρώποις πᾶσιν ἴσον σε μένει·
Κείσῃ δ' Ἴρῳ ὅμοιος, ἔχων ὀβολοῦ πλέον οὐδὲν,
 Εἰς τὴν οὐκ ἔτι σὴν γαῖαν ἀλυόμενος.

IN TERMINORVM TRANSGRESsores, Cap. XLV.

AMMIANI. I.

Licet ad Herculis columnas veneris, finem extendens,
Terræ pars hominibus omnibus æqualis te manet:
Iacebis verò Iro similis, habens nihil præter obolum,
In terram non amplius tuam resolutus.

ΕΙΣ ΡΗΤΟΡΑΣ, κεφ. μϛ.

ΛΟΥΚΙΛΛΙΟΥ.

Χοιρίδιον καὶ βοῦν ἀπολώλεκα, καὶ μίαν αἶγα,
Ὧν χάριν εἴληφας μισθάριον Μενέκλεις.
Οὔτε δέ μοι κοινόν τι πρὸς Ὀθρυάδην γεγένηται,
Οὔτ' ἀπάγω κλέπτας τοὺς ἀπὸ Θερμοπυλῶν·
Ἀλλὰ πρὸς Εὐτυχίδην ἔχομεν κρίσιν· ὥστε τί ποιεῖ
Ἐνθάδε μοι Ξέρξης καὶ Λακεδαιμόνιοι;
Πλὴν κἀμοῦ μνήσθητι νόμου χάριν, ἢ μέγα κράξω,
Ἄλλα λέγει Μενεκλῆς, ἄλλα τὸ χοιρίδιον.

IN RHETORAS, Cap. XLVI.

LVCILLII. I.

Porcellum & bouem perdidi, & vnam capram,
Quorum gratiâ accepisti mercedem Menecles.
Neque mihi commune aliquid cum Othryade fuit,
Neque abduco fures à Thermopylis:
Sed cõtra Eutychiden habemus caussam: Atq; adeò quid facit
Hic mihi Xerxes & Lacedæmonii?
Quin tu mei memento legis gratià, aut magnum clamabo,
Aliud dicit Menecles, aliud porcellus.

Τοῦ αὐτοῦ.

Οὐ δέχεται Μάρκον τὸν ῥήτορα νεκρὸν ὁ Πλούτων,

Εἰπών, ἀρκείτω Κέρβερος ὧδε κύων.
Εἰ δ' ἐθέλεις πάντως, Ἰξίονι, καὶ Μελίτωνι
Τῷ μελοποιητῇ, καὶ Τιτυῷ μελέτω.
Οὐδὲν γὰρ σου χεῖρον ἔχω κακὸν, ἄχρις ἂν ἐλθὼν
Ὧδε σολοικίζῃ Ροῦφος ὁ γραμματικός.

Eiuſdem. 2.

Non recipit Marcum rhetora mortuum Pluto,
Dicens ſufficiat Cerberus hîc canis.
Si verò velis omnino, Ixioni & Melitoni
Poëtæ, & Tityo hic curæ ſit.
Nullum enim te peius habeo malum, quoad veniens
Hîc ſolœciſmum agat Ruffus Grammaticus.

ΚΕΡΕΑΛΙΟΥ.

Οὐ τὸ λέγειν παράσημα, καὶ Ἀττικὰ ῥήματα πέντε,
Εὐζήλως ἐστὶν καὶ φρονίμως μελετᾶν.
Οὐδὲ γὰρ εἰ κάρχαιρε, καὶ εἰ κοναβεῖ, τὸ, τε σίζει,
Καὶ κελάρυζε, λέγεις, εὐθὺς Ὅμηρος ἔσῃ.
Νοῦν ὑποκεῖσθαι δεῖ τοῖς γράμμασι, καὶ φράσιν αὐτῶν
Εἶναι κοινοτέραν, ὥστε νοεῖν ἃ λέγεις.

Cerealii. 3.

Non dicere prodigioſa, & Attica verba quinque,
Bene imitari eſt & ſapienter perorare.
Neque enim ſi ſonat, & ſtrepit, & ſtridet,
Et reſonat, dicis, ſtatim Homerus eris.
Mentem ſubeſſe oportet litteris, & phraſin illorum
Eſſe communiorem, vt intelligamus quæ dicas.

Ἄδηλον.

Εἰκὼν ἡ Σέξτου μελετᾷ, Σέξτος δὲ σιωπᾷ.
Ρήτωρ τῶν εἰκὼν· ὁ δὲ ῥήτωρ, εἰκόνος εἰκών.

Incerti. 4.

Imago Sexti meditatur. Sextus verò tacet.
Rhetor erat imago: rhetor verò, imaginis imago.

ΑΕΒΙΑΝΟΥ.

Ἑπτὰ σολοικισμοὺς Φλάκκῳ τῷ ῥήτορι δῶρον
    Πέμψας, ἀντέλαβον πέντε διακοσίους.
Καὶ νῦν μὲν φησὶν τούτους ἀριθμῷ σοι ἔπεμψα,
    Τοῦ λοιποῦ δὲ μέτρῳ, πρὸς Κύπρον ἐρχόμενος.

ABBIANI. 5.

Septem ſolœciſmos Flacco rhetori munus
    Mittens, recepi quinque ducentos.
Et nunc quidem dicit, hos numero tibi miſi,
    Impoſterum verò menſurâ, ad Cyprum vbi venero.

Τοῦ αὐτοῦ.

Ῥήτωρ ἐξαπίνης Ἀσιανικός· οὐδὲν ἄπιστον·
    Καὶ τοῦτ' ἐν Θήβαις νῦν γέγονεν τὸ τέρας.

Eiuſdem. 6.

Rhetor ſubitò Aſiaticus: hoc non incredibile:
    Et hoc etiam in Thebis iam factum eſt prodigium.

ΛΟΥΚΙΛΛΙΟΥ.

Μηδὲ λαλῶν πρώην ἐσολοίκισε Φλάκκος ὁ ῥήτωρ.
    Καὶ μέλλων χαίνειν, εὐθὺς ἐβαρβάρισε,
Καὶ τῇ χειρὶ τὰ λοιπὰ σολοικίζει διανεύων.
    Κἀγὼ δ' αὐτὸν ἰδών, τὸ στόμα μου δέδεται.

LVCILLII. 7.

Neque dicens nuper Solœciſmum fecit Flaccus rhetor.
    Etiam cùm vult hiare ſtatim barbarus eſt.
Et manu præterea ſolœciſmum facit innuens.
    Et ego ipſum intuitus, os mihi ligatur.

ΑΜΜΙΑΝΟΥ.

Ἀρκαδικὸν πῖλον κατ' ἐνύπνιον Ἀρκάδι δῶρον
    Ἑρμείῃ ῥήτωρ θῆκεν Ἀθηναγόρας.
Εἰ μὲν καὶ ῥήτωρ κατ' ἐνύπνιον, οἶσθα μὲν Ἑρμῆ,
    Εἰ δ' ὕπαρ, ἀρκείτω, θῆκεν Ἀθηναγόρας.

AMMIANI. 8

Arcadicum pileum in ſomniis Arcadi donum

Εἰπὼν, ἀρκείτω Κέρβερος ὧδε κύων.
Εἰ δ' ἐθέλεις πάντως, Ἰξίονι, καὶ Μελίτωνι
Τῷ μελοποιητῇ, καὶ Τιτυῷ μελέτω.
Οὐδὲν γὰρ σοῦ χεῖρον ἔχω κακὸν, ἄχρις ἂν ἐλθὼν
Ὧδε σολοικίζῃ Ροῦφος ὁ γραμματικός.

Eiuſdem. 2.

Non recipit Marcum rhetora mortuum Pluto,
Dicens ſufficiat Cerberus hîc canis.
Si verò velis omnino, Ixioni & Melitoni
Poëtæ, & Tityo hic curæ ſit.
Nullum enim te peius habeo malum, quoad veniens
Hìc ſolœciſmum agat Ruffus Grammaticus.

ΚΕΡΕΑΛΙΟΥ.

Οὐ τὸ λέγειν παράσημα καὶ Ἀττικὰ ῥήματα πέντε,
Εὐζήλως ἐστὶν καὶ φρενίμως μελετᾶν.
Οὐδὲ γὰρ εἰ κάρχαιρε, καὶ εἰ κοναβεῖ, τό, τε σίζει,
Καὶ κελάρυζε, λέγεις, εὐθὺς Ὅμηρος ἔσῃ.
Νοῦν ὑποκεῖσθαι δεῖ τοῖς γράμμασι, καὶ φράσιν αὐτῶν
Εἶναι κοινοτέραν, ὥστε νοεῖν ἃ λέγεις.

Cerealii. 3.

Non dicere prodigioſa, & Attica verba quinque,
Bene imitari eſt & ſapienter perorare.
Neque enim ſi ſonat, & ſtrepit, & ſtridet,
Et reſonat, dicis, ſtatim Homerus eris.
Mentem ſubeſſe oportet litteris, & phraſin illorum
Eſſe communiorem, vt intelligamus quæ dicas.

Ἀδήλου.

Εἰκὼν ἡ Σέξτου μελετᾷ, Σέξτος δὲ σιωπᾷ.
Ῥήτωρ ἦν εἰκών· ὁ δὲ ῥήτωρ, εἰκόνος εἰκών.

Incerti. 4.

Imago Sexti meditatur. Sextus verò tacet.
Rhetor erat imago: rhetor verò, imaginis imago.

ΑΕΒΙΑΝΟΥ.

Ἑπτὰ σολοικισμοὺς Φλάκκῳ τῷ ῥήτορι δῶρον
  Πέμψας, ἀντέλαβον πέντε διακοσίους.
Καὶ νῦν μὲν φησι τούτους ἀριθμῷ σοι ἔπεμψα,
  Τοῦ λοιποῦ δὲ μέτρῳ, πρὸς Κύπρον ἐρχόμενος.

ABBIANI. 5.

Septem solœcismos Flacco rhetori munus
  Mittens, recepi quinque ducentos.
Et nunc quidem dicit, hos numero tibi misi,
  Imposterum verò mensurâ, ad Cyprum vbi venero.

Τοῦ αὐτοῦ.

Ῥήτωρ ἐξαπίνης Ἀσιαδικός· οὐδὲν ἄπιστον·
  Καὶ τοῦτ' ἐν Θήβαις νῦν γέγονεν τὸ τέρας.

Eiusdem. 6.

Rhetor subitò Asiaticus: hoc non incredibile:
  Et hoc etiam in Thebis iam factum est prodigium.

ΛΟΥΚΙΛΛΙΟΥ.

Μηδὲ λαλῶν πρώην ἐσολοίκισε Φλάκκος ὁ ῥήτωρ.
  Καὶ μέλλων χαίνειν, εὐθὺς ἐβαρβάρισε,
Καὶ τῇ χειρὶ τὰ λοιπὰ σολοικίζει διανεύων.
  Κἀγὼ δ' αὐτὸν ἰδὼν, τὸ στόμα μου δέδεται.

LVCILLII. 7.

Neque dicens nuper Solœcismum fecit Flaccus rhetor.
  Etiam cùm vult hiare statim barbarus est.
Et manu prӕterea solœcismum facit innuens.
  Et ego ipsum intuitus, os mihi ligatur.

ΑΜΜΙΑΝΟΥ.

Ἀρκαδικὸν πῖλον κατ' ἐνύπνιον Ἀρκάδι δῶρον
  Ἑρμείῃ ῥήτωρ θῆκεν Ἀθηναγόρας.
Εἰ μὲν καὶ ῥήτωρ κατ' ἐνύπνιον, οἶσθα μὲν Ἑρμῆ,
  Εἰ δ' ὕπαρ, ἀρκείτω, θῆκεν Ἀθηναγόρας.

AMMIANI. 8

Arcadicum pileum in somniis Arcadi donum

Mercurio rhetor dedit Athenagoras.
Si quidem etiã rhetor in ſomniis, concedamus Mercurio datũ:
Si verò vigilans ſufficiat: dedit Athenagoras.

Τοῦ αὐτοῦ.

Εἰ βούλει τὸν παῖδα διδάξαι ῥήτορα Παῦλε,
Ὡς οὗτοι πάντες γράμματα μὴ μαθέτω.

Eiuſdem. 9.

Si volueris puerum docere Rhetora, Paulle,
Vt hi omnes, litteras non diſcat.

Τοῦ αὐτοῦ.

Ῥήτορα Μαῦρον ἰδὼν, ἀπεθαύμασα, τὸν βαρύχειλον,
Τέχνης ῥητορικῆς δαίμονα λευκοφόρον.

Eiuſdem. 10.

Rhetora Maurum videns, demiratus ſum labiis grauem,
Artis Rhetoricæ dæmona candidatum.

Τοῦ αὐτοῦ.

Αὐτὸν ὁρῶ σε Μέδων τὸν ῥήτορα· φεῦ, τί τὸ θαῦμα.
Στολισάμενος σιγᾷς; οὐδὲν ὁμοιότερον.

Eiuſdem. 11.

Ipſum video te, Medon, rhetora: Vah! quid hoc mirum:
Ornatus taces? Nihil ſimilius *miraculo*.

Τοῦ αὐτοῦ.

Ῥήτορος ἅδ' εἰκών· ὁ δὲ ῥήτωρ, ῥήτορος εἰκών.
Καὶ πῶς; οὐ λαλέει. οὐδὲν ὁμοιότερον.

Eiuſdem. 12.

Rhetoris hæc facies, rhetor verò, rhetoris imago.
Et quomodo? Non loquitur. Nihil ſimilius.

Τοῦ αὐτοῦ.

Πολλοῦ δεῖ, καὶ σφὶν, καὶ τρεῖς περὶ ἕκαστα, δικασταὶ
Ἄνδρες· καὶ, λέγε δὴ τὸν νόμον ἐνθάδε μοι,
Καὶ ζωτὶ, καὶ μὴν, καὶ τετταράκοντα, καὶ ἄλλα,
Σκεψάμενος· καί πη νὴ Δία, καὶ μὰ Δία,
Ῥήτωρ ἐστὶ Κρίτων, καὶ παιδία πολλὰ διδάσκει.

Γερᾳθήσ(?) δ᾽ αὖθις γρῦ, φάθι, καὶ μὶν ἔτι.

Eiuſdem. 13.

Multum abeſt, & ipſis, & ter in ſingulis, & iudices
Viri, & dic ſanè legem hîc mihi.
Et hæc, & nûm, & quadraginta, & aliquis
Inquirens, ita per Iouem, & non per Iouem,
Rhetor eſt Criton, & pueros multos docet.
Adpone verò illis gry, dixit, & ipſum adhuc.

Τοῦ αὐτοῦ.

Νήπιε, πῶς σε λέληθε δίκης ζυγός, οὐ νοέεις δὲ
Ανδράσιν οὐχ ὁσίοις ψῆφον ὀφειλομένην;
Ρήτρη τις δ᾽ ἐΐσ πυκινόφρονι, σῇ τε μενοινῇ,
Ποικίλον αὐδῆσαι μῦθον ἐπισταμένη;
Ελπίζειν δ᾽ ἔξεστι· θέμιν δ᾽ οὐκ οἶδεν ἀμεῖψαι
Τῆς σῆς κλεψιμαχικῆς παίγνια φαντασίης.

Eiuſdem. 14.

Stulte, quomodo te latuit iuſtitiæ lanx, non ſentis verò
Viris non ſanctis pœnam deberi?
Rhetoricæ credis verſutæ, & tuæ ſententiæ,
Quæ varium loqui ſermonem nouit?
Sperare autem tibi nefas. Iuſtitiam enim non poſſunt flectere
Tuæ furtiuæ ludibria phantaſiæ.

Τοῦ αὐτοῦ.

Ρήτορα τρεῖς Διόδωρον ἀνὴρ δείλαιος ἀπελθών,
Ηρετό μιν ζώης ἀμφὶ δικασπολίης.
Ημετέρη θεράπαινα φύγεν ποτέ· τὴν δέ τις εὑρών,
Αλλοτρείην τ᾽ εἶναι λάτριν ἐπιστάμενος,
Ζεῦξεν ἑῷ θεράποντι· τέκεν δ᾽ ἀπὸ παῖδας ἐκείνῳ.
Καὶ τίνι δουλεύειν εἰσὶ δικαιότεροι;
Ος δ᾽ ὅτι μερμήριξε, καὶ ἔδρακε βίβλον ἑκάστην,
Εἶπεν ἐπιστρέψας γυρὸν ἐπισκύνιον,
Η σοί, ἢ τῷ ἑλόντι τὴν θεράπαιναν ἀνάγκη

Δουλεύειν κείνοις ὧν χάριν ἐξερέεις.
Δίζεο δ' εὐθυνέοντα δικασπόλον· αἶψα δ' ἀποίσῃ
Ψῆφον ἀρειοτέρην, εἴγε δίκαια λέγοις.

Eiusdem. 15.

Rhetorem ad Diodorum vir miser accedens,
Quærebat ex ipso de hoc iure:
Nostra ancilla fugit aliquando. Illam verò quis inueniens,
Et alienam esse ancillam sciens,
Nuptum dedit suo seruo, genuit verò liberos illi.
At verò cui hos seruire est iustius?
Hic verò cũ sollicitè cogitasset, & intuitus esset libros singulos,
Dixit conuertens rotundum supercilium,
Aut tibi, aut rapienti tuam ancillam, necesse est
Inseruire illos quorum gratia interrogasti.
Quære verò mitiorem iudicem. Statim enim auferes
Suffragium melius, siquidem iusta dicas.

Τοῦ αὐτοῦ.

Θαυμάζειν μοι ἔπεισιν ὅπως Βύτος ἐστὶ σοφιστής,
Μήτε λόγον κοινόν, μήτε λογισμὸν ἔχων.

Eiusdem. 16.

Demiratio me subit, quomodo Bytus sit Sophista,
Neque communem sensum, neque rationem habens.

Τοῦ αὐτοῦ.

Θᾶττον ἔην λευκοὺς κόρακας, πτηνάς τε χελώνας
Εὑρεῖν, ἢ δόκιμον ῥήτορα Καππαδόκην.

Eiusdem. 17.

Facilius esset albos coruos, & volucres testudines
Inuenire, quàm iustum rhetora Cappadocem.

ΣΥΜΠΟΤΙΚΑ ΑΣΤΕΙΣΜΑΤΑ,

κεφ. μζ΄

Ἀδέσποτον.

Ἤθελον ἂν πλουτεῖν ὡς πλούσιος ἦν ποτε Κροῖσος,

Καὶ βασιλεὺς εἶναι τῆς μεγάλης Ἀσίης·
Ἀλλ' ὅταν ἐμβλέψω Νικάνορα τὸν σοροπηγόν,
Καὶ γνῶ πρὸς τί ποιεῖ ταῦτα τὰ γλωσσόκομα,
Ἀκτὴν που πάσσας, καὶ ταῖς κοτύλαις ἀποβρέξας,
Τὴν Ἀσίαν πωλῶ πρὸς μύρα καὶ στεφάνους.

CONVIVALES CIVILITATES, Cap. XLVII.

Incerti. 1.

Vellem diues esse, vt diues fuit olim Crœsus,
Et rex esse magnæ Asiæ:
Sed quando intueor Nicanora vespillonem,
Et cognosco quare faciat hosce loculos,
Littus floribus conspergens, & cotylis irrigatus,
Asiam venderem ob vnguenta & rosas.

ΝΙΚΑΡΧΟΥ.

Οὐδεὶς τὴν ἰδίην συνεχῶς Χαρίδημε γυναῖκα
Αἰνεῖν ἐκ ψυχῆς τερπόμενος δύναται·
Οὕτως ἡ φύσις ἐστὶ φιλόκνισος, ἀλλότριος χρώς·
Καὶ ζητεῖ δι' ὅλου τὴν ξενοκυσταπάτην.

NICARCHI. 2.

Nemo propriam continuò, Charideme, vxorem
Laudare ex animo gaudens potest.
Sic natura est pruritus amans, alienum corpus:
Et quærit omnino concubitum cum vxore alienâ.

Ἀδέσποτον.

Μὴ μύρα, μὴ στεφάνους λιθίναις στήλαισι χαρίζου,
Μηδὲ τὸ πῦρ φλέξῃς· εἰς κενὸν ἡ δαπάνη.
Ζῶντί μοι εἴτι θέλεις, χάρισαι· τέφρην δὲ μεθύσκων,
Πηλὸν ποιήσεις, κοὐχ ὁ θανὼν πίεται.

Incerti. 3.

Non vnguentum, non coronas lapideis columnis exhibe,

Neque ignem comburas. Vana est hæç impensa.
Viuenti mihi, si quid voles exhibe Cinerem verò inebrians
Lutum facies, & non mortuus honoratur.

ΛΕΩΝΙΔΟΥ.

Μὴ πάλι μοι μετὰ δόρπον, ὅτ' οὐκ ἐπὶ γαστέρα πείθω,
Οὔθατα, καὶ χοίρων αὐτίκα τίθει τεμάχη.
Οὐδὲ γὰρ ἐργοπόνοισι μετὰ στάχυν ὄμβρος ἄκαιρος
Χρήσιμος, οὐ ναύταις ἐν λιμένι Ζέφυρος.

LEONIDÆ. 4.

Non rursum mihi post cœnam, vbi nõ amplius vẽtri obtẽpero,
Sumina, & porcorum mox appone frusta.
Neque enim rusticis post messem imber intempestiuus
Vtilis, non nautis iam in portu Zephyrus.

ΑΛΚΑΙΟΥ.

Πίομαι ὦ Λυαῖε πολὺ πλέον ἢ πίε Κύκλωψ,
Νηδὺν ἀνδρομέων πλησάμενος κρεάων.
Πίομαι· ὡς ὄφελόν γε καὶ ἐγκέφαλον ἐχθροῦ ἀράξας,
Βρέγμα Φιλιππείης ἐξέπιον κεφαλῆς.
Ὃς τῶν ἑταιρείοιο παρὰ κρητῆρι φόνοιο
Γεύσατ', ἐν ἀκρήτῳ φάρμακα χευάμενος.

ALCÆI. 5.

Bibo, ô Bacche, longè plus, quàm bibit Cyclops,
Ventrem humanis plenum habens carnibus.
Bibo: ô vtinam etiam cerebrum hostis allidens,
Cerebrum Philippei ebibissem capitis.
Qui socialem apud poculum cædem
Gustauit, mero venenum infundens.

ΑΒΒΙΑΝΟΥ.

Ἐχθὲς ἐπὶ ξενίαν κληθείς, ὅτε καιρὸς ἔπην μοι,
Τύλην ἐπικλινθῆν Γοργόνος ἢ Νιόβης.
Ἣν οὐδεὶς αὐτοῦ ὕφηνεν, ἀπεπόρισε δ', ἢ πελεκήσαι,
Ἐκ τῶν λατομικῶν ἤγαγεν εἰς τὰ Γέρκλυ.

Ἐξῆς

Ἐξ οὗ εἰ μὴ θᾶττον ἐπηγέρθην, Πρόκλος ἄν μοι
   Τὴν τύλην στήλην ἢ σορὸν εἰργάσατο.

ABBIANI. 6.

Heri ad conuiuium vocatus, cùm tempus somnij mihi,
   Culcitræ incubui Gorgonis aut Niobes.
Quam nemo texuit, sed dissecuit, vel securi secans
   E lapicidinis duxit in Procli *domum:*
E quâ nisi citius fuissem excitatus, Proclus mihi
   Culcitram lapidem sepulcralem aut loculum fecisset.

ΣΤΡΑΤΩΝΟΣ.

Καὶ πίνε καὶ τέρπου Δημόκρατες· οὐ γὰρ ἐς αἰεὶ
   Πιόμεθ', οὐδ' αἰεὶ τέρψιος ἑξόμεθα.
Καὶ στεφάνοις κεφαλὰς πυκασώμεθα, καὶ μυρίσωμεν
   Αὐτοὺς, πρὶν τύμβοις ταῦτα φέρειν ἑτέρους.
Νῦν ἐν ἐμοὶ πινέτω μέθυ τὸ πλέον ὀστέα τἀμά,
   Νεκρὰ δὲ Δευκαλίων αὐτὰ κατακλυσάτω.

STRATONIS. 7.

Et bibe, & gaude Democrates. non enim semper
   Bibimus, neque semper lætitiam habebimus.
Et coronis capita condensemus, aut inungamus
   Ipsas, prius *quàm* hæc in sepulcris ferant alij.
Nunc in me bibant vinum copiosum ossa mea,
   Mortua verò Deucalion ipsa obruat.

ΑΝΤΙΠΑΤΡΟΥ Θεσσαλοῦ.

Φεύγεθ' ὅσοι λόκκας, ἢ λοφνίδας, ἢ καμιτήνας
   Ἄδετε, ποιητῶν φῦλον ἀκανθολόγων·
Οἵ τ' ἐπέων κόσμον λελιγυσμένον ἀσκήσαντες,
   Κρήνης ἐξ ἱερῆς πίνετε λιτὸν ὕδωρ,
Σήμερον Ἀρχιλόχοιο καὶ ἄρσενος ἦμαρ Ὁμήρου
   Σπένδομεν· ὁ κρητὴρ οὐ δέχεθ' ὑδροπότας.

ANTIPATRI Thessali. 8.

Fugite quicunque caluas, aut vetulas, aut deformes,
   Canitis, Poëtarum genus spinas legentium:

Quíque verborum ornamentum canorum exercentes,
Sacro ex fonte bibitis nudam aquam:
Hodie Archilochi, & viri diem *natalem* Homeri
Celebramus: crater non capit aquæ potores.

Τοῦ αὐτοῦ.

Ὦ Ἑλικὼν Βοιωτὲ, σὺ μέν ποτε πολλάκις ὕδωρ
Εὐεπὲς ἐκ πηγέων ἔβλυσας Ἡσιόδῳ·
Νῦν δ' ἡμῖν ἔθ' ὁ κοῦρος ὁμώνυμος Αὔσονα Βάκχον
Οἰνοχοεῖ κρήνης ἐξ ἀμεριμνοτέρης.
Βουλοίμην δ' ἂν ἔγωγε πιεῖν παρὰ τοῦδε κύπελλον
Ἓν μόνον, ἢ παρὰ σοῦ χίλια Πηγασίδος.

Eiusdem. 9.

O Helicon Bœote, tu quidem quondam sæpe aquam
Dulciloquam è fontibus effudisti Hesiodo:
Iam verò nobis adhuc adolescens cognominis Latinū vinum
Infundit è fonte hilariore.
Malo ego bibere ex hoc poculum
Vnum solum, quàm è te mille, Pegaseo.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ὑπνώεις ὦ 'ταῖρε, τὸ δὲ σκύφος αὐτὸ βοᾷ σε·
Ἔγρεο, μὴ τέρπου μοιριδίῃ μελέτῃ.
Μὴ φείσῃ Διόδωρε· λάβρος δ' ἐς Βάκχον ὀλισθὼν,
Ἄχρις ἐπὶ σφαλεροῦ ζωροπότει γόνατος.
Ἔσσεθ' ὅτ' οὐ πιόμεσθα πολὺς χρόνος· ἀλλά γ' ἐπείγου·
Ἡ πολιὴ κροτάφων ἅπτεται ἡμετέρων.

APOLLONIDÆ. 10.

Dormis sodalis, hoc verò poculum vocat te:
Euigila, noli delectari mortis meditatione.
Ne parcas, Diodore. vehemens in Bacchum incidens,
Vsque ad vacillans merum bibe genu.
Erit quando non bibemus multum tempus. Sed excitare:
Canities vertices tangit nostros.

ΑΡΓΕΝΤΑΡΙΟΥ.

Σάλλομαι ἀκρήτῳ μεμεθυσμένος· ἀλλὰ τίς ἄρα
Σώσει μ' ἐκ Βρομίου γυῖα σαλευόμενον;
Ὡς ἄδικον θεὸν εὗρον, ὅθ' οὕνεκεν αὐτὸς ἐγώ σε
Βάκχε φέρων, ὑπὸ σοῦ τοὔμπαλι περιφέρομαι.

ARGENTARII II.

Titubo mero inebriatus: sed quis sanè
Me seruabit, à vino membra titubantem?
Quàm iniustum Deum inuenere, quæ quâ caussâ ipse ego te
Bacche ferens, à te vicissim perperam moueor.

ΑΝΤΙΠΑΤΡΟΥ.

Οὔ μοι πληϊάδων φοβερὴ δύσις, οὐδὲ θαλάσσης
Ὠρυομένη στυφέλῳ κῦμα περὶ σκοπέλῳ,
Οὐδ' ὅταν ἀστράπτῃ μέγας οὐρανός· ὡς κακὸν ἄνδρα
Ταρβέω, καὶ μύθων μνήμονας ὑδροπότας.

ANTIPATRI. 12.

Non mihi adeò Pleiadum horribilis occasus, neque maris
Allisus periculoso fluctus scopulo,
Neque cùm fulminat magnum cœlum: velut malum virum
Formido, & fabularũ *conuiualium* recordatores aquæ potores.

ΟΝΕΣΤΟΥ.

Μούσης εὐθεσίην φιλοπαίγμονος εὕρετο Βάκχος,
Ὦ Σικυών, ἐν σοὶ κῶμον ἄγων Χαρίτων.
Δὴ γὰρ ἔλεγχον ἔχει γλυκερώτατον, ἔν τε γέλωτι
Κέντρον· χὼ μεθύων ἀστὸν ἐσωφρόνισεν·

ONESTI. 13.

Musæ institutionem iocorum inuenit Bacchus,
O Sicyon, in te comum *Deum* agens Gratiarum.
Sanè enim examen habet dulcissimum, & in risu
Aculeum, & ebrius alium ad modestiam retrahit.

ΦΙΛΙΠΠΟΥ.

Λάθριον ἑρπηστὴν σκολιὸν πόδα καί ποτε χορδεύσας,

Ἄγχις τὴν Βρομίου βοτρυόπαιδα χάριν.
Δεσμεῖς δ' οὐχ ἡμᾶς, ὀλέκεις δὲ σέ. τίς γὰρ ἕλοιτο
Κισσὸν ἐπὶ κροτάφοις, μὴ κεράσαι Βρόμιον;

PHILIPPI. 14.

Latentem, repentem, obliquum pedem, hedera saltans,
Implicas Bacchi vuas producentem gratiam.
Ligas verò non nos, perdis autem te. Quis enim cupiat
Hederam in capite, non miscens vinum?

ΟΝΕΣΤΟΥ.

Αὐτοτελὴς ἥδιστος ἀεὶ πότος· ὃς δ' ἐπ' ἀνάγκῃ,
Ὑβριστὴς οἴνῳ τ' ἐστὶ καὶ οἰνοπότῃ.
Τὸν μὲν γὰρ γαίῃ προχέει κρύφα· τὸν δ' ὑπὸ γαῖαν
Πολλάκι πρὸς λήθης ἤγαγε πικρὸν ὕδωρ.
Πυλομυθεῖς χαίρετε· τὸ δ' ὁππόσον ἡδὺ ποθῆναι
Μέτρον, ἐμοὶ πάσης ἄρκιον εὐφροσύνης.

ONESTI. 15.

Spontaneus suauissimus semper potus. Qui verò habet necessi-(tate,
Iniurius vino est, & vini potori.
Hoc enim in terrá profundit clanculum. Hūc verò sub terram
Sæpe ad Lethes duxit acerbam aquam.
Vos bibaces valete: Illa verò quantum mihi grata est bibere
Mensura, mihi ad omnem sufficit hilaritatem.

ΑΥΤΟΜΕΔΟΝΤΟΣ Κυζικηνοῦ.

Ἄνθρωποι, δείλης ὅτ' ἐπίνομεν· ἢν δὲ γένηται
Ὄρθρος, ἐπ' ἀλλήλοις θῆρες ἐγειρόμεθα.

AVTOMEDONTIS CYZICENI. 16.

Homines *videmur*, vesperi cùm bibimus. Sin verò fiat
Diluculum, in inuicem feræ exsurgimus.

ΑΝΑΚΡΕΟΝΤΟΣ.

Οὔ μοι μέλει Γύγαο
Τοῦ Σαρδίων ἄνακτος·
Οὔθ' αἱρεῖ με χρυσός,

Οὐδὲ φθονῶ τυράννοις.
Ἐμοὶ μέλει μύροισι
Καταβρέχειν ὑπήνην,
Ἐμοὶ μέλει ῥόδοισι
Καταστέφειν κάρηνα.
Τὸ σήμερον μέλει μοι,
Τὸ δ' αὔριον τίς οἶδε;

ANACREONTIS. 17.

Non mihi curæ Gyges
Sardium rex:
Neque capit me aurum,
Nec inuideo tyrannis.
Mihi curæ est vnguentis
Imbuere barbam,
Mihi curæ est rosis
Coronare caput.
Hodiernum mihi curæ est,
Crastinum verò quis nouit?

Τοῦ αὐτοῦ.

Τὸν ἄργυρον τορεύσας
Ἥφαιστέ μοι ποίησον,
Πανοπλίαν μὲν οὐχί·
(Τί γὰρ μάχαισι κἀμοί;)
Ποτήριον δὲ κοῖλον
Ὅσον δύνῃ βάθυνον.
Ποίει δέ μοι κατ' αὐτοῦ
Μηδ' ἄστρα, μηδ' ἁμάξας,
Μὴ στυγνὸν Ὠρίωνα·
Ἀλλ' ἀμπέλους χλοώσας,
Καὶ βότρυας γελῶντας,
Σὺν τῷ καλῷ Λυαίῳ.

Eiusdem. 18.

Argentum tornans
Vulcane mihi fac,
Panopliam quidem non:
(Quid enim mihi cum pugnis?)
Poculum verò cauum,
Quantum potes profundum.
Fac verò mihi in ipso
Neque stellas, neque currus,
Non horrendum Oriona,
Sed vites virentes,
Et vuas ridentes,
Cum pulchro Baccho.

ΠΑΛΛΑΔΑ.

Γηραλέον με γυναῖκες ἀποσκώπτουσι, λέγουσαι
Εἰς τὸ κάτοπτρον ὁρᾷν λείψανον ἡλικίης.
Ἀλλ᾽ ἐγὼ εἰ λευκὰς φορέω τρίχας, εἴτε μελαίνας,
Οὐκ ἀλέγω, βιότου πρὸς τέλος ἐρχόμενος.
Εὐόδμοις δὲ μύροισι καὶ εὐπετάλοις στεφάνοισι,
Καὶ Βρομίῳ παύω φροντίδας ἀργαλέας.

PALLADÆ. 19.

Senem me mulieres conuitiantur, dicentes
In speculo vt videam reliquum iuuentutis:
At ego siue albos geram capillos, siue nigros,
Non curo, vitæ ad finem veniens.
Fragrantibus verò vnguentis, & florentibus coronis,
Et Bromio sedo curas graues.

Τοῦ αὐτοῦ.

Δὸς πιέειν, ἵνα Βάκχος ἀποσκεδάσῃ μελεδώνας,
Ῥηγνυμένας καθαραῖς εὐϋάλοις φιάλαις.

Eiusdem. 20.

Da bibere, vt Bacchus discutiat curas,
Fractas puris vitreis poculis.

Ἀδήλου.

Πῖνε, καὶ εὐφραίνου. τί γὰρ αὔριον, ἢ τί τὸ μέλλον,
  Οὐδεὶς γινώσκει. μὴ τρέχε, μὴ κοπία.
Ὡς δύνασαι χάρισαι, μετάδος, φάγε, θνητὰ λογίζου.
  Τὸ ζῆν τοῦ μὴ ζῆν οὐδὲν ὅλως ἀπέχει.
Πᾶς ὁ βίος τοιόσδε. ῥοπὴν μόνον ἂν προλάβῃ τις·
  Ἂν δὲ θάνῃς ἑτέρου πάντα· σὺ δ' οὐδὲν ἔχεις.

Incerti. 21.

Bibe & delectare. Quid enim cras, quidue futurum,
  Nemo nouit. Non curre, ne labora.
Vt poteris gratificare, imperti, comede, mortalia ratiocinare.
  Viuere & non viuere nihil omnino interest.
Omnis vita talis, momentum vitæ solum si capiat quis:
  Si verò moriaris, alterius omnia. Tu verò nihil habes.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Γαστέρα μὲν σεσάλακτο γέρων εὐώδεϊ Βάκχῳ
  Οἰνοπίων, ἔμπης δ' οὐκ ἀπέθηκε δέπας·
Ἀλλ' ἔτι διψώων, ἰδίῃ κατεμέμφετο χειρὶ,
  Ὡς ἀπὸ κρητῆρος μηδὲν ἀφυσσαμένῃ.
Οἱ δὲ νέοι ῥέγχουσι, καὶ οὐ σθένος οὐδ' ἀπ' ἀριθμοῦ
  Τὰς κύλικας γνῶναι τὰς ἔτι πινομένας.
Πῖνε γέρον, καὶ ζῆθι· μάτην δ' ἄρα θεῖος Ὅμηρος
  Τείρεσθαι πολιὸν ἐκ νεότητος ἔφη.

AGATHIÆ Scholastici. 22.

Ventrem quidem impleuerat senex bene fragranti Baccho,
  Oenopion: sed tamen non deposuit poculum.
Sed adhuc sitiens propriam reprehendebat manum,
  Vt quæ è cratere nihil infunderet.
Iuuenes verò stertunt, & non valent præ numero
  Calices cognoscere, iam epotos.
Bibe senex, & viue: frustra sanè diuinus Homerus
  Vexari canitiem à iuuentute dixit.

ΜΑΚΕΔΟΝΙΟΥ.

Ἤθελον οὐ χρυσόν τε καὶ ἄστεα μυρία γαίης,
 Οὐδ᾽ ὅσα τὰς Θήβας εἶπεν Ὅμηρος ἔχειν,
Ἀλλ᾽ ἵνα μοι τροχόεσσα κύλιξ βλύσσειε Λυαίῳ,
 Χείλεος ἀενάῳ νάματι ναομένη,
Καὶ γεραρῶν συνέπινε φίλων χορός· οἱ δὲ περισσοὶ
 Ἀνέρες ἐργατίναι κάμνον ἐφ᾽ ἡμερίοισιν.
Οὗτος ἐμοὶ πολὺς ὄλβος, ἀεὶ φίλος· οὐδ᾽ ἀλεγίζω
 Τῶν χρυσέων ὑπάτων, πλὴν φιάλην κατέχων.

MACEDONII. 23.

Vellem non aurum, & vrbes mille terræ,
 Nec quantum Thebas dixit Homerus habere,
Sed vt mihi rotundus calix scaturiat Lyæo,
 Labiis perpetuo flumine ablutis,
Et venerandorum vnà bibat amicorum chorus. Reliqui verò
 Viri laboriosi laborent in vitibus domesticis.
Hæ mihi multæ diuitiæ, semper amicæ. Neque curo
 Aureos consules, phialam tenens.

Τοῦ αὐτοῦ.

Χανδοπόται, βασιλῆος ἀεθλητῆρες Ἰάκχου,
 Ἐργα κυπελλομάχου στήσομεν εἰλαπίνης,
Ἰκαρίου σπένδοντες ἀφειδέα δῶρα Λυαίου.
 Ἄλλοισιν μελέτω Τριπτολέμοιο γέρα,
Ἦχι βόες, καὶ ἄροτρα, καὶ ἱστοβοεὺς, καὶ ἐχέτλη,
 Καὶ στάχυς, ἁρπαμένης ἴχνια Φερσεφόνης.
Εἴ ποτε δ᾽ ἐς στομάτεσσι βάλω τινὰ βρῶσιν ἀνάγκῃ,
 Ἀσταφὶς οἰνοπότης ἄρκιος ἢ Βρομίου.

Eiusdem. 24.

Egregiè bibentes, regis certatores Bacchi,
 Opera cum poculis certantis constituamus conuiuij,
Icarij libantes non parcè dona Lyæi,
 Aliis curæ sint Triptolemi munera.

Vbi

Vbi boues, & aratra, & temo, & ſtiua,
Et ariſtæ raptæ veſtigia Proſerpinæ.
Si verò ori concedere aliquem cibum neceſſe eſt,
Vua vinibibis ſufficit Bromij.

ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Σπείσομεν οἰνοποτῆρες ἐρασιγέλωτι Λυαίῳ,
Ὤσομεν ἀνδροφόνον φροντίδα ταῖς φιάλαις.
Σιτοδόκῳ δ' ἄγραυλος ἀνὴρ βαρυμοχθος ἰάλλοι
Γαστρὶ μελαγχιμπέπλου μητέρα Φερσεφόνης.
Ταυροφόνων δ' ἀμέγαρτα καὶ αἱμαλέων κρέα δόρπων
Θηρσὶ καὶ οἰωνοῖς λείψομεν ὠμοβόροις.
Ὀστέα δ' αὖ νεπόδων ταμεσίχροα χείλεσι φωτῶν
Εἰξάτω οἷς ἀΐδης φίλτερος ἠελίου.
Ἡμῖν δ' ὀλβιόδωρον ἀεὶ μέθυ, καὶ βόσις ἔστω
Καὶ ποτόν· ἀμβροσίην δ' ἄλλος ἔχειν ἐθέλοι.

PAVLI SILENTIARII. 25.

Libabimus vini potores riſum excitanti Baccho,
Amouebimus viros occidentem curam poculis.
Cibum capienti verò ruſticus vir laborioſus tribuat
Ventri nigrum peplum trahentem matrem Proſerpinæ.
Tauros occidentium verò immenſa & cruentarum carnes cœnarum
Feris & volucribus relinquemus crudivoris.
Oſſa verò pedibus carentium corpus incidentia labiis virorum
Cedant, quibus infernus carior eſt Sole.
Nobis verò felicitatem dans ſemper vinum, & cibus ſit
Et potus: Ambroſiam verò alius habere cupiat.

ΜΑΚΕΔΟΝΙΟΥ Ὑπάτου.

Χθιζὸν ἐμοὶ νοσέοντι παρίστατο δήιος ἀνὴρ
Ἰητρὸς, δεπάων νέκταρ ἀπειπάμενος·
Εἶπε δ' ὕδωρ πίνειν ἀνεμώλιος· οὐδ' ἐδιδάχθη
Ὅτι μένος μερόπων οἶνον Ὅμηρος ἔφη.

MACEDONIS Principis. 26.

Heri mihi ægrotanti aſtabat inimicus vir

Medicus, poculorum nectar mihi interdicens.
Dixit verò vt aquam biberem, ignarus: neque didicerat,
Quòd robur hominum vinum Homerus dixit.

ΠΑΛΛΑΔΑ.

Πᾶσι θανεῖν μερόπεσσιν ὀφείλεται, οὐδέ τίς ἐστιν
Αὔριον εἰ ζήσει, θνητὸς ἐπιστάμενος.
Τοῦτο σαφῶς ἄνθρωπε μαθὼν, εὔφραινε σεαυτὸν,
Λήθην τοῦ θανάτου τὸν Βρόμιον κατέχων.
Τέρπεο, καὶ σκίρτα, τὸν ἐφημέριον βίον ἕλκων·
Τἄλλα δὲ πάντα τύχῃ πράγματα δὸς διέπειν.

PALLADÆ. 27.

Omnes mori homines oportet, neque enim est
Cras an viuat, mortalis sciens.
Hoc benè homo cùm didiceris, oblectare teipsum,
Obliuionem mortis Bromium tenens.
Delectare, & salta, hodiernam vitam trahens:
Reliqua verò omnia fortunæ opera committe regenda.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Ανέρες οἷσι μέμηλεν ἀπήμονος ὄργια Βάκχου,
Ελπίσιν ἡμερίδων ῥίψατε τὴν πενίην.
Αὐτὰρ ἐμοὶ κρητὴρ μὲν ἔοι δέπας. ἄγχι δὲ, ληνὸς,
Αγχι πίθος, λιπαρῆς ἔνδιον εὐφροσύνης.
Αὐτίκα δ' ἡμετέροιο πιὼν κρητῆρα Λυαίου,
Παισὶ χαναστραίοις μάρνασθαι ἐθέλω.
Οὐ τρομέω θάλασσαν ἀμείλιχον, οὐδὲ κεραυνοὺς,
Πιστὸν ἀταρβήτου θάρσος ἔχων Βρομίου.

MACEDONII principis. 28.

Viri quibus curæ illæsi orgia Bacchi,
Spe vini abiicite paupertatem,
Sed mihi crater quidem sit calicis loco, propè verò, torcular,
Propè dolium opimæ plenum lætitiæ.
Statim verò nostri bibens cratera Lyæi,
Cum iuuenibus Macedonibus pugnare volo.

Non trepido verò mare indomitum, neque fulmina
Fidam intrepidi audaciam habens Bromij.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Ἡμεῖς μὲν πατέοντες ἀπείρονα καρπὸν Ἰάκχου,
Ἄμμιγα βακχευτὴν ῥυθμὸν ἀνεπλέκομεν·
Ἤδη δ' ἄσπετον οἶδμα κατέρρεεν· οἷα δὲ λέμβοι,
Κισσύβια γλυκεροῦ νήχεθ' ὑπὲρ ῥοθίου·
Οἷσιν ἀρυσσάμενοι, σχέδιον ποτὸν ἕψομεν ἤδη,
Θερμῶν νηϊάδων οὐ μάλα δευόμενοι.
Ἡ δὲ καλὴ ποτὶ ληνὸν ὑπερκύπτουσα Ῥοδάνθη
Μαρμαρυγῇ κάλλους νᾶμα κατηγλάϊσεν.
Πάντων δ' ἐκ δεδόνητο θοαὶ φρένες, οὐδέ τις ἡμέων
Ἦεν ὃς οὐ Βάκχῳ δάμνατο καὶ Παφίῃ.
Τλήμονες· ἀλλ' ὁ μὲν εἷρπε παραὶ ποσὶν ἄφθονος ἡμῖν,
Τῆς δ' ἄρ' ὑπ' ἐλπωρῇ μοῦνον ἐπαιζόμεθα.

AGATHIÆ Scholaſtici. 29.

Nos quidem calcantes immenſum fructum Bacchi, *h.e. vuas,*
Simul Bacchicum rithmum connectimus:
Iam verò immenſus æſtus *musti* profluit. Vt verò nauigia,
Pocula ex hedera dulcibus natant in fluctibus:
Quibus haurientes temerè factum potum confecimus nunc,
Calidâ aquâ decoctâ non valde indigentes.
Pulchra verò ad torcular reſpiciens Rhodanthe
Splendore pulchritudinis *vini* fluxum illuſtrauit.
Omnium turbatæ veloces mentes, neque quis noſtrûm
Erat qui non à Baccho ſuperatus eſſet & Venere.
Miſeri: ſed hic quidem repebat circa pedes copioſus nobis,
Illius verò ſpe *cum Rhodanthe* ſolùm ludebamus.

Ἄδηλον, οἱ δὲ ΠΑΛΛΑΔΑ.

Οὐδὲν ἁμαρτήσας, γενόμην παρὰ τῶν με τεκόντων·
Γεννηθεὶς δ' ὁ τάλας ἔρχομαι εἰς ἀΐδην.
Ὦ μῖξις γονέων θανατηφόρος· ὤ μοι ἀνάγκης

Η με προσπελάσει τῷ στυγερῷ θανάτῳ·
Οὐδὲν ἐών, γενόμην· πάλιν ἔσσομαι ὡς πάρος, οὐδέν.
Οὐδὲν καὶ μηδὲν τῶν μερόπων τὸ γένος·
Λοιπόν μοι τὸ κύπελλον ἀποστίλβωσον ἑταῖρε,
Καὶ λύπης λήθην τὸν Βρόμιον πάρεχε.

Incerti, vt alij PALLADÆ. 30.

Cùm nihil peccarim, natus sum ab illis, qui me genuerunt:
Natus verò miser venio in infernum.
O mixtura generationum lethifera! Hei mihi quæ necessitas
Quæ me rapit ad rigidam mortem!
Nihil cùm essem, factus sum: rursus ero, vt antea, nihil.
Nullum & nihil est hominum genus:
Quin tu mihi poculum fac resplendeat, amice,
Et doloris obliuionem Bromium porrige.

ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ἀρχαίη σύνδειπνε, καπηλικὰ μέτρα φιλεῦσα,
Εὔλαλε, τερπνόγελως, εὔστομε, μακροφάρυγξ,
Αἰὲν ἐμῆς πενίης βραχυσύμβολε, μυστιλάγωνε,
Ἦλθες ὅμως ὑπ' ἐμὴν χεῖρά ποτε χρόνιος.
Αἴθ' ὄφελες καὶ ἄμικτος ἀνύμφευτός τε παρεῖναι,
Ἄφθορος, ὡς κούρη πρὸς πόσιν ἐρχομένη.

ARGENTARII. 31.

Antiqua conuiua, cauponarias mensuras amans,
Loquaces reddens, placidum ridens, bene sonans, longum collum habens,
Semper meæ paupertati paruum symbolum addens, panis offæ accommodus,
Venisti tamen in meam manum quondam tempestiuè.
Vtinam etiam immixta sine aquâ adesses,
Incorrupta, vt puella ad sponsum venit.

Ἀδήλου.

Τάνταλος οὐδὲν ἔτρωγε· τιναασσομένων γὰρ ὕπερθεν
Καρπὸς ὑπὲρ κεφαλῆς αὐτὸν ἔφευγε φυτῶν.

Καὶ διὰ τοῦτο τροφῆς κεχρημένος, ἧττον ἐδίψα.
Εἰ δὲ καὶ ἔτρωγεν σῦκα πεπαινόμενα,
Καὶ βραβίλους, καὶ μῆλα, τί τηλίκον ἀνδράσι νεκροῖς
Δίψος ἀπὸ χλωρῶν γίγνεται ἀκροδρύων;
Ἡμεῖς δ' ἐσθίομεν κεκλιμένοι ἁλμυρὰ πάντα,
Χέννια, καὶ τυροὺς, χηνὸς ἁλιστὰ λίπη,
Ὄρνια, καὶ μόσχια· μίαν δ' ἐπιπίνομεν αὐτοῖς·
Πάσχομεν οὖν σοῦ Τάνταλε πικρότερα.

Incerti. 32.

Tantalus nihil edebat, agitatis enim ſuperiùs,
Fructus ſuper capite ipſum fugiebat, arboribus:
Et ob id cibo indigus, minus ſitiebat.
Si verò etiam comediſſet ficus maturas,
Et pruna, & poma: quid tanta viris mortuis
Sitis à viridibus fit arborum baccis?
Nos verò edimus recumbentes ſalſa omnia,
Auiculas, caſeos, anſeris ſalſas pinguedines,
Aues, & vitulos: Vnum verò calicem ipſis ſuperbibimus:
Patimur igitur te Tantale grauiora.

Ἀδέσποτον.

Ἀνθρώποις ὀλίγος μὲν ὁ πᾶς χρόνος ὃν ποτε δειλοὶ
Ζῶμεν, κἂν πολιὸν γῆρας ἅπασι μένῃ·
Τῆς δ' ἀκμῆς καὶ μᾶλλον. ὅτ' οὖν χρόνος ὥριος ἡμῖν,
Πάντα χύδην ἔστω, ψαλμὸς, ἔρως, προπόσεις.
Χειμὼν τοὐντεῦθεν, γήρως βάρος· οὐδὲ δέκα μνῶν
Στήσεις. τοιαύτη σ' ἐκδέχετ' ὀρχιπέδη.

Incerti. 33.

Hominibus paruum quidem omne tempus, qui tandem miſeri
Viuimus, licèt cana ſenectus omnes maneat:
Iuuentutis verò potiſſimum. Cùm igitur tempeſtiuũ eſt nobis,
Omnia affatim ſint. pſalmus, amor, pocula.
Hyems poſthac, ſenectutis ſarcina. Neque decem minis
Arriges: tale te excipit vinculum teſtium.

Οὐ μὴν ποιὸς ἐρεῖ κατακείμενος· οὔτε παρέξεις,
  Οὔθ' ἕξεις αὐτὸς πράγματα γραμματικά.

LVCIANI. 37.

Conuiuij legem nouistis: hodie vos
  Aule voco nouis præceptis conuiuij.
Non Poëta recitabit recumbens. Neque facesses,
  Neque habebis ipse molestias Grammaticas.

Αδηλον.

Ην Στέφανος πτωχὸς, καὶ παῖς ἅμα· νῦν δὲ προκόψας,
  Πλουτεῖ, καὶ γέγονεν τ' εὐθὺ Φιλοστέφανος,
Τέσσαρα τῷ προτέρῳ στεφάνῳ καλὰ γράμματα προσθείς·
  Εσται δ' εἰς ὥρας ἱπποκρατιππίδιας,
Η διὰ τὴν σπατάλην, διονυσιοπηγανόδωρος·
  Εν δ' ἀγοραιομίῳ πᾶσι μένει Στέφανος.

Incerti. 38.

Erat Stephanus mendicus & puer simul: iam verò proficiens
  Ditescit, & factus est statim Philostephanus,
Quatuor priori Stephano pulchras litteras addens:
  Erit verò propediem Hippocratippidias.
Aut ob delicias Dionysiopeganodorus:
  In foro autem omni manet Stephanus,

Αδηλον.

Ω κύμορόν με λέγουσι δαήμονες ἀνέρες ἄστρων·
  Εἰμὶ μὲν, ἀλλ' οὔ μοι τοῦτο Σέλευκε μέλει.
Εἰς ἀΐδην πᾶσι μία καταίβασις· εἰ δὲ τάχιον
  Ημετέρη, Μίνω θᾶσσον ἐποψόμεθα.
Πίνωμεν. καὶ γὰρ δὴ ἐτήτυμον, εἰς ὁδὸν ἵππος
  Οἶνος· ἐπεὶ πεζοῖς ἀτραπὸς εἰς ἀΐδην.

Incerti. 39.

Breuis vitæ me dicunt scientes viri astrorum:
  Sum quidem, sed non mihi hoc, Seleuce, curæ est.
Ad inferos omnibus est descensus: si verò celerior
  Noster, Minoem citius videbimus.

Bibamus. Nam sanè verum est, in via vinum
Pro equo: quia pedestribus via est ad inferos.

Ἄδηλον.

Πέντε θανὼν κείσῃ κατέχων πόδας· οὐδὲ τὰ τερπνὰ
Ζωῆς, οὐδ᾽ αὐγὰς ὄψεαι ἠελίου.
Ὥστε λαβὼν Βάκχου ζωρὸν δέπας ἕλκε γεγηθώς
Κίγκιε, καλλίστην ἀγκὰς ἔχων ἄλοχον.
Εἰ δέ σοι ἀθάνατος σοφίης νόος, ἴσθι Κλεάνθης
Καὶ Ζήνων ἀΐδην τὸν βαθὺν ὡς ἔμολον.

Incerti. 40.

Quinque mortuus iacebis cohibens pedes: neque dulcia
Vitæ, neque radios videbis Solis.
Ob id capiens Bacchi merum poculum hauri gaudens
Cincie, pulcherrimam in vlnis habens coniugem.
Si verò tibi immortalis sapientiæ mens, scito quòd Cleanthes
Et Zenon, ad infernum profundum penetrarunt.

Ἄδηλον.

Ἡ πτωχῶν χαρίεσσα πανοπλίη ἀρτολάγυνος
Αὕτη, καὶ δροσερῶν ἐκ πετάλων στέφανος,
Καὶ τοῦτο φθιμένοιο προάστιον ἱερὸν ὀστεῦν,
Ἐγκεφάλου ψυχῆς φρούριον ἀκρότατον.
Πῖνε, λέγει τὸ γλύμμα, καὶ ἔσθιε, καὶ περίκεισο
Ἄνθεα. τοιοῦτοι γινόμεθ᾽ ἐξαπίνης.

Incerti. 41.

Mendicorum gratiosa armatura pera & lagena
Hæc, & roridis è foliis corona,
Et hoc morientis suburbium sacrum os,
Cerebri animæ præsidium altissimum.
Bibe ait hæc sculptura, & ede, & circumdare
Rosis. Tales euadimus subitò.

Ἀδέσποτον.

Ἐχθές μοι συνέπινε γυνὴ περὶ ἧς λόγος ἐρρεῖ
Οὐχ ὑγιής· παῖδες, φράσσατε τὰς κύλικας.

Incerti.

Incerti. 42.

Heri mecum potabat mulier de qua sermo funditur
    Non bonus:Pueri frangite vos calices.

Ἄδηλον.

Ἑπτὰ τριηκόντεσσιν ἐπέρχονται λυκάβαντες
    Ἤδη μοι βιότου σχιζόμεναι σελίδες.

    Ξανθίππης συνετῆς ἄγγελοι ἡλικίης.
Ἀλλ᾽ ἔτι μοι ψαλμός τε λάλος κῶμοί τε μέλονται,
    Καὶ πῦρ ἀπλήστῳ τύφετ᾽ ἐνὶ κραδίῃ.

Incerti. 43.

Septem & triginta accedunt anni
    Iam mihi vitæ diuidentes paginas.

    Xanthippæ prudentis nuncij iuuentutis.
Sed adhuc mihi psalmúsque loquax & comi curæ sunt,
    Et ignis inexpleto agitatur in corde.

Ἄδηλον.

Δός μοι τοὐκ γαίης πεποιημένον ἁδὺ κύπελλον,
    Ἀς γεινόμην, καὶ ὑφ᾽ ᾇ κείσομ᾽ ἀποφθίμενος.

Incerti. 44.

Da mihi ex terra fabricatum dulce poculum,
    E quâ natus sum,& in quâ iacebo mortuus.

Ἄδηλον.

Βάκχου μέτρον ἄριστον, ὃ μὴ πολὺ, μηδ᾽ ἐλάχιστον.
    Ἔστι γὰρ ἢ λύπης αἴτιος, ἢ μανίης.
Χαίρει κιρνάμενος τρισὶ νύμφαις τέτρατος αὐτός·
    Τῆμος καὶ θαλάμοις ἐστὶν ἑτοιμότατος.
Εἰ δὲ πολὺς πνεύσειεν, ἀπέστραπται μὲν ἔρωτας,
    Βαπτίζεται δ᾽ ὕπνῳ γείτονι τοῦ θανάτου.

Incerti. 45.

Bacchi mensura optima, quæ non nimis, neque parum,
   Est enim aut doloris caussa, aut insaniæ.
Gaudet mixtus tribus poculis aquæ, quartus ipse:
   Tunc etiam thalamis est promptissimus.
Si verò multum spiret, fulminat quidem amores,
   Obruit verò somno vicino mortis.

ΕΙΣ ΤΟΛΜΗΡΟΥΣ, κεφ. μη.

ΠΑΛΛΑΔΑ.

Μηδὲν ἄγαν, τῶν ἑπτὰ σοφῶν ὁ σοφώτατος εἶπεν·
   Ἀλλὰ σὺ μὴ πεισθεὶς Γέσιε, τοῦτ᾽ ἔπαθες.
Καὶ λόγιός περ ἐὼν, ἀλογώτατον ἔσχες ὄνειδος,
   Ὡς ἐπιθυμήσας οὐρανίης ἀνόδου.
Οὕτω Πήγασος ἵππος ἀπώλεσε Βελλεροφόντην,
   Βουληθέντα μαθεῖν ἀστροθέτας κανόνας.
Ἀλλ᾽ ὁ μὲν, ἵππον ἔχων, καὶ θαρσαλέον σθένος ἥβης·
   Γέσιος, οὐδ᾽ ἐχέσσιν εὔτονον ἦτορ ἔχων.

IN AVDACES. Cap. XLVIII.

PALLADÆ. 1.

Ne quid nimis septem sapientum sapientissimus dixit:
   Sed tu non obediens, Gessie, hoc passus es.
Et rationalis existens brutissimum habuisti probrum,
   Cum desideraueris cælestes eminentias.
Sic quoque Pegasus equus perdidit Bellerophontem,
   Qui voluit discere astrologicas regulas.
Sed hic quidem, equum habens, & temerarium robur iuuentę:
   Gessius verò, neque ad egerendũ sat firmum pectus habẽs.

Τοῦ αὐτοῦ.

Μηδεὶς ζητήσῃ μετρίων ποτὲ καὶ θεὸς εἶναι,
   Μηδ᾽ ἀρχῆς μεγάλης κόμπον ὑπερφίαλον.

Γέσσιος αὐτὸς ἔδειξε· κατηνέχθη γὰρ ἐπαρθείς,
Θνητῆς δ' εὐτυχίης μηδὲν ἀνασχόμενος.
Ὦ γένος ἀνθρώπων ἀνεμώλιον, ἀλλοχόλωτον,
Μέχρι τέλους βιότου μηδὲν ἐπιστάμενον.

Eiusdem. 2.

Nemo cupiat mortalium aliquando Deus esse,
Nec magni principatus iactantiam immensam.
Gessius ipse monstrauit: deturbatus verò est in altum sublatus,
Mortalis fœlicitatis nihil retinens.
O genus humanum, ventosum, rationis expers,
Vsque ad finem vitæ nihil sciens.

Τοῦ αὐτοῦ.

Γέσσιον ὡς ἐνόησεν ὁ Βαύκαλος ἄρτι θανόντα,
Χωλεύοντα πλέον, τοῖον ἔλεξεν ἔπος,
Γέσσιε, πῶς, τί παθὼν κατέβης δόμον εἰς Ἀΐδαο,
Γυμνός, ἀκήδεστος, σχήματι καινοτάφῳ;
Τὸν δὲ μέγ' ὀχθήσας προσεφώνεε Γέσσιος εὐθύς,
Βαύκαλε, τὸ στρῆνος καὶ θάνατον παρέχει.

Eiusdem. 3.

Gessium vt nouit Baucalus iam mortuum;
Claudicantem multùm, tale dixit verbum.
Gessie, quomodo, quid passus intrâsti domum inferni,
Nudus, inhonoratus, nouo exsequiarum ritu?
Hunc verò valde iratus compellauit Gessius statim,
Baucale, insolentia & mortem præbet.

Τοῦ αὐτοῦ.

Οἱ δύο Κάλχαντες τὸν Γέσσιον ὤλεσαν ὅρκοις,
Τῶν μεγάλων ὑπάτων θῶκον ὑπισχόμενοι.

Eiusdem. 4.

Duo vates Gessium perdiderunt iuramentis,
Magnorum consulum locum pollicentes.

Τοῦ αὐτοῦ.

Τὴν Ἀμμωνιακὴν ἀπάτην ὅτι Γέσσιος ἔγνω,

Τοῦ ξενικοῦ θανάτου ἐγγύθεν ἐρχόμενος,
Τὴν ἰδίην γνώμην κατεμέμψατο, καὶ τὸ μάθημα,
Καὶ τοὺς πειθομένους ἀστρολόγοις ἀλόγοις.

Eiuſdem. 5.

Iouis Ammonij fraudem cùm Geſſius cognouit,
Ad peregrinam mortem propius accedens,
Propriam ſententiam reprendit,& Mathemata,
Et qui ipſi perſuaſerant Aſtrologos irrationales.

ΕΙΣ ΥΒΡΙΣΤΑΣ, καὶ μθʹ.

Τοῦ αὐτοῦ ΠΑΛΛΑΔΑ.

Ὑβρίζεις; τί τὸ θαῦμα; τί δυσχερές; ἀλλὰ φέρω σε.
Τοῖς γὰρ ὑβρίζουσιν ἡ θρασύτης κόλασις.

IN INIVRIOS. Cap. XLIX.

Eiuſdem PALLADÆ. 1.

Iniurius es? quid mirum? quid moleſtum? Sed fero te.
Nam iniurioſorum audacia pœna eſt.

Τοῦ αὐτοῦ.

Πολλὰ λαλεῖς ἄνθρωπε, χαμαὶ δὲ τίθῃ μετὰ μικρόν·
Σίγα, καὶ μελέτα ζῶν ἔτι τὸν θάνατον.

Eiuſdem. 2.

Multa dicis homo. Verùm mortuus humi poneris breui.
Tace,& conſidera viuens adhuc mortem.

Τοῦ αὐτοῦ.

Ἥλιος ἀνθρώποις αὐγῆς θεός· εἰ δὲ καὶ αὐτὸς
Ὑβρίζει φαίνων, οὐδὲ τὸ φῶς ἐπόθουν.

Eiuſdem. 3.

Sol hominibus ſplendoris Deus. Si verò & ipſe
Iniuriam inferret dum ſplendet, ne lucē quidem deſiderarē.

Τοῦ αὐτοῦ.

Οὐκ ἐμὲ τὴν πενίην δὲ καθυβρίσεις· εἰ δὲ καὶ ὁ Ζεὺς

Ἦν ἐπὶ γῆς πτωχὸς, κ' αὐτὸς ἔπασχεν ὕβριν.

Eiusdem. 4.

Non me, paupertatem verò iniuriâ affecisti: si verò & Iupiter
Esset in terrâ pauper, & ipse pateretur contumeliam.

Τοῦ αὐτοῦ.

Εἰ πένομαι, τί πάθω; τί με μισεῖς οὐκ ἀδικοῦντα;
Πταῖσμα τόδ' ἐστὶ τύχης, οὐκ ἀδίκημα τρόπων.

Eiusdem. 5.

Si mendico, quid patior? quid me odisti non iniurium?
Peccatum hoc est fortunæ, non iniuria morum.

Τοῦ αὐτοῦ.

Αἰνίζειν μὲν ἄριστον. ὁ δὲ ψόγος ἔχθεος ἀρχή·
Ἀλλὰ καλῶς εἰπεῖν, Ἀττικόν ἐστι μέλι.

Eiusdem. 6.

Laudare quidem optimum: vituperium verò inimicitiæ principium:
Sed bene dicere Atticum est mel.

Τοῦ αὐτοῦ.

Τῷ πτισάνην πωλοῦντι τὸ κελλίον ἐχθὲς ἔδωκα,
Καὶ φοβερὸν πύκτην σήμερον εὗρον ἔσω.
Ὡς δ' ἔλεγον, σὺ τίς εἶ; πόθεν ἤλυθες ἡμέτερον δῶ;
Πυγμαχίης κατ' ἐμοῦ χεῖρας ἀνέσχεν ἄνω.
Ψύλλα δ' ἐγὼ κατέπτηνα, φοβούμενος ἄγριον ἄνδρα,
Τὸν πτισάνην πύκτην ἐξαπίνης ὁρόων.
Ἀλλά σε πρὸς πύκτου Πολυδεύκεος ἠδὲ καὶ αὐτοῦ
Κάστορος ἱκνοῦμαι, καὶ Διὸς ἱκεσίου,
Τὸν πύκτην ἀπόκρουσον ἐμὸν χόλον. οὐ δύναμαι γὰρ
Πυκτεύειν καθόπαξ μηνὸς ἐπερχομένου.

Eiusdem. 7.

Ptisanam vendenti cellulam heri dedi,
Et horribilem pugilem hodie inueni intus,
Cùm verò dicerem: tu quis es? vnde venisti *in* nostrâ domum?
Pugilatrices contra me manus sustulit sursùm.

Celeriter verò ego *abire* contendi metuens horrendũ virum,
Ptisanæ venditorem pugilem statim videns.
Sed te per pugilem Pollucem & ipsum
Castora oro, & per Iouem supplicum patronum,
Pugilem reiice à me iram. Non possum enim
Pugnare omnino mense accedente.

ΕΙΣ ΦΕΙΔΩΛΟΥΣ, κεφ. [illegible]

ΛΟΥΚΙΛΛΙΟΥ.

Οὐ γλήχωνι Κρίτων ὁ φιλάργυρος ἀλλὰ διχάλκῳ
Αὑτὸν ἀποσφραγίζει, θλιβομένου στομάχου.

IN PARCOS. Cap. L.

LVCILLII. 1.

Non pulegio Criton auarus, sed quarta oboli parte
Semet euacuat aggrauato stomacho.

Ἀδηλον.

Πλουτεῖν φασί σε πάντες, ἐγὼ δέ σε φημὶ πένεσθαι.
Χρῆσις γὰρ, πλούτου μάρτυς, Ἀπολλόφανες.
Ἂν μετέχῃς αὐτῶν σὺ, σὰ γίγνεται· ἂν δὲ φυλάττῃς
Κληρονόμοις, ἀπὸ νῦν γίγνεται ἀλλότρια.

Incerti. 2.

Diuitem te esse dicunt omnes: ego verò te dico pauperem.
Vsus enim, diuitiarum testis, Apollophanes.
Si frueris ipsis, tuæ fiunt: sin verò custodias
Heredibus, iam nunc fiunt aliorum.

ΑΝΤΙΦΑΝΟΥΣ.

Ψηφίζεις κακόδαιμον· ὁ δὲ χρόνος ὡς τόκον, οὕτω
Καὶ πολιὸν τίκτει γῆρας ἐπερχόμενον.
Κοὔτε πιὼν, οὔτ' ἄνθος ἐπὶ κροτάφοις ἀναδήσας,
Οὐ μύρον, οὐ γλαφυρὸν γνούς τι μήγισμά ποτ'.

Τεθνήξῃ, πλουτοῦσαν ἀφεὶς μεγάλην διαθήκην,
Ἐκ πολλῶν ὀβολῶν μοῦνον ἐνεγκάμενος.

ANTIPHANIS. 3.

Calcularis infelix: tempus enim vt vſuram, ſic
Etiam canam generat ſenectutem ſuperuenientem.
Neque bibens, neque florem in vertice ligans,
Non vnguentum, non concinnam noſcens cantiunculam,
Morieris, diues relinquens magnum teſtamentum,
Ex multis obolis vnum ſolum referens.

ΠΩΛΙΑΝΟΥ.

Χαλκὸν ἔχων, πῶς οὐδὲν ἔχεις, μάθε. πάντα δανείζεις.
Οὕτως οὐδὲν ἔχεις αὐτὸς, ἵν' ἄλλος ἔχῃ.

POLIANI. 4.

Pecuniam habens, quomodo nihil habeas diſce, Omnia in v-
Sic nihil habes ipſe, vt alius habeat. ſuram das.

ΝΙΚΑΡΧΟΥ.

Ἐχθὲς ἀπάγξασθαι μέλλων Δείναρχος ὁ φείδων
Γλαῦκε δι' ἓξ χαλκοῦς δύσμορος οὐκ ἔθανεν.
Ἓξ χαλκῶν ἦν γὰρ τὸ σχοινίον· ἀλλ' ἐδυσώνει,
Εὔωνον ζητῶν ἄλλον ἴσως θάνατον.
Τοῦτο φιλαργυρίης δὴ τὸ πέρας, ὅστ' ἀποθνήσκων,
Γλαῦκε, δι' ἓξ χαλκοῦς δύσμορος οὐκ ἔθανεν.

NICARCHI. 5.

Heri ſe ſuſpendere volens Dinarchus auarus,
Glauce, propter ſex æreos infelix non periit.
Sex æreorum enim erat reſtis. Sed carè vendebatur,
Viliorem quærens aliam forte mortem.
Hic auaritiæ diræ finis, qui moriens,
Glauce, ob ſex æreolos infelix non periit.

Τοῦ αὐτοῦ.

Δακρύει Φείδων ὁ φιλάργυρος οὐχ ὅτι θνήσκει,
Ἀλλ' ὅτι πέντε μνῶν τὴν σορὸν ἐπρίατο.
Ταῦτ' αὐτῷ χαρίσασθε· καὶ ὡς τόπος ἐστὶν ἐν αὐτῇ,

Τῶν πολλῶν τεκνίων ἕν τι προσεμβάλετε.

Eiusdem. 6.

Lacrumatur Phedon auarus, non quòd moritur,
 Sed quòd quinque minis loculum emit.
Vos hæc ipsi gratificamini, & sicubi locus est in *loculo* ipso,
 E multis liberis vnum ipsi coniungite.

ΛΟΥΚΙΛΛΙΟΥ.

Θνήσκων Ἑρμοκράτης ὁ φιλάργυρος, ἐν διαθήκαις
 Αὑτὸν τῶν ἰδίων ἔγραφε κληρονόμον.
Ψηφίζων δ' ἀνέκειτο πόσον δώσει διεγερθεὶς
 Ἰητροῖς μισθοῦ, καὶ τί νοσῶν δαπανᾷ.
Ὡς δ' εὗρε πλείω δραχμὴν μίαν, ἢν διασωθῇ,
 Λυσιτελεῖ θνήσκειν, εἶπε· καὶ ἐξετάθη.
Κεῖται δ' οὐδὲν ἔχων ὀβολοῦ πλέον ④ οἳ τὰ κείνου
 Χρήματα κληρονόμοι ἥρπασαν ἀσπασίως.

LVCILLII. 7.

Moriens Hermocrates auarus, in testamento
 Scipsum suorum bonorum scripsit heredem.
Calculans verò iacebat quantum daret conualescens
 Medicis mercedis, & quid ægrotus insumeret:
Vt verò inuenit plus drachmâ vnâ, si seruaretur,
 Satius est mori, dixit: & extensus est.
Iacebat verò nihil habens obolo plus: at verò eius
 Opes heredes rapuerunt lubentes.

Τοῦ αὐτοῦ.

Γεννηθὲν τὸ τέκνον κατεπόντισεν Αὖλος ὁ κνιπός,
 Ψηφίζων αὐτοῦ σωζομένου δαπάνας.

Eiusdem. 8.

Natum puerum in mare deiecit Aulus auarus,
 Reputans eius si seruaretur impensas.

Τοῦ αὐτοῦ.

Εἰ τὸ μὲν ἐκδεδάνεικας, ὃ δ' ἄρτι δίδως, ὃ δὲ μέλλεις,
 Οὐδέποτ' εἶ τοῦ σοῦ κύριος ἀργυρίου.

Eiusdem. 9.

Siquidem hoc in vsuram dedisti, hoc iam das, hoc vis dare,
Nunquam es tui dominus argenti.

ΠΑΛΛΑΔΑ.

Ω τῆς ταχίστης ἁρπαγῆς τῆς τοῦ βίου,
Ανὴρ δανειστὴς, τῷ χρόνου γλύφων τόκους,
Τέθνηκεν εὐθὺς ἐν ῥοπῆς καιρῷ βραχεῖ,
Εν δακτύλοισι τοὺς τόκους σφίγγων ἔτι.

PALLADÆ. 10.

O velocissimam rapinam vitæ!
Vir fœnerator, temporis stilo scribens vsuras,
Mortuus est statim in momenti tempore breui,
In digitis vsuras stringens adhuc.

Τοῦ αὐτοῦ.

Δακτυλικὴν ψῆφόν τις ἔχων περὶ δάκτυλα χειρῶν,
Ψήφῳ τοῦ θανάτου προὔλαβεν εἰς ἀΐδην.
Ζῇ δ' ἡ ψῆφος νῦν τοῦ ψηφίζοντος ἑταίρη,
Ψυχῆς ἁρπαγίμης ἔνθεν ἐλαυνομένης.

Eiusdem. 11.

Digitalem calculum quis habens in digitis manuum,
Calculo mortis præuertit in infernum.
Viuit verò calculus nunc calculantis socius,
Animæ rapacis inde impulsæ.

Τοῦ αὐτοῦ.

Πλοῦτον μὲν πλουτοῦντος ἔχεις, ψυχὴν δὲ πένητος.
Ω τοῖς κληρονόμοις πλούσιε, σοὶ δὲ πένης.

Eiusdem. 12.

Diuitas quidem diuitis habes, animam sed pauperis.
O heredibus diues, tibi verò pauper!

ΛΟΥΚΙΛΛΙΟΥ.

Θερσύμαχε, πλοῦτον πολὺν ὤλεσας ἐξ ἐπιβουλῆς,
Εἰς οὐδὲν δ' ἥκεις ἄθλιος ἐξ ἀπίνης,
Φεισάμενος, δανείσας, τοκίσας τόκον, ὑδροποτήσας·

Πολλάκι μηδὲ φαγὼν, ὥστε τι πλεῖον ἔχειν.
Ἀλλ' εἴ μοι λογίσαιο τὸ πίνειν καὶ τότε καὶ νῦν,
Οὐδὲν ἔλαττον ἔχεις ὧν τότ' ἔδοξας ἔχειν.

LVCILLII. 13.

Thrasymache, diuitias multas perdidisti per insidias,
Ad nihil verò peruenis miser continuò,
Parcens, fœnerans vsura capiens vsuram, aquam bibens:
Sæpe ne edens quidem, vt aliquid plus habeas.
Sed si mecum repures potum tunc, & nunc,
Nihil minus habes illis, quæ tunc videbaris habere.

ΑΥΤΟΜΕΔΟΝΤΟΣ.

Ἐχθὲς δειπνήσας τράγεον πόδα, καὶ δεκαταῖον
Καννάβινης κράμβης μήλινον ἀσπάραγον,
Εἰπεῖν τὸν καλέσαντα φυλάσσομαι. ἔστι γὰρ ὀξύς·
Καὶ φόβος οὐχ ὁ τυχὼν μή με πάλιν καλέσῃ.

AVTOMEDONTIS. 14.

Heri cœnans hircinum pedem, & decem dierum
Cannabini oleri gilui coloris asparagum,
Nominare illum, qui me vocarit, nolo. Est enim acerbus:
Et metus non vulgaris, ne denuò me vocet.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Φειδωλός τις ἀνὴρ, ἀφέων θησαυρὸν ὀνείρῳ,
Ἤθελ' ἀποθνήσκειν, πλούσιον ὕπνον ἔχων·
Ὡς δ' ἴδε τὴν προτέρην, σκιόεν μετὰ κέρδος ὀνείρου,
Ἐξ ὕπνου πενίην, αὐτίκα θεῦδε πάλιν.

MACEDONII Principis. 15.

Parcus quidam vir contrectans thesaurum in somnis,
Voluit mori, diuitem somnum habens:
Cùm verò vidit priorem, inutile post lucrum somni,
Ex somno paupertatem, rursus dormiuit.

Τοῦ αὐτοῦ.

Παῖ τις ἅπαξ πρώγειον· ὅταν δὲ τρέφῃ Σαλαμῖνος,
Οἴκαδ' ἀριστῶμεν δείπνῳ περιερχόμενοι.

Eiusdem. 16.

Omnes semel edunt: cùm verò illos pascit Salaminus,
Domum, vt prandemus, iterum venientes.

ΑΜΜΙΑΝΟΥ.

Ως κῆπον τεθυκώς, δεῖπνον παρέθηκεν Απελλῆς,
Οἰόμενος βόσκειν ἀντὶ φίλων πρόβατα.
Ην ῥαφανὶς, σέρις ἦν, τῆλις, θρίδακες, πράσα, βολβοὶ,
Ωκυμον, ἡδύοσμον, πήγανον, ἀσπάραγος.
Δείσας δ' ἐκ τούτων μὴ καὶ χόρτον παραθῇ μοι,
Δειπνήσας θέρμους ἡμιβρεχεῖς ἔφυγον.

ΑΜΜΙΑΝΙ. 17.

Tanquam hortum mactasset, cœnam apposuit Apelles,
Ratus se pascere pro amicis oues.
Erat raphanus, intybum, fœnogræcum, lactuca, porra, bulbi,
Ocymon, mentastrum, ruta, asparagus.
Timens verò ex his ne & fœnum apponeret mihi,
Ipse cœnans lupinum semimadidum aufugi.

ΛΟΥΚΙΛΛΙΟΥ.

Ποιήσας δαπάνην ἐν ὕπνοις ὁ φιλάργυρος Ερμων,
Εκ περιωδυνίας αὐτὸν ἀπηγχόνισεν.

LVCILLII. 18.

Faciens sumptus in somnis auarus Hermon,
Præ dolore seipsum suspendit.

Εἰς εἰκόνα Αναστασίου βασιλέως ἐν τῷ εὐρίπῳ.

Εἰκόνα σοὶ βασιλεῦ κοσμοφθόρε τήνδε σιδήρου
Ανθεσαν, ὡς χαλκοῦ πολλὸν ἀτιμοτέρην,
Αντὶ φόνου, πενίης τ' ὀλοῆς, λιμοῦ τε, καὶ ὀργῆς,
Οἷς πάντας φθείρεις ἐκ φιλοχρημοσύνης.

In Imaginem Anastasij Regis in Euripo. 19.

Effigiem tibi rex mundi perditor hanc è ferro
Posuerunt, vt ære multo viliorem,
Pro cæde, & paupertate perniciosâ, pro fame, & irâ,

Quibus omnes perdis ex auaritiâ.

Εἰς τὸ αὐτό.

Ἐγγύθι τῆς σκύλλης χαλεπὴν ςήσαντο χάρυβδιν,
   Ἄγριον ὠμηςὴν τοῦτον Ἀναςάσιον.
Δείδιθι καὶ σὺ σκύλλα τεαῖς φρεσὶ, μή σε καὶ αὐτὴν
   Βρώξῃ, χαλκείην δαίμονα κερματίσας.

In Idem. 20.

Propè apud Scyllam difficilem posuere Charybdin,
   Horribilem crudelem hunc Anastasium.
Time & tu Scylla tuis animis, ne te & ipsam
   Deuoret, æreum dæmona comminuens.

ΛΟΥΚΙΛΛΙΟΥ.

Εἰ μὲν ζῇς ἐλάφου τανυαὸν χρόνον, ἠὲ κορώνης,
   Συγγνώμη πλεῖστον πλοῦτον ἀγειρομένῳ·
Εἰ δέ τις ἐσσὶ βροτῶν οὓς αὐτίκα γῆρας ἰάπτει,
   Μή σέ γ' ἀπειρεσίων οἶςρος ἔλῃ κτεάνων.
Μή σὺ μὲν ἀτλήτοισιν ἐν ἄλγεσι θυμὸν ὀλέσῃς,
   Χρήσωνται δ' ἄλλοι σοῖς ἀγαθοῖς ἀνέδην.

Lvcillii. 21.

Si quidem viueres cerui longam vitam, aut cornicis,
   Venia tibi esset multas diuitias congerenti:
Si verò es aliquis mortalium, quos statim senectus carpit,
   Ne te infinitarum insania rapiat facultatum.
Ne tu quidem intolerabilibus in doloribus animum perdas,
   Vtantur verò alij tuis bonis improbè.

Τοῦ αὐτοῦ.

Μῦν Ἀσκληπιάδης ὁ φιλάργυρος εἶδεν ἐν οἴκῳ,
   Καὶ, τί ποιεῖς, φησὶν, φίλτατε μῦ παρ' ἐμοί;
Ἡδὺ δ' ὁ μῦς γελάσας, μηδὲν φίλε, φησὶ, φοβηθῇς·
   Οὐχὶ τροφῆς παρὰ σοὶ χρήζομεν, ἀλλὰ μονῆς.

Eiusdem. 22.

Murem Asclepiades auarus vidit in ædibus,
   Et quid facis inquit amicissime mus apud me?

Dulce verò mus ridens,nihil,inquit,amice,timeas:
Non cibo apud te indigemus,ſed habitatione.

Ἀδηλον.

Ἀργυρέῃ λιμῷ τις, ἐς εἰλαπίνην με καλέσσας,
Ἔκτανε, πειναλέους τοὺς πίνακας προφέρων.
Ὀχθήσας δ' ἄρ' ἔειπον ἐν ἀργυροφεγγέϊ λιμῷ,
Ποῦ μοι χορτασίη ὀστρακίνων πινάκων;

Incerti. 23.

Argenteâ fame quis in conuiuium me vocans,
Interemit,inanes lances proferens.
Iratus verò dicebam in argento reſplendente fame,
Vbi mihi ſatietas in oſtraceis orbibus?

Εἰς τὸ αὐτό.

Ἐζήτουν πινάκων πόθεν οὔνομα τοῦτο καλέσσω.
Καὶ παρὰ σοὶ κληθεὶς, εὗρον ὅθεν λέγεται.
Πείνης γὰρ μεγάλης μεγάλους πίνακας παρέθηκας,
Ὄργανα τοῦ λιμοῦ πειναλέους πίνακας.

In Idem. 24.

Quærebam orbium vnde nomen illud vocarem,
Et à te vocatus inueni vnde dicatur.
Famis enim magnæ orbes magnos appoſuiſti,
Inſtrumenta famis eſuriales orbes.

Εἰς τὸ αὐτό.

Μή με κάλει δίσκων ἐπιίστορα λιμοφορήων,
Βρωτὴν μοι φορέων τὴν κολοκυνθιάδα.
Ἀργυρέην ὕλην οὐ τρωγομένην παραβάλλεις,
Λιμῷ χρητίζων τοὺς μεγέους πίνακας.
Ζήτει τινὰς δίοντας ἐς ἀργαλέην ἐπίδειξιν,
Καὶ τότε θαυμάσῃ, κοῦφον ἄσημον ἔχων.

In Idem. 25.

Ne me voces vaſorum peritum famem adferentium,
Cibum mihi ferens cucurbitam.
Argenteam materiam non comedendam apponis,

Fame decipiens vacuos orbes.
Quære ieiunantes in difficilem demonstrationem,
Et tunc demiraberis, vacuum vas non cælatum habens.

Ἀδήλου.

Πολλὰς μυριάδας ψηφίζει Ἀρτεμίδωρος,
Καὶ μηδὲν δαπανῶν, ζῇ βίον ἡμιόνων,
Πολλάκις αἳ χρυσοῦ τιμαλφέα φόρτον ἔχουσαι
Πολλὸν ὑπὲρ νώτου, χόρτον ἔδουσι μόνον.

Incerti. 26.

Multas myriades numerat Artemidorus,
Et nihil insumens viuit vitam mulorum,
Sæpe *muli* qui auri pretiosam sarcinam habent
Multam in dorso, fœnum comedunt solum.

ΕΙΣ ΦΘΟΝΕΡΟΥΣ, κεφ. να

ΛΟΥΚΙΛΛΙΟΥ.

Μακροτέρῳ σταυρῷ σταυρούμενον ἄλλον ἑαυτοῦ
Ὁ φθονερὸς Διοφῶν ἐγγὺς ἰδὼν ἐτάκη.

IN INVIDOS, Cap. LI.

LVCILLII. 1.

Longiori cruce crucifixum alium quàm se
Inuidus Diophon propè videns, extabuit.

ΕΙΣ ΦΙΛΟΣΟΦΟΥΣ, κεφ. νβ

ΛΟΥΚΙΛΛΙΟΥ.

Εἶναι μὲν κυνικόν σε Μενέστρατε, καὶ ἀνυπόδητον,
Καὶ ῥιγοῦν, οὐδεὶς ἀντιλέγει καθόλου·
Ἂν δὲ παραρπάζῃς ἄρτους καὶ κλάσματ᾽ ἀναιδῶς,
Κἀγὼ ῥάβδον ἔχω, καί σε λέγουσι κύνα.

IN PHILOSOPHOS, Cap. LII.

LVCILLII. 1.

Esse quidem Cynicum te, Menestrate, & excalceatum,
 Et rigidum, nemo contradicit omnino:
Cùm verò rapis panes & frusta impudenter,
 Et ego baculum habeo, etiam te dicunt canem.

Τοῦ αὐτοῦ.

Πᾶς ὃς ἂν ᾖ πτωχὸς καὶ ἀγράμματος, οὐκ ἔτ' ἀλήθει,
 Ὡς πρότερον, οὐδ' αἴρει φορτία μισθαρίου·
Ἀλλὰ τρέφει πώγωνα, καὶ ἐκ τριόδου ξύλον ἄρας,
 Τῆς ἀρετῆς εἶναι φησὶν ὁ πρωτοκύων.
Ἑρμοδότου τόδε δόγμα τὸ πάνσοφον· εἴ τις ἀχαλκεῖ,
 Μηκέτι πεινάτω, θεὶς τὸ χιτωνάριον.

Eiusdem. 2.

Quicunque erit pauper & rudis, non amplius molet
 Vt prius, neque tollit sarcinas pro mercede:
Sed nutrit barbam, & in triuiis lignum tollens,
 Virtutis esse dicit primus sectator.
Hermodoti hoc dogma est sapiẽtissimũ : si quis pecunia indiget,
 Non amplius esuriet, circundans pallium *philosophicum*.

ΑΜΜΙΑΝΟΥ.

Οὗτος ὁ τῆς ἀρετῆς ἀδάμας βαρύς, οὗτος ὁ πάντη
 Πᾶσιν ἐπιπλήσσων, οὗτος ὁ ῥιγομάχας,
Καὶ πώγωνα τρέφων, ἑάλω· τί γάρ; ἀπρεπὲς εἰπεῖν·
 Ἀλλ' ἑάλω ποιῶν ἔργα κακοστομάχων.

AMMIANI. 3.

Hic virtutis adamas grauis, hic qui vbique
 Omnes obiurgans, hic cum rigore contendens,
Et barbam nutriens, deprehensus est. Quid autem? nefas dictu.
 Verùm deprehensus est faciens opera fellatorum.

Τοῦ αὐτοῦ.

Οἴει τὸν πώγωνα φρενῶν ποιητικὸν εἶναι,
 Καὶ διὰ τοῦτο τρέφεις φίλτατε μυοσόβην·

Κεῖρον, ἐμοὶ πεισθεὶς, ταχέως. τοῦτο γὰρ ὁ πώγων,
    Φθειρῶν ποιητὴς, οὐχὶ φρενῶν γέγονεν.

Eiuſdem. 4.

Cenſes barbam mentis effectricem eſſe,
    Et ob id nutris amiciſſime muſcarium.
Detonde, mihi credens, citò. Hæc enim barba,
    Pediculorum effectrix, non ſapientiæ facta eſt.

Τοῦ αὐτοῦ.

Ὦ 'γαθὲ, καὶ μὴν δὴ οὖν, καὶ ποῖ δὴ, καὶ πόθεν ὦ τᾶν,
    Καὶ θαμὰ, καὶ φέρε δὴ, καὶ κομιδῆ, καὶ ἴθι,
Καὶ στόλιον, μάλιον, πωγάνιον, ὤμιον ἔξω,
    Ἐκ τούτων ἡ νῦν εὐδοκιμεῖ σοφία.

Eiuſdem. 5.

O bone, & igitur & vbi, & vnde, ô propter has,
    Et crebrò, & age, & valde, & ito.
Et bacillus, villoſa veſtis, barbula, humerus, extra veſtem,
    Ex hys hæc nunc æſtimatur ſapientia.

ΑΝΤΙΠΑΤΡΟΥ.

Αἰάζει πήρη τε καὶ Ἡράκλειον ἄριστον
    Βριθυσινωπίτου Διογένους ῥόπαλον,
Καὶ τὸ χύδην ῥυπόωντι πίνῳ πεπαλαγμένον ἔσθος,
    Διπλάσιον κρυερῶν ἀντίπαλον νιφάδων,
Ὅττι τεοῖς ὤμοισι μιαίνεται· ἦν γὰρ ὁ μέν που
    Οὐράνιος· σὺ δ' ἔφυς ἐν σποδιῇσι κύων.
Ἀλλὰ μέθες, μέθες ὅπλα τὰ μὴ σέθεν· ἄλλο λεόντων,
    Ἄλλο γενειητῶν ἔργον ὄρωρε τράγων.

ANTIPATRI. 6.

Luget pera, & Herculea optima
    Grauis è Sinope in dolio habitantis Diogenis claua,
Et affatim obſcœno luto aſperſa veſtis,
    Diplois frigidis contraria niuibus.
Quod tuis in humeris fœdatur. Erat enim quondam
    Cœleſtis: tu verò es in cinere canis.

Sed

Sed mitte, mitte arma non tua: aliud leonum,
Aliud barbatorum opus mouetur hircorum.

ΠΑΛΛΑΔΑ εἰς Θεμίστιον τὸν φιλόσοφον, γενόμενον ὕπαρχον Κωνσαντινουπόλεως, ἐπὶ Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος.

Ἄντυγος οὐρανίης ὑπερήμενος, ἐς πόθον ἦλθες
Ἄντυγος ἀργυρέης, αἶσχος ἀπειρέσιον.
Ἦσθά ποτε κρείσσων, αὖθις δ' ἐγένου πολὺ χείρων·
Δεῦρ' ἀνάβηθι κάτω· νῦν γὰρ ἄνω κατέβης.

PALLADÆ in Themistium Philosophum, factum Principem Constantinopolis, sub Valentiano & Valente. 7.

Super ambitu cœlesti sedens, in desiderium venisti
In ambitu argenteo, dedecus infinitum.
Fuisti quondam melior, rursus factus es longè peior:
Huc descende deorsum: nunc enim sursum ascendisti.

Τοῦ αὐτοῦ.

Εἰ τὸ τρέφειν πώγωνα δοκεῖ σοφίαν περιποιεῖν,
Καὶ τράγος εὐπώγων, εὔστολός ἐστι Πλάτων.

Eiusdem. 8.

Si nutrire barbam videretur Sapientiam parere,
Hircus barbatus, bene vestitus est Plato.

Τοῦ αὐτοῦ.

Ἄλλοι Ἀριστοτέλην, Νικόστρατον, ἰσοπλάτωνα,
Σκινδαλμοφράστην τὸν αἰπυτάτης σοφίης,
Τοῖα περὶ ψυχῆς τις ἀνήρετο, πῶς θέμις εἰπεῖν,
Τὴν ψυχὴν θνητὴν, ἢ πάλιν ἀθάνατον;
Σῶμα δὲ δεῖ καλέειν, ἢ ἀσώματον; ἐν δὲ νοητοῖς
Τακτέον, ἢ λήπτοις, ἢ τὸ συναμφότερον;
Αὐτὰρ ὁ τὰς βίβλους ἀνελέξατο τῶν μετεώρων,
Καὶ τὸ περὶ ψυχῆς ἔργον Ἀριστοτέλους.
Καὶ τὰ παρὰ τῷ Φαίδωνι Πλατωνικὸν ὕψος ἐπιγνούς,

Πᾶσαν ἐνισκήψειν πάντοθεν ἀτρεκίην.
Εἶτα περιστέλλων τὸ τριβώνιον, εἶτα γενείου
Ἄκρα καταψήχων, τήνδ' λύσιν ἐξέφερεν.
Εἴπερ ὅλως ἐστὶ ψυχῆς φύσις (οὐδὲ γὰρ οἶδα)
Ἢ θνητὴ πάντως ἐστὶν, ἢ ἀθάνατος,
Στερεοφυὴς, ἢ ἄυλος· ὅταν δ' Ἀχέροντα περήσῃς,
Κεῖθι σὺ νημερτὲς γνώσεαι ὡς ὁ Πλάτων.
Εἰ δ' ἐθέλεις, τὸν παῖδα Κλεόμβροτον Ἀμβρακιώτην
Μιμοῦ, καὶ τεγέων σὸν δέμας ἐκ χάλασον·
Καί κεν ἐπιγνοίης δίχα σώματος αὐτίκα σαυτὸν,
Μοῦνον ὅπερ ζητεῖς, τοῦθ' ὑπολειπόμενος.

Eiuſdem. 9.

Alium Ariſtotelem, Nicoſtratum, ſimilem Platoni,
Meras ſubtilitates effutientem altiſſimæ Sapientiæ,
Hæc de anima quis quærebat, quomodo fas dicere?
Animam mortalem, an rurſus immortalem?
Corpus an debeat vocari, an incorporeum? In intelligibilibus
Ponendum, an ſenſibilibus, an vtrumque?
Verùm hic libros relegebat de meteoris,
Et de animâ opus Ariſtotelis.
Et in Phædone Platonicam altitudinem cognoſcens,
Omnem concinnauit vndique veritatem.
Deinde conuertens baculum, deinde menti
Summitatem leuiter contrectans, ſolutionem extulit.
Siquidem in vniuerſum aliqua eſt animæ natura, (neque enim
Aut mortalis omnino eſt, aut immortalis. noui)
Senſu manifeſta, an ſine materiâ: vbi verò Acheronta trāſibis,
Ibi veritatem cognoſces vt Plato.
Si autem vis puerum Cleombrotum Ambraciotam
Imitare, & è tecto tuum corpus deiice:
Et cognoſces ſine corpore ſtatim teipſum,
Solum quod quæris, hoc relictus.

Τοῦ αὐτοῦ.

Εἰ μοναχοὶ, τί τοσοίδε; τόσοι δ' ἔτι, πῶς πάλι μοῦνοι;
Ὦ πληθὺς μοναχῶν, ψευσαμένη μονάδα.

Eiusdem. 10.

Si Monachi, cur tot? cùm verò tot, cur rursus soli?
O multitudo monachorum, mentita solitariam vitam.

Τοῦ αὐτοῦ.

Τοῦ πωγωνοφόρου κυνικοῦ τοῦ βακτροπροσαίτου
Εἴδομεν ἐν δείπνῳ τὴν μεγάλην σοφίην.
Θέρμων μὲν γὰρ πρῶτον ἀπέχετο καὶ ῥαφανίδων,
Μὴ δεῖν δουλεύειν γαστρὶ λέγων ἀρετήν·
Εὖτε δ' ἐν ὀφθαλμοῖσιν ἴδεν χιονώδεα βολβὸν
Στρυφνὸν, οὐ πινυτὸν ἤδη ἔκλεπτε νόον·
Ἤτησεν παρὰ προσδοκίαν, καὶ ἔτρωγεν ἀληθῶς,
Κοὐδὲν ἔφη βολβὸν τὴν ἀρετὴν ἀδικεῖν.

Eiusdem. 11.

Barbiferi Cynici baculo mendicantis
Vidimus in cœnâ magnam sapientiam.
A lupinis enim prius abstinebat, & rapulis,
Non decere seruire ventri dicens virtutem:
Cùm verò oculis videret candidum bulbum
Acerbum, non sapientem iam abscondit mentem:
Petiit præter exspectationem, & comedit verè,
Et nihil dixit bolbum virtutem iniuriâ afficere.

ΕΙΣ ΧΩΛΟΥΣ, κεφ. νγ'

ΠΑΛΛΑΔΑ.

Χωλὸν ἔχεις τὸν νοῦν, ὡς τὸν πόδα· καὶ γὰρ ἀληθῶς
Εἰκόνα τῶν ἐντὸς σὴ φύσις ἐκτὸς ἔχει.

IN CLAVDOS, Cap. LIII.

PALLADÆ. 1.

Claudam habes mentem vt pedem: etenim verè
Imaginem intus tua natura extra habet.

Τοῦ αὐτοῦ.

Υἱὸν ἔχεις τὸν Ἔρωτα, γυναῖκα δὲ τὴν Ἀφροδίτην·
Οὐκ ἀδίκως χαλκεῦ τὸν πόδα χωλὸν ἔχεις.

Eiusdem. 2.

Filium habes amorem, vxorem verò Venerem:
Non iniuriâ faber pedem claudum habes.

Ἄδηλον.

Μισόπτωχε θεά, μούνη πλούτου δαμάτειρα,
Ἡ τὸ καλῶς ζῆσαι πάμποτ' ἐπισταμένη.
Εἰ δὲ καὶ ἀλλοτρίοις ἐπιζομένη ποσὶ χαίρεις,
Ὁπλοφορεῖν τ' οἶδας, καὶ μύρα σοὶ μέλεται.
Τέρπει καὶ στέφανός σε, καὶ Αὐσονίου πόμα Βάκχου.
Ταῦτα παρὰ πτωχοῖς γίγνεται οὐδέποτε.
Τοὔνεκα καὶ φεύγεις πενίης τὸν χάλκεον οὐδόν,
Τέρπῃ δ' εἰς πλούτου πρὸς πόδας ἐρχομένη.

Incerti. 3.

Odio habens pauperes Dea, sola diuitiarum domitrix,
Quæ bene viuere omnino nosti.
In alienis autem insidens pedibus gaudes,
Arma ferre nosti, & vnguenta tibi curæ.
Delectat corona te, & Ausonij potus vini.
Hæc apud mendicos fiunt nunquam.
Ob id etiam fugis paupertatis ferreum solum,
Delectatis verò ad diuitis pedes veniens.

Ἄδηλον.

Λυσιμελοῦς Βάκχου καὶ λυσιμελοῦς Ἀφροδίτης
Γεννᾶται θυγάτηρ λυσιμελὴς Ποδάγρα.

Incerti. 4.

Soluentis membra Bacchi, & soluentis membra Veneris
Generatur filia membra soluens Podagra.

Τέλος τοῦ δευτέρου τμήματος τῆς ἀνθολογίας
διαφόρων ἐπιγραμμάτων.

Finis secundæ Sectionis Anthologiæ Variorum Epigrámatum.

Ἐν τῷ ἑξῆς τρίτῳ τμήματι ἐπιτάφια ἔχοντι περιέχεται κεφάλαια τάδε.

In sequenti tertia sectione Epitaphia continenti comprehenduntur capita hæc.

ΑΝΘΟΛΟΓΙΑΣ ΔΙΑΦΟΡΩΝ
ἐπιγραμμάτων, εἰς ἑπτὰ βιβλία διῃρημένης, τὸ τρίτον.

FLORILEGII VARIORVM
epigrammatum, in septem libros distributi, tertius.

ΕΙΣ ΑΓΑΘΟΥΣ ΑΝΔΡΑΣ, κεφ. α.

Εἰς Πλάτωνα.

Σωφροσύνῃ προφέρων θνητῶν ἤθει τε δικαίῳ
  Ἐνθάδε κεῖται ἀνὴρ θεῖος Ἀριστοκλέης.
Εἰ δέ τις ἐκ πάντων σοφίης μέγαν ἔσχεν ἔπαινον,
  Οὗτος ἔχει πουλὺν, καὶ φθόνον οὐ φέρεται.

IN BONOS VIROS, Cap. I.

In Platonem. 1.

Sapientiâ excellens inter mortales, & moribus iustis
  Hîc iacet vir diuinus Aristoclees.
Si verò quis ex omnibus sapientiæ magnam habuit laudem,

Hic habuit multam, & inuidiam non tolerat.

NIKAPXOY.

Δουλκίτιον μὲν ἄνακτες ἄκρου βιότοιο πρὸς ὄλβον
Ἤγαγον ἐξ ἀρετῆς καὶ κλέος ἀνθυπάτων·
Ὡς δὲ φύσις μιν ἔλυσεν ἀπὸ χθονός, ἀθάνατοι μὲν
Αὐτὸν ἔχουσι θεοί, σῶμα δὲ σηκὸς ὅδε.

NICARCHI. 2.

Dulcitium quidem reges summas vitæ ad dignitates
Duxêre ob virtutem, & honorem proconsulum.
Cùm verò natura ipsum soluit à terrâ, immortales quidem
Ipsum habent Dij, corpus verò sepulcrum hoc.

ΙΟΥΛΙΑΝΟΥ Αἰγυπτίου.

[a]Κλεινὸς Ἰωάννης. [b]θνητός, λέγε. [a]γαμβρὸς ἀνάσσης.
[b]Θνητὸς ὅμως. [a]γενεῆς ἄνθος Ἀναστασίου.
[b]Θνητοῦ κἀκείνου. [a]βίον ἔνδικος. [b]οὐκ ἔτι τοῦτο
Θνητὸν ἔφης. ἀρεταὶ κρείσσονές εἰσι μόρου.

IVLIANI Ægyptij. 3.

[a]Inclytus Ioannes. [b]Mortalis, dic [a]Socer reginæ.
[b]Mortalis tamen. [a]Generis flos Anastasij.
[b]Mortalis eius quoque. [a]In vitâ iustus. [b]Non amplius hoc
Mortale dicis. Virtutes meliores sunt morte.

ΧΡΗΣΤΟΔΩΡΟΥ.

Οὗτος Ἰωάννην κρύπτει τάφος, ὅς ῥ' Ἐπιδάμνου
Ἄστρον ἔην, τὴν δὴ παῖδες ἀριπρεπέες
Ἔκτισαν Ἡρακλῆος· ὅθεν καὶ μέρμερος ἥρως
Αἰεὶ τῶν ἀδίκων σκληρὸν ἔκοπτε μόθον.
Εἶχε δ' ἀπ' εὐσεβέων προγόνων ἐρικυδέα πάτρην,
Λύχναδον, ἣν Φοῖνιξ Κάδμος ἔδειμε πόλιν.
Ἔνθεν λύχνος ἔην Ἑλικώνιος, οὕνεκα Κάδμος
Στοιχείων Δαναοῖς πρῶτος ἔδειξε τύπον.
Εἰς ὕπατος δ' ἀνέλαμψε· καὶ Ἰλλυριοῖσι δικάζων,
Μούσας καὶ καθαρὴν ἐστεφάνωσε δίκην.

CHRESTODORI. 4.

Hoc Ioannem abſcondit ſepulcrum, qui ſanè Epidamni
Sydus erat, quod filij Marte inſignes
Condiderunt Herculis: vnde etiam curioſus heros
Semper iniuſtorum impium pulſauit robur.
Habuit verò à piis progenitoribus laudatam patriam,
Lychnadum, quam Phœnix Cadmus conſtruxit vrbem.
Hinc lucerna fuit Heliconia, vnde Cadmus
Litterarum Danaïs primus monſtrauit characteres.
In conſulibus verò refulſit: & Illyriis ius dicens,
Muſas & puram coronauit iuſtitiam.

Ἀδέσποτον.

Εἰ γένος εὐσεβέων ζώει μετὰ τέρμα βίοιο,
Ναιετάον κατὰ θυμὸν ἀνὰ στόμα φωτὸς ἑκάστου,
Ἀνδρέα, σὺ ζώεις, οὐ κάτθανες· ἀλλά σε χῶρος
Ἄμβροτος ἀθανάτων ἁγίων ὑπεδέξατο καμόντα.

Incerti. 5.

Si genus piorum viuit poſt terminum vitæ,
Habitans iuxta animum in ore omnium,
Andrea, tu viuis, non mortuus es: ſed te locus
Immortalis Deorum ſanctorum ſuſcepit defunctum.

ΚΑΡΦΥΛΙΔΟΥ.

Μὴ μέμψῃ παριὼν τὰ μνήματά μου παροδῖτα·
Οὐδὲν ἔχω θρήνων ἄξιον οὐδὲ θανών.
Τέκνων τέκνα λέλοιπα· μιῆς ἀπέλαυσα γυναικὸς
Συγγήρου· τρισσοῖς παισὶν ἔδωκα γάμους,
Ἐξ ὧν πολλάκι παῖδας ἐμοῖς ἐνεκοίμισα κόλποις,
Οὐδενὸς οἰμώξας οὐ νόσον, οὐ θάνατον.
Οἵ με καταστείσαντες ἀπήμονα, τὸν γλυκὺν ὕπνον
Κοιμᾶσθαι χώρην πέμψαν ἐπ' εὐσεβέων.

CARPHYLIDI. 6.

Ne reprehendas præteriens meum monumentum viator:
Nihil habeo luctu dignum, ne mortuus quidem.
Liberorum liberos reliqui: vnâ verò perfruebar vxore

Conſe-

Consenescente: Tribus pueris exhibui nuptias,
Ex quibus sæpius pueros meo foui sinu,
Nullius plorans aut morbum, aut mortem.
Qui mihi peragentes exsequias, vt dulcem somnum
Dormirem, in locum miserunt piorum.

Ἀδέσποτον.

Μὴ σύ γε θνητὸς ἐών, ὡς ἀθάνατος, τι λογίζου.
Οὐδὲν γὰρ βιότου πιστὸν ἐφημερίοις.
Εἰ καὶ τόνδε Κάσανδρον ἔχει σορὸς ἤδε θανόντα,
Ἄνθρωπον φύσεως ἄξιον ἀθανάτου.

Incerti. 7.

Ne tu mortalis cùm sis, tanquam immortalis ratioceris,
Nihil enim vitæ stabile est vitam viuentibus.
Si & hunc Cassandrum habet loculus hic mortuum,
Hominem natura dignum immortali.

Εἰς τὸν αὐτόν.

Τίς λίθος οὐκ ἐδάκρυσε σέθεν φθιμένοιο, Κάσανδρε;
Τίς πέτρος ὃς τῆς σῆς λήσεται ἀγλαΐης;
Ἀλλά σε νηλεὴς καὶ βάσκανος ὤλεσε δαίμων,
Ἡλικίην ὀλίγην εἰκοσιὲξ ἐτέων·
Ὃς χήρην ἄλοχον θῆκεν, μογεροὺς τε τοκῆας
Γηραλέους, στυγερῷ πένθει τειρομένους.

In Eundem. 8.

Quis lapis non defleret te mortuum Cassander?
Quæ petra quæ tuæ obliuisceretur pulchritudinis?
Sed te crudele & inuidum perdidit fatum,
Iuuentutem paruam viginti sex annorum.
Quod viduam vxorem fecit, mœstósque parentes
Senes, tristi dolore afflictos.

ΘΑΛΛΟΥ.

Διοτρεφάν Μίλητε, τεῆς βλαστήματα γαίης,
Ἰταλὶς ὠκυμόροις ἀμφεκάλυψε κόνις·
Γείτονα δὴ στεφάνων ἠλλάξαο λείψανα σῇ αἶ, αἶ.

Ἔδρακες ἐν βαιῇ κάλπιδι κευθόμενα.
Φεῦ, πάτρα τετάλαινα· πόθεν πάλιν ἢ πότε τοίους
Ἀστέρας αὐχήσεις Ἑλλάδι λαμπομένους;

THALLI. 9.

Bina lumina, Milete, tuæ germina terræ
Italicus citò morientes contexit cinis:
Cum luctu coronas permutaſti. Et reliquias, æ, æ,
Vidiſti in paruula vrna conditas.
Heu! Patria ter miſera, vnde rurſus, aut quando tales
Stellas iactabis in Græcia lucentes?

ΚΑΛΛΙΜΑΧΟΥ.

Τῇδε Σάων ὁ Δίκωνος Ἀκάνθιος ἱερὸν ὕπνον
Κοιμᾶται· θνήσκειν μὴ λέγε τοὺς ἀγαθούς.

CALLIMACHI. 10.

Hîc Saon Diconis filius Acanthius ſacrum ſomnum
Dormit. Mori ne dixeris *viros* bonos.

ΜΕΛΕΑΓΡΟΥ.

Παμμῆτορ γῆ χαῖρε· σὺ τὸν πάρος οὐ βαρὺν εἰς σὲ
Αἰσιγένην, καὐτὴ νῦν ἐπέχοις ἀβαρής.

MELEAGRI. 11.

Omnimater terra ſalue: tu illum, qui prius non grauis in te,
Auſigenem, & ipſa nunc contegas non grauis.

ΗΓΗΣΙΠΠΟΥ.

Τὴν ἐπὶ πυρκαϊῆς ἐν δέξια φασὶ κέλευθον
Ἑρμείαν τοὺς ἀγαθοὺς ἐς Ῥαδάμανθυν ἄγειν.
Ἧ, καὶ Ἀριστόνοος Χαιρεστράτου οὐκ ἀδάκρυτος
Παῖς Ἡγησίλεω δῶμ' ἀΐδος κατέβη.

HEGESIPPI. 12.

Per rogi dexteram dicunt viam
Mercurium viros bonos ad Rhadamanthum ducere.
Qua via Ariſtonous quoq; Chæreſtrati filius non lacrumabilis
Filius Hegeſilaï domum inferni ſubiit.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ, ἐπὶ Θεοδότῳ τῷ γαμβρῷ, ἐπ' ἔχθρᾳ τετελευτηκότι τῆς ἰδίας γαμετῆς.

Ναὶ μὰ τὸν ἐν γαίῃ πύματον δρόμον, οὔτε μ' ἄκοιτις
 Ἔστυγεν, οὔτ' αὐτὸς Θευδότος εὐγενέτης.
Ἐχθρὸς ἑκὼν γενόμην. ἀλλὰ φθόνος ἤ τις ἄτη
 Ἡμέας ἐς τοσσήνδ' ἤγαγεν ἀμπλακίην.
Νῦν δ' ἐπὶ Μινώην καθαρὴν κρηπῖδα μολόντες,
 Ἀμφότεροι λευκὴν ψῆφον ἐδεξάμεθα.

AGATHIÆ Scholastici super Theodotum generum qui odio mortuus est propriæ vxoris. 13.

Certè per in terrâ vltimum transitum, neque me coniux
 Odio habuit, neque ipse Theodotus generosus.
Hostis sponte factus sum. Verùm inuidia, aut quædá calamitas
 Nos in tantum deduxit peccatum.
Nunc ad Minoëm per purum solium transeuntes,
 Vterque album calculum accepimus.

ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Πρηΰς, ἐλευθερίην ἐπιειμένος, ἡδὺς ἰδέσθαι,
 Ἐν βιότῳ προλιπὼν υἱέα γηροκόμον,
Τύμβον ἔχει Θεόδωρος ἐπ' ἐλπίδι κρείσσονι μοίρης,
 Ὄλβιος ἐν καμάτοις, ὄλβιος ἐν θανάτῳ.

PAVLI SILENTIARII. 14.

Mansuetus, libertatem indutus, dulcis aspectu,
 In vita relinquens filium senectutis nutritorem,
Tumbam habet Theodorus in spe meliore fati,
 Felix in laboribus, felix in morte.

ΛΕΩΝΙΔΟΥ.

Ἐσθλὸς Ἀριστοκράτης ὅτ' ἀπέπλεεν εἰς Ἀχέροντα,
 Εἶπ' ὀλιγοχρονίης ἁψάμενος κεφαλῆς,
Παίδων τις μνήσαιτο, καὶ ἐνδείξαιτο γυναῖκα,

Εἰ καί μιν δάκνοι δυσβίοτος πενίη.
Ζωῆς φυλάσσοιτο· κακὸν δ' ἄστυλος ἰδέσθαι
Οἶκος· ὁ δ' αὖ λωστός τ' ἀνέρος ἐσχαρεών,
Εὐκίων φαίνοιτο, καὶ ἐν πολυκαέι ἀλκῇ
Ἐστῇ, αὐγάζων δαλὸν ἐπεσχάριον.
Ἤδει Ἀριστοκράτης τὸ χρήγυον· ἀλλὰ γυναικῶν
Ἄνθρωπ' ἤχθαιρεν τὴν ἀλιπφρεσύνην.

LEONIDÆ. 15.

Bonus Aristocrates, qui nauigauit ad Acherontem,
Dixit breuis æui tangens caput,
Puerorum quis recordetur, & dote datâ ducat vxorem,
Quamuis ipsum mordeat vitæ ingrata paupertas.
Vitam *liberis* fulciat. Malum est columna carentem videre
Domum. Hic rursus optimus viri focus,
Bene columnatus appareat, & in magnâ lignorum congerie
Stet, intuens carbonem super foco.
Norat Aristoctates veritatem: sed mulierum
O homo odio habuit stultam sapientiam.

ΣΩΦΡΟΝΙΟΥ Πατριάρχου Ἱεροσολύμων
εἰς τὸν τάφον Ἰωάννου πάπα
Ἀλεξανδρείας.

Τύμβε, τίς, ἢ πόθεν ἦν, καὶ τί; παῖς τίνος; ἔργα καὶ ὄλβον,
Νεκρὸς ὃν ἔνδον ἔχεις, ἔννεπε, κευθόμενον.
Οὗτος Ἰωάννης, Κύπριος γένος, υἱὸς ἐτύχθη
Εὐγενέος Στεφάνου· ἦν δὲ νομεὺς Φαρίης.
Κτήματα μὲν πολύολβος ὅλων πλέον ὧν περὶ Κύπρος,
Ἐκ πατέρος πατέρων, ἐξ ὁσίων τε πόνων.
Ἔργα δὲ θέσκελα πάντα λέγειν ἄπορον ἐν χθονὶ τεύξεν,
Οὐδ' ἐμοῦ ἐστι νόου, οὐδ' ἑτέρων στομάτων.
Πάντα γὰρ ἄνδρα παρῆλθε φαεινοτέραις ἀρετῇσι,
Δόξαν τὰ κρατέει ταῖς ἀρεταῖς ἑτέρων.
Τοῦ, καὶ κάλλεα πάντα, τάπερ πόλις ἔλλαχεν αὐτή,

Εἰσὶ φιλοφροσύνης κόσμος ἀρειότατος.

SOPHRONII Patriarchæ Hierosolymorum in ſepulcrum Iohannis patris Alexandriæ. 16.

Sepulcrum, quis, & vnde erat, & quid? filius cuius? opera & for-(tunam,
Mortuus, quem intus habes, dic, abſconditum.
Hic Iohannes, Cyprius genere, filius fuit
Generoſi Stephani: erat autem præſul Alexandriæ.
Quoad opes ditiſſimus omnium quotquot nutrit Cyprus,
Ex patre patrum, ex ſanctiſque laboribus.
Opera verò ſancta omnia dicere, quæ in terrâ fecit,
Neque meæ eſt mentis, neque aliorum oris.
Omnem verò virum antecelluit illuſtribus virtutibus,
Qui viſus eſt imperare virtutibus reliquorum.
Cuius & decora omnia, quæ ciuitas conſecuta eſt hæc,
Sunt beniuolentiæ ornatus optimus.

Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Ἀρχὸς Ἰωάννης Φαρίης ἀρετῶν ἱερείων,
Ἐνθάδε νῦν μετὰ τέρμα φίλῃ παρὰ πατρίδι κεῖται.
Θνητὸν γὰρ λάχε σῶμα, καὶ εἰ βίον ἄφθιτον ἔσχεν,
Ἀθανάτους πρήξεις τε κατὰ χθόνα ῥέξεν ἀπείρους.

Eiuſdem in eundem. 17.

Princeps Iohannes Phariæ virtutum ſacerdotalium,
Hic nunc poſt finem amicâ in patriâ iacet.
Mortale enim ſortitus eſt corpus, licèt vitam æternâ habuerit,
Immortalia etiam opera in terra fecit infinita.

ΣΙΜΩΝΙΔΟΥ.

Τὸν αὐτοῦ τις ἕκαστος ἀποφθιμένων ἀνιᾶται·
Νικόδικον δὲ φίλοι καὶ πόλις ἥδε κλαίει.

SIMONIDÆ. 18.

Suum vnuſquiſque inter mortuos dolet:
Nicodicum verò amici, & hæc vrbs deflet.

Ἄδηλον.

Τοῦτό τοι ἡμετέρης μνημήϊον, ἐσθλὲ Σαβῖνε,

Ἁ λίθος ἁ μικρά, τῆς μεγάλης φιλίης.
Αἰεὶ ζητήσω σε. σὺ δ', εἰ θέμις, ἐν φθιμένοισι
Τοῦ λήθης ἐπ' ἐμοὶ μή τι πίῃς πόματος.

Incerti. 19.

Hoc nostræ monumentum, bone Sabine,
Lapis paruus, magnæ amicitiæ:
Semper te quæram: tu verò, si fas, in mortuis
Obliuionis mei nunquam bibas poculum.

Ἄδηλον.

Ἐνθάδε τύμβος ἔχει θεοειδέας ἀνέρας ἐσθλούς,
Θεῖον Ἰωάννην, καὶ κλυτὸν Θεοδόσιον.
Ὧν ἀρετὴ πολύολβος ἐς οὐρανοῦ ἄντυγας ἦλθεν,
Καὶ φωτὸς μετόχους δεῖξεν ἀκηρασίου.

Incerti 20.

Hîc sepulcrum habet diuinos viros bonos,
Diuinum Iohannem, clarum Theodosium.
Quorum virtus diues in cæli orbes venit,
Et lucis participes fecit sinceræ.

Εἰς Νικόλαον πατριάρχην Ἀλεξανδρείας.

Ὃς βασιλῆας ἐδάμασε, καὶ ὑσμίνην κατέπαυσεν
Ἀντιπάλων, πατέρων εἵνεκεν εὐνομίης,
Οὗτος ὑπὸ σμικρῷ κατάκειται σήματι τῷδε,
Ἀρχιερεὺς Χριστοῦ Νικόλεως γεραιός.
Ἀλλ' ἀρετὴ πολύολβος ἐπέπλατο πείρατα κόσμου,
Καὶ ψυχὴ μακάρων ἀμφιπολεῖ θαλάμους.
Τοίην γὰρ βιοτὴν ποθέεσκεν ἐὼν ἐπὶ γαίης,
Σῶμα καλὸν πίπταν κυδαλίμοις καμάτοις.

In Nicolaum Patriarcham Alexandriæ. 21.

Qui reges domuit, & prœlium sopiuit
Hostium, parentum ob leges,
Hic sub paruo iacet monumento hoc,

Princeps ſacerdos Chriſti Nicolaus qui fuit:
Verùm virtus diues perſiliit terminos terræ,
Et anima beatorum circumit thalamos.
Talem enim vitam deſiderabat exſiſtens in terrâ,
Corpus pulchrum onerans glorioſis laboribus.

Εἰς τὸ αὐτό.

Στήλην εὐνομίης, καὶ σωφροσύνης ἀνάθημα,
Εἰκόνα Νικολάου στήσατο Γρηγόριος.

In idem. 22.

Columnam eunomiæ, & temperantiæ donarium,
Imaginem Nicolai conſtituit Gregorius.

Ἄλλο.

Οὐδὲ θανὼν κλέος ἐσθλὸν ἀπώλεσας ἐς χθόνα πᾶσαν,
Ἀλλ' ἔτι σῆς ψυχῆς ἀγλαὰ πάντα μένει.
Ὡς ἔλαχές τ' ἔμαθές τε φύσει μῆτιν πανάριστε·
Τῷ ῥα καὶ ἐς μακάρων νῆσον ἔβης Πυθέα.

Aliud. 23.

Neque mortuus gloriam eximiam perdidiſti in terrâ omni,
Sed adhuc animæ tuæ præclara omnia manent.
Quorum accepiſti & didiciſti naturâ conſilium, omniũ optime:
Et ob quas in beatorum inſulas tranſiiſti, Pythea.

ΚΑΛΛΙΜΑΧΟΥ.

Ἦν δίζῃ Τίμαρχον ἐν Ἄϊδος, ὄφρα πύθηαι
Ἤ τι περὶ ψυχῆς, ἢ πάλι πῶς ἔσεαι,
Δίζεσθαι φυλῆς Πτολεμαΐδος, υἱέα πατρὸς
Παυσανίου· δήεις δ' αὐτὸν ἐν εὐσεβέων.

CALLIMACHI. 24.

Si quæras Timarchum apud inferos, vt audias
Aut aliquid de animâ, aut poſt obitum quî erit,
Quære generationis Ptolemaïdis, filium patris
Pauſaniæ. Quæres verò ipſum inter pios.

ΕΙΣ ΑΓΩΝΙΣΤΑΣ, κεφ. β.

ΣΙΜΩΝΙΔΟΥ.

[a]Εἰπὸν τίς, τίνος ἐσσὶ, τίνος πατρίδος, τί δ' ἐνίκης.
[b]Κάσμυλος, Εὐαγόρου, Πύθια πὺξ, Ῥόδιος.

IN CERTATORES. Cap. II.

SIMONIDÆ. 1.

[a]Dic quis, cuius es, cuius patriæ, quid viceris.
[b]Caſmylus, Euagoræ, Pythia pugil, Rhodius.

Τοῦ αὐτοῦ.

Μίλωνος τόδ' ἄγαλμα καλοῦ καλὸν, ὅς ποτε Πίσῃ
Ἑπτάκι νικήσας, ἐς γόνατ' οὐκ ἔπεσεν.

Eiuſdem. 2.

Milonis hæc ſtatua pulchri pulchra, qui olim Piſæ
Septies victor, in genua non cecidit.

ΦΙΛΙΠΠΟΥ.

Τὸν ἐκ Σινώπης εἰ κλύεις Δαμόστρατον,
Πίτυν λαβόντα τὴν κατ' Ἰσθμὸν ἑξάκις,
Τοῦτον δέδορκας· οὗ κατ' εὔγυρον πάλην
Ψάμμος πεσόντος νῶτον οὐκ ἐσφράγισεν.
Ἴδ' αὖ προσώπου θηρόθυμον, ὡς ἔτι
Σώζει παλαιὰν τὴν ὑπὲρ νίκας ἔριν.
Λέγει δ' ὁ χαλκὸς, ἁ βάσις με λυσάτω,
Χὠς ἔμπνοος νῦν ἕβδομον κονίσομαι.

PHILIPPI. 3.

Ex Sinopâ ſi audis Damoſtratum,
Pineam accipientem in Iſthmiis ſexies,
Hunc vidiſti: cuius in gyrum actam luctam
Arena cadentis dorſum non ſignauit.
Vide rurſus faciem leoninam, quomodo adhuc
Seruet antiquam in pugnâ contentionem.

Dicit

Dicit autem æs, hæc basis me soluat,
Et tanquam viua septimum puluere conspergat.

ΚΑΛΛΙΜΑΧΟΥ.

Σύντομος ἦν ὁ ξένος ὁ καὶ τάφος. οὐ μακρὰ λέξω.
Θῆρις, Ἀριςαίου Κρής, ὑπ' ἐμοὶ δολιχόν.

CALLIMACHI. 4.

Breuis erat hospes, & hoc sepulcrum. non prolixa dicam.
Theris, Aristæi filius Cretensis, sub me curriculi spacium cucurrit.

ΕΙΣ ΑΔΕΛΦΟΥΣ, κεφ. γ.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Ἀντοῖος καὶ Παῦλος ἀδελφεὼ ἄμφω ἐόντε,
Ξυνὴν μὲν βιότου συζυγίην ἐχέτην,
Ξυνὰ δὲ καὶ μοίρης λαχέτην λίνα, καὶ παρὰ θῖνα
Βοσπορίην, ξυνὴν ἀμφεβάλοντο κόνιν.
Οὐδὲ γὰρ ἀλλήλοιν ζώειν ἀπάνευθε δυνάσθην,
Ἀλλὰ ξυντρεχέτην καὶ παρὰ Φερσεφόνην.
Χαίρετον ὦ γλυκερὼ καὶ ὁμόφρονε· σῆμα τι δ' ὑμέων
Ὤφελεν ἱδρύσθαι βωμὸς ὁμοφροσύνας.

IN FRATRES, Cap. III.

AGATHIÆ Scholastici. 1.

Latolis & Paulus fratres duo existentes,
Communem vitæ coniunctionem habebant,
Communia & fati sortiti sunt fila, & ad littus
Bosporium communi tecti sunt puluere.
Neque enim inuicem viuere sine altero poterant,
Sed simul cucurrerunt & ad Proserpinam.
Saluete ô dulces & concordes: sepulcrum verò vestrum
Debuit constitui ara concordiæ.

Τοῦ αὐτοῦ.

Εἷς δύ' ἀδελφειοὺς ἐπέχει τάφος· ἓν γὰρ ἐπέχον
 Ἦμαρ καὶ γενεῆς τῶν δύο καὶ θανάτου.

Eiusdem. 2.

Vnus duos fratres obtinet tumulus: vnum enim obtinuerunt
 Diem ortus ambo & mortis.

ΕΙΣ ΑΛΙΕΑΣ, κεφ. ογ

ΣΑΠΦΟΥΣ.

Τῷ γριπεῖ Πελάγωνι πατὴρ ἀνέθηκε Μενίσκος
 Κύρτον, καὶ κώπαν, μνᾶμα κακοζοΐας.

IN PISCATORES, Cap. IIII.

SAPPHVS. 1.

Piſcatori Pelagoni pater ſuſpendit Meniſcus
 Naſſam, & remum, monumentum malæ vitæ.

ΙΟΥΛΙΑΝΟΥ Αἰγυπτίου.

Μύγδων τέρμα βίοιο λαχὼν, αὐτόστολος ἦλθεν
 Εἰς ἀΐδην, νεκύων πορθμίδος οὐ χατέων,
Ἣν γὰρ ἔχε ζώων βιοδώτορα, μάρτυρα μόχθων,
 Ἄγραις εἰναλίαις πολλάκι βειθομένην,
Τὴν δὲ καὶ ἐν θανάτῳ λάχε σύνδρομον, εὖτε τελευτὴν
 Εὕρετο, συλλήξας ὁλκάδι καιομένῃ.
Οὕτω πιστὸν ἄνακτι πέλε σκάφος, οἶκον ἀέξον
 Μύγδωνι, καὶ σύμπλουν ἐς βίον, ἐς θάνατον.

IVLIANI Ægyptij. 2.

Mygdon terminum vitæ ſortitus, ſuo acatio combuſtus venit
 Ad inferos, mortuorum cymba non indigens.
Quam enim habuit viuẽs victus largitricem, teſtem laborum,
 Piſcationibus marinis ſæpe onuſtam,
Illam etiam in morte habuit curſus ſociam, cùm finem
 Inuenit, diem claudens naui incenſa.
Sic fidelis fuit regi ſcapha, domum tribuens
 Mygdoni, & vnà nauigantem in vitam, in mortem.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ἰχθυοθηρητῆρα Μενέστρατον ὤλεσεν ἄγρη,
Δούνακος ἱππείης ἐκ τριχὸς ἑλκομένη.
Εἶδαρ ὅτ' ἀγκίστρου φόνιον πλάνον ἀμφιχανοῦσα,
Ὀξείην ἐρυθρὴ φυκὶς ἔθλιψε πάγην·
Ἀγνυμένη δ' ὑποδῦσα κατέκτανεν ἅλματι λάβρῳ
Ἐντὸς ὀλισθηρῶν δυσαμένη φαρύγων.

APOLLONIDÆ. 3.

Piſcatorem Meneſtratum perdidit piſcatio,
Calami equinâ ex ſetâ tracta.
Eſcam cum hami lethalem dolum hiatu complectens,
Teneram rubra Phycis fregit glaciem:
Fracta verò ſubmerſum interemit ſaltu voraci
Intus lubricas ſubiens fauces.

ΕΙΣ ΑΝΔΡΕΙΟΥΣ. κεφ. ε.

ΑΝΑΚΡΕΟΝΤΟΣ.

Καρτερὸς ἐν πολέμοις Τιμόκριτος, οὗ τόδε σᾶμα.
Ἄρης δ' οὐκ ἀγαθῶν φείδεται, ἀλλὰ κακῶν.

IN FORTES, Cap. V.

ANACREONTIS. 1.

Fortis in bello Timocritus, cuius hoc ſepulcrum.
Mars verò non bonis parcit, ſed malis.

ΑΝΤΙΠΑΤΡΟΥ.

Ὄρνι, Διὸς Κρονίδαο διάκτορε, τεῦ χάριν ἔστας
Γοργὸς ὑπὲρ μεγάλου τύμβον Ἀριστομένους;
Ἀγγέλλω μερόπεσσιν ὅθ' οὕνεκεν ὅσσον ἄριστος
Οἰωνῶν γενόμαν, τόσσον ὅδ' ἠϊθέων.
Δειλαί τοι δειλοῖσιν ἐφεδρήσσουσι πέλειαι·

Ἄμμες δ' ἀτρέστοις ἀνδράσι τερπόμεθα.

ANTIPATRI. 2.

[a]Auis Iouis Saturnij nuncie, cuius gratia astas
Velox super magni tumulum Aristomenis?
[b]Nuncio mortalibus, qui, ob id quantum ego optima
Auium facta sum, tantum hic heroum.
Timidæ timidis assident columbæ:
Nos verò intrepidis delectamur viris.

ΑΝΑΚΡΕΟΝΤΟΣ.

Ἀβδήρων προθανόντα τὸν αἰνοβίην Ἀγάθωνα
Πᾶσ' ἐπὶ πυρκαϊῆς ἥδ' ἐβόησε πόλις.
Οὔ τινα γὰρ τοιόνδε νέων ὁ φιλαίματος Ἄρης
Ἠνάρισε στυγερῆς ἐν στροφάλιγγι μάχης.

ANACREONTIS. 3.

Inter Abderos primo morientem bellicosum Agathonem
Omnis ad rogum hæc luxit ciuitas.
Non enim talem iuuenem cruentus Mars
Interfectum spoliauit horribilis in fluctu pugnæ.

ΜΕΝΑΝΔΡΟΥ εἰς Ἐπίκουρον καὶ Θεμιστοκλέα.

Χαῖρε Νεοκλείδα, δίδυμον γένος, ὧν ὁ μὲν ὑμῶν,
Πατρίδα δουλοσύνας ῥύσαθ', ὁ δ' ἀφροσύνας.

MENANDRI in Epicurum & Themistoclem. 4.

Salue Neoclide, geminum genus, quorum hic quidé vestrum,
Patriam è seruitute liberauit, hic verò stultitiâ.

ΓΕΡΜΑΝΙΚΟΥ εἰς Θεμιστοκλέα.

Ἀντὶ τάφου λιτοῖο θὲς Ἑλλάδα, θὲς δ' ἐπὶ ταύτᾳ
Δούρατα βαρβαρικᾶς σύμβολα ναυφθορίας·
Καὶ τύμβῳ κρηπῖδα περίγραφε Περσικὸν Ἄρη,
Καὶ Ξέρξην. τούτοις θάπτε Θεμιστοκλέα.
Στάλα δ' ἁ Σαλαμὶς ἐπικείσεται, ἔργα λέγουσα
Τἀμά. τί με σμικροῖς τὸν μέγαν ἐντίθετε;

GERMANICI in Themiſtoclem. 5.

Pro ſepulcri lapide pone Græciam, pone verò ſuper hanc
Haſtas Barbaricæ ſymbola cladis nauium:
Et tumulo fundamentum circumſcribe Perſicum Martem,
Et Xerxem His ſepeli Themiſtoclem.
Columna verò Salamin ſubponatur, opera dicens,
Hæc mea. quid me paruis magnum inſponitis?

Τοῦ αὐτοῦ.

Τοῦτο Θεμιστοκλῆ κενὸν ἠρίον εἵσατο Μάγνης
Λαός, ὅτ᾽ ἐκ Μήδων πατρίδα ῥυσάμενος,
Ὀθνείην ὑπέδυ χθόνα, καὶ λίθον· ἤθελεν οὕτως
Ὁ φθόνος· αἱ δ᾽ ἀρεταὶ μεῖον ἔχουσι γέρας.

Eiúſdem. 6.

Hoc Themiſtocli vacuum monumentum poſuit Magneſius
Populus, cùm à Medis patriam liberans,
Alienam ſubiit terram, & lapidem. Voluit ſic
Inuidia. Virtutes verò maius habent præmium.

ΑΛΦΕΙΟΥ Μιτυληναίου εἰς τὸν αὐτόν.

Οὔρεα μὲν καὶ πόντον ὑπὲρ τύμβοιο χάραξε,
Καὶ μέσσον ἀμφοτέρων μάρτυρα Λητοΐδην,
Ἀενάων τε βαθὺν ποταμῶν ῥόον, οἵ ποτε ῥείθροις
Ξέρξου μυριόναυν οὐχ ὑπέμειναν Ἄρη.
Ἔγγραφε καὶ Σαλαμῖνα, Θεμιστοκλέους ἵνα σῆμα
Κηρύσσῃ Μάγνης δῆμος ἀποφθιμένου.

ALPHÆI Mitylenæi in eundem. 7.

Montes & pontum ſuper tumulum ſculpe,
Et medium vtriuſque teſtem Solem,
Perenniúmque profundum fluminũ fluxum, qui olim fluctibus
Xerxis mille nauium non ſuſtinuerunt Martem.
Scribe & Salaminem, Themiſtoclis vt ſepulcrum
Collaudet Magneſius populus mortui.

ΔΙΟΔΩΡΟΥ εἰς τὸν αὐτόν.

Μὴ μέτρει Μάγνητι τὸ πηλίκον οὔνομα τύμβῳ,

Μηδὲ Θεμιστοκλέους ἔργα σε λανθανέτω·

Τεκμαίρεο Σαλαμῖνι καὶ ὁλκάσι τὸν φιλόπατριν·

Γνώσῃ δ' ἐκ τούτων μείζονα Κεκροπίης.

DIODORI in eundem. 8.

Non metire, Magnesia, quantum sit nomen tumulo,
Neque Themistoclis opera te lateant:
Significa Salamini & nauibus patriæ amatorem.
Cognosces verò ex his maiora Atheniensibus.

ΔΙΟΤΙΜΟΥ.

Οὐδὲ λέων ὡς δεινὸς ἐν οὔρεσιν, ὡς ὁ Μίκωνος

Υἱὸς Κριναγόρης ἐν σακέων πατάγῳ.

Εἰ δὲ κάλυμμ' ὀλίγον, μὴ μέμφεο· μικρὸς ὁ χῶρος,

Ἀλλ' ἄνδρας πολέμου τλήμονας οἶδε φέρειν.

DIOTIMI. 9.

Neque leo tam terribilis est in montibus, vt Myconis
Filius Crinagoras in clypeorum plausu.
Licèt sepulcrum paruum, ne reprehendas: paruus locus,
Sed viros bella ferentes nouit ferre.

ΔΙΟΣΚΟΥΡΙΔΟΥ.

Τᾷ Πιτάνᾳ Θρασύβουλος ἐπ' ἀσπίδος ἤλυθεν ἄπνους,

Ἑπτὰ πρὸς Ἀργείων τραύματα δεξάμενος,

Δεικνὺς πρόσθια πάντα. τὸν αἱματόεντα δ' ὁ πρέσβυς

Παῖδ' ἐπὶ πυρκαϊῆς Τύννιχος εἶπε τιθεὶς,

Δειλοὶ κλαιέσθωσαν· ἐγὼ δέ σε τέκνον ἄδακρυς

Θάψω, τὸν, καὶ ἐμὸν, καὶ Λακεδαιμόνιον.

DIOSCORIDIS. 10.

Pitanæ Thrasybulus super clypeum veniebat mortuus,
Septem ab Argiuis vulnera accipiens,
Demonstrans aduersa omnia. Sanguinolentum verò senex
Puerum super rogum Tynnichus dixit ponens,
Ignaui fleant: ego verò te filium sine fletu
Sepeliam, hunc, & meum, & Lacedæmonium.

ΕΡΥΚΙΟΥ.

Αὐίκ' ἀπὸ πολέμου πρέσδυτα τι δέξατο μήτηρ
Παῖτα τὸν ὅπλις ἣν κόσμον ὀλωλεκότα,
Αὐτά τοι φονίαν Δαμάτειε αὐτίκα λόγχην
Εἶπε διὰ πλατέων ὤσα μθῦα λαγόνων,
Κάτθανε, μηδ' ἐχέτω Σπάρτα ψόγον· οὐ γὰρ ἐκείνα
Ημπλακεν εἰ δειλοὺς τοὺμὸν ἔπρεψε γάλα.

ERYCII. 11.

Cùm è bello fugientem te cepit mater,
Omnem armatum ornatum cùm perdidisses,
Ipsa mortiferam, Damatrie, statim hastam
Dixit per lata impellens latera,
Morere, neque habeat Sparta vituperium. Non enim illa
Peccauit, si ignauos meum lac nutriuit.

ΔΑΜΑΓΗΤΟΥ.

Ω δ' ὑπὲρ Αμβρακίας ὁ βοαδρόμος ἀσπίδ' ἀείρας
Τεθνάμεν ἢ φεύγειν εἵλετ' Αρισταγόρας,
Υἱὸς Θεοπόμπου. μὴ θαῦμ' ἔχε· Δωρικὸς ἀνὴρ
Πατρίδος οὐ ζωᾶς ὀλλυμένας ἀλέγει.

DAMAGETI. 12.

Sic super Ambraciæ defensione auxiliator, hastam tollens
Mori quàm fugere maluit Aristagoras,
Filius Theopompi. Ne mirum hoc habe. Doricus vir
Patriam, non vitam pereuntem curat.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Αἴλιος Αὐσονίης στρατιῆς πρόμος, ὁ χρυσέοισι
Στέμμασι σωρεύσας αὐχένας ὁπλοφόρους,
Νοῦσον ὅτ' εἰς ὑπάτην ὠλίσθανε, τέρμα τ' ἄφυκτον,
Εἶδεν ἀριστείην ἀμφανὲς εἰς ἰδίην.
Πῆξε δ' ὑπὸ σπλάγχνοισιν ἑὸν ξίφος· εἶπέ τε θνήσκων,
Αὐτὸς ἑκὼν ἐδάμην, μὴ νόσος εὖχος ἔχοι.

APOLLONIDÆ. 13.

Ælius Ausonij exercitus præfectus, qui aureis

Coronis onerans ceruices arma ferentes,
Morbum cùm in extremum incidit, & terminũ ineuitabilem;
Respexit fortitudinem intentè in propriam:
Fixit verò in præcordiis suum gladium: & dixit moriens,
Ego sponte à me ipso superatus sum. Non morbus hanc gloriam habeat.

ΦΙΛΙΠΠΟΥ εἰς τὸν αὐτόν.

Αἴλιος ὁ θρασύχειρ, Ἀργεῖος πρόμος, ὀψὲ δηώσας
Αὐχένα χρυσοδέτοις ἐκ πολέμου στεφάνοις,
Τηξιμελεῖ νούσῳ κεκολουμένος, ἔδραμε θυμῷ
Ἐς προτέρων ἔργων ἄρσενα μαρτυρίην·
Ὦσε δ' ὑπὸ σπλάγχνοις πλατὺ φάσγανον, ἓν μόνον εἰπών,
Ἄνδρας Ἄρης κτείνει, θηλυτέρας δὲ νόσος.

PHILIPPI in eundem. 4.

Ælius manu audax, Argis præfectus, qui serò onerârat
Ceruicem auro ligatis ex bello coronis,
Tabifico morbo imminutus, cucurrit animo
In priorum operum virile testimonium:
Impulit sub pectus latum gladium, vnum solum dicens,
Viros Mars occidit, mulieres verò morbus.

ΜΝΗΣΑΛΚΟΥ.

Οἵδε πάτραν, πολύδακρυν ἐπ' αὐχένι δεσμὸν ἔχουσαν,
Ῥυόμενοι δνοφερὰν ἀμφεβάλοντο κόνιν.
Ἄρνυνται δ' ἀρετᾶς αἶνον μέγαν. ἀλλά τις ἀστῶν
Τούσδ' ἐσιδὼν, θνάσκειν τλάτω ὑπὲρ πατρίδος.

MNESALCI. 15.

Hi patriam, lacrumabilem in ceruice vinculum habentem
Liberantes, caliginoso circundantur cinere.
Sortiti verò sunt virtutis laudem magnam. Sed aliquis ciuium
Hos intuens, mori audeat pro patriâ.

ΓΕΤΟΥΛΙΚΟΥ.

Ω χθόνιε, παντοίων θνητῶν πολὺ [illegible] δαῖμον,
Ἄγγελος ἡμετέρων πᾶσι γλυκὺ παθέων·

Ως ἱερὰν σώζειν πειρώμενοι Ἑλλάδα χώραν,
  Βοιωτῶν κλεινοῖς θνήσκομεν ἐν δαπέδοις.

GETVLII. 16.

O tempus, variorum mortalium inspector Deus,
  Nuncius nostrorum omnibus fias laborum:
Qui sacram seruare tentantes Helladem regionem,
  Bœotiorum inclyto morimur in solo.

ΑΝΤΙΠΑΤΡΟΥ.

Ἰσσοῦ ἐπὶ προβολῇσιν, ἁλὸς παρὰ κῦμα Κιλίσσης
  Ἄγριον, αἱ Περσῶν κείμεθα μυριάδες,
Ἔργον Ἀλεξάνδροιο Μακηδόνος· οἵ ποτ' ἄνακτι
  Δαρείῳ πυμάτην οἶμον ἐφεσπόμεθα.

ANTIPATRI. 17.

Issi in proiectu, maris iuxta fluctum Cilicis
  Turbidum, Persarum iacemus myriades,
Opus Alexandri Macedonis: qui olim regi
  Dareo vltimam viam sequebamur.

ΑΛΚΑΙΟΥ.

Ἄκλαυστοι καὶ ἄθαπτοι ὁδοιπόρε τῷδ' ἐπὶ τύμβῳ
  Ἠμαθίης τρισσαὶ κείμεθα μυριάδες,
Ἠμαθίῃ μέγα πῆμα. τὸ δὲ θρασὺ κεῖνο Φιλίππου
  Πνεῦμα, θοῶν ἐλάφων ᾤχετ' ἐλαφρότερον.

ALCÆI. 18.

Indeplorati & insepulti, ô viator, in hoc tumulo
  Æmathiæ, ternæ iacemus myriades.
Æmathię magnum damnum. Verùm audax ille Philippi
  Spiritus, velocibus ceruis fugit celerius.

Εἰς τοὺς ἐν Θερμοπύλαις θανόντας.

Μυριάσιν ποτὲ τῇδε τριηκοσίαις ἐμάχοντο
  Ἐκ Πελοποννήσου χιλιάδες τέτταρες.

In illos qui ad Thermopylas mortui. 19.

Myriadibus quondam hîc trecentis depugnarunt
  Ex Peloponneso Chiliades quatuor.

Εἰς τοὺς αὐτούς.

Ω ξεῖν' ἄγγελλον Λακεδαιμονίοις ὅτι τῇδε
  Κείμεθα, τοῖς κείνων πειθόμενοι νομίμοις.

In eoſdem. 20.

O hoſpes, nuncia Lacedæmoniis quòd hîc
  Iacemus, illorum obſequentes legibus.

Εἰς τοὺς αὐτούς.

Ακμᾶς ἑστηκυῖαν ἐπὶ ξυροῦ Ἑλλάδα πᾶσαν,
  Ταῖς ἡμῶν ψυχαῖς κείμεθα ῥυσάμενοι.

In eoſdem. 21.

Sub acumine ſtantem nouaculæ Græciam omnem,
  Noſtris animabus iacemus liberantes.

Εἰς τοὺς αὐτούς.

Ασβεστον κλέος οἵδε φίλῃ περὶ πατρίδι θέντες,
  Κυάνεον θανάτου ἀμφεβάλοντο νέφος.
Οὐδὲ τεθνᾶσι θανόντες, ἐπεί σφ' ἀρετὴ καθύπερθε
  Κυδαίνουσ', ἀνάγει δώματος ἐξ ἀΐδα.

In eoſdem. 22.

Inextinguibilem gloriam hi amicam ob patriam conſequẽtes,
  Nigra mortis circundati ſunt nube.
Neque mortui ſunt morientes, cùm illos virtus ſupernè
  Laudans, reducit ex domo inferni.

Εἰς τοὺς αὐτούς.

Εἰ τὸ καλῶς θνήσκειν ἀρετῆς μέρος ἐστὶ μέγιστον,
  Ἡμῖν ἐκ πάντων τοῦτ' ἀπένειμε τύχη.
Ἑλλάδι γὰρ σπεύδοντες ἐλευθερίην περιθεῖναι,
  Κείμεθ' ἀγηράντῳ χρώμενοι εὐλογίῃ.

In eoſdem. 23.

Si pulchrè mori virtutis pars eſt maxima,
  Nobis ex omnibus hoc attribuit fortuna.
Græciæ enim feſtinantes libertatem tribuere,
  Iacemus nunquam ſeneſcenti vtentes laude.

ΣΙΜΩΝΙΔΟΥ.

Χαίρετ' ἀριστῆες πολέμου, μέγα κῦδος ἔχοντες,
Κοῦροι Ἀθηναίων, ἔξοχοι ἱπποσύνῃ,
Οἵ ποτε καλλιχόρου περὶ πατρίδος ὠλέσαθ' ἥβην,
Πλείστοις Ἑλλήνων ἀντία μαρνάμενοι.

SIMONIDÆ. 24.

Saluete fortissimi in bello, magnam gloriam habentes,
Iuuenes Atheniensium, eximij in equitatu,
Qui olim amœnam ob patriam perdidistis iuuentutem,
Multis Græcorum contra pugnantes.

ΑΙΣΧΥΛΟΥ.

Κυανέη καὶ τούσδε μενέγχεας ὤλεσεν ἄνδρας
Μοῖρα, πολύρρηνον πατρίδα ῥυομένους.
Ζωὸν δὲ φθιμένων πέλεται κλέος, οἵ ποτε γυίοις
Τλήμονες Ὀσσαίαν ἀμφιέσαντο κόνιν.

ÆSCHYLI. 25.

Atra etiam hos hastâ validos perdidit viros
Parca, pecorum abundantem patriam liberantes.
Viua verò mortuorum est laus, qui olim membris
Perferentes Ossæum induerunt puluerem.

Ἀδέσποτον.

Παῖδες Ἀθηναίων, Περσῶν στρατὸν ἐξολέσαντες,
Ἤρκεσαν ἀργαλέην πατρίδι δουλοσύνην.

Incerti. 26.

Pueri Atheniensium, Persarum exercitum perdentes,
Prohibuerunt difficilem patriæ seruitutem.

ΣΙΜΩΝΙΔΟΥ.

Οἵδε παρ' Εὐρυμέδοντί ποτ' ἀγλαὸν ὤλεσαν ἥβην,
Μαρνάμενοι Μήδων τοξοφόρων προμάχοις,
Αἰχμηταί, πεζοί τε καὶ ὠκυπόρων ἐπὶ νηῶν
Κάλλιστον δ' ἀρετῆς μνῆμ' ἔλιπον φθίμενοι.

SIMONIDÆ. 27.

Hi apud Eurymedontem præclaram perdiderunt iuuentam,
Pugnantes Medorum arcus ferentium antesignanis.
Bellatores, pedestrésque, & velocibus in nauibus: (tui.
Pulcherrimum verò virtutis monumentū reliquerunt mor-

ΠΛΑΤΩΝΟΣ.

Οἵδε ποτ' Αἰγαίοιο βαρύβρομον οἶδμα λιπόντες,
Ἐκβατάνων πεδίῳ κείμεθ' ἐνὶ μεσάτῳ.
Χαῖρε κλυτή ποτε πατρὶς Ἐρέτρια, χαίρετ' Ἀθῆναι
Γείτονες Εὐβοίης, χαῖρε θάλασσα φίλη.

PLATONIS. 28.

Hi verò quondam Ægæi graue sonantem fluctum relinquētes,
Ecbatanorum solo iacemus in medio.
Salue inclyta olim patria Eretria, saluete Athenæ
Vicinæ Eubœæ, salue mare amicum.

Ἀδήλου.

Εὐβοίης γένος ἐσμὲν Ἐρετρικόν, ἄγχι δὲ Σούσων
Κείμεθα· φεῦ, γαίης ὅσσον ἀφ' ἡμετέρης.

Incerti. 29.

Eubœę genus sumus Eretrium: propè verò Susos
Iacemus: hei! terrâ quantum à nostrâ!

ΔΑΜΑΓΗΤΟΥ.

Ὦ Λακεδαιμόνιοι, τὸν ἀρήιον ὔμμιν ὁ τύμβος
Γύλλιν ὑπὲρ Θυρέας τοῦτ' ἔχει φθίμενον,
Ἄνδρα ὃς Ἀργείων τρεῖς ἔκτανε· καὶ τόδε γ' εἶπε,
Τεθναίην, Σπάρτας ἄξια μησάμενος.

DAMAGETI. 30.

O Lacedæmonij, Martium vobis tumba
Gyllin pro ciuitate hæc habet mortuum,
Virum, qui Argiuorum tres occidit: & hoc dixit,
Moriar, Spartæ digna molitus.

ΤΥΜΝΕΩ.

Τὶν παρβάντα νόμως Δαμάτριον ἔκτανε μάτηρ,

Ἁ Λακεδαιμονία τὸν Λακεδαιμόνιον.
Θῆκε τὸ δ' ἐν προβολᾷ θαμινὰ ξίφος, εἶπεν, ὀδόντα
Ὀξὺν ἐπιβρύχουσ', οἷα Λάκαινα γυνά,
Ἔῤῥε κακὸν σκυλάκευμα, κακὰ μερὶς, ἔῤῥε ποθ' ᾅδαν·
Ἔῤῥε· τὸν οὐ Σπάρτας ἄξιον ἐτρέφομες.

TYMNEI. 31.

Prætergressum leges Damatrion occidit mater,
Lacedæmonia, Lacedæmonium.
Acutum in conflictu ponens gladium, dixit, dentem
Acutum frendens, tanquam Lacæna mulier,
Peri male catule, mala pars, abi ad Orcum:
Peri: quem non Spartâ dignum nutriuimus.

ΔΙΟΣΚΟΥΡΙΔΟΥ.

Εἰς δηΐων πέμψασα λόχους Δημαινέτη ὀκτὼ
Παῖδας, ὑπὸ στήλῃ πάντας ἔθαπτε μιᾷ·
Δάκρυα δ' οὐκ ἔῤῥηξ' ἐπὶ πένθεσιν, ἀλλὰ τόδ' εἶπε
Μοῦνον, ἰὼ Σπάρτα σοὶ τέκνα ταῦτ' ἔτεκον.

DIOSCORIDÆ. 32.

In hostium mittens insidias Demæneta octo
Filios, sub columnâ omnes sepeliuit vnâ:
Lacrumas verò non profudit præ dolore, sed hoc dixit
Solum, Iò Sparta tibi filios hos nutriui.

ΦΑΕΝΝΟΥ.

Οὐκ ἔτλας ὦ 'ριστε Λεωνίδα αὖθις ἱκέσθαι
Εὐρώταν, χαλεπῷ σπερχόμενος πολέμῳ,
Ἀλλ' ἐπὶ Θερμοπύλαισι τὸ Περσικὸν ἔθνος ἀμύνων,
Ἐδμάθης, πατέρων ἁζόμενος νόμιμα.

PHAENNI. 33.

Non sustinuisti, optime Leonida, rursus venire
Eurotam, difficili impulsus bello,
Sed ad Thermopylas Persicam gentem repellens,
Domitus es parentum venerans leges.

ΔΑΜΑΓΗΤΟΥ.

Ὤλεο δὴ πατέρων περὶ ληΐδα καὶ σὺ Μαχάτα,
 Δεινὸν ἐπ' Αἰτωλοῖς ἀντιφέρων πόλεμον,
Πρωθήβας. χαλεπὸν γὰρ Ἀχαϊκὸν ἄνδρα νοῆσαι
 Ἄλκιμον, εἰς πολιὰν ὅστις ἔμεινε τρίχα.

DAMAGETI. 34.

Periisti parentum in agris & tu bellator,
 Acre contra Ætolos gerens bellum,
Impubis. Difficile enim Achiuum virum videre
 Fortem, ad canos qui peruenit capillos.

Τοῦ αὐτοῦ.

Ἔστης ἐν προμάχοις Χαιρωνίδη, ὧδ' ἀγορεύσας,
 Ἢ μόρον ἢ νίκαν Ζεῦ πολέμοιο δίδου,
Ἡνίκα τοι περὶ τάφρον Ἀχαιΐδα τῇ ποτε νυκτὶ
 Δυσμενέες θρασέος δῆριν ἔθεντο πόνου.
Ναὶ μὴν ἀλλ' ἀρετή σε διακριδὸν ἄλλος ἀείδει,
 Θερμὸν ἀνὰ ξείνην αἷμα χέαντα κόνιν.

Eiusdem. 35.

Stabas in primâ acie, Chæronida, sic dicens,
 Aut mortem, aut victoriam Iupiter belli da.
Quando ad fossam Achiuam quondam nocte
 Hostes audacis pugnam commiserunt laboris.
Profecto sed virtus te omnium calculis satis celebrat,
 Calidum iuxta hospitem sanguinem effundentem terram.

ΛΕΩΝΙΔΟΥ.

Τὴν ὀλίγην βῶλον, καὶ τοῦτ' ὀλιγήριον ὦνερ
 Σῆμα ποτιφθέγξαι τλάμονος Ἀλκιμέδευς.
Εἰ καὶ πᾶν κέκρυπται ὑπ' ὀξείης παλιούρου
 Καὶ βάτου, ὧν ποτ' ἐγὼ δήιος Ἀλκιμέδης.

LEONIDÆ. 36.

Paruam glebam, & hoc tenue, ô vir,
 Sepulcrum compella audacis Alcimenis.
Quamuis totum tegitur à spinosâ paliuro

Et rubo, eram tamen olim ego bellicoſus Alcimenes.

ΑΝΥΤΗΣ.

Λύδιον οὖδας ἔχει τόδ' Ἀμύντορα παῖδα Φιλίππου,
  Πολλὰ σιδηρείης χερσὶ θιγόντα μάχης.
Οὐδέ μιν ἀλγινόεσσα νόσος δόμον ἤγαγε νυκτὸς,
  Ἀλλ' ὄλετ' ἀμφ' ἑτάρῳ σχὼν κυκλόεσσαν ἴτυν.

ANYTES. 37.

Lydia terra habet hæc Amyntorem filium Philippi,
  Multùm ferream manibus tangentem pugnam.
Neque ipſum dolorificus morbus domum deduxit noctis,
  Sed periit pro ſociis habens rotundum clypeum.

Τῆς αὐτῆς.

Οὐχὶ Θεμιστοκλέους Μάγνης τάφος, ἀλλὰ κέχωσμαι,
  Ἑλλήνων φθονερῆς σῆμα κακοξεπίης.

Eiuſdem. 38.

Nóne Themiſtoclis Magneſia eſt ſepulcrũ? Sed aggeſtus ſum,
  Græcorum inuidioſæ tumulus malitiæ.

Ἄδηλον.

Ἠμαθίην ὃς πρῶτος ἐς Ἄρεα βῶσα Φίλιππος,
  Αἰγαίην κεῖμαι βῶλον ἐφεσσάμενος,
Ῥέξας οἷ' οὔπω βασιλεὺς πάρος. εἰ δέ τις αὐχεῖ
  Μεῖζον ἐμεῦ, καὶ τοῦθ' αἵματος ἡμετέρου.

Incerti. 39.

Æmathiam qui primus in Martem proceſſi Philippus,
  Ægæam iaceo terram indutus.,
Qui feci qualia nondum rex antè. Quòd ſi quis iactet
  Plus me, & hoc eſt ſanguinis noſtri.

ΠΑΡΜΕΝΙΩΝΟΣ.

Τύμβον Ἀλεξάνδροιο Μακηδόνος ἤν τις ἀείδῃ,
  Ἠπείρους κείνου σῆμα λέγ' ἀμφοτέρας.

PARMENIONIS. 40.

Tumulum Alexandri Macedonis ſi quis canat,
  Continentem illius ſepulcrum dic vtrumque.

Ἀδήλου.

Οἵδ' ἀΐδαν στέρξαντες ἐνύπνιον, οὐχ ἅπερ ἄλλοι
Στάλαν, ἀλλ' ἀρετὴν αὖτ' ἀρετᾶς ἔλαβον.

Incerti. 41.

Qui mortem amarunt somnum, non vt alij.
Columnam, sed virtutem pro virtute acceperunt.

ΠΟΛΥΣΤΡΑΤΟΥ.

Τὸν μέγαν Ἀκροκόρινθον Ἀχαΐκὸν, Ἑλλάδος ἄστρον,
Καὶ διπλῆν Ἰσθμοῦ σύντροφον ἠϊόνα,
Λεύκιος ἐστυφέλιξε· δορυπτοίητα δὲ νεκρῶν
Ὀστέα σωρευθεὶς εἷς ἐπέχει σκόπελος.
Τοὺς δὲ δόμον Πριάμοιο πυρὶ πρήσαντας, Ἀχαιοὺς
Ἀκλαύστους κτερέων νόσφισαν Αἰνεάδαι.

POLYSTRATI. 42.

Magnum Acrocorinthum Achaïcum, Grçciæ astrum,
Et duplex Isthmo adhærens litus,
Lucius euerti. ferro prostrata autem mortuorum
Ossa sepeliens vnus continet scopulus.
Qui verò domum Priami igne combusserunt, Achiuos
Indeploratos funere priuarunt Æneadæ.

ΠΕΙΣΑΝΔΡΟΥ.

Ἀνδρὶ μὲν Ἱππαίμων ὄνομ' ἦν, ἵππῳ δὲ, Πόδαργος·
Καὶ κυνὶ, Θήραργος· καὶ θεράποντι, Βάβης.
Θεσσαλὸς, ἐκ Κρήτης, Μάγνης γένος, Αἵμονος υἱός·
Ὤλετο δ' ἐν προμάχοις, ὀξὺν Ἄρη συνάγων.

PISANDRI. 43.

Viro quidem Hippæmon nomen erat, equo verò Podargus,
Et cani Theragrus: & famulo Babes.
Thessalus, ex Cretâ, Magnes genere, Æmonis filius:
Periit verò in prima acie acrem Martem concitans.

Ἀδήλου.

Οἱ πρὸς Ῥωμαίους δηϊὸν στήσαντες Ἄρηα,

Κεῖνται,

Κεῖνται, ἀριστείης σύμβολα δεικνύμενοι.
Οὐ γάρ τις μετὰ νῶτα τυπεὶς θάνεν, ἀλλ' ἅμα πάντες
Ὤλοντο κρυφίῳ καὶ δολερῷ θανάτῳ.

Incerti. 44.

Qui contra Romanos grauem erexerunt Martem,
Iacent, fortitudinis documenta monstrantes.
Non enim aliquis circa dorsum percussus occidit, sed simul omnes
Perierunt occultâ & dolosâ morte.

ΣΙΜΩΝΙΔΟΥ.

Θηρῶν μὲν κάρτιστος ἐγώ, θνατῶν δ' ὃν ἐγὼ νῦν
Φρουρῶ, τῷδε τάφῳ λαΐνῳ ἐμβεβαώς.

SIMONIDÆ. 45.

Ferarum quidem robustissima ego, hominum v. quẽ ego nunc
Seruo, hunc tumulum lapideum ingressus.

Ἀδήλου.

Ἀλλ' εἰ μὴ θυμόν γε λέων ἐμὸν ὡς ὄνομ' εἶχεν,
Οὐκ ἂν ἐγὼ τύμβῳ τῷδ' ἐπέθηκα πόδας.

Incerti. 46.

Quod si animo leo non fuissem, vt meum nomen habet,
Non ego huic tumulo imposuissem pedes.

Ἀδήλου.

Τῶνδε δι' ἀνθρώπων ἀρετὰν οὐχ ἵκετο καπνὸς
Αἰθέρα δαιομένης εὐρυχόρου Τεγέης.
Οἳ βούλοντο πόλιν μὲν ἐλευθερίᾳ τεθαλυῖαν
Παισὶ λιπεῖν, αὐτοὶ δ' ἐν προμάχοισι θανεῖν.

Incerti. 47.

Per horum hominum virtutem non venit fumus
Ad æthera combustæ spatiosæ Tegeæ:
Qui voluerunt vrbem quidem libertate florentem
Liberis relinquere, ipsi verò in primâ acie mori.

ΒΑΣΣΟΥ.

Φωκίδι πὰρ πέτρῃ δέρκευ τάφον· εἰμὶ δ' ἐκείνων
Τῶν ποτὲ μηδοφόνων μνῆμα τριηκοσίων.

Οἳ Σπάρτας ἀπὸ γᾶς τηλοῦ πέσον, ἀμβλυνάντες
  Ἄρεα καὶ Μήδων καὶ Λακεδαιμονίων.
Ἣν δ' ἐσορῇς ἐπ' ἐμοῖο * βόστρυχον, εἰκόνα θῆρος,
  Ἔννεπε, τοῦ ἀγοῦ μνᾶμα Λεωνίδεω.

BASSI. 48.

Phocidem apud petram vide tumulum: ſum verò illorum
  Qui olim Medos occiderunt monumentorum trecentorũ.
Qui Spartanâ à terrâ procul occubuerunt, obtundentes
  Martem & Medorum & Lacedæmoniorum.
Cùm verò vides ſuper me boues occidentem, imaginem feræ,
  Dic, ducis monumentum Leonidæ.

ΓΑΙΤΟΥ.

Δισσὰ τριηκοσίων τάδε φάσγανα θούριος Ἄρης
  Ἐσπασεν, Ἀργείων καὶ Λακεδαιμονίων·
Ἔνθα μάχην ἔτλημεν ἀνάγγελον, ἄλλος ἐπ' ἄλλοις
  Πίπτοντες· θυρέα δ' ἦσαν ἄεθλα δορός.

GÆTI. 49.

Duplices trecentorum gladios bellicoſus Mars
  Extraxit Argiuorum & Lacedæmoniorum:
Vbi pugnam ſuſtinuimus ſine nuncio, alius in alium
  Cadentes. Thyrea verò erant præmia pugnæ.

Εἰς τὸ αὐτό.

Οἱ δὲ τριηκόσιοι Σπάρτα πατρί, τοῖς συναρίθμοις
  Ἰναχίδαις θυρέαν ἀμφὶ μαχεσσάμενοι,
Αὐχένας οὐ στρέψαντες ὅπα ποδὸς ἴχνια πρῶτον
  Ἁρμόσαμεν, ταύτα καὶ λίπομεν βιοτάν.
Ἄρσενι δ' Ὀθρυάδαο φόνῳ κεκαλυμμένον ὅπλον
  Καρύσσει, θυρέα (Ζεῦ) Λακεδαιμονίων.
Εἰ δέ τις Ἀργείων ἔφυγεν μόρον, ἦν ἀπ' Ἀδράστου·
  Σπάρτᾳ δ' οὐ τὸ θανεῖν, ἀλλὰ φυγεῖν θάνατος.

In idem. 50.

Hi trecenti ô Sparta patria, totidem numero cum

Inachidis propter Thyream pugnantes,
Ceruices non conuertentes,quo loco pedis vestigia prius
Coniunximus,eo etiam reliquimus vitam.
Masculâ verò Othryadæ cæde operta arma
Declarant,Thyrea(ô Iupiter)esse Lacedæmoniorum.
Si quis verò Argiuorum effugit mortem,erat is ab Adrasto:
Spartæ verò vrbi non mori,sed fugere mors est.

ΧΑΙΡΗΜΟΝΟΣ.

Τοῖς Ἀργείοις χ' ἡμῖν ἴσαι χέρες, ἶσα δὲ τεύχη
Συμβαλόμεθ'· θυρέα δ' ἦσαν ἄεθλα δορός.
Ἄμφω δ' ἀπρόφασιστα τὸν οἴκαδε νόστον ἀφέντες,
Οἰωνοῖς θανάτου λείπομεν ἀγγελίαν.

CHÆREMONIS. 51.

Argiuis & nobis pares manus,& paria arma
Contulimus.Thyrea verò erant præmiũ nostri certaminis.
Vtrique verò sine prætextu reditum domum relinquentes,
Auibus mortis reliquimus nuncium.

ΣΙΜΩΝΙΔΟΥ.

Εὐθυμάχων ἀνδρῶν μνησώμεθα, τῶν ὅδε τύμβος,
Οἳ θάνον εὔμηλον ῥυόμενοι Τεγέαν,
Αἰχμηταὶ πρὸ πόλιος· ἵνα σφίσι μὴ καθέληται
Ἑλλὰς ἀποφθιμένοις κάρτος ἐλευθερίας.

SIMONIDÆ. 52.

Rectâ pugnantium in faciem virorum recordamur, quorum hic tumulus
Qui mortui *sc.ouibus* abundantem liberantes Tegeam,
Bellatores pro ciuitate:vt ipsis non auferat
Græcia mortuis robur libertatis.

ΑΝΥΤΗΣ.

Μνᾶμα τόδε φθιμένου Μενεδαΐου εἵσατο Δᾶμις,
Ἵππου ἐπεὶ στέρνον τοῦδε δαφοινὸς Ἄρης
Τύψε· μέλαν δὲ τὸ αἷμα ταλαυρίνου διὰ χρωτὸς
Ζέσ', ἐπὶ δ' ἀργαλέαν βῶλον ἔδευσε φόνῳ.

ANYTÆ. 53.

Sepulcrum hoc mortui Menedæi posuit Damis
Equo cùm pectus huius cruentus Mars
Percussit: niger verò sanguis per durâ pelle munitum corpus
Ebulliit. Tristem verò terram irrigauit cæde.

ΣΙΜΩΝΙΔΟΥ.

Δίρφυος ἐδμήθημεν ὑπὸ πτυχί· σῆμα δ' ἐφ' ἡμῖν
Ἐγγύθεν Εὐρίπου δημοσίᾳ κέχυται,
Οὐκ ἀδίκως· ἐρατὴν γὰρ ἀπωλέσαμεν νεότητα,
Τρηχεῖαν πολέμου δεξάμενοι νεφέλην.

SIMONIDÆ. 54.

Diphrys domiti sumus in iugis. Sepulcrum verò super nos
Propè Euripum publicè fusum est,
Non iniustè. amabilem verò perdidimus iuuentam,
Asperam belli suscipientes nubem.

Τοῦ αὐτοῦ.

Εὐκλέας αἶα κέκευθε Λεωνίδα, οἳ μετὰ σεῖο
Τῇδ' ἔθανον, Σπάρτης εὐρυχόρου βασιλεῦ·
Πλείστων δὴ τόξων τε καὶ ὠκυπόδων σθένος ἵππων,
Μηδείων τ' ἀνδρῶν δεξάμενοι πόλεμον.

Eiusdem. 55.

Gloriosos terra abscondit, ô Leonida, qui tecum
Hìc mortui sunt, Spartæ spaciosæ rex:
Plurimorum arcuum & velocium robur equorum,
Medorúmque virorum cùm suscepissent bellum.

ΝΙΚΑΝΔΡΟΥ.

Ζεῦ πάτερ, Ὀθρυάδα τίνα φέρτερον ἔδρακες ἄλλον;
Ὃς μόνος ἐκ Θυρέας οὐκ ἐθέλησε μολεῖν
Πατρίδ' ἐπὶ Σπάρτην, διὰ δὲ ξίφος ἤλασε πλευρῶν,
Δοῦλα καταγράψας σκῦλα κατ' Ἰναχιδᾶν;

NICANDRI. 56.

Iupiter pater, Othryadâ quem meliorem vidisti alium?
Qui solus ex Thyreâ noluit redire

In patriam Spartam, sed gladium transegit per latera,
Seruilia conscribens spolia contra Argiuos.

ΘΕΟΔΩΡΙΔΟΥ.

Τόλμα καὶ εἰς ἀΐδην καὶ ἐς οὐρανὸν ἄνδρα κομίζει,
Ἃ καὶ Σωσάνδρου παῖδ' ἐπέβασε πυρᾶς
Δωρόθεον. Φθίᾳ γὰρ ἐλεύθερον ἦμαρ ἰάλλων,
Ἐρράγη ἐν σηκῷ μεσσόθι καὶ Χιμάρας.

THEODORIDÆ. 57.

Audacia & ad inferos & ad cœlum virum effert,
Quæ etiam Sosandri filium imposuit rogo.
Dorotheum. Phthiæ enim liberum diem mittens
Contusus est in medio inter Sicum & Chimaras.

ΕΙΣ ΑΝΔΡΑΣ ΟΥΚ ΕΠΙΣΗΜΟΥΣ, κεφ. ϛ.

ΔΙΟΣΚΟΡΙΔΟΥ.

Ἐμπορίης λήξαντα Φιλόκριτον, ἄρτι δ' ἀρότρου
Γευόμενον, ξείνῳ Μέμφις ἔκρυψε τάφῳ.
Ἔνθα δραμὼν Νείλοιο πολὺ ῥόος, ὕδατι λάβρῳ
Ταἰδρὸς τὴν ὀλίγην βῶλον ἀπημφίασεν.
Καὶ ζωὸς μὲν ἔφευγε πικρὴν ἅλα· νῦν δὲ καλυφθεὶς
Κύμασι, ναυηγὸν σχέτλιος ἔσχε τάφον.

IN VIROS NON INSIGNES. Cap. VI.

DIOSCORIDÆ. I.

A mercatura cessantem Philocritum, iam verò aratrum
Gustantem, communi Memphis texit sepulcro,
Vbi currens Nili magnus fluuius, aquâ voraci
Viri paruam glebam cooperuit.
Et viuus quidem fugit amarum mare: iam verò tumulatus
Fluctibus, naufragum miser habet tumulum.

Αδηλον.

Οὐ μὰ θεὸν, οὐδὲ Λύκωνα παρήσομεν, ὅτι ποδαλγὴς
    Κάτθανε· θαυμάζω τοῦτο μάλιςα δ' ἐγὼ,
Τὴν οὕτως ἀΐδαο μακρὴν ὁδὸν, ἃ πρὶν ὁ ποσσὶν
    Αλλοτρίοις βαδίσαι, ἔδραμε νυκτὶ μιᾷ.

Incerti. 2.

Certè, neque Lyconem relinquemus, qui pedibus dolens
    Obiit: miror hoc potissimùm ego, qui
Sic ad orcum longam viam, quâ prius pedibus
    Alienis incessit, cucurrit vnâ nocte.

Αδηλον.

Ο τὸν πολυςένακτον ἀνθρώπων βίον
Γέλωτι κεράσας Νικαεὺς Φιλιςίων,
Ενταῦθα κεῖμαι λείψανον παντὸς βίου,
Πολλάκις ἀποθανὼν, ὧδε δ' οὐδεπώποτε.

Incerti. 3.

Qui gemebundam hominum vitam
Risui commiscuit Nicaënsis Philistion,
Hîc iaceo, reliquiæ totius vitæ,
Sæpius mortuus, sic autem nunquam.

Αδέσποτον.

Αὑτῷ καὶ τεκέεσσι γυναικί τε τύμβον ἔδειμεν
    Ανδροτίων· οὔπω δ' οὐδενός εἰμι τάφος.
Οὕτω καὶ μείναιμι πολὺν χρόνον· εἰ δ' ἄρα καὶ δεῖ,
    Δεξαίμην ἐν ἐμοὶ τοὺς προτέρους, προτέρους.

Incerti. 4.

Sibi ipsi, & liberis, coniugíque tumulum construxit
    Androtion: nondum autem alicuius sum sepulcrum.
Sic etiam maneam multum tempus: si verò & oportet,
    Accipiam in me priores, ætate priores.

Αδηλον.

Οὔνομά μοι· τί δὲ τοῦτο; πατρὶς δέ μοι· ἐς τί δὲ τοῦτο;
    Κλεινοῦ δ' εἰμὶ γένους. εἰ γὰρ ἀφαυροτάτου;

Ζήσας ἐνδόξως ἔλιπον βίον. εἰ γὰρ ἀδόξως;
  Κεῖμαι δ' ἐνθάδε νῦν. τίς, τίνι ταῦτα λέγεις;

Incerti. 5.

Nomen mihi: Quid hoc? Patria verò mihi. Quid hoc quoque?
  Clari ſum generis. Quid ſi obſcuriſſimi?
Viuens glorioſe reliqui vitam. Quid ſi ingloriè?
  Iaceo verò hîc nunc. Quis? cui hæc dicis?

Ἄδηλον.

Θάψεν ὅ με κτείνας κρυπτὸν φόνον· εἰ δέ με τύμβῳ
  Δωρεῖται, τοίης ἀντιτύχοι χάριτος.

Incerti. 6.

Sepeliuit me qui me occidit, tegens cædē: ſi verò me ſepulcro
  Donauit, talem rurſus accipiat gratiam.

Ἄδηλον, εἰς τὸ αὐτό.

Ζωὴν συλήσας, δωρῇ τάφον· ἀλλά με κρύπτεις,
  Οὐ θάπτεις. τοίου κ' αὐτὸς ὄναιο τάφου.

Incerti, in idem. 7.

Vitam meam ſpolians das ſepulcrum: ſed abſcondis me,
  Non ſepelis. Tali & ipſe fruaris ſepulcro.

Ἄδηλον, εἰς τὸ αὐτό.

Κἂν με καταχρύπτῃς ὡς οὐδενὸς ἀνδρὸς ὁρῶντος,
  Ὄμμα Δίκης καθορᾷ πάντα τὰ γιγνόμενα.

Incerti in idem. 8.

Licet me ſepelias tanquam nemine viro vidente,
  Oculus Iuſtitiæ videt omnia quæ fiunt.

Ἄδηλον, εἰς τὸ αὐτό.

Ἔκτανες, εἶτα με θάπτεις ἀτάσθαλε χερσὶν ἐκείναις
  Αἷς με διεχρήσω. μή σε λάθοι Νέμεσις.

Incerti in idem. 9.

Occidiſti, poſtea me ſepelis, ſcelerate, manibus illis
  Quibus me occidiſti. Non te lateat Nemeſis.

Ἄδηλον, εἰς τὸ αὐτό.

Εἴ με νέκυν κατέθαπτες, ἰδὼν οἰκτίρμονι θυμῷ,

Εἰς τοὺς αὐτούς.

Ὦ ξεῖν' ἄγγελλον Λακεδαιμονίοις ὅτι τῇδε
Κείμεθα, τοῖς κείνων πειθόμενοι νομίμοις.

In eosdem. 20.

O hospes, nuncia Lacedæmoniis quòd hic
Iacemus, illorum obsequentes legibus.

Εἰς τοὺς αὐτούς.

Ἀκμᾶς ἑστηκυῖαν ἐπὶ ξυροῦ Ἑλλάδα πᾶσαν,
Ταῖς ἡμετέραις ψυχαῖς κείμεθα ῥυσάμενοι.

In eosdem. 21.

Sub acumine stantem nouaculæ Græciam omnem,
Nostris animabus iacemus liberantes.

Εἰς τοὺς αὐτούς.

Ἄσβεστον κλέος οἵδε φίλῃ περὶ πατρίδι θέντες,
Κυάνεον θανάτου ἀμφεβάλοντο νέφος.
Οὐδὲ τεθνᾶσι θανόντες, ἐπεί σφ' ἀρετὴ καθύπερθε
Κυδαίνουσ', ἀνάγει δώματος ἐξ Ἀΐδα.

In eosdem. 22.

Inextinguibilem gloriam hi amicam ob patriam consequẽtes,
Nigra mortis circundati sunt nube.
Neque mortui sunt morientes, cùm illos virtus supernè
Laudans, reducit ex domo inferni.

Εἰς τοὺς αὐτούς.

Εἰ τὸ καλῶς θνήσκειν ἀρετῆς μέρος ἐστὶ μέγιστον,
Ἡμῖν ἐκ πάντων τοῦτ' ἀπένειμε τύχη.
Ἑλλάδι γὰρ σπεύδοντες ἐλευθερίην περιθεῖναι,
Κείμεθ' ἀγηράντῳ χρώμενοι εὐλογίῃ.

In eosdem. 23.

Si pulchrè mori virtutis pars est maxima,
Nobis ex omnibus hoc attribuit fortuna.
Græciæ enim festinantes libertatem tribuere,
Iacemus nunquam senescenti vtentes laude.

ΣΙΜΩΝΙΔΟΥ.

Χαίρετ' ἀριστῆες πολέμου, μέγα κῦδος ἔχοντες,
Κοῦροι Ἀθηναίων, ἔξοχοι ἱπποσύνῃ,
Οἵ ποτε καλλιχόρου περὶ πατρίδος ὠλέσαθ' ἥβην,
Πλείστοις Ἑλλήνων ἀντία μαρνάμενοι.

SIMONIDÆ. 24.

Saluete fortissimi in bello, magnam gloriam habentes,
Iuuenes Atheniensium, eximij in equitatu,
Qui olim amœnam ob patriam perdidistis iuuentutem,
Multis Græcorum contra pugnantes.

ΑΙΣΧΥΛΟΥ.

Κυανέη καὶ τούσδε μενέγχεας ὤλεσεν ἄνδρας
Μοῖρα, πολύρρηνον πατρίδα ῥυομένους.
Ζωὸν δ' φθιμένων πέλεται κλέος, οἵ ποτε γυίοις
Τλήμονες Ὀσσαίαν ἀμφιέσαντο κόνιν.

ÆSCHYLI. 25.

Atra etiam hos hastâ validos perdidit viros
Parca, pecorum abundantem patriam liberantes.
Viua verò mortuorum est laus, qui olim membris
Perferentes Ossæum induerunt puluerem.

Ἀδέσποτον.

Παῖδες Ἀθηναίων, Περσῶν στρατὸν ἐξολέσαντες,
Ἤρκεσαν ἀργαλέην πατρίδι δουλοσύνην.

Incerti. 26.

Pueri Atheniensium, Persarum exercitum perdentes,
Prohibuerunt difficilem patriæ seruitutem.

ΣΙΜΩΝΙΔΟΥ.

Οἵδε παρ' Εὐρυμέδοντί ποτ' ἀγλαὸν ὤλεσαν ἥβην,
Μαρνάμενοι Μήδων τοξοφόρων προμάχοις,
Αἰχμηταί, πεζοί τε καὶ ὠκυπόρων ἐπὶ νηῶν
Κάλλιστον δ' ἀρετῆς μνῆμ' ἔλιπον φθίμενοι.

SIMONIDÆ. 27.

Hi apud Eurymedontem præclaram perdiderunt iuuentam,
Pugnantes Medorum arcus ferentium antesignanis.
Bellatores, pedestrésque, & velocibus in nauibus: (tui.
Pulcherrimum verò virtutis monumentũ reliquerunt mor-

ΠΛΑΤΩΝΟΣ.

Οἵδε ποτ' Αἰγαίοιο βαρύβρομον οἶδμα λιπόντες,
Ἐκβατάνων πεδίῳ κείμεθ' ἐνὶ μεσάτῳ.
Χαῖρε κλυτή ποτε πατρὶς Ἐρέτρια, χαίρετ' Ἀθῆναι
Γείτονες Εὐβοίης, χαῖρε θάλασσα φίλη.

PLATONIS. 28.

Hi verò quondam Ægæi graue sonantem fluctum relinquẽtes,
Ecbatanorum solo iacemus in medio.
Salue inclyta olim patria Eretria, saluete Athenæ
Vicinæ Eubœæ, salue mare amicum.

Ἄδηλον.

Εὐβοίης γένος ἐσμὲν Ἐρετρικόν, ἄγχι δὲ Σούσων
Κείμεθα· φεῦ, γαίης ὅσσον ἀφ' ἡμετέρης.

Incerti. 29.

Eubœę genus sumus Eretrium: propè verò Susos
Iacemus: hei! terrâ quantum à nostrâ!

ΔΑΜΑΓΗΤΟΥ.

Ὦ Λακεδαιμόνιοι, τὸν ἀρήιον ὔμμιν ὁ τύμβος
Γύλλιν ὑπὲρ Θυρέας τοῦτον ἔχει φθίμενον,
Ἄνδρα ὃς Ἀργείων τρεῖς ἔκτανε· καὶ τόδε γ' εἶπε,
Τεθναίην, Σπάρτας ἄξια μησάμενος.

DAMAGETI. 30.

O Lacedæmonij, Martium vobis tumba
Gyllin pro ciuitate hæc habet mortuum,
Virum, qui Argiuorum tres occidit: & hoc dixit,
Moriar, Spartæ digna molitus.

ΤΥΜΝΕΩ.

Τὸν παραβάντα νόμους Δαμάτριον ἔκτανε μάτηρ,

Α Λακεδαιμονία τὸν Λακεδαιμόνιον.
Θηκτὸν δ' ἐν προβολᾷ θεμένα ξίφος, εἶπεν, ὀδόντα
Ὀξὺν ἐπιβρύχουσ', οἷα Λάκαινα γυνά,
Ἔρρε κακὸν σκυλάκευμα, κακὰ μερίς, ἔρρε ποθ' ἄδαν·
Ἔρρε· τὸν οὐ Σπάρτας ἄξιον ἐτρέφομες.

TYMNEI. 31.

Prætergressum leges Damatrion occidit mater,
Lacedæmonia, Lacedæmonium.
Acutum in conflictu ponens gladium, dixit, dentem
Acutum frendens, tanquam Lacæna mulier,
Peri male catule, mala pars, abi ad Orcum:
Peri: quem non Spartâ dignum nutriuimus.

ΔΙΟΣΚΟΥΡΙΔΟΥ.

Εἰς δηΐων πέμψασα λόχους Δημαινέτη ὀκτὼ
Παῖδας, ὑπὸ στήλῃ πάντας ἔθαπτε μιᾷ·
Δάκρυα δ' οὐκ ἔρρηξ' ἐπὶ πένθεσιν, ἀλλὰ τόδ' εἶπε
Μοῦνον, ἰὼ Σπάρτα σοὶ τέκνα ταῦτ' ἔτεκον.

DIOSCORIDÆ. 32.

In hostium mittens insidias Demæneta octo
Filios, sub columnâ omnes sepeliuit vnâ:
Lacrumas verò non profudit præ dolore, sed hoc dixit
Solum, Iò Sparta tibi filios hos nutriui.

ΦΑΕΝΝΟΥ.

Οὐκ ἔτλας ὦ 'ριστε Λεωνίδα αὖθις ἱκέσθαι
Εὐρώτην, χαλεπῷ σπερχόμενος πολέμῳ,
Ἀλλ' ἐπὶ Θερμοπύλαισι τὸ Περσικὸν ἔθνος ἀμύνων,
Ἐδμάθης, πατέρων ἁζόμενος νόμιμα.

PHAENNI. 33.

Non sustinuisti, optime Leonida, rursus venire
Eurotam, difficili impulsus bello,
Sed ad Thermopylas Persicam gentem repellens,
Domitus es parentum venerans leges.

ΔΑΜΑΓΗΤΟΥ.

Ὤλεο δὴ πατέρων περὶ Ἀλίδα καὶ σὺ μαχητὰ,
  Δειμμὼ ἐπ' Αἰτωλοῖς ἀντιφέρων πόλεμον,
Πρωθήβας. χαλεπὸν γὰρ Ἀχαϊκὸν ἄνδρα νοῆσαι
  Ἄλκιμον, εἰς πολιὸν ὅστις ἔμεινε τρίχα.

DAMAGETI. 34.

Periiſti parentum in agris & tu bellator,
  Acre contra Ætolos gerens bellum,
Impubis. Difficile enim Achiuum virum videre
  Fortem, ad canos qui peruenit capillos.

Τοῦ αὐτοῦ.

Ἔστης ἐν προμάχοις Χαιρωνίδη, ὧδ' ἀγορεύσας,
  Ἢ μόρον ἢ νίκην Ζεῦ πολέμοιο δίδου,
Ἡνίκα τοι περὶ τάφρον Ἀχαιΐδα τῇ τότε νυκτὶ
  Δυσμενέες θρασέος δῆριν ἔθεντο πόνου.
Ναὶ μὴν ἀλλ' ἀρετή σε διακριδὸν ἅλις ἀείδει,
  Θερμὸν ἀνὰ ξείνην αἷμα χέαντα κόνιν.

Eiuſdem. 35.

Stabas in primâ acie, Chæronida, ſic dicens,
  Aut mortem, aut victoriam Iupiter belli da.
Quando ad foſſam Achiuam quondam nocte
  Hoſtes audacis pugnam commiſerunt laboris.
Profecto ſed virtus te omnium calculis ſatis celebrat,
  Calidum iuxta hoſpitem ſanguinem effundentem terram.

ΛΕΩΝΙΔΟΥ.

Τὴν ὀλίγην βῶλον, καὶ τοῦτ' ὀλιγήριον ὦνερ
  Σῆμα ποτιφθέγξαι τλάμονος Ἀλκιμένευς.
Εἰ καὶ πᾶν κέκρυπται ὑπ' ὀξείης παλιούρου
  Καὶ βάτου, ὧν ποτ' ἐγὼ δήιος Ἀλκιμένης.

LEONIDÆ. 36.

Paruam glebam, & hoc tenue ô vir,
  Sepulcrum compella audacis Alcimenis.
Quamuis totum tegitur à ſpinoſâ paliuro

Et rubo, eram tamen olim ego bellicoſus Alcimenes.

ΑΝΥΤΗΣ.

Λύδιον οὖδας ἔχει τόνδ' Ἀμύντορα παῖδα Φιλίππου,
 Πολλὰ σιδηρείης χερσὶ θιγόντα μάχης.
Οὐδέ μιν ἀλγινόεσσα νόσος δόμον ἤγαγε νυκτὸς,
 Ἀλλ' ὄλετ' ἀμφ' ἑτάρων σχὼν κυκλόεσσαν ἴτυν.

ANYTES. 37.

Lydia terra habet hæc Amyntorem filium Philippi,
 Multùm ferream manibus tangentem pugnam.
Neque ipſum dolorificus morbus domum deduxit noctis,
 Sed periit pro ſociis habens rotundum clypeum.

Τῆς αὐτῆς.

Οὐχὶ Θεμιστοκλέους Μάγνης τάφος, ἀλλά κέχωσμαι,
 Ἑλλήνων φθονερῆς σῆμα κακοκρισίης.

Eiuſdem. 38.

Nõne Themiſtoclis Magneſia eſt ſepulcrũ? Sed aggeſtus ſum,
 Græcorum inuidioſæ tumulus malitiæ.

Ἄδηλον.

Ἠμαθίην ὃς πρῶτος ἐς Ἄρεα βῆσα Φίλιππος,
 Αἰγαίην κεῖμαι βῶλον ἐφεσσάμενος,
Ῥέξας οἷ' οὔπω βασιλεὺς πάρος. εἰ δέ τις αὐχεῖ
 Μεῖζον ἐμεῦ, καὶ τοῦθ' αἵματος ἡμετέρου.

Incerti. 39.

Æmathiam qui primus in Martem proceſſi Philippus,
 Ægæam iaceo terram indutus.,
Qui feci qualia nondum rex antè. Quòd ſi quis iactet
 Plus me, & hoc eſt ſanguinis noſtri.

ΠΑΡΜΕΝΙΩΝΟΣ.

Τύμβον Ἀλεξάνδροιο Μακηδόνος ἤν τις ἀείδῃ,
 Ἠπείρους κείνου σῆμα λέγ' ἀμφοτέρας.

PARMENIONIS. 40.

Tumulum Alexandri Macedonis ſi quis canat,
 Continentem illius ſepulcrum dic vtrumque.

Ἀδήλου.

Οἵδ' αἰδῶ στέρξαντες ἐνύπνιον, οὐχ ἅπερ ἄλλοι
Στήλας, ἀλλ' ἀρετὴν ἀντ' ἀρετᾶς ἔλαβον.

Incerti. 41.

Qui mortem amarunt somnum, non vt alij.
Columnam, sed virtutem pro virtute acceperunt.

ΠΟΛΥΣΤΡΑΤΟΥ.

Τὸν μέγαν Ἀκροκόρινθον Ἀχαΐκόν, Ἑλλάδος ἄστρον,
Καὶ διπλῆν Ἰσθμοῦ σύντροφον ἠϊόνα,
Λεύκιος ἐστυφέλιξε· δορυπτοίητα δὲ νεκρῶν
Ὀστέα σωρευθεὶς εἷς ἐπέχει σκόπελος.
Τοὺς δὲ δόμον Πριάμοιο πυρὶ πρήσαντας, Ἀχαιοὺς
Ἀκλαύστους κτερέων νόσφισαν Αἰνεάδαι.

Polystrati. 42.

Magnum Acrocorinthum Achaïcum, Græciæ astrum,
Et duplex Isthmo adhærens litus,
Lucius euerti. ferro prostrata autem mortuorum
Ossa sepeliens vnus continet scopulus.
Qui verò domum Priami igne combusserunt, Achiuos
Indeploratos funere priuarunt Æneadæ.

ΠΕΙΣΑΝΔΡΟΥ.

Ἀνδρὶ μὲν Ἱππαίμων ὄνομ' ἦν, ἵππῳ δὲ, Πόδαργος·
Καὶ κυνὶ, Θήραγρος· καὶ θεράποντι, Βάβης.
Θεσσαλὸς, ἐκ Κρήτης, Μάγνης γένος, Αἵμονος υἱός·
Ὤλετο δ' ἐν προμάχοις, ὀξὺν Ἄρη συνάγων.

Pisandri. 43.

Viro quidem Hippæmon nomen erat, equo verò Podargus,
Et cani Theragrus: & famulo Babes.
Thessalus, ex Cretâ, Magnes genere, Æmonis filius:
Periit verò in prima acie acrem Martem concitans.

Ἀδήλου.

Οἱ πρὸς Ῥωμαίους δηϊὸν στήσαντες Ἄρηα,

Κεῖνται,

Κεῖνται, ἀριστείης σύμβολα δεχνύμενοι.
Οὐ γάρ τις μετὰ νῶτα τυπεὶς θάνεν, ἀλλ' ἅμα πάντες
Ὤλοντο κρυφίῳ καὶ δολερῷ θανάτῳ.

Incerti. 44.

Qui contra Romanos grauem erexerunt Martem,
Iacent, fortitudinis documenta monstrantes.
Non enim aliquis circa dorsum percussus occidit, sed simul o-
Perierunt occultâ & dolosâ morte. (mnes

ΣΙΜΩΝΙΔΟΥ.

Θηρῶν μὲν κάρτιστος ἐγώ, θνατῶν δ' ὃν ἐγὼ νῦν
Φρουρῶ, τῷδε τάφῳ λαΐνῳ ἐμβεβαώς.

SIMONIDÆ. 45.

Ferarum quidem robustissima ego, hominum v. quẽ ego nunc
Seruo, hunc tumulum lapideum ingressus.

Ἀδηλον.

Ἀλλ' εἰ μὴ θυμόν γε λέων ἐμὸν ὡς ὄνομ' εἶχεν,
Οὐκ ἂν ἐγὼ τύμβῳ τῷδ' ἐπέθηκα πόδας.

Incerti. 46.

Quod si animo leo non fuissem, vt meum nomen habet,
Non ego huic tumulo imposuissem pedes.

Ἀδηλον.

Τῶνδε δι' αἰ ἀρετὴν οὐχ ἵκετο καπνὸς
Αἰθέρα δαιομένης εὐρυχόρου Τεγέης.
Οἳ βούλοντο πόλιν μὲν ἐλευθερίᾳ τεθαλυῖαν
Παισὶ λιπεῖν, αὐτοὶ δ' ἐν προμάχοισι θανεῖν.

Incerti. 47.

Per horum hominum virtutem non venit fumus
Ad æthera combustæ spatiosæ Tegeæ:
Qui voluerunt vrbem quidem libertate florentem
Liberis relinquere, ipsi verò in primâ acie mori.

ΒΑΣΣΟΥ.

Φωκίδι πὰρ πέτρῃ δίρκευ τάφον εἰμὶ δ' ἐκεῖνον
Τῶν ποτε μυδοφόρων μνῆμα τελωνιάδων.

Οἳ Σπάρτας ἀπὸ γᾶς τηλοῦ πέσον, ἀμβλυνάντες
  Ἄρεα καὶ Μήδων καὶ Λακεδαιμονίων.
Ἢν δ' ἐσορῆς ἐπ' ἐμοῖο * βόστρυχον, εἰκόνα θηρὸς,
  Ἔννεπε, τοῦ ταγοῦ μνᾶμα Λεωνίδεω.

BASSI. 48.

Phocidem apud petram vide tumulum: ſum verò illorum
  Qui olim Medos occiderunt monumentorum trecentorũ.
Qui Spartanâ à terrâ procul occubuerunt, obtundentes
  Martem & Medorum & Lacedæmoniorum.
Cùm verò vides ſuper me boues occidentem, imaginem feræ,
  Dic, ducis monumentum Leonidæ.

ΓΑΙΤΟΥ[illegible]

Δισσὰ τριηκοσίων τάδε φάσγανα θούριος Ἄρης
  Ἔσπασεν, Ἀργείων καὶ Λακεδαιμονίων·
Ἔνθα μάχην ἔτλημεν αἰάγγελον, ἄλλος ἐπ' ἄλλῳ
  Πίπτοντες· θυρέα δ' ἦσαν ἄεθλα δορός.

GÆTI. 49.

Duplices trecentorum gladios bellicoſus Mars
  Extraxit Argiuorum & Lacedæmoniorum:
Vbi pugnam ſuſtinuimus ſine nuncio, alius in alium
  Cadentes. Thyrea verò erant præmia pugnæ.

Εἰς τὸ αὐτό.

Οἵδε τριηκόσιοι Σπάρτα πατρί, τοῖς συναρίθμοις
  Ἰναχίδαις θυρέαν ἀμφὶ μαχεσσάμενοι,
Αὐχένας οὐ στρέψαντες, ὅπα ποδὸς ἴχνια πρῶτον
  Ἁρμόσαμεν, ταύτᾳ καὶ λίπομεν βιοτάν.
Ἄρσενι δ' Ὀθρυάδαο φόνῳ κεκαλυμμένον ὅπλον
  Καρύσσει, Θυρέα (Ζεῦ) Λακεδαιμονίων.
Εἰ δέ τις Ἀργείων ἔφυγεν μόρον, ἦν ἀπ' Ἀδράστου·
  Σπάρτᾳ δ' οὐ τὸ θανεῖν, ἀλλὰ φυγεῖν θάνατος.

In idem. 50.

Hi trecenti ô Sparta patria, totidem numero cum

Inachidis propter Thyream pugnantes,
Ceruices non conuertentes, quo loco pedis vestigia prius
Coniunximus, eo etiam reliquimus vitam.
Mascula verò Othryadæ cæde operta arma
Declarant, Thyrea (ô Iupiter) esse Lacedæmoniorum.
Si quis verò Argiuorum effugit mortem, erat is ab Adrasto:
Spartæ verò vrbi non mori, sed fugere mors est.

ΧΑΙΡΗΜΟΝΟΣ.

Τοῖς Αργείοις χ' ἡμῖν ἴσαι χέρες, ἶσα δὲ τεύχη
Συμβαλόμεσθα· θυρέα δ' ἦσαν ἄεθλα δορός.
Αμφω δ' ἀπροφάσιστα τὸν οἴκαδε νόστον ἀφέντες,
Οἰωνοῖς θανάτου λείπομεν ἀγγελίαν.

CHÆREMONIS. 51.

Argiuis & nobis pares manus, & paria arma
Contulimus. Thyrea verò erant præmiũ nostri certaminis.
Vtrique verò sine prætextu reditum domum relinquentes,
Auibus mortis reliquimus nuncium.

ΣΙΜΩΝΙΔΟΥ.

Εὐθυμάχων ἀνδρῶν μνησώμεθα, τῶν ὅδε τύμβος,
Οἳ θάνον εὔμηλον ῥυόμενοι Τέγεαν,
Αἰχμηταὶ πρὸ πόλιος· ἵνα σφίσι μὴ καθέληται
Ελλὰς ἀποφθιμένοις κάρτος ἐλευθερίας.

SIMONIDÆ. 52.

Rectâ pugnantium in faciem virorum recordamur, quorum hic tumulus
Qui mortui *sc. ouibus* abundantem liberantes Tegeam,
Bellatores pro ciuitate: vt ipsis non auferat
Græcia mortuis robur libertatis.

ΑΝΥΤΗΣ.

Μνᾶμα τόδε φθιμένου Μενεδαΐου εἵσατο Δᾶμις,
Ιππου ἐπεὶ στέρνον τοῦδε δαφοινὸς Αρης
Τύψε· μέλαν δέ οἱ αἷμα ταλαυρείνου διὰ χρωτὸς
Ζέσσ', ἐπὶ δ' ἀργαλέᾳ βῶλον ἔδευσε φονᾷ.

ANYTÆ. 53.

Sepulcrum hoc mortui Menedæi posuit Damis
  Equo cùm pectus huius cruentus Mars
Percussit: niger verò sanguis per durâ pelle munitum corpus
  Ebulliit. Tristem verò terram irrigauit cæde.

ΣΙΜΩΝΙΔΟΥ.

Δίρφυος ἐδμήθημεν ὑπὸ πτυχί· σῆμα δ' ἐφ' ἡμῖν
  Ἐγγύθεν Εὐρίπου δημοσίᾳ κέχυται,
Οὐκ ἀδίκως· ἐρατὴν γὰρ ἀπωλέσαμεν νεότητα,
  Τρηχείην πολέμου δεξάμενοι νεφέλην.

SIMONIDÆ. 54.

Diphrvis domiti sumus in iugis. Sepulcrum verò super nos
  Propè Euripum publicè fusum est,
Non iniustè. amabilem verò perdidimus iuuentam,
  Asperam belli suscipientes nubem.

Τοῦ αὐτοῦ.

Εὐκλέας αἶα κέκευθε Λεωνίδα, οἳ μετὰ σεῖο
  Τῇδ' ἔθανον, Σπάρτας εὐρυχόρου βασιλεῦ·
Πλείστων δὴ τόξων τε καὶ ὠκυπόδων σθένος ἵππων,
  Μηδείων τ' ἀνδρῶν δεξάμενοι πόλεμον.

Eiusdem. 55.

Gloriosos terra abscondit, ô Leonida, qui tecum
  Hìc mortui sunt, Spartæ spaciosæ rex:
Plurimorum arcuum & velocium robur equorum,
  Medorúmque virorum cùm suscepissent bellum.

ΝΙΚΑΝΔΡΟΥ.

Ζεῦ πάτερ, Ὀθρυάδα τίνα φέρτερον ἔδρακες ἄλλον;
  Ὃς μόνος ἐκ Θυρέας οὐκ ἐθέλησε μολεῖν
Γατρίδ' ἐπὶ Σπάρτην, διὰ δὲ ξίφος ἤλασε πλευρῶν,
  Δοῦλα καταγράψας σκῦλα κατ' Ἰναχιδᾶν;

NICANDRI. 56.

Iupiter pater, Othryadâ quem meliorem vidisti alium?
  Qui solus ex Thyreâ noluit redire

In patriam Spartam, ſed gladium tranſegit per latera,
Seruilia conſcribens ſpolia contra Argiuos.

ΘΕΟΔΩΡΙΔΟΥ.

Τόλμα καὶ εἰς ἀΐδην καὶ ἐς οὐρανὸν ἄνδρα κομίζει,
Ἃ καὶ Σωσάνδρου παῖδ' ἐπέβασε πυρᾶς
Δωρόθεον. Φθίᾳ γὰρ ἐλεύθερον ἦμαρ ἰάλλων,
Ἐῤῥαγάδην σικύων μεσσόθι καὶ Χιμάρας.

THEODORIDÆ. 57.

Audacia & ad inferos & ad cœlum virum effert,
Quæ etiam Soſandri filium impoſuit rogo
Dorotheum. Phthiæ enim liberum diem mittens
Contuſus eſt in medio inter Sicum & Chimaras.

ΕΙΣ ΑΝΔΡΑΣ ΟΥΚ ΕΠΙΣΗΜΟΥΣ, κεφ. ϛʹ.

ΔΙΟΣΚΟΡΙΔΟΥ.

Ἐμπορίης λήξαντα Φιλόκριτον, ἄρτι δ' ἀρότρου
Γευόμενον, ξείνῳ Μέμφις ἔκρυψε τάφῳ
Ἔνθα δραμὼν Νείλοιο πολὺς ῥόος, ὕδατι λάβρῳ
Τἀνδρὸς τὴν ὀλίγην βῶλον ἀπημφίασεν.
Καὶ ζωὸς μὲν ἔφευγε πικρὴν ἅλα· νῦν δὲ καλυφθεὶς
Κύμασι, ναυηγὸν σχέτλιος ἔσχε τάφον.

IN VIROS NON INSIGNES. Cap. VI.

DIOSCORIDÆ. I.

A mercatura ceſſantem Philocritum, iam verò aratrum
Guſtantem, communi Memphis texit ſepulcro,
Vbi currens Nili magnus fluuius, aquâ voraci
Viri paruam glebam cooperuit.
Et viuus quidem fugit amarum mare: iam verò tumulatus
Fluctibus, naufragum miſer habet tumulum.

Ζήσας ἐνδόξως ἔλιπον βίον. εἰ γὰρ ἀδόξως;
    Κεῖμαι δ' ἐνθάδε νῦν. τίς, τίνι ταῦτα λέγεις;

Incerti. 5.

Nomen mihi: Quid hoc? Patria verò mihi. Quid hoc quoque?
    Clari sum generis. Quid si obscurissimi?
Viuens gloriose reliqui vitam. Quid si ingloriè?
    Iaceo verò hîc nunc. Quis? cui hæc dicis?

Ἄδηλον.

Θάψεν ὅ με κτείνας κρυπτὸν φόνον· εἰ δέ με τύμβῳ
    Δωρεῖται, τοίης ἀντιτύχοι χάριτος.

Incerti. 6.

Sepeliuit me qui me occidit, tegens cædē: si verò me sepulcro
    Donauit, talem rursus accipiat gratiam.

Ἄδηλον, εἰς τὸ αὐτό.

Ζωήν σου λῄσας, δωρῇ τάφον· ἀλλά με κρύπτεις,
    Οὐ θάπτεις. τοίου κ' αὐτὸς ὄναιο τάφου.

Incerti, in idem. 7.

Vitam meam spolians das sepulcrum: sed abscondis me,
    Non sepelis. Tali & ipse fruaris sepulcro.

Ἄδηλον, εἰς τὸ αὐτό.

Κἂν με καταχρύπτῃς ὡς οὐδενὸς ἀνδρὸς ὁρῶντος,
    Ὄμμα Δίκης καθορᾷ πάντα τὰ γινόμενα.

Incerti in idem. 8.

Licet me sepelias tanquam nemine viro vidente,
    Oculus Iustitiæ videt omnia quæ fiunt.

Ἄδηλον, εἰς τὸ αὐτό.

Ἔκτανες, εἶτα με θάπτεις ἀτάσθαλε χερσὶν ἐκείναις,
    Αἷς με διεχρήσω. μή σε λάθοι Νέμεσις.

Incerti in idem. 9.

Occidisti, postea me sepelis, scelerate, manibus illis
    Quibus me occidisti. Non te lateat Nemesis.

Ἄδηλον, εἰς τὸ αὐτό.

Εἴ με τέκνω κατέθαπτες, ἰδὼν οἰκτίρμονι θυμῷ,

Εἶχες ἂν ἐκ μακάρων μισθὸν ἐπ' εὐσεβίῃ·
Νῦν δ' ὅτε δὴ τύμβῳ με κατακρύπτεις ὁ φονεύσας,
Τῶν αὐτῶν μετέχοις ὧνπερ ἐμοὶ παρέχεις.

Incerti in idem. 10.

Si me mortuum sepeliisses, videns misericordi animo,
Haberes etiam â diis præmium pro pietate,
Iam verò cùm tumulo me abscondas qui occidisti,
Eadem consequaris quæ mihi præstitisti.

Ἀδήλου, εἰς τὸ αὐτό.

Χερσὶ κατακτείνας, τάφον ἔχωσας· οὐχ ἵνα θάψῃς,
Ἀλλ' ἵνα με κρύψῃς. τοῦτο δὲ καὶ σὺ πάθοις.

Incerti in idem. 11.

Manibus occidens sepulcrum extruxisti, non vt sepelires,
Sed vt me absconderes. Tale & tu patiaris.

ΣΙΜΩΝΙΔΟΥ, εἰς τὸ αὐτό.

Οἱ μὲν ἐμὲ κτείναντες, ὁμοίων ἀντιτύχοιεν
Ζεῦ ξένι', οἱ δ' ὑπὸ γᾶν θέντες, ὄναιντο βίου.

Simonidæ idem. 12.

Qui me occiderunt consimilia consequantur
O Iupiter munera, qui verò terræ rursus imponunt, lucren- (tur vitam.

ΙΟΥΛΙΑΝΟΥ, εἰς τὸ αὐτό.

Οὔποτ' ἐμὲ κρύψεις ὑπὸ πυθμένα νείατον αἴης,
Τόσσον ὅσον κρύψαι πανδέρκεον ὄμμα Δίκης.
Ἀντὶ φόνου τάφον ἄμμι χαρίζεαι· ἀλλὰ καὶ αὐτὸς
Ἴσων ἀντιτύχοις οὐρανόθεν χαρίτων.

Iuliani in idem. 13.

Nunquam me abscondes in fundo habitabili terræ,
Tantum vt lateas omnia videntem oculum Iustitię.
Pro cæde sepulcrum nobis largiris: sed & ipse
Similem vicissim consequare è cælo gratiam.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Κάτθανεν Ἡλιόδωρος, ἐφέσπετο δ' οὐδ' ὅσον ὥρη...

Ὕστερον

Ὕστερον ἀνδρὶ φίλῳ Διογένεια δάμαρ.

Ἄμφω ὡς δ᾽ Ὑμέναιον ἐπὶ πλακὶ τυμβεύονται,

Ξυνὸν ἀγαλλόμενοι καὶ τάφον ὡς θάλαμον.

APOLLONIDÆ. 14.

Occidit Heliodorus, ſequebatur verò vix poſt horam
Poſteriùs virum carum Diogenia vxor.
Vterque verò vt Hymenæum ſub lapide tumulantur,
Communem decorantes & tumulum vt thalamum.

ΣΑΡΑΠΙΩΝΟΣ.

Τοῦτ᾽ ὀστεῦν φωτὸς πολυεργέος. ἦ ῥά τις ἦσθα
Ἔμπορος, ἢ τυφλοῦ κύματος ἰχθυβόλος.
Ἄγγελλον θνητοῖσιν ὅτι σπεύδοντες ἐς ἄλλας
Ἐλπίδας, εἰς ταύτην ἐλπίδα λυόμεθα.

SERAPIONIS. 15.

Hoc os viri laborioſi. Nunquid aliquis fuiſti
Mercator, an cæci fluctus piſcator?
Nuncia mortalibus quòd feſtinantes ad alias
Spes, in talem ſpem reſoluamur.

ΝΟΣΣΙΔΟΣ.

Καὶ καπυρὸν γελάσας παραμείβεο, καὶ φίλον εἰπὼν
Ῥῆμ᾽ ἐπ᾽ ἐμοί· Ῥίνθων εἴμ᾽ ὁ Συρακόσιος,
Μουσάων ὀλίγη τις ἀηδονίς· ἀλλὰ καλύκων
Ἐκ τραγικῶν ἴδιον κισσὸν ἐδρεψάμεθα.

NOSSIDIS. 16.

Et vehementer ridens præteri, & gratum dicens
Verbum ſuper me: Rinthon ſum Syracuſanus,
Muſarum parua quædam Philomela: ſed floribus
Ex tragicis propriam decerpſimus hederam.

ΜΕΛΕΑΓΡΟΥ.

Νᾶσος ἐμὰ θρέπτειρα Τύρος, πάτρα δέ με τεκνοῖ
Ἀτθὶς, ἐν Ἀσσυρίοις ναιομένα Γαδάροις.
Εὐκράτεω δ᾽ ἔβλαστον ὁ σὺν μούσαις Μελέαγρος,

Πρῶτα μὲν ἱππείαις συντροχάσας χάρισιν.
Εἰ δὲ Σύρος, τί τὸ θαῦμα; μίαν ξένε πατρίδα κόσμον
Ναίομεν· ἓν θνατοὺς πάντας ἔτικτε χάος.
Πουλυετὴς δ' ἐχάραξα τάδ' ἐν δέλτοισι πρὸ τύμβου.
Γῆρας γὰρ γείτων ἐγγύθεν Ἀΐδεω.
Ἀλλά με τὸν λάλιον καὶ πρεσβύτην σὺ προσειπών·
Χαίρειν, εἰς γῆρας καὐτὸς ἵκοιο λάλον.

MELEAGRI. 17.

Insula mea nutrix Tyrus. Patria verò me genuit
Attica, in Assyriis habitata Gadaris.
Eucrate natus sum cum Musis Meleager,
Primò Menippeis concurrens Gratiis.
Quòd si Syrus quid mirum? Vnam, hospes, patriam mundum
Habitamus: vnum mortales omnes genuit chaos.
Annosus verò hæc exaraui in libris ante sepulcrum,
Senectus enim vicina proximè orci.
Sed me loquacem & senem tu compellans,
Salue dic, ad senectutem & ipse peruenias loquacem.

ΔΙΟΤΙΜΟΥ.

Ἐλπίδες αἱ θνητῶν, ἐλαφραὶ θεαί· οὐ γὰρ ἂν ὧδε
Λέσβον ὁ λυσιμελὴς ἀμφεκάλυψ' Ἀΐδης,
Ὅς ποτε καὶ βασιλῆϊ συνέδραμε, καὶ μετ' ἐρώτων.
Χαίρετε κουφόταται δαίμονες ἀθανάτων.
Αὐλοὶ δ' ἄφθογγοι, καὶ ἀπευθέες, οἵ σ' ἐνέπουσι
Κεῖσθ' ἐπεὶ οὔτ' ᾠδὰς, οὐ χορὸν οἶδ' Ἀχέρων.

DIOTIMI. 18.

Spes hominum leues Deæ: non enim sic
Lesbum membra soluens circundedisset orcus,
Qui etiam cum rege ambulauit, & cum amoribus.
Valete leuissimæ Deæ inter Deos.
Tibiæ autem mutæ & inaudibiles, quæ te dicunt
Iacere, cùm nec cantilenas nec choream Orcus norit.

ΛΕΩΝΙΔΟΥ.

Τί στοχασόμεθά σου Πεισίστρατε, Χῖον ὁρῶντες
  Γλυπτὸν ὑπὲρ τύμβου κείμενον ἀστράγαλον;
Ἠ ῥά γε μὴν ὅτι Χῖος; ἔοικε γάρ. ἦ ῥ' ὅτι παίκτας
  Ἠσθά τις; οὐ λίην δ' ὦ 'γαθὲ πλειστοβόλος.
Ἠ τὰ μὲν οὐδὲ συνέγγυς, ἐν ἀκρίτῳ δὲ κατέσβης
  Χίῳ; ναὶ δοκέω τῷδε προσηγγίσαμεν.

LEONIDÆ. 19.

Quid quæremus ex te Pisistrate? cùm Chium videamus
  Insculptum tumulo iacentem talum?
Num quòd Chius *fueris*? Videtur enim. An quòd lusor
  Fueris quispiam? non admodum, ô bone, multos iaciens.
Quòd si hæc quidem nondum propè sunt. In mero verò ex-
  Chio. Certè reor, hoc ipso rem tetigimus. (tinctus es

Τοῦ *αὐτοῦ*.

Μνήμης Εὐβούλοιο σαόφρονος ὦ παριόντες
  Πίνωμεν. κοινὸς πᾶσι λιμὴν ἀΐδης.

Eiusdem. 20.

Ob memoriam Eubuli temperantis, ô prætereuntes,
  Bibamus. Communis omnibus portus mors.

ΑΛΕΞΑΝΔΡΟΥ.

Ἄνθρωπ' οὐ Κροίσου λεύσσεις τάφον, ἀλλὰ γὰρ ἀνδρὸς
  Χερνήτεω· μικρὸς τύμβος, ἐμοὶ δ' ἱκανός.

ALEXANDRI. 21.

Homo non Crœsi vides sepulcrum, sed viri
  Pauperis: paruus tumulus, mihi verò conueniens.

ΚΑΛΛΙΜΑΧΟΥ.

Κύζικον ἢν ἔλθῃς, ὀλίγος πόνος Ἱππακὸν εὑρεῖν,
  Καὶ Διδύμην· ἀφανὴς οὔτι γὰρ ἡ γενεή.
Καί σφιν ἀνιηρὸν μὲν ἐρεῖς ἔπος, ἔμπα δὲ λέξον,
  Τοῦθ', ὅτι τὸν κείνων υἱὸν ἔχω Κριτίαν.

CALLIMACHI. 22.

Cyzicum vbi veneris, paruus labor vt Hippacon inuenias,
  Et Didymam: obscura neque hæc familia.

Et ipsis luctuosum quidem verbum dices, statim verò dicas
 Hoc, quòd illorum filium habeo Critiam.

Τοῦ αὐτοῦ.

[a]Ἦρ' ὑπὸ σοὶ Χαρίδας ἀναπαύεται; [b]εἰ τὸν Ἀρίμμα
 Τοῦ Κυρηναίου παῖδα λέγεις, ὑπ' ἐμοί.
[a]Ὦ Χαρίδα, τί τὰ νέρθε; [b]πολὺ σκότος. [a]αἱ δ' ἄνοδοι, τί;
 [b]Ψεῦδος. [a]ὁ δὲ Πλούτων; [b]μῦθος. ἀπωλόμεθα.
Οὗτος ἐμὸς λόγος ὔμμιν ἀληθινός· εἰ δὲ τὸν ἡδύν
 Βούλει, Πελλαίου βοῦς μέγας εἰς ἀΐδην.

Eiusdem. 23.

[a]Nunquid sub te Charidas requiescit? [b]Si Arimmæ
 Cyrenæi filium dicis, sub me.
[a]O Charida, quid sunt quæ infra sũt? [b] magnę tenebræ. [a]reditus autem, quid?
 [b]Mendacium. [a]At Pluton. [b]Fabula. Interiimus.
Hic meus sermo vobis verus: si verò dulcem *sermonem*
 Cupias. Pellæi bos magnus in infernum.

ΔΑΜΑΓΗΤΟΥ.

Πρὸς Ζηνὸς ξενίου γουνούμεθα, πατρὶ Χαρίνῳ
 Ἄγγειλον Θήβην ὦνερ ἐπ' Αἰολίδα,
Μνῶιν καὶ Πολυνίκον ὀλωλότε. καὶ τόδε φαίης,
 Ὡς οὐ τὸν δόλιον κλαίομεν ἄμμι μόρον,
(Καίπερ ὑπὸ θνητῶν φθίμενοι χερὸς) ἀλλὰ τὸ κείνου
 Γῆρας, ἐν ἀργαλέῃ κείμενον ὀρφανίῃ.

DEMAGETI. 24.

Per Iouem hospitalem supplicamus, patri Charino
 Nuncia Thebam, ô vir, ad Æolidem,
Menin & Polynicum esse mortuos, & hoc dicas,
 Quòd non dolosam fleamus nos mortem,
(Quamuis per seruorum mortui manus) sed illius
 Senectutem, in difficili positam orbitate.

ΛΕΩΝΙΔΟΥ.

[a]Τίς δαίμων Ἀρχαῖος ἐπ' ἠείᾳ; ἦ ῥα στωάμμος;

Ἐστι Δικαιοτέλους; ἐστὶ Δικαιοτέλους.
Ἠχὼ τοῦτ' ἐλάλησε πανύστατον. ἦ τόδ' ἀληθές;
Κεῖνος ὅδ' ἐστὶν ἀνήρ; κεῖνος ὅδ' ἐστὶν ἀνήρ.

LEONIDÆ. 25.

Quis ô Dea, Argiuus sub tumulo, nunquid frater
Est Dicæotelis? [b]Est Dicæotelis.
[a]Echo hoc dixit vltimum. An hoc est verum?
Ille hic vir est? [b]Ille hic vir est.

Ἀδέσποτον.

Ἀρτίτοκον σάτυρον ἀΐδας λάχε, σιδονία δὲ
Κρύψε κόνις, πάτρα δ' ἐστονάχησε Τύρος.

Incerti. 26.

Vix natum Satyrum infernus sortitus, sidonius verò
Tegit cinis, patria verò ingemuit Tyrus.

ΠΛΑΤΩΝΟΣ εἰς τινα λεγόμενον ἀστέρα.

Ἀστέρας εἰσαθρεῖς ἀστὴρ ἐμός. εἴθε γενοίμην
Οὐρανός, ὡς πολλοῖς ὄμμασιν εἰς σὲ βλέπω.
Ἀστὴρ πρὶν μὲν ἔλαμπες ἐνὶ ζωοῖσιν ἑῷος,
Νῦν δὲ, θανὼν, λάμπεις ἕσπερος ἐν φθιμένοις.

PLATONIS, in quendam, qui dicebatur Stella. 27.

Stellas intuetur stella mea. Vtinam fiam
Cœlum, vt multis intuear te oculis.
Stella prius lucebas in viuentibus Eous;
Iam verò mortuus luces Hesperus in mortuis.

Ἀδέσποτον, ὡς δὲ ΝΕΡΩΝΟΣ.

Ἐμοῦ θανόντος, γαῖα μιχθήτω πυρί.
Οὐδὲν μέλει μοι· τἀμὰ γὰρ καλῶς ἔχει.

Incerti, vt alij NERONIS. 28.

Me moriente terra misceatur igni.
Nihil mihi curæ. Rectè enim sese mea habent.

Ἀδήλου.

Πάντα χάρων ἄπληστε, τί τὸν νέον ἥρπασας αὔτως

Ἄτταλον; οὐ σὸς ἔην, κεἰ θάνε γηραλέος;

Incerti. 29.

In omnibus Charon insatiabilis, quid iuuenem rapuisti ita
Attalum? Non tuus erat licèt mortuus esset senex?

ΠΑΛΛΑΔΑ.

Οὐκ ἀπεδήμησας τιμῆς χάριν, ἀλλὰ τελευτῆς·
Καὶ χωλὸς περ ἐὼν, ἔδραμες εἰς ἀΐδην,
Γέσιε μοιράων ταχαλώτερε. ἐκ προκοπῆς γὰρ
Ἧς εἶχες κατὰ νοῦν, ἐξεκόπης βιότου.

PALLADÆ. 30.

Non peregrinatus es honoris gratia, sed mortis:
Et quanquam claudus existens, cucurristi in orcum,
Gessie, parcis celerior. Ex prouentu enim
Quem habebas in animo, priuatus es vitâ.

Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Γέσιος οὐ τέθνηκεν ἐπειγόμενος παρὰ μοίρης·
Αὐτὸς τὴν μοῖραν προὔλαβεν εἰς ἀΐδην.

Eiusdem in eundem. 31.

Gessius non mortuus est coactus à fato:
Ipse fatum præoccupauit ad mortem.

Ἄδηλον.

Γαῖα φίλη, τὸν πρέσβυν Ἀμύντιχον ἔνθεο κόλποις,
Πολλῶν μνησαμένη τῶν ἐπὶ σοὶ καμάτων.
Καὶ γὰρ ἀεὶ πρέμνον σοι αἰεστήριξεν ἐλαίης,
Πολλάκι καὶ βρομίου κλήμασιν ἠγλάισεν,
Καὶ Δηοῦς ἔπλησε, καὶ ὕδατος αὔλακας ἕλκων,
Θῆκε μὲν εὐλάχανον, θῆκε δ' ὀπωροφόρον.
Ἀνθ' ὧν σὺ πρηέα κατὰ κροτάφου πολιοῖο
Κεῖσο, καὶ εἰαρινὰς ἀνθοκόμει βοτάνας.

Incerti. 32.

Terra amica senem Amyntichum suscipe sinu,
Multorum recordata propter te laborum.
Nam semper stipitem tibi excitauit oliuæ,

Sæpius & Bromij te ſurculis ornauit,
Et Cerere impleuit, & aquam per ſulcos trahens,
Fecit olerum feracem, fecit & pomorum feracem.
Pro quibus tu clemens ad canum verticem
Iace, & vernales rurſus profer herbas.

Ἀδέσποτον.

[a]Πώλιττα, τλῆθι πένθος, εὔνασον δάκρυ.
[b]Πολλαὶ θανόντας εἶδον υἱέας μητέρες,
Ἀλλ' οὐ τοιούτους τὸν τρόπον καὶ τὸν βίον,
Οὐ μητέρων σέβοντας ἡδίστην θέαν.
[a]Τί περισσὰ θρηνεῖς; τί δὲ μάτην ὀδύρεαι;
Εἰς κοινὸν ᾅδην πάντες ἥξουσι βροτοί.

Incerti 35.

[a]Politta, perfer luctum, ſopi lacrumas.
[b]Multæ mortuos viderunt filios matres,
Sed non tantos moribus & vitâ,
Non matrum venerantes dulciſſimum aſpectum.
[a]Quid ſuperuacua luges? quid autem fruſtrâ lamentaris?
In communem infernum omnes venient mortales.

ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ψύλλος ὁ τὰς ποθινὰς ἐπιμισθίδας αἰὲν ἑταίρας
Πέμπων ἐς τὰ νέων ἡδέα συμπόσια,
Οὗτος ὁ θηρεύων ἀπαλόφρονας, ἐνθάδε κεῖται,
Αἰσχρὸν ἀπ' ἀνθρώπων μισθὸν ἐνεγκάμενος.
Ἀλλὰ λίθους ἐπὶ τύμβον ὁδοιπόρε μήτε σὺ βάλλε,
Μήτ' ἄλλον πείσῃς· σῆμα λέλογχε νέκυς.
Φεῖσαι δ' οὐχ ὅτι κέρδος ἐπῄνεσεν, ἀλλ' ὅτι κοινὰς
Θρέψας, μοιχείην οὐκ ἐδίδαξε νέους.

ARGENTARII. 34.

Pſyllus amatas meritorias ſemper meretrices
Mittens in iuuenum dulcia conuiuia,
Hic venans teneros, hîc iacet,
Turpe ab hominibus lucrum congerens.

Sed lapides in ſepulcrum viator noli coniicere,
    Neque alij id perſuadeas, ſepulcrum cõſecutus eſt mortuus.
Da veniam, non quòd lucrum laudauit, ſed quòd communes
    Paſcens, mœchari non docuit iuuenes.

ΘΕΑΙΤΗΤΟΥ.

Χείματος οἰνωθέντα τὸν Ἀνταγόρεω μέγαν οἶκον
    Ἐκ νυκτῶν ἔλαθε πῦρ ὑπονεμόμενον·
Ὀγδώκοντα δ' ἀριθμὸν ἐλεύθεροι ἄμμιγα δούλοις
    Τῆς ἐχθρῆς ταύτης πυρκαϊῆς ἔτυχον.
Οὐδ' εἶχον διελεῖν προσκηδέες ὀστέα χωρίς·
    Ξυνὴ δ' ἡ κάλπις, ξυνὰ δὲ τὰ κτέρεα·
Εἷς καὶ τύμβος ἀνέστη. ἀτὰρ τὸν ἕκαστον ἐκείνων
    Οἶδε καὶ ἐν τέφρῃ ῥηιδίως Ἀΐδης.

THEÆTETI. 35.

Hyeme ebriam Antagoræ magnam domum
    Ex nocte latuit ignis qui depaſcebatur:
Octuaginta numero liberi cum ſeruis
    Hoſtilem hunc rogum ſortiebantur.
Neque poterant diſcernere curarum pleni oſſa ab inuicem:
    Communis autem vrna, communia & funera.
Vnus enim tumulus erigebatur: ſed vnumquemque illorum
    Nouit etiam in cinere facilè mors.

Ἄδηλον.

Τὴν σορὸν ἣν ἐσορᾷς, ζῶν Μάξιμος αὐτὸς ἑαυτῷ
    Θῆκεν, ὅπως ναίῃ παυσάμενος βιότου.
Σύν τε γυναικὶ Καλιποδίῃ τεῦξεν τόδε σῆμα,
    Ὡς ἵνα τὴν στοργὴν κἂν φθιμένοισιν ἔχῃ.

Incerti. 35.

Sepulcrum quod vides, viuens Maximus ipſe ſibi ipſi
    Poſuit, vt habitet quieſcens à vitâ.
Vnà cum vxore Calipodia conſtruxit hoc ſepulcrum,
    Vt amorem coniugalem etiam in mortuis habeat,

Ἄδηλον,

Νηλεὶς

Νηλεὲς ὦ δαῖμον, τί δέ μοι τόδε φέγγος ἔδειξας
  Εἰς ὀλίγων ἐτέων μέτρα μινυνθάδια;
Ἢ ἵνα λυπήσῃς δι᾽ ἐμὴν βιότοιο τελευτὴν,
  Μητέρα δειλαίην δάκρυσι καὶ στοναχαῖς;
Ἥ μ᾽ ἔτεκ᾽ ἤματι τῷδε, καὶ ἣ πολὺ μείζονα πατρὸς
  Φροντίδα παιδείης ἤνυσεν ἡμετέρης.
Ὃς μὲν γὰρ τυτθόν τε καὶ ὀρφανὸν ἐν μεγάροισι
  Κάλλιπεν, ἣ δ᾽ ἐπ᾽ ἐμοὶ πολλὰς ἔτλη καμάτους,
Ἦ μὲν ἐμοὶ φίλον ἦεν ἐφ᾽ ἁγνῶν ἡγεμονήων
  Ἐμπρεπέμεν μύθοις ἀμφὶ δικασπολίας.
Ἀλλά με οὐ γενύων ἀπεδέξατο κούρειον ἄνθος
  Ἡλικίῃ ἐρατῇ, οὐ γάμον, οὐ δαΐδας,
Οὐχ ὑμέναιον ἄεισε περικλυτὸν, οὐ τέκος εἶδεν
  Δυσπότμου γενεῆς λείψανον ἡμετέρης,
Τῆς πολυθρηνήτου. λυπεῖ δέ με καὶ τεθνεῶτα
  Μήτηρ Πωλίτης πένθος ἀεξομένον,
Φρόντωνος γοεραῖς ἐπὶ φροντίσιν· ἣ τέκε παῖδα
  Ὠκύμορον, κενεὸν χάρμα φίλης πατρίδος.

Incerti. 37.

Crudelis ô Deus, quid mihi hanc lucem demonstrasti
  In paucorum annorum mensuras paruas?
An vt dolore adficias meum vitæ finem,
  Matrem miseram lacrumis & gemitu?
Quæ me peperit die hoc, & quæ longè maiorem patre
  Curam educationis perfecisset nostræ.
Hic enim infantem & orphanum in ædibus
  Reliquit, hæc ob me omnes sustinuit ærumnas.
Certè quidem mihi gratum fuisset sub sacris ducibus
  Excellere orationibus de iustitia.
Sed meis genis non exceptus est tondendus barbæ flos
  Amabili iuuentâ, non nuptias, non lampadas.
Non Hymenæum cecinit inclytum, non natum vidit
  Infœlicis generationis reliquum nostræ,

Valde deflendi. Dolore verò adficit me vel mortuum
Matris Polittæ dolor accumulatus.
Phrontonis luctuosas ob curas: quæ peperit filium
Citò mortuum, inane gaudium charæ patriæ.

ΣΙΜΩΝΙΔΟΥ.

Πολλὰ φαγὼν, καὶ πολλὰ πιὼν, καὶ πολλὰ κάκ' εἰπὼν
Ἀνθρώπους, κεῖμαι Τιμοκρέων Ῥόδιος.

SIMONIDÆ. 38.

Multa vorans, & multa bibens, mala multáque dicens
Contra homines, iaceo hìc Timocreon Rhodius.

Ἀδηλον.

Βαιὰ φαγὼν, καὶ βαιὰ πιὼν, καὶ πολλὰ νοσήσας,
Ὀψὲ μὲν, ἀλλ' ἔθανον. ἔῤῥετε πάντες ὁμοῦ.

Incerti. 39.

Pauca vorans, & pauca bibens, multúmque laborans,
Serò quidem, at occidi. Vos omnes perite simul.

ΔΙΟΔΩΡΟΥ.

Βάκχῳ καὶ Μούσῃσι μεμηλότα τὸν Διοπείθους
Κεκροπίδην ὑπ' ἐμοὶ ξεῖνε Μένανδρον ἔχω,
Ἐν πυρὶ τὴν ὀλίγην ὃς ἔχει κόνιν. εἰ δὲ Μένανδρον
Δίζηαι, δήεις ἐν Διὸς ἢ μακάρων.

DIODORI. 40.

Qui Baccho & Musis fuerat curæ Diopeithus
Cecropidem sub me, hospes, Menandrum habeo.
In igne paruum cinerem qui habet. Si verò Menandrum
Quæris, inuenies in Iouis, aut beatorum *domo*.

Ἀδηλον.

Ἠόνιον τόδε σῆμα βροτοῦ πολυτλήμονος ἀνδρὸς,
Σπάρτον ἁλιρράγιον ψυχομένου σκοπέλου.
Τῇ μὲν ἐρημοκόμης κεῖται καὶ χῆρος ὀδόντων
Κόρση· τῇ δὲ, χερῶν πενταφυεῖς ὄνυχες,
Πλευρά τε σαρκολιπῆ. ταρσοὶ δ' ἑτέρωθεν ἄμοιροι
Νεύρων, καὶ κώλων ἔκλυτος ἁρμονίη.

Οὗτος ὁ πουλυμερὴς, εἷς ἦν ποτε. φεῦ μακαριστοὶ,
Ὅσσοι ἀπ' ὠδίνων οὐκ ἴδον ἠέλιον.

Incerti. 41.

Litorale hoc ſepulcrum hominis ærumnoſi cerne,
Diſiectum à mare frangentibus refrigeratum ſcopulis.
Hic quidem ſine capillis iacet & viduum dentibus
Caput. alio loco manuum quintuplices nati vngues,
Et latus carne denudatum, & pedes vtrinque carentes
Neruis, & membrorum ſoluta harmonia.
Hic in multas partes diſtractus, vnus erat olim. Hei beati,
Quicunque à doloribus vſque partus non viderunt ſolem.

Ἀδήλου.

Μυρίος ἦν ὤνθρωπε πρὸ τοῦ χρόνος, ἄχρι πρὸς ἠῶ
Ἦλθες, χὠ λοιπὸς μυρίος εἰς ἀΐδην.
Τίς μοῖρα ζωῆς ὑπολείπεται; ἢ τόσον ὅσσον
Στιγμὴ, καὶ στιγμῆς εἴ τι χαμηλότερον;
Μικρή σευ ζωὴ τεθλιμμένη· οὐδὲ γὰρ αὐτὴ
Ἡδεῖ', ἀλλ' ἐχθροῦ στυγνοτέρη θανάτου.
Χειμέριον ζωὴν ὑποδύεο· νεῖο δ' ἐς ὅρμον,
Ὡς κἀγὼ Φείδων ὁ Κρίτου εἰς ἀΐδην.

Incerti. 42.

Multiplex erat, ô homo, antè tempus, antequam in lucem
Veniſti, & reliquum tempus multiplex poſt obitum.
Et quæ pars vitæ relinquitur? Certè tantum, quantum
Punctum, & puncto ſi quid adhuc minus eſt.
Breuis tua vita adflicta, neque enim ipſa
Grata, ſed hoſtili triſtior morte.
Hyemantem vitam declina: nauiga verò in portum,
Velut & ego Phedon Criti ad inferos.

ΠΑΥΛΟΥ.

Δαμόχαρις μοίρης πυμάτην ὑπεδύσατο γαῖαν
Φεῦ, τὸ καλὸν μούσης βάρβιτον ἠρεμέει.
Ὤλετο γραμματικῆς ἱερὴ βάσις. ἀμφιρίτη κώς,

Καὶ πάλι πένθος ἔχεις οἷον ἐφ' Ἱπποκράτει.

PAVLI. 43.

Democharis fati vltimam ſubiit terram.
Hei, pulcrum Muſæ barbiton ſilet.
Periit Grammaticæ ſacra baſis. Circumflua Cos
Et rurſus luctum habes qualem ſuper Hippocratem.

ΚΡΙΝΑΓΟΡΟΥ.

Ω δύστην' ὄλβοιο Φιλόστρατε, ποῦ σοι ἐκεῖνα
Σκῆπτρα, καὶ αἱ βασιλέων ἄφθονοι εὐτυχίαι,
Αἷσιν ἐπηώρησας ἀεὶ βίον; ἢ ἐπὶ Νείλῳ
Κεῖσαι Ἰουδαίοις ὢν περίοπτος ὅροις.
Ὀθνεῖοι καμάτους τοὺς σοὺς διεμοιρήσαντο,
Σὸς δὲ νέκυς ψαφαρῇ κείσετ' ἐν ὀστρακίνῃ.

CRINAGORI. 44.

O infelix ob diuitias, Philoſtrate, vbi tibi illa
Sceptra, & regum innumeræ diuitiæ,
Quibus extuliſti ſemper vitam? An ad Nilum
Iaces Iudæis exiſtens conſpicuus in montibus.
Externi hoſtes labores tuos diſtribuêre,
Tuum verò cadauer tenui iacet in teſtâ

ΛΕΩΝΙΔΟΥ.

Ἀρκεῖ μοι γαίης μικρὴ κόνις· ἡ δ' ὑπέρογκος
Ἄλλον ἐπιθλίβοι πλούσια κεκλιμένον.
Στήλη, τὸ σκληρὸν νεκρῶν βάρος. οἵ με θανόντα
Γνώσοντ', Ἀλκάνδρῳ τοῦθ' ὅτι Καλλιτέλευς.

LEONIDÆ. 45.

Sufficit mihi terræ paruæ ſinus: nam abundans
Alium premat in diuiti tumulo iacentem.
Columna (quod graue mortuorum onus) qui me mortuum
Cognoſcent, Alcandro hoc quòd Callitelis.

ΛΟΛΛΙΟΥ.

Γαῖα Ταραντίνων ἔχει μείλιχος ἀνέρος ἐσθλοῦ
Τόνδε νέκυν. ψεῦσται δαίμονες ἀμείλιχοι.

Ἦ γὰρ ἰὼν Θήβηθεν Ἀτύμνιος, οὐκ ἔτι πρόσω
  Ἤνυσεν, ἀλλὰ τεὴν βῶλον ὑπῳκίσατο.
Ὀρφανικῷ δ' ἐπὶ παιδὶ λιπὼν βίον, εὖνιν ἔθηκεν
  Ὀφθαλμῶν. κείνῳ μὴ βαρὺς ἔσσο τάφος.

LOLLII. 46.

Terra Tarentinorum habeat mollis boni viri
  Hoc cadauer. mendacis Dij diurnarum rerum.
Certè enim profectus Thebis Atymnius, non amplius vlterius
  Perfecit, ſed tuam glebam inhabitauit.
Viduato verò in puero relinquens vitam, orbum fecit
  Oculis. ipſi non graue ſis ſepulchrum.

ΚΡΙΝΑΓΟΡΟΥ.

Δείλαιοι, τί κεναῖσιν ἀλώμεθα θαρσήσαντες
  Ἐλπίσιν, ἀτηρῷ ἀχθόμενοι βιότου;
Ἦν ὅδε καὶ μύθοισι καὶ ἤθεσι πάντα Σέλευκος
  Ἄρτιος, ἀλλ' ἥβης βαιὸν ἐπαυράμενος,
Ὑστατίοις ἐν Ἴβηρσι. τόσον δίχα τηλόθι Λέσβου
  Κεῖται ἀμετρήτων ξεῖνος ἐπ' αἰγιαλῶν.

CRINAGORÆ. 47.

O miſeri, quid vanis capimur confidentes
  Spebus, duram ſentientes vitam?
Erat hic & ſermonibus & moribus per omnia Seleucus
  Integer, ſed iuuentâ parum perfruens,
Vltimis in Iberis. Tam procul à Leſbo
  Iacet immenſis hoſpes in littoribus.

ΔΙΟΔΩΡΟΥ.

Ἰφθίμῳ τόδ' ἐπ' ἀνδρὶ φίλη πόλις ἤνεσ' Ἀχαιῶν
  Γράμμα παρ' εὐύδρου νάμασιν Ἀσκανίης.
Κλαῦσε δέ μιν Νίκαια. πατὴρ δ' ἐπὶ τῷ Διομήδης
  Λάινον ὑψιφανῆ τόνδ' ἀνέτεινε τάφον,
Δύσμορος, ἀγάζων ὀλοὸν κακόν. ἦ γὰρ ἐῴκει
  Υἱέϊ ᾧ τήνδε ζωοῦντα κατοιχομένῳ.

DIODORI. 48.

Robuſto hoc viro amica vrbs probauit Achæo
Epitaphium apud irriguæ flumina Aſcaniæ.
Fleuit verò ipſum Nicæa. Pater verò ipſi Diomedes
Lapideum ſublimem hunc erexit tumulum,
Infelix lugens perniciosum malum: certè enim viſus eſt
Filio ſuo perſoluere hæc mortuo.

ΘΕΟΔΩΡΙΔΟΥ.

Οὕτω δὴ Πύλιον τὸν Ἀγήνορος ἄκριτε μοῖρα
Πρώϊον ἐξ ἥβης ἔθρισας Αἰολέων,
Κῆρας ἐπισσεύασα βίου κύνας; ὤ ποποι, ἀνὴρ
Οἷος ἀμειδήτῳ κεῖται ἕλωρ Ἀΐδῃ.

THEODORIDI. 49.

Sic ſanè Pylium Agenoris inconſiderata parca
Ante tempus ex iuuentâ meſſuiſti Æolium,
Parcas incitans vitæ canes? hei mihi, vir
Qualis triſti iacet rapina morti!

ΛΕΩΝΙΔΟΥ.

Ἠρίον, οἷον νυκτὶ καταφθιμένοιο καλύπτεις
Ὀστέον, οἵαν γᾶ ἀμφέχανες κεφαλήν·
Πολλαῖς μὲν ξανθαῖσιν ἀρεσκομένην χαρίτεσσι,
Πολλὸν δὲ μνήμῃ πᾶσιν Ἀριστοκράτευς.
Ἤδει Ἀριστοκράτης καὶ μείλιχα δημολογῆσαι,
Στρεβλὴν οὐκ ὀφρὺν ἐσθλὸς ἐφελκόμενος·
Ἤδει καὶ Βάκχοιο παρὰ κρητῆρος ἀδηνής
Ἰθῦναι κοινὴν εὐκύλικα λαλιήν·
Ἤδει καὶ ξείνοισι καὶ ἐνδήμοισι προσηνέα
Ἔρδειν. γαῖ' ἐρατὰ τοῖον ἔχεις φθίμενον.

LEONIDÆ. 50.

Sepulchrum, quod in tenebris mortui abſcondis
Os, quale terra hiando vndique claudis caput:
Multis quidem flauis gratum gratiis,
Multùm verò in memoria omnibus Ariſtocratis,
Norat Ariſtocrates & dulcia concionari,

Contractam non frontem, bonus, contrahens:
Norat & Bacchi apud crateres sine rixâ
Dirigere communem compotationibus garrulitatem:
Norat etiam hospitibus & indigenis mansueta
Facere. terra amabilis talem habes mortuum.

ΠΕΡΣΟΥ.

Μαντιάδης, ὦ ξεῖνε, καὶ Εὔστρατος, υἱέες Ἀχέλλου,
Δυσμαίῃ κραναῇ κείμεθ' ἐνὶ ξυλόχῳ,
Ἀγραυλοι, γένεθεν ὀρεστύποι. ἔστι δ' ἐπὶ τύμβῳ
Μηνυταὶ τέχνης, δρυοτόμοι πελέκεις.

PERSI. 51.

Mantiades, ô hospes & Eustratus, filij Achelli,
Dysmæâ Cranaâ iacemus in luco.
Rustici genere, in montibus arbores sedétes. hi verò in tumulo
Indices artis, ligna secantes securi.

ΑΝΤΙΠΑΤΡΟΥ.

[a]Εἰπὸν ἀνειρομένῳ, τίς, καὶ τίνος ἐσσί. [b]Φίλαυλος
Εὐκρατίδεω. [a]ποδαπὸς δ' εὔχε' ἔμμεν; [b]Θριάσιος.
[a]Ἔζησας δὲ τίνα στέργων βίον; [b]οὐ τὸν ἀρότρου,
Οὐδὲ τὸν ἐκ νηῶν, τὸν δὲ σοφοῖς ἕταρον.
[a]Γήραϊ δ' ἢ νούσῳ βίον ἔλλιπες. [b]ἤλυθον ᾅδην
Αὐτοθελεί, κείνων γευσάμενος κυλίκων.
[a]Ἦ πρέσβυς; [b]καὶ κάρτα. [a]λάβοι νύ σε βῶλος ἐλαφρά,
Σύμφωνον πινυτῷ ζῶντα λόγῳ βίοτον.

ANTIPATRI. 52.

[a]Dic quærenti, quis & cuius es? [b]Philaulus
Eucratidæ. [a]cuias verò optas esse? [b]Thriasius.
[a]Vixisti verò quam amans vitam? [b]non aratro,
Neque ex nauibus, sed sapientibus gratam.
[a]Senecta an verò morbo vitam reliquisti? [b]veni ad inferos
Sponte, illos cùm gustassem calices.
[a]An senex? [b]vel maximè. [a]capiat te terra leuis,
Consonam prudenti habentem sermoni vitam.

ΛΕΩΝΙΔΟΥ.

Τίς ποτ' ἄρ' εἶ; τίνος ἆρα παρὰ τρίβον ὀστέα ταῦτα
  Τλήμον' ἐν ἡμιφαεῖ λάρνακι γυμνὰ μένει;
Μνῆμα δὲ καὶ τάφος αἰὲν ἀμαξεύοντος ὁδίτεω,
  Αξονι καὶ τροχιῇ λιτὰ παραξέεται.
Ηδη σου καὶ πλευρὰ παρατρίψουσιν ἅμαξαι
  Σχέτλιε, σοὶ δ' οὐδεὶς οὐδ' ἐπὶ δάκρυ βαλεῖ.

LEONIDÆ. 53.

Quis nam es? cuius verò ad femitam offa hæc
  Mifera, in effractâ vrnâ detecta manent?
Monumétum & fepulchrum femper curru percurréte viatore,
  Axe & orbita tenuia raduntur.
Iam tuum etiam latus conterunt currus
  Infelix, tibi verò nemo ne lacrumas quidem profundit.

ΘΕΟΔΩΡΙΤΟΥ.

Πέτρος ἐγὼ τὸ πάλαι γυρή, καὶ ἄτειπτος ἐπιβλής,
  Τὴν Ηρακλείτου ἔνδον ἔχων κεφαλήν.
Αἰών μ' ἔτειψε κεοκάλαις ἴσον. ἐν γὰρ ἁμάξῃ
  Παμφόρῳ αἰζηῶν εἰνοδίη τέταμαι.
Αγγέλλω δὲ βροτοῖσι, καὶ ἄστηλός περ ἐοῦσα,
  Θεῖον ὑλακτητὴν δήμου ἔχουσα κύνα.

THEODORETI. 54.

Lapis ego quondam rotundus & non fracta vectes,
  Heracleti intus habens caput.
Tempus me contriuit littoralibus calculis fimilé. à curru enim
  Omnia ferente hominum in viâ fita petra difiecta fum.
Nuncio verò hominibus, quamuis cippo carens,
  Diuinum latratorem populi canem habens.

ΛΕΩΝΙΔΟΥ.

Ηδη μευ τέτριπται ὑπ' ἐκ κενεὰ λυμεῶνος ὀστεῶν,
  Αρμονίης ὦναρ πλάξ τ' ἐπικεκλιμένη.
Ηδη καὶ κωλῆνες ὑπ' ἐκ σορῦ αἰγάζονται

Ἡμετέρης. τί πλέον γῆν ἐπιεννύμεθα;
Ἦ γὰρ πὼ οὕτω τριβωνὴ ὁδὸν ἐτμήξαντο
Ἄνθρωποι, κατ' ἐμῆς νισσόμενοι κεφαλῆς.
Ἀλλὰ πρὸς ἐγχθονίων, Ἀϊδωνέος, Ἑρμείᾳ τε,
Καὶ νυκτὸς, ταύτης ἐκτὸς ἴτ' ἀτραπιτοῦ.

LEONIDÆ. 55.

Iam meum contritum eſt abſconditum os,
Et cohærentia, ô vir, & lapis mihi incubans.
Iam & tibiæ oſſa ex ſepulchro apparent
Noſtro. quid amplius terram induimus?
Profectò ſic præcipitem viam diſſecuerunt
Homines, contra meum ambulantes caput.
Sed per Deos terreſtres Platonem & Mercurium,
Et noctem, hanc extra ite ſemitam.

ΔΙΟΣΚΟΥΡΙΔΟΥ.

Βάλλεθ' ὑπὲρ τύμβου πολιὰ κρίνα, καὶ τὰ συνήθη
Τύμπαν' ἐπὶ στήλῃ ῥήσσετ' Ἀναξιμένους.
Καὶ περιδινήσασθε μακρῆς αἰελίγματα χαίτης,
Στρυμονίην ἄφετοι Θυιάδες ἀμφὶ πόλιν.
Ἡ γλυκερὰ πνεύσαντος ἐφ' ὑμετέροισιν ἀέθλοις,
Πολλάκι πρὸς μαλακοὺς τοῦδ' ἐχόρευσε νόμους.

DIOSCORIDI. 56.

Coniicite ſupra meum tumulum alba lilia, & conſueta
Tympana ad columnam vehementer pulſate Anaximenis.
Et circum rotate longorum orbes capillorum,
Strymoniam ſolutę Thyades circa ciuitatem.
Quæ vrbs ſuauiter me modulante in veſtris choris,
Sępius ad molles huius ſaltauit modos.

ΛΕΩΝΙΔΟΥ.

Αὐτὰ ἐπὶ Κρήθωνος ἐγὼ λίθος, οὔνομα κείνου
Δηλοῦσα· Κρήθων δ' ἐν χθονίοις σποδιή.
Ὁ πρὶν καὶ Γύγῃ παρισεύμενος ὄλβον, ὁ τὸ πρὶν
Βουπάμμων, ὁ πρὶν πλούσιος αἰπολίοις,

Ὁ πρὶν (τί πλείω μυθεῦμ') ἐπὶ πᾶσι μακαρτὸς,
    Φεῦ, ὅσσης γαίης ἴσον ἔχει μόριον.

LEONIDÆ. 57.

Solus ſuper Crethonem ego lapis, nomen eius
    Notificans: Crethon autem in terrâ cinis eſt.
Qui prius Gygi comparandus opibus, qui prius
    Multa poſſidens, qui prius diues caprarum gregibus,
Qui prius (quid plus loquar) in omnibus beabilis,
    Hei hic terræ quantulam habet partem!

ΚΑΛΛΙΜΑΧΟΥ.

Δαίμονα τίς δ' εὖ οἶδε τὸν αὔριον, ἡνίκα καὶ σὲ
    Χάρμι τὸν ὀφθαλμοῖς χθιζὸν ἐν ἡμετέροις,
Τῇ ἑτέρῃ κλαύσαντες ἐθάπτομεν; οὐδὲν ἐκείνου
    Εἶδε πατὴρ Διοφῶν χρῆμ' ἀνιηρότερον.

CALLIMACHI. 58.

Fatum quis benè nouit craſtinum, cum & te
    Charmi oculis heri in noſtris,
Sequenti die plorantes ſepeliuimus? nihil illo
    Nouit pater Diophon triſtius.

ΘΕΟΦΑΝΟΥΣ.

Ἠρίον οὐκ ἐπὶ πατρὶ, πολυκλαύστῳ δ' ἐπὶ παιδὶ
    Λῦσις ἔχων, κενεὸν τήνδ' ἀνέχωσε κόνιν,
Οὔνομα ταρχύσας· ἐπεὶ οὐχ ὑπὸ χεῖρα τοκήων
    Ἤλυθε δυστήνου λείψανα Μαντιθέου.

THEOPANIS. 59.

Sepulchrum non ſuper patrem, multùm deflēdum ſuper filiū
    Lyſis habens, vanum hunc congeſſit puluerem,
Nomini parentans: poſtquam non ſub manum parentum
    Venerunt miſeri reliquiæ Mantithei.

ΑΝΤΙΠΑΤΡΟΥ.

Κυλλήνην ὄρευς Ἀρκάδων αἰχμευτής,
Αὕτη σῆμ' ἐπίκειτ' Ἀπολλοδώρῳ.
Πίσηθέν μιν ἰόντα νυκτὸς ὥρῃ.

Εκτεινεν δῖόθεν πεσὼν κεραυνός.
Τηλοῦ δ' Αἰγανέης τε καὶ Βεῤῥοίης
Νικηθεὶς ὁ δρομεὺς καθεύδει.

ANTIPATRI. 60.
Cyllenem montem Arcadum audis,
Hic ſepulchrum impoſitum eſt Apollodoro
Piſâ abeuntem ipſum noctis tempore,
Occidit à Ioue decidens fulmen.
Procul autem ab Æganea & Beræâ
Fulmine ictus curſor domuit.

ΕΙΣ ΑΡΧΑΙΟΥΣ ΤΙΝΑΣ,
κεφ. ζ.

ΑΓΑΘΙΟΥ, εἰς Κανδαύλην.
Κανδαύλου τόδε σῆμα· δίκη δ' ἐμὸν οἶτον ἰδοῦσα,
Οὐδὲν ἀλιτραίνειν τὴν παράκοιτιν ἔφη.
Ηθελε γὰρ δοιοῖσιν ὑπ' ἀνδράσι μηδὲ φανῆναι,
Αλλ' ἢ τὸν πρὶν ἔχειν, ἢ τὸν ἐπιστάμενον.
Ην ἄρα Κανδαύλην παθέειν κακόν· οὐ γὰρ ἂν ἔτλη
Δεῖξαι τὴν ἰδίην ὄμμασιν ἀλλοτρίοις.

IN PRISCOS QVOSDAM,
Cap. VII.

AGATHIÆ in Candaulem. 1.
Candaulis hoc ſepulchrum: iuſtitia verò meam mortem vidẽs,
Nihil iniurioſè agere vxorem dixit.
Voluit enim duobus viris non apparere,
Sed aut priorem habere, aut illum qui vidiſſet.
Fas erat Candaulem pati malum: non enim ſuſtinuiſſet
Oſtendere propriam oculis alterius.

Εἰς Σαρδανάπαλον.
Εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς, τὸν θυμὸν ἄεξε,

Τερπόμενος θαλίῃσι θανόντι σοι οὔτις ὄνησις.
Καὶ γὰρ ἐγὼ σποδός εἰμι, Νίνου μεγάλης βασιλεύσας.
Τόσσ' ἔχω ὅσσ' ἔφαγον, καὶ ἐφύβρισα, καὶ μετ' ἔρωτος
Τέρπν' ἐδάην· τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα λέλειπται.
Ἡ δὲ σοφὴ βιότοιο παραίνεσις ἀνθρώποισι.

In Sardanapalum. 2.

Benè ſciens quòd mortalis ſis, animum paſce,
Gaudens conuiuiis mortuo tibi nullum lucrum.
Nam & ego cinis ſum, Nino magnæ imperans.
Tanta habui, quanta comedi & luxuriatus ſum, & cum amore
Voluptates noui: multa verò & præclara illa relicta ſunt.
Hæc verò ſapiens vitæ admonitio eſt hominibus.

Εἰς Νιόβην.

Ὁ τύμβος οὗτος ἔνδον οὐκ ἔχει νεκρόν·
Ὁ νεκρὸς οὗτος ἐκτὸς οὐκ ἔχει τάφον,
Ἀλλ' αὐτὸς αὑτοῦ νεκρός ἐστι καὶ τάφος.

In Niobem. 3.

Hic tumulus intus non habet mortuum:
Mortuus hic extra non habet ſepulchrum,
Sed ipſe ſibi ipſi mortuus & ſepulchrum.

ΑΝΤΙΠΑΤΡΟΥ, εἰς τὴν αὐτήν.

Μουνάκι σὺν τέκνοις νεκροστόλε δέξο με πορθμεῦ,
Τὰν λάλον. ἀρκεῖ σοι φόρτος ὁ Ταντάλιδος.
Πληρώσει γαστὴρ μία σὸν σκάφος· εἰσὶ δὲ κούρεις
Καὶ κοῦραι, Φοίβου σκῦλα καὶ Ἀρτέμιδος.

ANTIPATRI in eundem. 4.

Solam cum liberis tranſuector mortuorum me accipe portitor,
Garrulam. Sufficit tibi onus Tantalidis.
Implebit venter vnus tuam ſcapham. intuêre pueros,
Et puellas Phœbi ſpolia & Artemidis.

ΛΕΩΝΙΔΟΥ, εἰς τὴν αὐτήν.

Πέτρος ἔτ' ἐν Σιπύλῳ Νιόβη, θρηνοῦσιν ἀγάζει,

Ἑπτὰ δὶς ὠδίνων μυρομένη θάνατον.

Λήξει δ' οὐδ' αἰῶνι γόου. τί δ' ἀλαζόνα μῦθον
  Φθέγξατο, τὸν ζωῆς ἅρπαγα καὶ τεκέων;

LEONIDÆ in eandem. 5.

Lapis adhuc in Sipylo Niobe, lamentis luget,
  Septem bis liberorum lugens mortem.
Ceſſabit v. nullo ſæculo à dolore. quid a. ſuperbum ſermonem
  Locuta eſt, vitæ raptorem & liberorum?

ΑΝΤΙΠΑΤΡΟΥ, εἰς Ἡρὼ καὶ Λέανδρον.

Οὗτος ὁ Λειάνδροιο διάπλοος, οὗτος ὁ πόντου
  Πορθμὸς, ὁ μὴ μούνῳ τῷ φιλέοντι βαρύς.
Ταῦθ' Ἡροῦς τὰ πάροιθεν ἐπαύλια, τοῦτο δὲ πύργου
  Λείψανον· ὁ προδότης ὧδ' ἐπέκειτο λύχνος.
Κοινὸς δ' ἀμφοτέρους ὅδ' ἔχει τάφος, εἰσέτι καὶ νῦν
  Κείνῳ τῷ φθονερῷ μεμφομένους ἀνέμῳ.

ANTIPATRI in Hero & Leandrum. 6.

Hic Leandri tranatus, hic ponti
  Tranſitus, qui non ſoli huic amatori grauis.
Hæc Herus prius habitatio. Hæ turris
  Reliquiæ, proditor hic iacet lychnus.
Communis vtrumque hic habet tumulus, nunc etiam adhuc,
  Illum inuidum reprehendens ventum.

ΜΕΛΕΑΓΡΟΥ εἰς Δάφνιν.

Οὐκ ἔθ' ὁμοῦ χιμάροισιν ἔχειν βίον, οὐκ ἔτι ναίειν
  Ὁ τραγόπους ἐθέλω Πὰν ὀρέων κορυφάς.
Τί γλυκύ μοι, τί ποθεινὸν ἐν οὔρεσιν; ὤλετο Δάφνις,
  Δάφνις, ὃς ἡμετέρῃ πῦρ ἔτεκε κραδίῃ.
Ἄστυ τόδ' οἰκήσω· θηρῶν δέ τις ἄλλος ἐπ' ἄγρην
  Στελλέσθω. τὰ πάροιθ' οὐκ ἔτι Πανὶ φίλα.

MELEAGRI in Daphnim. 7.

Non amplius cum capris habere vitam, non amplius habitare
  Caprinos pedes habens volo Pan montium cacumina.

Quid dulce mihi, quid desiderabile in mõtib.? periit Daphnis,
Daphnis, qui in nostro ignem generauit corde.
Ciuitatem hanc inhabitabo: ferarũ verò alius ad venationem
Mittatur. priora non amplius Pani grata.

Αδηλοι, εἰς Τίμωνα τὸν μισάνθρωπον.

Ενθάδ' ἀπορρήξας ψυχὴν βαρυδαίμονα κεῖμαι.
Ουνομα δ' οὐ πεύσεσθε· κακοὶ δὲ κακῶς ἀπόλοισθε.

Incerti in Timonem Misanthropum. 8.

Hîc auellens animam infelicem iaceo.
Nomen verò non quærite: sed malè mali perite.

ΛΕΩΝΙΔΟΥ εἰς τὸν αὐτόν.

Τὴν ἐπ' ἐμεῦ στήλην παραμείβεο, μήτ' ἐμὲ χαίρειν
Εἰπὼν, μήθ' ὅστις μὴ τίνος ἐξετάσας.
Η μὴ, τὴν ἀνύεις, τελέσαις ὁδόν. ἢν δὲ παρέλθῃς
Σιγῇ, μηδ' οὕτως ἣν ἀνύεις τελέσαις.

Leonidae in eundem. 9.

Super me positam columnam præteri, neque me saluere
Iubens, neque quis sim, & vnde quæras.
Aut non quam cupis viam perficies. si verò prætereas
Tacitus, ne sic quidem quam cupis viam absoluas.

ΠΤΟΛΕΜΑΙΟΥ εἰς τὸν αὐτόν.

Μὴ πόθεν εἰμὶ μάθῃς, μηδ' οὔνομα· πλὴν ὅτι θνήσκειν
Τοὺς παρ' ἐμὴν στήλην ἐρχομένους ἐθέλω.

Ptolemæi in eundem. 10.

Ne vnde sim discas, neque nomen, præterquam quòd mori
Meam columnam prætereuntes volo.

ΚΑΛΛΙΜΑΧΟΥ εἰς τὸν αὐτόν.

α Τίμων (οὐ γὰρ ἔτ' ἐσσί) τί τοι φάος, ἢ σκότος ἐχθρόν;
β Τὸ σκότος· ὑμείων γὰρ πλείονες εἰν ἀΐδῃ.

Callimachi in eundem. 11.

α Timon (non enim amplius es) quod lumen habes, an tenebras
hostiles?
β Tenebras: vestrûm enim plures in inferno.

ΗΓΗΣΙΠΠΟΥ εἰς τὸν αὐτόν.

Ὀξεῖαι πάντῃ περὶ τὸν τάφον εἰσὶν ἄκανθαι,
Καὶ σκόλοπες. βλάψεις τοὺς πόδας ἢν προσίῃς.
Τίμων μισάνθρωπος ἐνοικέω. ἀλλὰ πάρελθε,
Οἰμώζειν εἴπας πολλά. πάρελθε μόνον.

HEGESIPPI in eundem. 12.

Acutæ vbique circa tumulum ſunt vepres,
Et pali:nocebis pedibus ſi accedas.
Timon miſanthropus inhabito,ſed præteri,
Multa maledicens.præteri ſolùm.

Ἀδήλου, εἰς τὸν αὐτόν.

Τρηχεῖαν κατ' ἐμοῦ ψαφαρὴ κόνι ῥάμνον ἑλίσσοις
Πάντοθεν, ἢ σκολιῆς ἄγρια κῶλα βάτου.
Ὡς ἐπ' ἐμοὶ μηδ' ὄρνις ἐν εἴαρι κοῦφον ἐρείδοι
Ἴχνος, ἐρημάζω δ' ἥσυχα κεκλιμένος.
Ἡ γὰρ ὁ μισάνθρωπος, ὁ μηδ' ἀστοῖσι φιληθεὶς
Τίμων, οὐδ' ἀΐδῃ γνήσιός εἰμι νέκυς.

Incerti in eundem. 13.

Spinoſum contra me tenuis cinis virgultum circumducas
Vndique, aut obliquæ agreſtia membra rubi.
Super me ne auis quidem verè leue infigat
Veſtigium,ſolus ſim tacitus recubans.
go ſiquidem miſanthropus, qui neque à ciuibus adamatus
Timon,neque in inferno genuinus ſum mortuus.

Ἀδήλου, εἰς τὸν αὐτόν.

Μὴ χαίρειν εἴπῃς με κακὸν κέαρ, ἀλλὰ πάρελθε.
Ἶσον ἐμοὶ χαίρειν ἐστὶ, τὸ μὴ σὲ γελᾶν.

Incerti,in eundem. 14.

Ne ſalutem mihi dicas malum caput,ſed præteri.
Idem mihi ſaluere eſt,te non ridere.

Ἀδήλου, εἰς τὸν αὐτόν.

Καὶ νέκυς ὢν Τίμων, ἄγριος· σὺ δὲ δῆτε πυλωρὲ
Πλούτωνος τάρβει Κέρβερε μή σε δάκῃ.

Incerti, in eundem. 15.

Etiam mortuus existẽs Timon crudelis: tu verò grauis ianitor,
Plutonis time, Cerbere, ne & te mordeat.

Ἄδηλον, εἰς τὸν αὐτόν.

Ὅστις με τριόδοισι μέσαις πάρχυσε θανόντα,
Λυγρὰ παθὼν, τύμβου μηδ' ὀλίγοιο τύχοι.
Πάντες ἐπεὶ Τίμωνα νέκυν καλέουσιν ὁδῖται,
Καὶ μόρος ἄμμι μόνοις ἄμμορος ἡσυχίης.

Incerti, in eundem. 16.

Quicunque me triuiis mediis parentarit mortuum,
Grauia passus, tumulum quidem ne paruum consequatur.
Omnes Timonem postquam mortuum appellant viatores,
Et mors mihi soli expers quietis.

ΑΝΤΙΠΑΤΡΟΥ Σιδωνίου εἰς τὸν βασιλέα Πτολεμαῖον.

Μυρία τοι Πτολεμαῖε πατὴρ, ἐπὶ μυρία μάτηρ
Τειρομένα θαλεροὺς ᾐκίσατο πλοκάμους.
Πολλὰ τιθηνητὴρ ὀλοφύρατο, χερσὶν ἀμήσας
Ἀνδρομάχοις δνοφερὰν κρατὸς ὕπερθε κόνιν.
Ἁ μεγάλα δ' Αἴγυπτος ἑὰν ἐδάψατο χαίταν,
Καὶ πλατὺς Εὐρώπας ἐστονάχησε δόμος.
Καὶ δ' αὐτὰ διὰ πένθος ἀμαυρωθεῖσα Σελάνα
Ἄστρα καὶ οὐρανίας ἀτραπιτοὺς ἔλιπεν.
Ὤλεο γὰρ διὰ λοιμὸν ὅλας θοινήτορα χέρσου,
Πρὶν πατέρων νεαρᾷ σκᾶπτρον ἑλεῖν παλάμᾳ.
Οὐδέ σε νὺξ ἐκ νυκτὸς ἐδέξατο. δὴ γὰρ ἄνακτας
Τοίους οὐκ Ἀΐδης, Ζεὺς δ' ἐς Ὄλυμπον ἄγει.

ANTIPATRI Sidonij in regem Ptolemæum. 17.

Multùm, Ptolomæe pater, & multùm, mater,
Vexata, teneris doluit crinibus.
Multum nutrix doluit, manibus iniiciens

Virilibus

Virilibus tenebrosum super caput puluerem.
Magna verò Ægyptus pullâ veste rasit comam,
Et latæ Europæ ingenuit domus.
Nam & ipsa ob dolorem obscurata luna
Sydera & cælestes vias reliquit.
Perdidit enim per morbum totius comestorem terræ,
Antequam parentum iuuenili sceptrum acciperet manu.
Neque te nox ex nocte cæpit. nam sanè reges
Tales non infernus, sed Iupiter in cælum ducit.

ΟΜΗΡΟΥ.

Χαλκῆ παρθένος εἰμὶ, Μίδα δ' ἐπὶ σήματι κεῖμαι·
Εὖτ' ἂν ὕδωρ τε νάῃ, καὶ δένδρεα μακρὰ τεθήλῃ,
Ἠέλιός τ' ἀνιὼν λάμπῃ, λαμπρά τε σελήνη,
Αὐτοῦ τῇδε μένουσα πολυκλαύστῳ ἐπὶ τύμβῳ,
Ἀγγελέω παριοῦσι, Μίδας ὅτι τῇδε τέθαπται.

HOMERI. 18.

Ex ære virgo sum. Midæ verò in sepulchro iaceo,
Dum autem aqua fluit, & arbores longæ florent,
Sólque surgens lucet, & lucida luna,
Huius multùm deplorando in tumulo,
Annuncio prætereuntibus Midas quòd mortuus est.

ΙΟΥΛΙΑΝΟΥ.

Ἰουλιανὸς μετὰ Τίγριν ἀγάρροον ἐνθάδε κεῖται,
Ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητής.

IVLIANI. 19.

Iulianus post Tigrin valdè fluentem iacet,
Vtrumque, & bonus rex & fortis pugnator.

ΓΑΙΤΟΥΛΙΟΥ.

Παίδων Μηδείης οὗτος τάφος, οὓς ὁ πυρίπνους
Ζῆλος τῶν Γλαύκης θῆκ' ἐποίησε γάμων.
Οἷς αἰεὶ πέμπει μειλίγματα Σισυφὶς αἶα,
Μητρὸς ἀμειλίκτου θυμὸν ἱλασκομένη.

GETVLII. 20.

Filiorum Medeæ hic tumulus, quos ignem spirans

MMM. j.

Zelus Glaucæ hostiam fecit nuptiarum.
Quibus semper mittit placationes Sisyphia terra.
Matris crudelis iram placans.

ΘΕΟΔΩΡΟΥ τοῦ Ἀνθου εἰς μῖμον.

Νηλειὴς ἀΐδης, ἐπὶ σοὶ δ' ἐγέλασσε θανόντι
Τίτυρε, καὶ νεκύων θῆκέ σε μιμολόγον.

THEODORI Anthi in mimum. 21.

Crudelis mors super te risit mortuo,
Tityre, & mortuorum fecit mimum.

ΠΑΥΛΟΥ.

Σιγᾷς Χρυσεόμαλλε τὸ χάλκεον, οὐκ ἔτι δ' ἡμῖν
Εἰκόνας ἀρχεγόνων ἐκτελέεις μερόπων,
Νεύμασιν ἀφθόγγοισι· τεὴ δ' ὀλβίστη σιωπὴ
Νῦν στυγνὴ τελέθει, τῇ πρὶν ἐθελγόμεθα.

PAVLI 22.

Taces Chryseomale, instar ferrei, non amplius verò nobis
Imagines priscorum absoluis hominum,
Nutibus mutis: tuum verò beatissime silentium,
Nunc triste est, quo prius delectabamur.

ΕΙΣ ΑΥΛΗΤΑΣ, κεφ. η'.

Ἀδήλου.

Ὀρφεὺς μὲν κιθάρᾳ πλεῖστον γέρας εἵλετο θνητῶν,
Νέστωρ δὲ γλώσσης ἡδυλόγου σοφίῃ,
Τεκτοσύνῃ δ' ἐπέων πολυΐστωρ θεῖος Ὅμηρος·
Τηλεφάνης δ' αὐλοῖς, οὗ τάφος ἐστὶν ὅδε.

IN TIBICINES, Cap. VIII.

Incerti. 1.

Orpheus quidem citharâ magnam laudem consecutus est hominum,
Nestor verò linguæ suauis sapientiâ.
Compositione verborum multiscius diuinus Homerus:

Telephanes verò tibiis, cuius tumulus hic est.

Ἀδέσποτοι.

Ἑλλὰς μὲν Θήβας προτέρας προὔκρινεν ἐν αὐλοῖς,
Θῆβαι δὲ Πρόνομον, παῖδα τὸν Οἰνιάδου.

Incerti. 2.

Græcia quidem Thebas priores iudicauit in tibiis,
Thebe verò Pronomum filium Oeniadæ.

ΑΡΧΙΟΥ.

Αἰωρῇ θήρειον ἱμασσόμενος δέμας αὔραις
Τλῆμον ἀορτηθεὶς ἐκ λασίας πίτυος,
Αἰωρῇ. Φοίβῳ γὰρ ἀνάρσιον εἰς ἔριν ἔστης,
Γρῶνα Κελαινίτην ναιετάων σάτυρε.
Σεῦ δὲ βοὰν αὐλοῖο μελίβρομον οὐκ ἔτι νύμφαι
Ὡς πάρος ἐν Φρυγίοις οὔρεσι πευσόμεθα.

ARCHII. 3.

Sublatus es ferinum pulsatus corpus à ventis,
Miser pendens ab densâ pinu,
Sublatus es. Phœbo enim impar in contentione stabas,
Montis summitatem celænitem habitans satyre.
Tuum verò sonitum tibiæ suauem non amplius nymphæ
Vt prius in Phrygiis montibus audiemus.

ΕΙΣ ΒΡΕΦΗ, κεζ´ θζ

ΠΟΣΕΙΔΙΠΠΟΥ.

Τὸν τελετῆ παίζοντα περὶ φρέαρ Ἀρχιάνακτα,
Εἴδωλον μορφᾶς κωφὸν ἐπεσπάσατο.
Ἐκ δ' ὕδατος τὸν παῖδα διάβροχον ἥρπασε μάτηρ,
Σκεπτομένα ζωᾶς εἴ τινα μοῖραν ἔχει.
Νύμφας δ' οὐκ ἐμίηνεν ὁ νήπιος, ἀλλ' ἐπὶ γούνων
Ματρὸς κοιμηθεὶς, τὸν βαθὺν ὕπνον ἔχει.

IN INFANTES, Cap. IX.

POSIDIPPI. I.

Triennem ludentem circa puteum Astyanactem,
Imaginem formæ surdam salutabat.
Ex aqua verò puerum madidum rapuit mater,
Inquirens vitæ an adhuc partem habeat.
Aquas verò non fedauit infans sed super genua,
Matris iacens profundum somnum habet.

ΛΟΥΚΙΑΝΟΥ.

Παῖδά με πενταέτηρον, ἀκηδέα θυμὸν ἔχοντα
Νηλεὴς ἀΐδης ἥρπασε Καλλίμαχον.
Ἀλλά με μὴ κλαίοις· καὶ γὰρ βιότοιο μετέσχον
Παύρου, καὶ παύρων τῶν βιότοιο κακῶν.

LVCIANI. 2.

Puerum me quinque annorum, tristem animum habentem,
Crudelis mors rapuit Callimachum.
Sed me ne defleas: namque vitam sortitus sum
Breuem & pauca vitæ mala.

Ἀδήλου.

Ἀδη ἀλιτόμενέ τε καὶ ἄτροπε, τίπτε τοιοῦτον
Κάλλαισχρον ζωᾶς νήπιον ὠρφάνισας;
Ἔσται μὲν ὅγε παῖς ἐν δώμασι Φερσεφονείας
Παίγνιον, ἀλλ' οἴκοι λυγρὰ λέλοιπε πάθη.

Incerti. 3.

Mors inflexibilis, & sine ratione, quid talem
Callæschrum vitâ infantem priuasti?
Erit quidem hic puer in domibus Proserpinæ
Ludens, sed domi graues reliquit dolores.

ΜΑΚΕΔΟΝΙΟΥ.

Γαῖα, καὶ Εἰλείθυια (σὺ μὲν τέκες, ἡ δὲ, καλύπτεις)
Χαίρετον· ἀμφοτέρας ἤνυσα τὸ στάδιον.
Εἶμι δὲ μὴ νοέων ποτὶ νείατομαι· οὐδὲ γὰρ ὑμέας

Ἢ τίνος, ἢ τίς ἐὼν, οἶδα πόθεν μετέβην.

MACEDONII. 4.

Terra & Lucina(tu quidem generasti,tu verò abscondis)
Valete,vtrisque absolui curriculum.
Sum verò non sentiens vnde abeam: neque enim vos
Aut cuius aut quis existens,noui aut vnde abij.

ΑΓΑΘΙΟΥ.

Ἀβάλε μηδ' ἐγένοντο γάμοι, μὴ νυμφία λέκτρα
Οὐ γὰρ ἂν ὠδίνων ἐξεφάνη πρόφασις.
Νῦν δ' ἡ μὲν τριτάλαινα γυνὴ τίκτουσα κάθηται,
Γαστρὶ δὲ δυσκόλπῳ νεκρὸν ἔνεστι τέκος.
Τρισσοὶ δ' ἀμφιλύκη δρόμοι ἤνυσαν ἐξότε μίμνει
Τὸ βρέφος, ἀπρήκτοις ἐλπίσι τικτόμενον.
Κούφη σοὶ πελέθοι γαστὴρ τέκος ἀντὶ κονίης.
Αὐτὴ γάρ σε φέρει, καὶ χθονὸς οὐ χατέεις.

AGATHIÆ. 5.

Vtinam neque fiant nuptiæ,neque virginales lecti,
Non enim partuum appareret causa.
Iam verò hæc ter misera mulier pariens iacet,
Ventri verò infelici puer mortuus inhæret.
Tres verò dies cursum absoluerunt,ex quo manet
Infans vana spe in lucem editus.
Leuis tibi sit venter puer loco tumuli,
Hic enim te fert,& terrâ non indiges.

ΑΝΤΙΠΑΤΡΟΥ.

Τὸν μικρὸν Κλεόδημον ἔτι ζώοντα γάλακτι,
Ἴχνος ὑπὲρ τοίχων νηὸς ἐρεισάμενον,
Ὁ Θρῆιξ ἐτύμως Βορέης βάλεν εἰς ἁλὸς οἶδμα,
Κῦμα δ' ἀπὸ ψυχὴν ἔσβεσε νηπιάχου.
Ἰνοῖ, ἀνοικτίρμων τις ἔφυς θεὸς, ἣ Μελικέρτῃ
Ἥλικος οὐκ ἀΐδην πικρὸν ἀπηλάσαο.

ANTIPATRI. 6.

Paruulum Cleodemum adhuc viuentem lacte

Vestigium super latus nauis incipientem,
Thracius verò Boreas coniecit in maris fluctum,
Fluctus verò animam exstinxit infantis.
O Ino non lugenda quænam es dea, quæ Melicerti
Æqualis non mortem acerbam depuleris.

ΔΙΟΔΩΡΟΥ.

Κλίμακος ἐξ ὀλίγης ὀλίγον βρέφος ἐν Διοδώρου
Κάππεσεν, ἐκ δ' ἐάγη καίριον ἀστράγαλον,
Δινηθεὶς προκάρηνος. ἐπεὶ δ' ἴδε θεῖον ἄνακτα
Ἀντόμενον, παιδνὰς αὐτίκ' ἔτεινε χέρας.
Ἀλλὰ σὺ νηπιάχου δμωὸς χθὼν μή ποτε βρίθειν
Ὀστέα, τοῦ διετοῦς φειδομένη Κόρακος.

DIODORI. 7.

Scala ex parua paruus infans in Diodori domo
Cecidit, & fregit lethaliter vertebræ spinam,
Circumactus prono capite. cùm verò vidit diuinum dominum
Occurrentem, pueriles statim extendit manus. (ædium.
Sed tu infantis seruuli ô puluis ne quondam graues
Ossa, bienni parcens coraci.

ΕΙΣ ΓΕΡΟΝΤΑΣ, κεφ. ιζ.

Ἀδέσποτον.

Ἑξηκοντούτης Διονύσιος ἐνθάδε κεῖμαι,
Ταρσεύς, μὴ γήμας· αἴθε δὲ μηδ' ὁ πατήρ.

IN SENES, Cap. X.

Incerti. 1.

Sexaginta annorum Dionysius hîc iaceo
Tarsensis qui vxorem non duxi: vtinam verò neque pater.

Ἐπὶ τοῖς ἑαυτὸν θάψασι πρὸ τελευτῆς.

Γήραϊ καὶ πενίῃ τετρυμένος, οὐδ' ὀρέγοντος

Οὐδενὸς ἀνθρώπου δυστυχίης ἔρανον,
Τοῖς προμεροῖς κώλοισιν ὑπήλυθον ἠρέμα τύμβον·
Εὗρον δ' οἰζυροῦ τέρμα μόλις βιότου.
Ἠλλάχθη δ' ἐπ' ἐμοὶ νεκύων νόμος· οὐ γὰρ ἔθνησκον
Πρῶτον, ἔπειτ' ἐτάφην· ἀλλὰ ταφεὶς, ἔθανον.

In illum qui seipsum sepeliuit ante mortem. 2.

Senio & paupertate vexatus, neque præbente
Quodam homine infelicitatis stipem,
Trepidantibus membris accessi tacitus tumulum:
Inueni luctuosæ finem vix vitæ.
Mutata verò est in me mortuorum lex: nō enim mortuus sum
Prius, & postea sepultus: sed sepultus mortuus sum.

ΛΕΩΝΙΔΟΥ.

Η γρηῢς Νικὼ Μελίτης τάφον ἐστεφάνωσε
Παρθενικῆς. Ἀΐδη, τοῦθ' ὁσίως κέκρικας;

LEONIDÆ. 3.

Vetula Nico Melites tumulum coronauit,
Virginis ô mors hoccine rectè iudicasti?

Αδέσποτον.

Εγὼ Φιλαινὶς ἡ 'πίβωτος ἀνθρώποις
Ενταῦθα γήρᾳ τῷ μακρῷ κεκοίμημαι.
Μή με ὦ μάταιε ναῦτα τὴν ἄκραν κάμπτων,
Χλεύην τε ποιεῦ καὶ γέλωτα καὶ λέσχην.
Οὐ γὰρ μὰ τὸν Ζῆν', οὐ μὰ τοὺς κάτω κούρους,
Οὐκ ἦν ἐς ἄνδρας μάχλος, οὐδὲ δημώδης·
Πολυκράτης δὲ, τὴν γονὴν Αθηναῖος,
Λόγων τι παιπάλημα, καὶ κακὴ γλῶσσα,
Εγραψεν οἷ' ἔγραψεν· αὐτὴ δ' οὐκ οἶδα.

Incerti. 4.

Ego Philænis benigna hominibus
Hic ob senium magnum recumbo.
Non me, ô vane nauta, promontorium deflectens,
Risum facias & cachinnum & iocum.

Non per Iouem, non per fratres qui apud inferos,
Non erat in viros libidinosa, neque publica:
Polycrates verò, genere Atheniensis
Sermonum salebrositatem, & mala lingua,
Scripserit qualia scripsit, ego verò non scio.

ΑΝΤΙΦΙΛΟΥ.

Νεκροδόκον κλιντῆρα Φίλων ὁ πρέσβυς ἀείρων
Ἔνδοθεν, ὄφρα λάβοι μισθὸν ἐφημέριον,
Σφάλματος ἐξ ὀλίγοιο πεσὼν θάνεν. ἦν γὰρ ἕτοιμος
Εἰς ἀΐδην. ἐκ ἀλλ' ᾗ δ' ἡ πολιὴ πρόφασιν.
Ὃν δ' ἄλλοις ἐφόρει νεκυοστόλον, αὐτὸς ἐφ' αὑτῷ
Ἀσκαίτην ὁ γέρων ἀχθοφορῶν ἔλαθεν.

ANTIPHILI. 5.

Cadauer accipientem loculum Philon senex tollens
Intus, vt acciperet mercedem diurnam,
Ob errorem cadens mortuus est: erat enim promptus
Ad mortem. vocabat verò senectus occasionem.
Quem verò alij portabat loculum, ipse in seipso
Lectulum senex quod ferret nesciebat.

Ἀδέσποτον.

Τρεῖς ἐτέων δεκάδας, τριάδας δύο, μέτρον ἔθηκαν
Ἡμετέρης βιοτῆς μάντιες αἰθέριοι.
Ἀρκοῦμαι τούτοισιν. ὁ γὰρ χρόνος, ἄνθος ἄριστον
Ἡλικίης, ἔθανεν. χὠ τριγέρων Πύλιος.

Incerti. 6.

Tres annorum decades, triades duas, mensuram præbuerunt
Nostræ vitæ Vates ætherij.
Acquiesco in tantis. Nam tempus flos optimus
Iuuentutis. mortuus est & ter senex Pylius.

ΕΙΣ ΓΕΩΡΓΟΥΣ, κεφ. ια.

Ἄδηλον.

Οὕτω πᾶς ἀπόλωλε νεωποιὲ βῶλος ἀρότροις;

Ηδ

Ἤδη καὶ τύμβοις νωτοβατοῦσι βόες;
Ὕννις δ' ἐν νεκύεσσι; τί δ' ὁ πλέον ἢ πόσος ἔστι
Πυρὸς, ὃν ἐκ τέφρης κοὐ χθονὸς ἁρπάσετε;
Οὐκ αἰεὶ ζήσεσθε· καὶ ὑμέας ἄλλος ἀρόσσει,
Τοίης ἐξάρξαντας πᾶσι κακοσπορίης.

IN AGRICOLAS, Cap. XI.

Incerti. I.

Itane omnis periit, ô rustice, terra aratris?
Iam etiam tumulos superambulant boues?
Æquus verò inter mortuos? quid hinc commodi, aut quantum
Frumentum, quod ex cinere & non ex terra rapitis? (hoc
Non semper viuetis, & vos alius arabit:
Talis initium facientes omnibus malæ sementis.

ΕΙΣ ΓΥΝΑΙΚΑΣ, κεφ. ιβ.

ΛΕΩΝΙΔΟΥ.

α Τίς, τίνος εὖσα γύναι, Παρίαν ὑπὸ κίονα κεῖσαι;
β Πρηξὼ, Καλλιτέλευς. α καὶ ποδαπή; β Σαμίη.
α Τίς δέ σε καὶ κτερέϊξε; β Θεόκριτος, ᾧ με γονῆες
Ἐξέδοσαν. α θνήσκεις δ' ἐκ τίνος; β ἐκ τοκετοῦ.
α Εὖσα πόσων ἐτέων; β δύο κ' εἴκοσι. α ἦ ῥά γ' ἄτεκνος;
β Οὐκ, ἀλλὰ τριετῆ Καλλιτέλην ἔλιπον.
α Ζώοι σοι κεῖνός γε, καὶ ἐς βαθὺ γῆρας ἵκοιτο.
β Καὶ σοὶ ξεῖνε πόροι πάντα τύχη τὰ καλά.

IN MVLIERES, Cap. XII.

LEONIDÆ. I.

α Quæ & cuius mulier Pariâ in columnâ posita es?
β Prexo Callitelis. α cuias es β. Samia.
α Quis verò te sepeliit? β Theocritus, cui me parentes

Locarunt.α Vnde autem mortua es? β ex partu.
α Quot annorum fuisti? β duo & viginti. α Num sine liberis?
β Non, sed trium annorum Callitelem reliqui.
α Viuat ille tibi, & ad profundam senectam perueniat.
β Et tibi hospes tribuat omnia fortuna bona.

ΔΙΟΣΚΟΡΙΔΟΥ, οἱ δὲ, ΝΙΚΑΡΧΟΥ.

Τὴν γοεραῖς πνεύσασαν ἐν ὠδίνεσσι Λαμίσκην
Ὕστατα, Νικαρέτης παῖδα καὶ Εὐπόλιδος,
Σὺν βρέφεσιν διδύμοις, Σαμίην γένος, αἱ παρὰ Νείλῳ
Κρύπτουσιν Λιβύης ἠόνες εἰκοσέτιν.
Ἀλλὰ κόραι τῇ παιδὶ λεχώϊα δῶρα φέρουσαι,
Θερμὰ κατὰ ψυχροῦ δάκρυα χεῖτε τάφου.

DIOSCORIDIS, vt alij NICARCHI. 2.

Lugubribus spirantem in partubus Lamiscam
Vltima, Nicaretæ filium & Eupolidis.
Cum infantibus geminis, Samiam genere, hæc apud Nilum
Abscondunt Libyes littora viginti annorum.
Sed puellæ huic mulieri puerperia dona ferentes,
Calidas super frigido lacrumas effundite sepulchro.

Τοῦ αὐτοῦ, οἱ δὲ ἙΚΑΤΑΙΟΥ Θασίου.

Ἀρχέλεώ με δάμαρτα Πολυξείνην, Θεοδέκτου
Παῖδα καὶ αἰνοπαθοῦς ἔννεπε Δημαρέτης.
Ὅσσον ἐπ' ὠδῖσιν, καὶ μητέρα· παῖδα δ' ἅτε δαίμων
Ἔφθασεν, οὐδ' αὐτὸν εἴκοσιν ἠελίων.
Ὀκτωκαιδεκέτις δ' αὐτὴ θάνον, ἄρτι τεκοῦσα·
Ἄρτι δὲ καὶ νύμφη, πάντ' ὀλιγοχρόνιος.

Eiusdem, vt alij Hecatæi Thasij. 3.

Archelai me coniugem Polixinem, Theodecti
Filiam, & grauiter afflictæ dic Demaretæ.
Quantum ad partum, & matrem puerúmque Deus
Præripuit, neque ipsum viginti dierum.
Viginti & octo annorum verò ipsa iam cùm esset mortua,
iam pariens.

Paulò ante etiam puella, omnia per breue tempus.

Εἰς τὴν πέραν Κωνσταντινουπόλεως δάμαλιν.

Ιναχίης οὐκ εἰμὶ βοὸς τύπος, οὐδ' ἀπ' ἐμεῖο
 Κλήζεται ἀντωπὸν Βοσπόριον πέλαγος.
Κείνην γὰρ τὸ πάροιθε βαρὺς χόλος ἤλασεν Ηρης
 Ες Φάρον, ἥδε δ' ἐγὼ Κεκροπίς εἰμι νέκυς.
Εὐνέτις ἦν δὲ Χάρητος· ἔπλων δ' ὅτ' ἔπλωεν ἐκεῖνος
 Τῇδε, Φιλιππείων ἀντίπαλος σκαφέων.
Βοΐδιον δ' ἤκουον ἐγὼ τότε, νῦν δὲ Χάρητος
 Εὐνέτις, ἠπείροις τέρπομαι ἀμφοτέραις.

In vltrà Constantinopolem buculam. 4.

Inachiæ non sum vaccæ effigies, neque à me
 Dicitur obuium oculis Bosporium pelagus.
Illam prius grauis ira egit Iunonis
 In Pharum, hæc verò ego Atheniense sum cadauer.
Concubina eram autem Charetis: & nauigaui cũ nauigaret ille
 Hâc, Philippæis hostis nauibus.
Iuuencula verò vocabar ego tunc, iam verò Charetis
 Vxor, continenti verò delector vtroque.

ΜΕΛΕΑΓΡΟΥ.

Οὐ γάμον ἀλλ' ἀΐδην ἐπινυμφίδιον Κλεαρίστη
 Δέξατο, παρθενίης ἅμματα λυομένη.
Αρτι γὰρ ἑσπερίοιο νύμφης ἐπὶ δικλίσιν ἤχευν
 Λωτοὶ, καὶ θαλάμων ἐπλαταγεῦντο θύραι·
Ηῷοι δ' ὀλολυγμὸν ἀνέκραγον, ἐν δ' ὑμέναιος
 Σιγαθεὶς γοερὸν φθέγμα μεθαρμόσατο.
Αἱ δ' αὐταὶ καὶ φέγγος ἐδᾳδούχουν παρὰ παστῷ
 Πεῦκαι, καὶ φθιμένᾳ νέρθεν ἔφαινον ὁδόν.

MELEAGRI. 5.

Non nuptias, sed mortem sponsalem Clearista,
 Accepit, virginitatis vincula soluens.

Iam enim vespertinæ Nymphæ in valuis biforibus resonabant
Tibiæ, & Thalami resonabant ianuæ:
Matutinum verò planctum insonabat, & hymenæus
Tacens luctuosum planctum coniungebat.
Ipsæ verò & lucem præbebant in thalamo
Faces, & exstinctæ ad inferos demonstrarunt viam.

ΦΙΛΙΠΠΟΥ.

Ἄρτι μὲν ἐν θαλάμοις Νικιππίδος ἡδὺς ἐπήχει
Λωτός, καὶ γαμικοῖς ὕμνος ἔχαιρε κρότοις·
Θρῆνος δ' εἰς ὑμέναιον ἐκώμασεν· ἡ δὲ τάλαινα,
Οὔπω πάντα γυνή, καὶ νέκυς ἐβλέπετο.
Δακρυόεις Ἀΐδη, τί πόσιν νύμφης διέλυσας,
Αὐτὸς ἐφ' ἁρπαγίμοις τερπόμενος λέχεσιν;

PHILIPPI. 6.

Iam quidem in thalamis Nicippidis dulce resonabat
Tibia, & nuptiali hymnus gaudebat strepitu:.
Luctus verò ad Hymenæum accessit: hæc verò misera,
Nondum per omnia mulier, vel mortua videbatur.
Lacrumosa mors, quid coniugem à virgine dissoluisti,
Ipsa prædatoriis gaudens lectis?

ΑΝΤΙΠΑΤΡΟΥ Σιδωνίου εἰς Λαΐδα.

Τὴν καὶ ἅμα χρυσῷ καὶ ἁλουργίδι, καὶ σὺν ἔρωτι
Θρυπτομένην, ἁπαλῆς Κύπριδος ἁβροτέραν,
Λαΐδ' ἔχω, πολιῆτιν ἁλιζώνοιο Κορίνθου,
Πειρήνης λευκῶν φαιδροτέρην λιβάδων,
Τὴν θνητὴν Κυθέρειαν, ἐφ' ᾗ μνηστῆρες ἀγαυοὶ
Πλείονες ἢ νύμφης εἵνεκα Τυνδαρίδος,
Δρεπτόμενοι χάριτάς τε καὶ ὠνητὴν Ἀφροδίτην·
Ἧς καὶ ὑπὸ σποδιῇ τύμβος ὄδωδε κρόκῳ·
Ἧς ἔτι κηώεντι μύροις διάβροχον ὀστεῦν,
Καὶ λιπαραὶ θυόεν ἆσθμα πνέουσι κόμαι.

Ἧς ἔπι καλὸν ἄμυξε κατὰ ῥέθος Ἀφρογένεια,
    Καὶ γοερὸν λύζων ἐστονάχησεν ἔρως.
Εἰ δ' οὐ πάγκοινον δούλην θέτο κέρδεος εὐνὴν,
    Ἑλλὰς ἂν, ὡς Ἑλένης, τῆσδ' ὕπερ ἔσχε πόνον.

ANTIPATRI Sidonij in Laïdem. 7.

Illam cum auro & cum veste purpurea, & cum amore
    Delicientem, tenerâ Venere molliorem,
Laïdem habeo, ciuem mari cinctæ Corinthi:
    Pirenæ albis lucidiorem aquis:
Mortalem Venerem: ob quam proci splendidi
    Plures quàm ob Nympham Tyndaridem,
Decerpentes gratias & vendibilem Venerem:
    Cuius etiam benè olenti tumulus fragrat croco:
Cuius adhuc vaporato vnguento irriguum os,
    Et pingues thureum suffitum spirant comæ.
Ob quam pulchram faciem lacerauit Venus,
    Et luctuosum singultiens ingemuit amor.
Quòd si non communem seruum posuisset lucri lectum,
    Græcia vt ob Helenam, sic & super hanc habuisset laborem.

ΠΟΜΠΗΙΟΥ νεωτέρου εἰς τὸ αὐτό.

Ἡ τὸ καλὸν καὶ πᾶσιν ἐράσμιον ἀνθήσασα,
    Ἡ μούνη χαρίτων λείρια δρεψαμένη,
Οὐκ ἔτι χρυσοχάλινον ὁρᾷ δρόμον ἠελίοιο
    Λαῒς, ἐκοιμήθη δ' ὕπνον ὀφειλόμενον,
Κώμους, καὶ τὰ νέων ζηλώματα, καὶ τὰ ποθούντων
    Κνίσματα, καὶ μύστην λύχνον ἀπειπαμένη.

POMPEI Iunioris, in idem. 8.

Hæc quæ pulchrè, & omnibus amabiliter florens,
    Quæ sola gratiarum flores decerpsit,
Non amplius aurofrenem video cursum solis
    Laïs, dormit verò somnum debitum.
Commessationes, & iuuenum æmulationes, & amantium
    Pruritus, & secretum lychnum recusans.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ εἰς τὸ αὐτό.

Ερπων εἰς Ἐφύρην, τάφον ἔδρακον ἀμφικέλαθον
Λαΐδος ἀρχαίης, ὡς τὸ χάραγμα λέγει.
Δάκρυ δ' ἐπισπείσας, χαῖρε γύναι· ἐκ γὰρ ἀκοῆς
Οἰκτείρω σε ἔφην, ἣν πάρος οὐκ ἴδομεν.
Ω πόσον ἠιθέων νόον ἤναγες· ἀλλ' ἴδε, λήθην
Ναίεις, ἀγλαΐην ἐν χθονὶ κατθεμένη.

AGATHIÆ Scholastici in idem. 9.

Veniens in Ephyram, tumulum vidi ambiuium
Laïdis antiquæ, vt inſcriptiô dicit.
Lacrymas verò profundens, ſalue mulier: ob famam enim
Miſereor te, dixi, quam prius non vidi.
O quantum iuuenum mentem torſiſti: ſed vide, obliuionem
Habitas, pulchritudinem in terrâ deponens.

Αδέσποτον.

Ακμαίην πρὸς ἔρωτα καὶ ἡδέα Κύπριδος ἔργα
Πατροφίλα, χαροποὺς ἔσβεσας ὀφθαλμούς·
Εσβέσθη δὲ τὰ φίλτρα τὰ κωτίλα, χὼ μετ' ἀοιδᾶς
Ψαλμὸς, καὶ κυλίκων αἱ λαμυραὶ προπόσεις.
Αδη δυσκίνητε, τί τὴν ἐπέραστον ἑταίρην
Ηρπασας; ἦ καὶ σὴν Κύπρις ἔρηνε φρένα;

Incerti. 10.

Iam matura ad amorem, & dulcia Veneris opera
Patrophila, oculos dulces clauſiſti:
Exſtincta verò ſunt philtra garrula, & cum cantu
Pſalmus, & poculorum facetæ præbibitiones.
Pluto inflexibilis, quid amabilem meretricem
Rapuiſti? an & tuam Venus furiauit mentem.

ΦΙΛΟΔΗΜΟΥ.

Ενθάδε τῆς τρυφερῆς μαλακὸν ῥέθος, ἐνθάδε κεῖται
Τρυφέριον, σαβακῶν ἄνθεμα σαλμακίδων.
Η καλύβη καὶ δοῦμος ἐνέτρεπεν, ἡ φιλοπαίγμων
Στωμυλίη, μήτηρ· ἣν ἐφίλησε Θεῶν.

Ἡ μούνη στέρξασα τὰ Κύπριδος ἀμφὶ γυναικῶν
  Ὄργια καὶ φίλτρων Λαΐδος ἁψαμένη,
Φῦε κατὰ στήλης ἱερὴ κόνι τῷ φιλοβάκχῳ
  Μὴ βάτον, ἀλλ' ἁπαλὰς λευκοΐων κάλυκας.

PHILODEMI. II.

Hîc delicatæ molle membrum, hîc iacet
  Trigonium, ebriosarum flos meretricum.
Cui tugurium & domus decori erat, cui amans iocos
  Loquacitas mater: quam amauit Theon.
Quæ sola amans Cypridis præ mulieribus
  Orgia, & ad amatoria Laïdis propè accedens.
Produc super columnam sacer cinis huic Baccho amicæ
  Non rubum, sed molles albarum violarum folliculos.

ΘΥΙΛΛΟΥ.

Ἡ κροτάλοις ὀρχηστρὶς Ἀρίστιον, ἡ περὶ πεύκαις
  Καὶ Κυβέλῃ πλοκάμους ῥῖψαι ἐπισταμένη,
Ἡ λωτῷ κερόεντι φορευμένη, ἡ τρὶς ἐφεξῆς
  Εἰδυῖ' ἀκρήτους ζωροποτεῖν κύλικας,
Ἐνθάδ' ὑπὸ πτελέαις ἀναπαύεται, οὐκ ἔτ' ἔρωτι,
  Οὐκ ἔτι παννυχίδων τερπομένη καμάτοις.
Κῶμοι καὶ μανίαι μέγα χαίρετε· κεύθεται ᾅδῃ
  Ἡ τὸ πρὶν στεφάνων ἄνθεσι κρυπτομένη.

THYILLI. 12.

Cum crotalis saltans Aristion, cum tædis
  Et Cybele crines concutere sciens,
Fistula cornuta ferebatur, quæ ter consequenter
  Sciebat meri vini exhaurire calices,
Hîc sub vlmo quiescit, non amplius amore,
  Non amplius peruigilibus delectata laboribus.
Cõmessationes & insaniæ multùm valete, occultatur inferno,
  Quæ prius coronarum floribus occultabatur.

Ἀδέσποτον.

Εἴκοσι Καλλικράτεια καὶ ἐννέα τέκνα τεκοῦσα,

Οὐδενὸς οὐδὲ μιῆς ἐδρακόμην θάνατον·
Αλλ' ἑκατὸν καὶ πέντε διηνυσάμην ἐνιαυτοὺς,
Σκήπωνι τρομερὰν οὐκ ἐπιθεῖσα χέρα.

Incerti. 13.

Viginti Callicratea & nouem liberos gignens,
Nullius, & neminis vidi mortem.
Sed centum & quinque peregi annos,
Baculo trepidam non imponens manum.

Αδέσποτον.

Αδ' ἐγὼ ἡ περίβωτος ὑπὸ πλακὶ τῇδε τέθαμμαι,
Μούνῳ ἐνὶ ζώναν ἀνέρι λυσαμένη.

Incerti. 14.

Hæc ego celebris ſub lapide hoc ſepulta ſum,
Vni ſoli zonam viro ſoluens.

ΔΙΟΣΚΟΥΡΙΔΟΥ εἰς τὰς Λυκαμβίδας.

Οὐ μὰ τόδε φθιμένων σέβας ὅρκιον, αἵδε Λυκάμβεω
Αἳ λάχομεν στυγερὴν κληδόνα θυγατέρες,
Οὔτε τι παρθενίην ᾐσχύναμεν, οὔτε τοκῆας,
Οὔτε Πάρον, νήσων αἰπυτάτην ἱερῶν·
Αλλὰ καθ' ἡμετέρης γενεῆς ῥιγηλὸν ὄνειδος
Φήμην τε στυγερὴν ἔφλυσεν Αρχίλοχος.

DIOSCORIDIS in Lycambides. 15.

Certè per mortuorum iuſiurandum, hæ Lycambæ
Quæ nactæ ſumus grauem famam filiæ,
Neque virginitatem dedecorauimus, neque parentes,
Neque Paron, inſularum ſublimiſſimam ſanctarum:
Sed contra noſtram familiam tremendum probrum,
Famámque horrendam euomuit Archilochus.

Αδέσποτον εἰς τὸ αὐτό.

Αρχίλοχον (μὰ θεοὺς καὶ δαίμονας) οὔτ' ἐν ἀγυιῇς
Εἴδομεν, οὔθ' Ηρης ἐν μεγάλῳ τεμένει.
Εἰ δ' ἦμεν μάχλοι καὶ ἀτάσθαλοι, οὐκ ἂν ἐκεῖνος

Ηθελεν

Ἤθελεν ἐξ ἡμέων γνήσια τέκνα τεκεῖν.

Incerti in idem. 16.

Archilochum(per Deos & Dæmonas)neque in vicis
Vidimus,neque Iunonis in magno delubro:
Quòd si fuimus libidinosæ & probrosæ,non ille
Voluisset ex nobis genuinos liberos gignere.

Ἄλλον εἰς τὸ αὐτό.

Δεξιτερὴν Ἀΐδαο θεοῦ χέρα καὶ τὰ κελαινὰ
Ὀμνύμεν ἀρρήτου δέμνια Φερσεφόνης,
Παρθένοι ὡς ἔτυμον καὶ ὑπὸ χθονί. πολλὰ δ' ὁ πικρὸς
Αἰσχρὰ καθ' ἡμετέρης ἔφλυσε παρθενίης
Ἀρχίλοχος· ἐπέων δὲ καλὴν φάτιν οὐκ ἐπὶ καλὰ
Ἔργα, γυναικεῖον δ' ἔτραπεν εἰς πόλεμον.
Πιερίδες, τί κόρῃσιν ἐφυβριστῆρας ἰάμβους
Ἐτράπετ', οὐχ ὁσίῳ φωτὶ χαριζόμεναι;

Incerti in idem. 17.

Dextram inferni Dei manum,& nigros
Iuramus arcanæ lectos Proserpinæ,
Virgines quòd verè etiam sub terra.multa verò acerbus
Turpia contra nostram euomuit virginitatem
Archilochus: verborum verò sermonem pulchrum nõ ad pul-
Opera,muliebrem verò conuertit in contentionem. (chra
Pierides quid in puellas iniurias iambos
Conuertistis,non bono viro concedentes?

ΑΝΤΙΠΑΤΡΟΥ.

Ταὶ μὲν ἀεὶ πολύμυθον, ἀεὶ λάλος ὦ ξένε κίσσα
Φάσει· τὰν δὲ μέθας σύντροφον, ἅδε κύλιξ.
Ταὶ Κρῆσσαν ὅ, τὰ τόξα· τὰ δ' εἴρια, τὰν φιλοεργόν·
Ἄνδεμα δ' αὖ μίτρας, τὰν πολιοκρόταφον.
Τοιάνδε στάλυγρος ὅδ' ἔκρυφε Βιτίδα τύμβος,
Τὰν θυμήρεα χρηστὸν νυμφιδίαν ἄλοχον.
Ἀλλ' ὦ 'νερ καὶ χαῖρε, καὶ οἰχομένοισιν ἐς ᾅδαν

Τὰν αὐτὰν μύθων αὖθις ὄπαζε χάριν.

ANTIPATRI. 18.

Semper multiloquam loquax, ô hospes, pica
Ostendit, & hanc cum ebrietate nutritam, hic calix.
Cretensem verò arcus, lana verò operosam.
Vitta rursus mitræ, canam.
Talem cum columna ædificatus hic abscōdit Bittidē tumulus.
Honestam sponsalem coniugem.
Sed, ô vir, & salue & discedentibus ad inferos
Hanc eandem sermonum vicissim præbe gratiam.

ΑΛΚΑΙΟΥ εἰς γυναῖκα ἥτις ἐκαλεῖτο Φιδίς.

Δίζημαι κατὰ θυμὸν ὅτου χάριν ἁ παροδῖτις.
Δισσάκι φῖ μοῦνον γράμμα λέλογχε λίθος,
Λαοτύποις σμίλαις κεκολαμμένον. ἦ ῥα γυναικὶ
Τᾷ χθονὶ κευθομένᾳ Χιλιὰς ἦν ὄνομα;
Τοῦτο γὰρ ἀγγέλλει κορυφούμενος εἰς ἓν ἀριθμός.
Ἢ τὸ μὲν εἰς ὀρθὰν ἀτραπὸν οὐκ ἔμολεν,
Ἡ δ' οἰκτρὸν ναίουσα τόδ' ἠρίον ἔπλετο Φιδίς;
Νῦν σφιγγὸς γρίφους Οἰδίπος ἐφρασάμην.
Αἰνετὸς, οὐκ διασσοῖο καμὼν αἴνιγμα τύποιο,
Φέγγος μὲν ξυνετοῖς, ἀξυνέτοις δ' ἔρεβος.

ALCÆI in mulierem, quæ vocabatur Phidis. 19.

Inquiro in animo cuius gratiâ viæ imminens
Duplex Phi solam literam sortita sit lapis,
Scalpentibus cœlis incisam. nunc quid mulieri
In terrâ occlusæ Chilias erat nomen?
Hoc enim annunciat collectus in vnum numerus.
An hæc interpretatio, per rectam viam non penetrauit,
Illa miserabile inhabitans monumentum fuit Phidis?
Nunc sphingis ænigmata Oedipus enarraui.
Laudandus, qui ex duplici elaborans ænigma literâ,
Lucem quidem scientibus: ignorantibus verò, tenebras.

ΛΕΩΝΙΔΟΥ.

Αὐτὰ Τιμόκλει', αὐτὰ Φιλὼ, αὐτὰ Ἀριστὼ,
Αὐτὰ Τιμαιθὼ, παῖδες Ἀριστοδίκου,
Πᾶσαι ὑπ' ὠδῖνος πεφοιβημέναι· αἷς ἔπι τούτο
Σᾶμα πατὴρ στάσας κάτθαν' Ἀριστόδικος.

LEONIDÆ. 20.

Ipſa Timoclea, ipſa Philo, ipſa Ariſto,
Ipſa Timætho, filiæ Ariſtodici,
Omnes ex partu interemptę: ſuper quibus hoc
Sepulchrum pater conſtituens, mortuus eſt Ariſtodicus.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ ἐπὶ τῇ ἰδίᾳ μητρὶ κειμένῃ ἐν Βυζαντίῳ.

[a]Ὦ ξένε, τί κλαίεις; [b]διὰ σὸν μόρον. [a]οἶσθα τίς εἰμι;
[b]Οὐ μὰ τόν, ἀλλ' ἔμπης, οἰκτρὸν ὁρῶ τὸ τέλος.
[a]Ἐστὶ δὲ τίς; [b]Περίκλεια. [a]γυνὴ τίνος; [b]ἀνδρὸς ἀρίστου
Ῥήτορος, ἐξ Ἀσίης, οὔνομα Μεμνονίου.
[a]Πῶς δέ σε Βοσπορίη κατέχει κόνις; [b]εἴρεο μοῖραν,
Ἥ μοι τῆλε πάτρης ξεῖνον ἔδωκε τάφον.
[a]Παῖδα λίπες; [b]τριέτηρον, ὃς ἐν μεγάροισιν ἀλύων,
Ἐκδέχεται μαζῶν ἡμετέρων σταγόνα.
[a]Αἴθε καλῶς ζώοι. [b]ναὶ ναὶ φίλος· εὔχεο κείνῳ
Ὄφρα μοι ἡβήσας δάκρυ φίλον σταλάοι.

AGATHIÆ ſcholaſtici in propriam matrem iacentem in Byzantio. 21.

[a]O hoſpes quid fles? [b]propter tuam mortem. [a]noſti quę ſim?
[b]Non certè, ſed tamen miſerabilem video mortem.
[a]Quęnam es? [b]Periclea. [a]mulier cuius. [b]Viri optimi
Rhetoris ex Aſia, nomine Memnonij.
[a]Quomodo autem te Boſporidis cohibet cinis? [b] interroga parcam
Quę mihi procul à patriâ hoſpitem dedit tumuli
[a]Puerum reliquiſti? [b]Triennem, qui in domibus mœrens,
Excipit mammarum noſtrarum guttam.
[a]Vtinam pulchrè viuat. [b]Certè, certè amice: Opta ipſi!

Vt mihi adoleſcens lacrymas charas mittat.

ΜΕΛΕΑΓΡΟΥ.

Δάκρυά σοι καὶ νέρθεν ὑπὸ χθονὸς Ἡλιοδώρα
  Δωρεῦμαι, στοργᾶς λείψανον εἰς ἀΐδην,
Δάκρυα δυσδάκρυτα. πολυκλαύτῳ δ' ἐπὶ τύμβῳ
  Σπένδω μνᾶμα πόθων, μνᾶμα φιλοφροσύνας.
Οἰκτρὰ γὰρ, οἰκτρὰ φίλαν σε καὶ ἐν φθιμένοις Μελέαγρος
  Αἰάζω, κενεὰν εἰς Ἀχέροντα χάριν.
Αἶ, αἶ, ποῦ τὸ ποθεινὸν ἐμοὶ θάλος; ἅρπασεν ᾅδας,
  Ἅρπασεν· ἀκμαῖον δ' ἄνθος ἔφυρε κόνις·
Ἀλλά σε γουνοῦμαι γᾶ παντρόφε, τὰν πανόδυρτον
  Ἠρέμα σοῖς κόλποις μᾶτερ ἐναγκάλισαι.

MELEAGRI. 22.

Lacrymas & inferius tibi in terrâ Heliodora
  Dono, amoris reliquias in inferno.
Lacrymas lacrymabiles. multùm verò deflendo in tumulo
  Libo monumentum amoris, beniuolentiæ monumentum.
Miſerè enim, miſerè amicam te etiam in mortuis Meleager
  Lugeo, vanam Plutoni gratiam.
Æ, æ, vbi gratum mihi germen? rapuit infernus,
  Rapuit. iuuenilem verò florem inquinauit puluis.
Sed te ſupplex oro, terra omniũ nutrix, vt omnino miſerabilem
  Suauiter tuo ſinu mater recipias.

ΤΥΜΝΕΩ.

Μή σοι τοῦτο Φιλαινὶ λίην ἀποκαίριον ἔστω,
  Εἰ μὴ πρὸς Νείλῳ γῆς μορίης ἔτυχες,
Ἀλλά σ' ἐλευθερίης ὅδ' ἔχει τάφος. ἔστι γὰρ ἴση
  Πάντοθεν εἰς ἀΐδην ἐρχομένοισιν ὁδός.

TYMNEI. 23.

Ne tibi hoc Philæni valde moleſtum ſit,
  Si non ad Nilum terram vicinam ſortiaris,
Sed te libertatis hic habet tumulus. Eſt enim æqualis
  Vndique ad inferos venientibus via.

ΣΑΠΦΟΥΣ.

Τιμάδος ἅδε κόνις, τὴν δὴ πρὸ γάμοιο θανοῦσαν
Δέξατο Φερσεφόνας κυάνεος θάλαμος·
Ας καὶ ἀποφθιμένας, πᾶσαι νεοθηγεῖ χαλκῷ
Αλικες ἱμερτὰν κρατὸς ἔθεντο κόμαν.

SAPPHVS. 24.

Timadis hic cinis eſt, quam ante nuptias mortuam
Accepit Perſephonæ niger thalamus:
Quâ etiam mortuâ, omnes recèns acuto ferro
Æquales amabilem capitis depoſuêre comam.

ΚΑΛΛΙΜΑΧΟΥ.

Τιμονόη, τίς δ᾽ ἐσσί; μὰ δαίμονας οὔ σ᾽ ἂν ἐπέγνων
Εἰ μὴ Τιμοθέου πατρὸς ἐπῆν ὄνομα
Στήλῃ, καὶ Μήθυμνα τεὴ πόλις. ἦ μέγα φημὶ
Χῆρον ἀνιᾶσθαι σὸν πόσιν Εὐθυμένην.

CALLIMACHI. 25.

Timonoë, quænam es? per Deos, non te cognoui,
Si non Timothei patris ineſſet nomen
Columnæ, & Methymna tua ciuitas. Certè magnum dico,
Viduum dolêre tuum maritum Euthymenem.

ΙΩΑΝΝΟΥ ποιητοῦ τοῦ βαρβουκάλλου.

Εἰς πόσιν ἀθρήσασα παρ᾽ ἐσχατίης λίνα μοίρης,
Ηνεσα καὶ χθονίους, ἤνεσα καὶ ζυγίους·
Τοὺς μὲν, ὅτι ζωὸν λίπον ἀνέρα· τοὺς δ᾽ ὅτι τοῖον.
Αλλὰ πατὴρ μίμνοι παισὶν ἐφ᾽ ἡμετέροις.

IOANNIS Poetæ barbucalli. 26.

In maritum intuens circa vltima fila fati,
Laudaui & infernos, laudaui & nuptiis præfectos:
Hos quidem quòd viuum reliqui virum. Illos verò quòd talem.
Sed vtinam pater maneat noſtris liberis.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Τοῦτο στεφοφορίας ἀντάξιον εὗρεο Νοστῆ

Δάκρυά σοι γαμέτας σπεῖσε καταφθιμένας.

Eiusdem in Idem. 27.

Hoc prudentiæ munus inuenisti Nosto,
Lacrumas tibi coniux libauit mortuæ.

ΚΥΡΟΥ ποιητοῦ.

Τρεῖς ἐτέων δεκάδες, Μαίης χρόνος· ἐς τρία δ' ἄλλα
Ἔτρεχεν, ἀλλ' ἀΐδης πικρὸν ἔπεμψε βέλος.
Θηλυτέρην δ' ἥρπαξε ῥόδων καλύκεσσιν ὁμοίην,
Πάντ' ἀπομαξαμένην ἔργα τὰ Πηνελόπης.

Cyri Poëtæ. 28.

Tres annorum decades, Maïæ tempus: in tria verò alia
Cucurrit, sed mors graue misit telum.
Femellam verò rapuit rosarum calicibus similem,
Omnia imitantem opera Penelopes.

ΙΟΥΛΙΑΝΟΥ Αἰγυπτίου.

Αὐτὴν Θεοδότην ὁ ζωγράφος· αἴθε δὲ τέχνης
Ἥμβροτε, καὶ λήθην δῶκεν ὀδυρομένοις.

Ivliani Ægyptii. 29.

Ipsam Theodoten pictor: vtinam verò arte
Errasset, & obliuionem dedisset lugentibus.

ΛΕΟΝΤΙΟΥ σχολαστικοῦ.

Σῆμα Ῥόδης· Τυρίη δὲ γυνὴ πέλεν· ἀντὶ δὲ πάτρης,
Ἵκετο τήνδε πόλιν, κηδομένη τεκέων.
Αὕτη ἀειμνήστοιο λέχος κόσμησε Γεμέλλου,
Ὃς πάρος εὐνομίης ἴδμονα θῆκε πόλιν.
Γρηῢς μὲν μόρον εὗρεν, ὄφελλε δὲ μυρία κύκλα
Ζώειν. τὴν ἀγαθὴν οὐ δεχόμεσθα κόρον.

Leontii scholastici. 30.

Sepulcrum Rhodes. Tyria verò mulier erat: pro patria verò
Venit, ad hanc ciuitatem, curans liberos.
Ipsa nobilis lectum ornauit Gemelli,
Qui prius Iustitiæ scientem fecit ciuitatem.
Anus quidem mortem inuenit, debebat verò mille annos

Viuere: bonorum nunquam capimus satietatem.

ΑΓΑΘΙΟΥ εἰς τὴν ἀδελφὴν αὐτοῦ Εὐγενίαν.

Τὰν πάρος ἀνθήσασαν ἐν ἀγλαΐῃ καὶ ἀοιδᾷ,
  Τὰν πολυκυδίστου μνάμονα θεσμοσύνας,
Εὐγενίαν κρύπτει χθονίη κόνις· αἱ δ' ἐπὶ τύμβῳ
  Κείραντο πλοκάμους, Μοῦσα, Θέμις, Παφίη.

AGATHIÆ in sororem suam Eugeniam. 31.

Prius florentem in deliciis, & cantu,
  Venerandi peritam iuris,
Eugeniam abscondit terrestris puluis: hæ verò super tumulum
  Detonderunt crines, Musa, Themis, Paphia.

ΙΟΥΛΙΑΝΟΥ Αἰγυπτίου.

Οὔνομα μὲν, Καλὴ, φρεσὶ δὲ πλέον ἠὲ προσώπῳ,
  Κάτθανε· φεῦ Χαρίτων ἐξαπόλωλεν ἔαρ.
Καὶ γὰρ ἔην Παφίῃ πανομοίιος, ἀλλὰ συνεύνῳ
  Μούνῳ· τοῖς δ' ἑτέροις Παλλὰς ἐρυμνοτάτη.
Τίς λίθος οὐκ ἐγόησεν ὅτ' ἐξήρπασεν ἐκείνην
  Εὐρυβίης ἀΐδης ἀνδρὸς ἀπ' ἀγκαλίδων;

IVLIANI ÆGYPTII. 32.

Nomen quidem, Cale, animo verò plus quàm facie:
  Mortua est, heu charitum periit ver.
Etenim erat Veneri persimilis. Sed viro
  Soli, reliquis autem Pallas custoditissima.
Quis lapis non lugeret cùm rapuit ipsam
  Latepotens mors, viri ex vlnis.

Τοῦ αὐτοῦ τωθαστικόν.

Σοὶ σορὸν εὐλάϊγγα Ῥοδῶ καὶ τύμβον ἐγείρει,
  Ρόσιά τι ψυχῆς δῶρα καὶ πείνησι νέμει
Ἀντ' εὐεργεσίης γλυκερῆς πόσις· ὅττι θανοῦσα
  Ὠκύμορος, κείνῳ δῶκας ἐλευθερίην.

Eiusdem mordax. 33.

Tibi ſepulcrum ex pulchro lapide Rhodæ, & tumulũ erigunt,
Liberatoria animæ dona pauperibus diſtribuit
Pro beneficio dulcis coniux: quòd moriens,
Breuis vitæ, ipſi dediſti libertatem.

ΠΑΛΛΑΔΑ.

Ψύλλα πρεσβυτικὴ τοῖς κληρονόμοις φθονέουσα,
Αὐτὴ κληρονόμος τῶν ἰδίων γέγονεν.
Ἀλλομένη δὲ τάχος κατέβη δόμον εἰς ἀΐδαο,
Ταῖς δαπάναις τὸ ζῆν σύμμετρον εὑραμένη.
Πάντα φαγοῦσα βίον, συναπώλετο ταῖς δαπάναισιν·
Ἥλατο δ᾽ εἰς ἀΐδην ὡς ἀπεχρημάτισε.

PALLADÆ. 34.

Pſylla ſenex hæredibus inuidens,
Ipſa hæres propriorum bonorum facta eſt.
Præſiliens verò celeriter, deſcendit domum in inferni,
Ipſis ſumptibus vitam æqualem inueniens.
Omnem abſumens victum, mortua eſt vnà cum ſumptibus:
Tranſiliit verò ad inferos vbi omnia bona decoxit.

ΕΥΤΟΛΜΙΟΥ.

Υἱέος ὠκυμόρου θάνατον πενθοῦσα Μενίππη
Κωκυτῷ μεγάλῳ πνεῦμα συνεξέχεεν.
Οὐδ᾽ ἔσχεν παλίνορσον ἀναπνεύσασα γοῆσαι,
Ἀλλ᾽ ἅμα καὶ θρήνου παύσατο καὶ βιότου.

EVTOLMEI. 35.

Filij breuis vitæ mortem lugens Menippe,
Cocyto magno animam ſimul emiſit.
Neque habuit reciprocationem reſpirandi vt fleret,
Sed ſimul cum luctu reliquit etiam vitam.

Ἀδέσποτον, οἱ δὲ, ΒΙΑΝΟΡΟΣ.

Ὕστατον ἐθρήνησε τὸν ὠκύμορον Κλεαρίστη
Παῖδα, καὶ ἀμφὶ τάφῳ πικρὸν ἔπαυσε βίον.
Κωκύσασα γὰρ ὅσσον ἐχάνδανε μητρὸς ἀνίη,
Οὐκ ἔτ᾽ ἐπιστρέψαι πνεύματος ἔσχε τόνους.

Θηλό-

Θηλύτεραι, τί πόσον τὸν ἐμετρήσασθε τάλαιναι
Θρῆνον, ἵνα κλαύσητ' ἄχρι καὶ εἰς αΐδεω;

Incerti, vt alij BIANORIS. 36.

Vltimò luxit citò mortuum Clearíste
Puerum, & circa ſepulcrum grauem reliquit vitam.
Plorans enim quantum capere poterat matris dolor,
Non amplius reflectere ſpiritus potuit vires.
Fœminæ, quid tantum menſuraſtis miſeræ
Luctum, vt ploretis etiam vſque ad inferos?

ΠΑΛΛΑΔΑ.

Ηρπασέ τις νύμφην καὶ τὸν γάμον ἥρπασε δαίμων,
Ψυχῶν συλήσας τερπομένων ἀγέλην.
Εἷς γάμος εἰκοσιπέντε τάφους ἔπλησε θανόντων,
Πάνδημος δὲ νεκρῶν εἷς γέγονεν θάλαμος.
Νύμφη Πενθεσίλεια πολύστονε, νυμφίε Πενθεῦ,
Αμφοτέρων ὁ γάμος πλούσιος ἐν θανάτοις.

PALLADÆ. 37.

Rapuit aliquis puellam, & nuptias rapuit Deus.
Animarum ſpolians delectantium gregem.
Vnæ nuptiæ viginti quinque ſepulcra impleuerunt mortuis,
Communis verò mortuorum vnus fiebat thalamus.
Sponſa Pentheſilea multum lugens, ſponſe Pentheu,
Vtriuſque nuptiæ diuites fuere in mortuis.

ΑΙΜΙΛΙΑΝΟΥ.

Ελκε τάλαν παρὰ μητρὸς ὃν οὐκ ἔτι μαζὸν ἀμέλξεις,
Ελκυσον ὕστατιον νᾶμα καταφθιμένης.
Ηδη γὰρ ξιφέεσσι λιπόπνοος· ἀλλὰ τὰ μητρὸς
Φίλτρα καὶ εἰν ἀΐδῃ παιδοκομεῖν ἔμαθον.

ÆMILIANI. 38.

Trahe miſeram matris quam non amplius mammam vrgebis,
Trahe vltimum fontem iugulatæ.
Iam enim per enſes ſpiritum amiſſura: ſed matris
Amorem, & etiam in morte liberos nutrire didici.

Ἀδήλου, οἱ δὲ, ΔΗΜΑΝΤΟΥ.

Ὑστάτιον Φώκαια κλυτὴ πόλι τοῦτο Θεανὼ
    Εἶπεν ἐς ἀτρύγετον νύκτα κατερχομένη,
Οἴμοι ἐγὼ δύστηνος, Ἀπέλλιχε, ποῖον ὅμευνε,
    Ποῖον ἐπ' ὠκείῃ νηῒ περῇς πέλαγος.
Αὐτὰρ ἐμεῦ σχεδόθεν μόρος ἵσταται· ὡς ὄφελόν γε
    Χειρὶ φίλην τὴν σὴν χεῖρα βαλοῦσα θανεῖν.

Incerti, vt alij DEMANTI. 39.

Vltimum Phocea inclyta ciuitas hoc Theano
    Dixit ad ineluctabilem noctem perueniens,
Hei mihi ego infelix, Apelliche, quale coniux,
    Quale in veloci naui transis pelagus.
Sed mea breui mors instat: vt oportet,
    Manui amicam tuam manum implicans, mori.

Ἀδήλου.

Τίπτε μάτην γοόωντες ἐμῷ παραμίμνετε τύμβῳ;
    Οὐδὲν ἔχω θρήνων ἄξιον ἐν φθιμένοις.
Λῆγε γόων καὶ παῦε πόσις, καὶ παῖδες ἐμεῖο
    Χαίρετε, καὶ μνήμην σώζετ' Ἀμαζονίης.

Incerti. 40.

Cur frustra lugentes apud meum manetis tumulúm?
    Nihil habeo luctu dignum in morte.
Cessa à luctu, & desine marite, & liberi mei
    Saluete, & memoriam retinete Amazoniæ.

Ἀδέσποτον.

Ἄλκηστις νέη εἰμί. θανοῦσα δ' ὑπὲρ ἀνέρος ἐσθλοῦ
Ζήνωνος, ὃν μοῦνον ἐνὶ στέρνοις ἐδεδέγμην,
Οὐ φωτὸς γλυκερῶν τε τέκνων προὔσχεν' ἐμὸν ἦτορ·
Οὔνομα Καλλικράτεια, βροτοῖς πινύτοισιν ἀγαστή.

Incerti. 41.

Alcestis noua sum, moriens verò pro marito bono
Zenonis, quem solum in pectoribus recepi,
Non vitæ & charis liberis præposui meum cor:.

Nomen Callicratia,mortalibus omnibus veneranda.

Αδηλον.

Εὐχέσθω τις ἔπειτα γυνὴ τόκον, εἶπε Πολυξὼ
 Γαστέρ' ἀπὸ τρισσῶν ῥηγνυμένη τεκέων.
Μαίης δ' ἐν παλάμῃσι χύθη νέκυς· οἱ δ' ἐπὶ γαῖαν
 Ωλισθον, κοίλων ἄρσενες ἐκ λαγόνων,
Μητέρος ἐκ νεκρῆς ζωὸς γένος. εἷς ἄρα δαίμων
 Τῆς μὲν ἀπὸ ζωὴν εἵλετο, τοῖς δ' ἔπορεν.

Incerti. 42.

Precetur aliqua imposterum mulier sobolem,dixit Polyxo,
 Ventrem à tribus rupta liberis.
Obstetricis verò in manibus soluta est mortua.illi v.in terram
 Deciderunt,cauo puelli ab vtero,
Matre è mortua viuus partus.Vnus sanè Deus
 Ab hac vitam sustulit,his verò dedit.

ΑΣΚΛΗΠΙΑΔΟΥ.

Αρχεάνασσαν ἔχω τὴν ἐκ Κολοφῶνος ἑταίραν,
 Ἁς καὶ ἐπὶ ῥυτίδων ὁ γλυκὺς ἕζετ' ἔρως·
Ην νέον ἡβήσασαν ἀποδρέψαντες ἐρασταὶ
 Πρωτοβόλοι, δι' ὅσης ἤλθετε πυρκαϊῆς

ASCLEPIADÆ. 43.

Archeanassam habeo ex Colophone meretricem,
 Cuius etiam in rugis sedebat dulcis amor.
Quam iuuenem florentem decerpentes amatores
 Qui primum petiistis amorem, per quantum ignẽ transistis?

Αδηλον.

Μηδὲ καταχθονίοις μετὰ δαίμοσιν ἄμμορος εἴης
 Ημετέρων δώρων, ὧν σ' ἐπέοικε τυχεῖν,
Αμμία. οὕνεκα Νικόμαχος θυγάτηρ τε Διώνη
 Τύμβον καὶ στήλην, σὴν ἐθέμεσθα χάριν.

Incerti. 44.

Neque infernis cum Dæmonibus priueris
 Nostris muneribus,quæ te æquum erat consequi,

Ammia, ob id Nicomachus & filia Dione
  Tumulum & columnam tui posuimus gratiâ.

Ἀδηλον.

Μή με θοῶς κύδιστε παρέρχεο τύμβον ὁδῖτα,
  Σοῖσιν ἀκοιμήτοις ποσὶ κελευθοπόρε·
Δερκόμενος δ' ἐρέεινε, τίς εἶ, πόθεν; Ἁρμονίαν γὰρ
  Γνώσεαι, ἧς γενεὴ λάμπεται ἐν μερόποις.
Πάντα γὰρ ἴσασι βροτοῖσι φέρει κλέος, ἦν ἐσιδέσθαι,
  Εὐγενίην ἐρατήν, ἤθεα, σωφροσύνην.
Τοίης τύμβον ἄθρησον· ἐς οὐρανίας γὰρ ἀταρπούς
  Ψυχὴ παπταίνει, σῶμ' ἀποδυσαμένη.

Incerti. 45.

Ne me velociter inclyte pertransi tumulum viator,
  Tuis non quiescentibus pedibus viam transiens:
Intuens verò quære, quis es, vnde? Harmoniam enim
  Cognosces, cuius genus lucet inter mortales.
Omnia enim quæ adferunt mortalibus laudem, licuit intueri,
  Nobilitatem amabilem, mores, temperantiam.
Talis tumulum intuere: in cælestes enim vias
  Anima intuetur corpus cùm exuit.

Ἀδηλον.

Νικόπολιν Μαραθῶνος ἐθήκατο τῇδ' ἐνὶ πέτρῃ
  Ὀμβρείσας δακρύοις λάρνακα μαρμαρέην.
Ἀλλ' οὐδὲν πλέον ἔσχε. τί γὰρ πλέον ἀνέρι κήδους
  Μουνωθ' ὑπὲρ γαίης, οἰχομένης ἀλόχου;

Incerti. 46.

Nicopolin Marathonis posuit hanc in petram
  Humectans lacrymis vrnam marmoream.
Sed nihil plus habuit. Quid enim plus viro quàm luctus
  Soli in terrâ, cùm mortua est coniunx?

ΕΡΥΚΙΟΥ.

Ἀτθὶς ἐγώ· κείνη γὰρ ἐμὴ πόλις. ἐκ δέ μ' Ἀθηνῶν
  Λυγρὸς Ἄρης Ἰταλῶν πρίν ποτ' ἐληίσατο,

Καὶ θέτο Ῥωμαίων πολιήτιδα, νῦν δὲ θανούσης
  Ὀστέα νησαίη Κύζικος ἠμφίεσεν.
Χαίροις ἡ θρέψασα καὶ ἡ μετέπειτα λαχοῦσα
  Χθών με, καὶ ἡ κόλποις ὕστατα δεξαμένη.

ERYCII. 47.

Athica ego: hæc enim mea ciuitas. Me verò ex Athenis
  Durus Mars Italorum prius olim prædabatur,
Et fecit Romanorum ciuem, iam verò mortua
  Oſſa inſularis Cyzicus circumdedit.
Salue quæ nutrieris, & poſtea nacta ſis,
  Terra me, & hæc in ſinu quæ vltimò me excepit.

ΑΓΑΘΙΟΥ.

Ναὶ λίτομαι παροδῖτα, φίλῳ κατάλεξον ἀκοίτῃ
  Εὖτ᾽ ἂν ἐμὴν λεύσσῃς πατρίδα Θεσσαλίην,
Κάτθανε σὴ παράκοιτις, ἔχει δέ μιν ἐν χθονὶ τύμβος,
  Αἶ, αἶ, Βοσπορίης ἐγγύθεν ἠιόνος,
Ἀλλά μοι αὐτόθι τεῦχε κενήριον ἐγγύθι σεῖο,
  Ὄφρ᾽ ἀναμιμνήσκῃ τῆς ποτὲ κουριδίης.

AGATHEI. 48.

Certè oro, viator, amico dic viro
  Vbi meam videris patriam Theſſaliam,
Obiit tua coniux, habet verò ipſam in terrâ tumulus,
  Æ, æ, Boſporium propè litus.
Sed mihi ibi fac cenotaphium propè te,
  Vt recordêris huius quondam puellæ.

Ἀδήλου.

Ὁρᾷς πρόσωπον Κασσίης τῆς σώφρονος;
Εἰ καὶ τέθνηκε, ταῖς ἀρεταῖς γνωρίζεται
Ψυχῆς τὸ κάλλος μᾶλλον ἢ τοῦ σώματος.

Incerti. 49.

Vides faciem Caſſiæ temperantis?
Quamuis mortua eſt, virtutibus tamen noſcitur
Animæ pulcritudinem potiùs, quàm corporis.

Ἀδέσποτον.

Τῇδέ ποτ' ἀκτερέϊστον ἐδέξατο γαῖα χανοῦσα
  Λαοδίκην, δηΐων ὕβριν ἀλευομένην.
Σῆμα δ' ἀμαλδυνάντος αἰωνίοιο χρόνοιο,
  Μάξιμος ἔκδηλον θῆκ' Ἀσίης ὕπατος.
Καὶ κούρης χάλκειον ἐπεὶ τύπον ἐφράσατ' ἄλλῃ
  Κείμενον ἀκλειῶς, τῷδ' ἐπέθηκε κύκλῳ.

Incerti. 50.

Hîc quondam exequiarum honore carentē excepit terra hiās
  Laodicen, hostium contumeliam euitantem.
Sepulcrum verò demoliente non intellecto tempore,
  Maximus eminens posuit Asiæ Consul.
Et puellæ æream postquam imaginem intellexit alio loco
  Iacentem sine honore, huic imposuit basi.

ΚΡΙΝΑΓΟΡΟΥ.

Ὑμνίδα τὴν Εὐάνδρου ἐράσμιον, αἰὲν ἄθυρμα
  Οἰκογενές, κούρην αἱμύλον ἐνναέτιν,
Ἥρπασας ὦ ἄλληστ' Ἀΐδη, τί πρόωρον ἐφιεὶς
  Μοῖραν τὴν πάντως σεῖό ποτ' ἐσσομένην;

Crinagori. 51.

Hymnidem Euandri amicam, semper lusum
  Domi natum, puellam facetam nouem annorum
Rapuisti, ô non obliuiscenda mors, quid ante tempus immittēs
  Fatum omnino tuæ aliquando futuræ?

ΑΝΤΙΠΑΤΡΟΥ.

Οὐχὶ βαθυζώνων Ἱππαρχία ἔργα γυναικῶν,
  Τὰν δὲ κυνῶν ἑλόμαν ῥωμαλέον βίοτον.
Οὐδέ μοι ἀμπεχόναι περονήτιδες, οὐ βαθύπεπλος
  Εὐμαρὶς, οὐ λιπόων εὔαδε κεκρύφαλος,
Οὖλας δὲ σκίπωνι συνέμπορος, ἅ, τε συνῳδὸς
  Δίπλαξ, καὶ κοίτας βλῆμα χαμαιλεχέος.
Ἄμμι δ' ὁ Μαιναλίας κρέσσων βίος ἐστὶν Ἀταλάντας

Τόσσον ἔσσον σοφία κρέσσον ὀρειδρομίας.

ANTIPATRI. 52.

Nondum profundas zonas habentium Hipparchia opera mulierum,
Cynicorum verò elegi virilem vitam.
Neque mihi fibulata indumenta, nec laxa palla
Facilis, non reticulum placuit nitidum.
Humus verò baculo comes, & conueniens
Duplicata vestis, & cubilis casus humilis.
Nobis verò Mænaliæ melior vita erat Atalantæ,
Tantum, quantum sapientia melior venatione.

ΚΑΛΛΙΜΑΧΟΥ.

Κρηθίδα τὴν πολύμυθον, ἐπισταμένην καλὰ παίζειν,
Δίζονται Σαμίων πολλάκι θυγατέρες,
Ἡδίσταν συνέριθον, ἀεὶ λάλον· ἡ δ' ἀποβρίζει
Ἐνθάδε τὸν πάσαις ὕπνον ὀφειλόμενον.

CALLIMACHI. 53.

Crethidem loquaculam scientem pulcra ludere,
Quærunt Samiorum sæpius puellæ
Suauissimam sociam, semper loquacem: hæc verò quiescit.
Hìc somnum qui omnibus debetur.

Ἀδήλου.

Εὐήθης Τρύτωνος οὐκ ἐπ' ἀγαθαῖς ἐλοχεύθη
Κληδόσιν· οὐ γὰρ ἂν ὧδ' ὤλετο δαιμονίη,
Ἀρτιτόκος. τὰ δὲ πολλὰ κατήγαγεν ἓν βρέφος ᾄδην
Σὺν κείνῃ· δεκάτην δ' οὐχ ὑπερῆρεν ἕω.

Incerti. 54.

Euethes Trytonis filia non bonis in lucem nata est
Auspiciis: non enim sic periisset infelix,
Paulò antè enixa. multas verò opes duxit vnus infãs ad inferos
Cum illa, decimam verò non est egressa diem.

ΑΝΤΙΠΑΤΡΟΥ.

Ἡ πού σε χθονίας Ἀρετημιὰς ἐξ ἀκάτοιο,
Κωκυτοῦ τελμόρου ἴχνος ἐπ' ἠιόνι,
Οἰχόμενον βρέφος ἄρτι νέῳ φορέουσα ἀγοστῷ,

Ὤκτειραν θαλεραὶ Δωρίδες εἰν ἀΐδᾳ,
Πενθήμεναι τεὸ κῆρα. σὺ δὲ ξαίνουσα παρειὰς
Δάκρυσιν, ἐξεῖπες φεῦ αἰαρὸν ἔπος,
Διπλόον ὠδίνασα φίλον τέκος, ἄλλο μὲν ἀνδρὶ
Εὔφρονι καλλείπομαι, ἄλλο δ᾽ ἄγω φθιμένοις.

ANTIPATRI. 55.

Forte terrestri Arethimias ex naui,
Cocyti ponentem vestigia ad litus,
Mortuum infantem nuper nouis ferentem in vlnis,
Miseratę sunt innuptæ Dorides in inferno,
Querentes tuam mortem. tu verò lanians genas
Lacrymis, dixisti heu dolorificum verbum!
Geminum pariens amicum partum. Alterum quidem viro
Euphroni reliqui, alium verò adduco mortuis.

ΗΡΑΚΛΕΙΔΟΥ.

Ἁ κόνις ἀρτίσκαπτος, ἐπὶ στάλας δὲ μετώπῳ
Σείονται φύλλων ἡμιθανεῖς στέφανοι.
Γράμμα διακρίναντες ὁδοιπόρε, πέτρον ἴδωμεν.
Λυγρὰ περιστέλλειν ὀστέα φατὶ τίνος.
Ξεῖν᾽, Ἀρετημιάς εἰμι· πάτρα Κνίδος· Εὔφρονος ἦλθον
Ἐς λέχος, ὠδίνων οὐκ ἄμορος γενόμην.
Δισσὰ δ᾽ ὁμοῦ τίκτουσα, τὸ μὲν λίπον ἀνδρὶ ποδηγὸν
Γήρως· ὃν δ᾽ ἀπάγω, μνημόσυνον πόσιος.

HERACLIDÆ. 56.

Puluis, iam effossus, in columnę verò fronte
Agitabantur foliorum marcidę coronę.
Scripturam cognoscentes, ô viator, saxum intuemur.
Tristia contegere ossa fatetur alicuius.
Hospes, Aretimias sum: patria Cnidus: Euphronis veni
In lectum, partus non imparticeps factus sum.
Geminos verò simul pariens, hunc verò reliqui viro ducem
Senectutis, quem verò abduco, memoriam mariti.

ΘΕΟΔΩΡΙΤΟΥ.

Εὐρύσορον

Εὐρύστερον περὶ σῆμα τὸ Φαιναρέτης ποτὲ κοῦραι
Κείραντο ξανθοὺς Θεσσαλίδες πλοκάμους,
Πρωτοτόκον καὶ ἄποτμον ἀτυζόμεναι περὶ νύμφην,
Λάρισαν δὲ φίλην ἤκαχε καὶ τοκέας.

THEODORIDÆ. 57.

Latam vrnam habens ad ſepulcrum Phænaretæ olim puellæ
Auulſerunt flauos Theſſalides capillos,
Primò parientem & infelicem conſternatæ ob puellam,
Lariſſam verò amicam dolore affecit & parentes.

ΕΙΣ ΔΟΥΛΟΥΣ, κεφ. ιγ.

ΔΙΟΣΚΟΡΙΔΟΥ.

Δοῦλος ἐγώ, ναὶ δοῦλος, ἐλευθερίῳ δέ με τύμβῳ
Δέσποτα Τιμάνθη σὸν ἔθου τροφέα.
Εὐαίων, ἀσινῆ τείνοις βίον. ἢν δ' ὑπὸ γήρως
Πρός με μόλῃς, σός ἐγώ, δέσποτα, κἠν αΐδῃ.

IN SERVOS, Cap. XIII.

DIOSCORIDÆ. I.

Seruus ego, certè ſeruus, liberali verò me tumulo
Domine Timanthe tuum poſuit nutritorem,
Benè vitam agentem, innoxiã agas vitam: ſi verò pre ſenectute
Ad me accedas, tuus ego, domine, etiam in inferno.

Ἀδέσποτον.

Σοὶ καὶ νῦν ὑπὸ γῆν ναὶ δέσποτα πιστὸς ὑπάρχω
Ὡς πάρος, εὐνοίης σῆς ἐπιληθόμενος·
Ὅς με τρὶς ἐκ νούσου τρὶς ἐπ' ἀσφαλὲς ἤγαγες ἴχνος,
Καὶ νῦν ἀρκούσῃ τῇδ' ὑπέθου καλύβῃ,
Μάνην ἀγγείλας Πέρσην γένος. οὗ δέ με ῥέξας,
Ἕξεις ἐν χρείῃ δμῶας ἑτοιμοτέρους.

Incerti. 2.

Tibi etiam nunc ſub terrâ certè Domine fidelis ſum
Vt prius, beneuolentiæ non oblitus:
Qui me ex morbo ter ad firmos deduxiſti pedes,
Et nunc ſufficienti hoc ſuppoſuiſti ſepulcro,
Manem annuntians, Perſam genere. mihi verò benè feceris,
Habebis vbi opus erit, ſeruos paratiores.

ΔΑΜΑΣΚΙΟΥ.

Ζωσίμη, ἡ πρὶν ἐοῦσα μόνῳ τῷ σώματι δούλη,
Καὶ τῷ σώματι νῦν εὗρεν ἐλευθερίην.

DAMASCII. 3.

Zoſima, quæ prius fuit ſolo corpore ſerua,
Et corpore nunc inuenit libertatem.

ΔΙΟΣΚΟΡΙΔΟΥ.

Εὐφράτην μὴ καῖε Φιλώνυμε, μηδὲ μιήνῃς
Πῦρ ἐπ' ἐμοί· Πέρσης εἰμὶ, καὶ ἐκ πατέρων
Πέρσης αὐθιγενής. ναὶ δέσποτα. πῦρ δὲ μιῆναι,
Ἡμῖν τοῦ χαλεποῦ πικρότερον θανάτου.
Ἀλλὰ περιστείλας με δίδου χθονί. μηδ' ἐπὶ νεκρῷ
Λουτρὰ χέῃς· σέβομαι δέσποτα καὶ ποταμούς.

DIOSCORIDÆ. 4.

Euphratem non vre Philonyme, neque violes
Ignem ſuper me: Perſa ſum, & ex parentibus
Perſa indigena. Certè domina. ignem verò violare,
Nobis graui grauius eſt morte.
Sed circundans me da terræ, neque ſuper mortuum
Aquam fundas: veneror, ô domine, etiam fluuios.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ἠλάσθη θανάτοιο πρὸς μόρους, ἀντὶ δὲ σεῖο
Δέσποτα, δοῦλος ἐγὼ στυγνὸν ἔπλησα τάφον,
Ἡνίκα σοὶ δακρυτὰ κατὰ χθονὸς ἤϊα τεύχειν,
Ὡς ἂν ἀποφθιμένου κεῖθι δέμας κτερίσω.
Ἀμφὶ δέ μ' ὤλισθε ξυνὴ κόνις. οὐ βαρὺς ἡμῖν.

Ἔστ' ἀΐδης· ζήσω τὸν σὸν ὑπ' ἠέλιον.

APOLLONIDÆ. 5.

Mutata fuit morte tua mors, pro te autem,
Domine, seruus ego triste impleui sepulcrum,
Cùm tua lacrymosâ in terrâ sepulcra facerem,
Vt mortui ibi corpus parentando colerem.
Circa me verò desiliit communis puluis. Non grauis nobis
Est infernus: viuam tuo sub sole.

Ἀδηλον.

Μάνης οὗτος ἀνὴρ ἦν ζῶν ποτε· νῦν δὲ τεθνηκὼς,
Ἶσον Δαρείῳ τῷ μεγάλῳ δύναται.

Incerti. 6.

Manes hic vir erat viuus olim: iam verò mortuus,
Idem cum Dario magno potest.

ΕΙΣ ΗΡΩΑΣ, κεφ. ιδʹ

Ἀδέσποτον, εἰς Λαέρτην.

Ψήχει καὶ πέτρην ὁ πολὺς χρόνος, οὐδὲ σιδήρου
Φείδεται, ἀλλὰ μιῇ πάντ' ὀλέκει δρεπάνῃ·
Ὡς καὶ Λαέρταο τόδ' ἠρίον· ὃ σχεδὸν ἀκτᾶς
Βαιὸν ἄπο, ψυχρῶν λείβεται ἐξ ὑετῶν.
Οὔνομα μὴν ἥρωος ἀεὶ νέον. οὐ γὰρ ἀοιδὰς
Ἀμβλυνέειν αἰὼν (κἂν ἐθέλῃ) δύναται.

IN HEROAS, Cap. 14.

Incerti in Laërtem. 1.

Conterit & petram multum tempus, neque ferro
Parcit, sed vnâ omnia perdit consumptione:
Vt & Laërtæ hoc monumentum, quod propè ad litora
Non multùm absens, frigidis funditur à pluuiis,
Nomen certè herois semper nouum neque enim carmina
Attenuare tempus (quamuis velit) potest.

ΒΙΑΝΟΡΟΣ εἰς Ἐτεοκλέα καὶ Πολυνείκην.

Οἰδίποδος παίδων Θήβη τάφος· ἀλλ' ὁ πανώλης
Τύμβος ἔτι ζώντων αἰσθάνεται δοράτων.
Κείνους οὔτ' ἀΐδης ἐδαμάσσατο, κἠν Ἀχέροντι
Μάρνανται· κείνων χὠ τάφος ἀντίπαλος.
Καὶ πυρὶ πῦρ ἤλεγξαν ἐναντίον. ὦ ἐλεεινοὶ
Παῖδες, ἀκοιμήτων ἁψάμενοι δοράτων.

BIANORIS in Eteoclem, & Polynicem. 2.

Oedipodis puerorum Thebæ ſepulcrum: ſed pernicioſus
Tumulus adhuc viuentium ſentit haſtas.
Illos neque mors domuit, etiam in Acheronte
Pugnant, & telorum etiam ſepulcrum eſt hoſtile.
Et igni ignem deprehenderunt contrarium. ô miſerabiles
Pueri, qui non quieturas tetigeritis haſtas.

ΑΝΤΙΦΙΛΟΥ εἰς Πρωτεσίλαον.

Θεσσαλὲ Πρωτεσίλαε, σὲ μὲν πολὺ ᾄσεται αἰών,
Τροίᾳ ὀφειλομένου πτώματος ἀρξάμενον.
Σῶμα δέ τοι πτελέῃσι συνηρεφὲς ἀμφικομεῦσι
Νύμφαι ἀπεχθομένης Ἰλίου ἀντιπέρας.
Δένδρεα δυσμήνιτα, καὶ ἤν ποτε τεῖχος ἴδωσι
Τρώϊον, αὐαλέαν φυλλοχοεῦντι κόμην.
Ὅσσος ἐν ἡρώεσσι τότ' ἦν χόλος, οὗ μέρος ἀκμὴν
Ἐχθρὸν ἐν ἀψύχοις σώζεται ἀκρέμοσιν.

ANTIPHILI in Proteſilaum. 3.

Theſſale Proteſilae, te quidem multum canet æuum,
Troiæ debitam mortem incipientem.
Corpus verò tibi vlmis contectum ornant
Nymphæ inimici Ilij è regione.
Arbores iracundæ, & quandocunque murum vident
Troianum, carentem foliis concutiunt comam.
Quanta in heroibus tunc erat ira, cuius pars adhuc
Hoſtilis in mortuis ſeruatur ramis.

Εἰς Ἀχιλλέα.

Τύμβος Ἀχιλλῆος ῥηξήνορος, ὅν ποτ' Ἀχαιοὶ
Δώμησαν, Τρώων δεῖμα καὶ ἐσσομένων·
Αἰγιαλῷ δὲ νένευκεν, ἵνα στοναχῇσι θαλάσσης
Κυδαίνοιτο πάϊς τῆς ἁλίας Θέτιδος.

In Achillem. 4.

Tumulus Achillis bellicosi, quem olim Achiui
Ædificarunt, Troianorum terrorem, & posterorum.
Littori verò incumbit, vt gemitu maris
Decoretur puer marinæ Thetidis.

Εἰς Ἀχιλλέα καὶ Πάτροκλον.

Ἄνδρε δύο φιλότητι καὶ ἐν τεύχεσιν ἀρίστω
Χαίρετον, Αἰακίδη, καὶ σὺ Μενοιτιάδη.

In Achillem & Patroclum. 5.

Viri duo amicitiâ, & armis optimi,
Saluete Æacida, & tu Menœtiada.

ΑΣΚΛΗΠΙΑΔΟΥ εἰς Αἴαντα.

Ἁ δ' ἐγὼ ἁ τλάμων Ἀρετὰ παρὰ τῷδε κάθημαι
Αἴαντος τύμβῳ, κειραμένα πλοκάμους,
Θυμὸν ἄχει μεγάλῳ βεβολημένα, οὕνεκ' Ἀχαιοῖς
Ἁ δολόφρων Ἀπάτα κρέσσον ἐμοῦ κέκριται.

ASCLEPIADÆ In Aiacem. 6.

Illa ego misera virtus apud hunc iaceo
Aiacis tumulum, laniata comas,
Animum magno dolore prostrata, quòd Achiuis
Animo fallax fraus melior me est iudicata

ΑΝΤΙΠΑΤΡΟΥ εἰς τὸν αὐτόν.

Σῆμα παρ' Αἰάντειον ἐπὶ Ῥοιτηίσιν ἀκταῖς
Θυμοβαρὴς Ἀρετὰ μύρομαι ἑζομένα,
Ἀπλόκαμος, πινόεσσα, διὰ κρίσιν ὅττι Πελασγῶν
Οὐκ Ἀρετὰ νικᾶν ἔλλαχεν, ἀλλὰ δόλος.
Τεύχεα δ' αὖ λέξειεν Ἀχιλλέος, ἄρσενος ἀκμᾶς,

Οὐ σκολιῶν μύθων ἄμμες ἐφιέμεθα.

ANTIPATRI in idem. 7.

Tumulum ad Aiacis, ad Rhœtea littora
Animo grauata virtus lugeo ſedens,
Sine comis, ſordibus plena, propter iudicium: quòd Græcorum
Non virtus victoriam ſortita eſt, ſed dolus.
Arma verò dicerent Achillis: viri robur,
Non obliquos ſermones nos deſideramus.

ΑΡΧΙΟΥ εἰς τὸ αὐτό.

Μοῦνος ἐναιρομένοισιν ὑπὲρ μάχον ἀσπίδα τείνας
Νηυσὶ, βαρὺν Τρώων αἰὲν ἔμεινας Ἄρη·
Οὐδέ σε χερμαδίων ὥστε κτύπος, οὐ νέφος ἰῶν,
Οὐ πῦρ, οὐ δοράτων, οὐ ξιφέων πάταγος.
Ἀλλ' αὔτως προβλής τι, καὶ ἔμπεδος ὥστις ἐρίπνη
Ἱδρυνθεὶς, ἔτλης λαίλαπα δυσμενέων.
Εἰ δέ σε μὴ τεύχεσσιν Ἀχιλλέος ὥπλισεν Ἑλλάς,
Ἄξιον αἰτ' ἀρετᾶς ὅπλα πορῦσα γέρας,
Μοιράων βουλῆσι τάδ' ἤμπλακεν, ὡς ἂν ὑπ' ἐχθρῶν
Μή τινος, ἀλλὰ τεῇ πότμον ἕλῃς παλάμῃ.

AICHII in idem. 8.

Solus ſuper perditas pugnantem haſtam extendens
Naues, grauem Troianorum ſemper ſuſtinuiſti Martem:
Neque verò te lapidum repulit ſtrepitus, non nubes telorum,
Non ignis, non haſtarum, non gladiorum crepitus.
Sed ſic inter ceteros eminens, & ſtabilis, vt quædam rupes
Firmatus, ſuſtinuiſti procellam hoſtium.
Quamuis autem te non armis Achillis armauit Græcia,
Condignum pro virtute arma tribuens ſenectus,
Fatorum conſilio in hoc peccauit, vt ab hoſtium
Nemine, ſed tua mortem acceperis manu.

Ἀδέσποτον εἰς τὸ αὐτό.

Σῆμα τόδ' Αἴαντος Τελαμωνίου, ὃν κτάνε μοῖρα,
Αὐτοῦ χρησαμένη καὶ χερὶ καὶ ξίφει.

Οὐδὲ γὰρ ἐν θνητοῖσι δυνήσατο καὶ μεμαυῖα
    Εὑρέμεναι Κλωθὼ τῷδ' ἕτερον φονέα.

Incerti in Idem. 9.

Sepulcrum hoc Aiacis Telamonii, quem occidit fatum,
    Ipsius vtens & manu & gladio.
Neque enim inter homines poterat quamuis cupiens
    Inuenire Clotho huic alium interfectorem.

ΛΕΟΝΤΙΟΥ, εἰς τὸ αὐτό.

Κεῖται ἐν Τροίῃ Τελαμώνιος, οὔ τινι δ' ἔμπης
    Αντιβίων ὀπάσας εὖχος ἑοῦ θανάτου.
Τόσσης γὰρ χρόνος ἄλλον ἐπάξιον ἀνέρα τόλμης
    Οὐχ εὑρὼν, παλάμῃ θῆκεν ὑπ' αὐτοφόνῳ.

Leontii in idem. 10.

Iacet in Troia Telamonius, nulli tamen
    Hostium præbens gloriam suæ mortis.
Tantæ enim tempus alium condignum virum audaciæ
    Non inueniens, manu supposuit sibi vim inferente.

Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Αἴας ἐν Τροίῃ μετὰ μυρίον εὖχος ἀέθλων
    Μέμφεται οὐκ ἐχθροῖς, κείμενος, ἀλλὰ φίλοις.

Eiusdem in eundem. 11.

Aiax in Troia post mille laudes certaminum
    Non accusat hostes, mortuus, sed amicos.

Εἰς τὸ αὐτό.

Εκτωρ Αἴαντι ξίφος ὤπασεν, Εκτορι δ' Αἴας
    Ζωστῆρ'· ἀμφοτέρων ἡ χάρις εἰς θάνατος.

In idem. 12.

Hector Aiaci gladium dedit, Hectori verò Aiax
    Cingulum: vtriusque beneficium erat ad mortem.

Εἰς τὸ αὐτό.

Πικρὴν ἀλλήλοις Εκτωρ χάριν ἠδὲ φέρασπις
    Αἴας ἐκ πολέμου μνῆμ' ἔπορον φιλίης.
Εκτωρ γὰρ ζωστῆρα λαβὼν, ξίφος ἔμπαλι δῶκεν·

Τὼ δὲ χάριν δώρων πείρασαν ἐν θανάτῳ.
Τὸ ξίφος εἷλ᾽ Αἴαντα μεμηνότα, καὶ πάλι ζωστὴρ
Εἵλκυσε Πριαμίδην δίφρεια συρόμενον.
Οὕτως ἐξ ἐχθρῶν αὐτοκτόνα πέμπετο δῶρα,
Ἐν χάριτος προφάσει μοῖραν ἔχοντα μόρου.

In idem. 13.

Graue inuicem Hector beneficium, & ferens scutum
Aiax ex bello memoriam reportauit amicitiæ.
Hector enim cingulum accipiens, gladium rursus dedit:
Hoc verò beneficium muneris experti sunt in morte.
Ensis enim abstulit Aiacem insanum, & rursus cingulum
Traxit Priamidem bigis raptatum.
Sic ex hostibus per se interficientia profecta sunt munera,
In beneficij occasione fatum habentia mortis.

ΑΝΤΙΠΑΤΡΟΥ εἰς Πρίαμον.

Ἥρωος Πριάμου βαιὸς τάφος, οὐχ ὅτι τοίου
Ἄξιος, ἀλλ᾽ ἐχθρῶν χερσὶν ἐχωννύμεθα.

ANTIPATRI in Priamum. 14.

Herois Priami paruus tumulus, non quòd tali
Dignus, sed hostium manibus sepulti sumus.

ΑΚΗΡΑΤΟΥ γραμματικοῦ εἰς Ἕκτορα.

Ἕκτορ, Ὁμηρείοισιν ἀεὶ βεβοημένε βίβλοις,
Θεοδόμου τείχευς ἕρκος ἐρυμνότερον·
Ἐν σοὶ Μαιονίδης ἀνεπαύσατο, σοῦ δὲ θανόντος
Ἕκτορ, ἐσιγήθη, καὶ σελὶς Ἰλιάδος.

ACERATI Grammatici in Hectorem. 15.

Hector, Homericis semper laudare libris,
A Diis extructi muri seps munitior:
In te Mæonides quieuit. te verò mortuo
O Hector, tacuit & pagina Iliados.

Ἀδέσποτον, εἰς τὸν αὐτόν.

Μή με τάφῳ σύγκρινε τὸν Ἕκτορα, μηδ᾽ ἐπὶ τύμβῳ
Μέτρει τὸν πάσης Ἑλλάδος ἀντίπαλον.

Ἰλιάς,

Ἰλιὰς, αὐτὸς Ὅμηρος ἐμοὶ τάφος, Ἑλλὰς, Ἀχαιοὶ
  Φεύγοντες· τούτοις πᾶσιν ἐχωννύμεθα.

Incerti in eundem. 16.

Non me tumulo iudica Hectorem, neque in ſepulcro
  Metire, omnis Græciæ hoſtem.
Ilias, ipſe Homerus mihi ſepulchrum, Græcia, Achiui
  Fugientes: hiſce omnibus tumulo obruimur.

ΑΡΧΙΟΥ εἰς τὸν αὐτόν.

Καὶ γενέτην τοῦ νέρθε καὶ οὔνομα καὶ χθόνα φώνει
  Στήλα, καὶ ποίᾳ κηρὶ δαμεὶς ἔθανεν.
Γεννήτωρ, Πρίαμος· γᾶ δ', Ἴλιον· οὔνομα δ', Ἕκτωρ,
  Ὦ ξεῖν'· ὑπὲρ πάτρας δ' ὤλετο μαρνάμενος.

Archii in eundem. 17.

Et patrem inferius ſepulti, & nomen, & terram dic
  Columna, & quali fato domitus, mortuus ſit.
Pater Priamus: terra, Ilium: nomen verò, Hector,
  O hoſpes: pro patriâ verò periit pugnans.

Εἰς τὸν αὐτόν.

Εἴ τινα πώποτ' ἄκουσας Ἐνυαλίου φίλον υἱὸν,
Καὶ κρατερὸν δυνάμει, καὶ θαρσαλέον πολεμίζειν,
Ἕκτορα τὸν Πριάμοιο νόει μοῦνον γεγενῆσθαι.
Ὅν ποτε μαρνάμενον δηϊώσατο θεῖος ἀνὴρ,
Αἴας περὶ Τρώων, Δαναοῖσι μάχης προφέροντα·
Ὅν καὶ τῇδε θανόντα τάφος ὅδε ἀμφικαλύπτει.

In eundem. 18.

Si quem vnquam audiuiſti Martis charum filium,
Et fortem robore, & audacem in bello,
Hectora Priami ſcito ſolum fuiſſe.
Quem quondam pugnantem diuinus occidit vir,
In terrâ pro Troiâ Danais in pugnâ antecellens,
Quem etiam hîc mortuum tumulus hic circundat.

Εἰς Ἀλέξανδρον τὸν Μακεδόνα.

Ἐκ περιμὲν Τροίην συνεχὲς θάνεν, οὐδ' ἔτι χεῖρας

Ἀντῆρεν Δαναῶν παισὶν ἐπερχομένοις·
Πέλλα δ' Ἀλεξάνδρῳ συναπώλετο. πατρίδες ἄρα
Ἀνδράσιν, οὐ πάτραις ἄνδρες ἀγαλλόμεθα.

In Alexandrum Macedonem. 19.

Hectori quidem Troia commortua est, neque amplius manus
Sustulit Danaorum pueros contra venientes:
Pella verò vnà cum Alexandro periit. Patriæ sanè
Viris, non per patriam viri illustramur.

ΠΑΡΜΕΝΙΩΝΟΣ εἰς τὸν αὐτόν.

Φθῖσθαι Ἀλέξανδρον ψευδὴς φάτις, εἴπερ ἀληθὴς
Φοῖβος. ἀνικήτων ἅπτεται οὐδ' ἀΐδης.

Parmenionis in eundem. 20.

Mortuum esse Alexandrum mẽdax fama est: siquidẽ verax est
Phœbus: inuictos tangit ne mors quidem.

ΓΕΜΙΝΟΥ.

Χείρ με Πολυκλείτου Θασίου κάμεν, εἰμὶ δ' ἐκεῖνος
Σαλμωνεὺς βρονταῖς ὃς Διὸς ἀντεμάνην·
Ὅς με καὶ εἰν ἀΐδῃ πορθεῖ πάλι, καί με κεραυνοῖς
Βάλλει, μισῶν μου καὶ λαλέοντα τύπον.
Ἴσχε Ζεῦ στεροπήν, μέθες χόλον· εἰμὶ γὰρ ἄπνους
Ὁ σκοπός. ἀψύχοις εἰκόσι μὴ πολέμει.

Gemini. 21.

Manus me Polycleti Thasij fecit, sum verò ille
Salmoneus, fulmen qui Iouis contra insaniui:
Qui me & in inferno desolatur rursus, & me fulmine
Petit, odio habens meam, quamuis mutam, imaginem.
Inhibe, ô Iupiter, fulgur, iram depone: sum enim mortuus
Fulminis scopus. Cum mortuis imaginibus noli pugnare.

ΕΙΣ ΙΑΤΡΟΥΣ, κεφ. ιε.

ΘΕΟΣΕΒΙΑΣ.

Εἶδον ἀκεστορίην τεία πένθεα· κείεατο χαίτην

Πρῶτον ἐφ' Ἱπποκράτει, καὶ δεύτερον ἀμφὶ Γαληνῷ·
Καὶ νῦν Ἀβλαβίου γοερῷ περὶ σήματι κεῖται,
Αἰδομένη μετ' ἐκεῖνον ἐν ἀνθρώποισι φανῆναι.

IN MEDICOS, Cap. 15.

THEOSEBIÆ. 1.

Vidit ars medica tres luctus, detondit verò capillos
Primùm ob Hippocratem, & secundùm ob Galenum:
Et nunc Ablabij luctuosum apud sepulcrum iacet,
Reuerita post ipsum inter homines apparere.

Ἀδήλου.

Θεσσαλὸς Ἱπποκράτης, Κῷος γένος, ἐνθάδε κεῖται
Φοίβου ἀπὸ ῥίζης ἀθανάτου γεγαώς,
Πλεῖστα τρόπαια νόσων στήσας ὅπλοις ὑγιείης,
Δόξαν ἑλὼν πολλὴν οὐ τύχῃ, ἀλλὰ τέχνῃ.

Incerti. 2.

Thessalus Hippocrates, Cous genere, hic iacet
Phœbi ex genere immortalis natus,
Multas victorias morborum statuens armis sanitatis,
Gloriam rapiens multam non fortunâ, sed arte.

Ἀδήλου.

Παυσανίαν ἰητρὸν ἐπώνυμον, Ἀγχίτεω υἱόν,
Τόνδ' Ἀσκληπιάδην πατρὶς ἔθαψε χθών·
Ὃς πλείστους κρυεραῖσι μαραινομένους ὑπὸ νούσοις
Φῶτας ἀπέστρεψεν Περσεφόνας θαλάμων.

Incerti. 3.

Pausaniam medicum dictum, Anchitei filium,
Hunc Asclepiadem patrius sepeliuit puluis:
Qui plurimos frigidis labefactatos à morbis
Homines auertit à Proserpinæ thalamis.

ΕΙΣ ΙΞΕΥΤΑΣ, κεφ. ιϛ.

ΑΝΤΙΠΑΤΡΟΥ Σιδωνίου.

Ο πρὶν ἐγὼ καὶ ψῆρα, καὶ ἁρπακτῆρας ἐρύκων
   Σπέρματος ὑψιπετῆ βιστονίας γέρανον,
Ρινοῦ χερμαστῆρος εὔστροφα κῶλα τιταίνων,
   Αλκιμένης πλανεῦ εἶργον ἄπωθε νέφος.
Καί με τὶς οὐτήτειρα παρὰ σφυρὰ διψὰς ἔχιδνα
   Σαρκὶ ἐκ γενύων πικρὸν ἐνεῖσα χόλον,
Ηελίου χήρωσεν. ἰδὴ ὡς τὰ κατ' αἰθέρα λεύσσων,
   Τὸν ποσὶν οὐκ ἐδάην κῦμα κυλινδόμενον.

IN AVCVPES, Cap. 16.

ANTIPATRI Sidonij. 1.

Ego qui prius sturnum,& rapacem prohibens
   A semine altiuolantem bistoniam gruem,
Fundæ saxa iaculantis benè conuersa membra vibrans,
   Alcimenes volucrum arcebam longè nubem.
Et me quædam vulneratrix ad calcem siticulosa vipera
   Carni ex ore graue immittens virus,
Sole priuauit. vide quomodo cœlum intuens,
   Quod erat ante pedes non vidi damnum serpens.

ΙΣΙΔΩΡΟΥ.

Ιξῷ καὶ καλάμοισιν ἀπ' ἠέρος αὐτὸν ἔφερβεν
   Εὔμηλος, λιτῶς, ἀλλ' ἐν ἐλευθερίῃ·
Οὔποτε δ' ὀθνείων ἔκυσεν χέρα γαστρὸς ἕκητι.
   Τοῦτο τρυφὴν κείνῳ, τοῦτ' ἔφερ' εὐφροσύνην.
Τρὶς δὲ τριηκοστὸν ζήσας ἔτος, ἐνθάδ' ἰαύει,
   Παισὶ λιπὼν ἰξόν, καὶ πτερά, καὶ καλάμους.

ISIDORI. 2.

Fisco & calamis in aëre se ipsum alebat
   Eumelus, frugaliter, sed in libertate.
Nunquam verò alterius osculatus est manum ventris causâ.
   Hoc delitias ipsi, illud verò afferebat lætitiam.
Ter verò trigesimum viuens annum, hîc iacet,
   Pueris relinquens viscum,& sagittas,& calamos.

ΜΝΑΣΑΛΚΟΥ.

Ἀμπαύσῃ καὶ τῇδε θοὸν πτερὸν ἱερὸς ὄρνις
  Τᾶσδ' ὑπὲρ ἀδείας ἑζόμενος πλατάνου.
Ὤλετο γὰρ Ποίμανδρος ὁ Μάλλιος, οὐδ' ἔτι στήσει
  Ἰξὸν ἐπ' ἀγρευτῇ χευάμενος καλάμῳ.

MNASALCI. 3.

Requieſcit & hîc velox ſagitta ſacra auis
  Hac ſuper tuta ſedens platano.
Obiit enim Pœmander ex Mallo, nec amplius veniet
  Viſcum in venatorium fundens calamum.

ΕΙΣ ΙΧΘΥΑΣ, κεφ. ιζ.

Ἀδήλου.

Κύματα καὶ τρηχύς με κλύδων ἐπὶ χέρσον ἔσυρεν
  Δελφῖνα, ξείνης κοινὸν ὅραμα τύχης.
Ἀλλ' ἐπὶ μὲν γαίης, ἐλέου τόπος. (οἱ γὰρ ἰδόντες,
  Εὐθὺς πρὸς τύμβον μ' ἔστεφον εὐσεβέες)
Νῦν δὲ, τεκοῦσα θάλασσα διώλεσε. τίς παρὰ πόντῳ
  Πίστις, ὃς οὐδ' ἰδίης φείσατο συντροφίης;

IN PISCES, Cap. 17.

Incerti. 1.

Fluctus & horrida me tempeſtas ad littus traxerunt
  Delphinem, peregrinis commune ſpectaculum fortunæ.
Sed in terra, quidam miſericordiæ locus. (qui enim viderunt,
  Statim ad tumulum me coronarunt pij.)
Nunc verò generans mare me perdidit. quænam in mari
  Fides quæ neque proprio pepercit alumno?

ΕΙΣ ΚΙΘΑΡΩΔΟΥΣ, κεφ. ιη.

ΛΕΟΝΤΙΟΥ σχολαστικοῦ.

Ὀρφέος οἰχομένου τάχα τις ποτὶ λείπετο Μοῦσα·

Σεῦ δὲ Πλάτων φθιμένου παύσατο καὶ κιθάρη.

Ἦν γὰρ ἔτι προτέρων μελέων ὀλίγη τις ἀπορρώξ,

Ἐν σαῖς σωζομένη καὶ φρεσὶ καὶ παλάμαις.

IN CITHAROEDOS, Cap. XVIII.

LEONTII Scholastici. 1.

Orpheo moriente propè quædam remisit Musa.
Te verò Plato moriente cessauit & cithara.
Erat enim adhuc priorum carminum paruus quidam fluxus,
In tua seruatus & mente & manu.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων Αἰγυπτίου.

Ἡ γλυκερὸν μέλψασα καὶ ἄλκιμον, ἡ θρόον αὐδῆς
Μούνη θηλυτέροις στήθεσι ῥηξαμένη,
Κεῖται σιγαλέη. τόσον ἔσθενε νήματα μοίρης
Ὡς λυγυρὰ κλεῖσαι χείλεα Καλλιόπης.

IVLIANI Imperatorum Ægyptij. 2.

Quæ suaue cecinit & robustum, quæ sonum vocis
Sola muliebri pectori rupit,
Iacet tacita. Tantum potuerunt fila fati,
Vt canora possit claudere labra Calliopes.

Τοῦ αὐτοῦ.

Οὔτι φύσις θήλεια, καὶ οὐ πολιοῖο καρήνου
Ἀδρανίη φωνῆς σῆς κατέλυσε βίην·
Ἀλλὰ μόλις ξυνοῖσι νόμοις εἴξασα τελευτῆς,
Φεῦ, φεῦ, Καλλιόπη, σὴν κατέλυσας ὄπα.

Eiusdem. 3.

Non natura fœminea, & non cani capitis
Imbecillitas vocis tuæ soluit robur:
Sed vix communibus legibus coacta mortis,
Heu, heu, Calliope tuam soluisti vocem.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Φεῦ, φεῦ, τὴν δεκάτην Ἑλικωνίδα, τὴν λυραοιδὸν

Ρώμης καὶ Φαρίης, ὧδε κέκευθε κόνις.
Ὤλετο φορμίγγων πρέτισματα, λῆξαν ἀοιδαί,
Ὥσπερ Ἰωαίνα πάντα συνολλύμενα.
Καὶ τάχα θεσμὸν ἔθηκαν ἐπάξιον ἐννέα Μοῦσαι,
Τύμβον Ἰωαίνας αἱ δ' Ἑλικῶνος ἔχειν.

A G A T H I Æ Scholastici. 4.

Heu, heu, decimam Musam lyra canentem
Romæ & Phariæ, hic tegit cinis.
Periit citharæ strepitus, cessarunt cantus,
Tanquam cum Iohanna omnia vnà perierint.
Et propè legem tulerunt dignam nouem Musæ,
Tumulum Iohannæ pro Helicone habere.

ΕΙΣ ΚΥΝΗΓΟΥΣ, κεφ. ιθ.

Ἄδηλον.

Ἁ δή τοι Ἀρχίου υἱὲ Περίκλεες ἁ λιθίνα 'γὼ
Ἕστηκα στάλα, μνᾶμα κυνηγεσίας.
Πάντα δέ τοι περὶ σῆμα τετεύχαται, ἵπποι, ἄκοντες,
Αἱ κυνές, αἱ στάλικες, δίκτυ' ἐπὶ σταλίκων.
Αἲ, αἲ, λαΐνα πάντα περὶ στείχουσι δὲ θῆρες·
Αὐτὸς δ' εἰκοσέτης νήγρετον ὕπνον ἔχεις.

IN VENATORES, Cap. XIX.

Incerti. 1.

Hæc sanè Archij fili Pericles, hæc lapidea ego
Posita sum columna, monumentum venationis.
Omnia verò tibi circa sepulcrum posita, equi, iacula,
Canes, & furculæ, retia super furculis.
Æ, æ. lapidea omnia: circumcurrunt verò feræ:
Ipse verò vigesimum annũ agens profundum somnũ habes.

ΑΓΑΘΙΟΥ.

Τὸν κρατερὸν Πανόπηα, τὸν ἀγρευτῆρα λεόντων,

Τὸν λασιοστέρνων κέντορα παρδαλίων,
Τύμβος ἔχει. γλαφυρῆς γὰρ ἀπὸ χθονὸς ἔκτανε δεινὸς
Σκορπίος, οὐ τήσας ταρσὸν ὀρεσσιβάτην.
Αἰγανέη δὲ θάλαμνα, σιγηλά τε περὶ χθονὶ κεῖται,
Αἶ, αἶ, θαρσαλέων παίγνια δορκαλίδων.

AGATHIAE. 2.

Fortem Panopaea, & venatorem leonum,
Hirsuto pectore iaculis fodientem pardalos,
Tumulus habet. è cauâ enim terra occidit grauis
Scorpius, vulnerans calcem per montes incedentem.
Iaculum verò miserum, & tacitâ in terrâ iacet,
Æ, æ, confidentium ludibria caprarum syluestrium.

Ἄδηλον.

Εἶχε κορωνοβόλον πενίης λιμηρὸν Ἀρίστων
Ὄργανον, ᾧ τελείας ἠκροβόλιζε χῆνας,
Ἦκα παραστείχων δολίην ὁδόν. οἷος ἐκεῖνος
Ψεύσασθαι λοξοῖς ὄμμασι φερβομένας.
Νῦν δ' ὁ μὲν εἰν Ἀΐδῃ, τὸ δὲ βέλος, ὀρφανὸν ἤχου
Καὶ χερός· ἡ δ' ἄγρη τύμβον ὑπερπέτεται.

Incerti. 3.

Habuit fundum paupertatis famelicum Ariston
Instrumentum, quo volucres exactè petebat anseres,
Lento gradu procedens dolosam viam. qualis ille
Ad decipiendum obliquis oculis pascentes.
Iam verò hic in inferno, iaculum verò ipsi caret stridore
Et manu. præda autem tumulum superuolitat.

ΕΙΣ ΜΕΘΥΣΟΥΣ, κεφ. κζ.

Ἄδηλον. 1

Μορτύδα πλεῦν ἱεραῖς με Διωνύσου παρὰ ληνοῖς
Ἄφθονον ἀκρήτου χευαμένην κύλικος,
Οὐκ ἔτι φθιμένην βαιὴ κόνις· ἀλλὰ πίθος μοι,

Σύμ-

Σύμβολον εὐφροσύνης, τερπνὸς ἔπεστι τάφος.

IN EBRIOS, Cap. XX.

Incerti. 1.

Mortadem sanctas me Bacchi apud Thyades
Multum meri extrahentem ex calice,
Non tegit mortuam paucus cinis, sed dolium mihi
Indicium hilaritatis suaue inest sepulcrum.

ΑΝΤΙΠΑΤΡΟΥ Σιδωνίου.

Τῆς πολιῆς τόδε σῆμα Μαρωνίδος· ἧς ἐπὶ τύμβῳ
Γλυπτὴν ἐκ πέτρης αὐτὸς ὁρῇς κύλικα.
Ἡ δὲ, φιλάκρητος καὶ ἀεὶ λάλος, οὐκ ἐπὶ τέκνοις
Μύρεται, οὐ τεκέων ἀκτεαίῳ πατέρι,
Ἓν δὲ τόδ' αἰάζει καὶ ὑπ' ἠρίον, ὅττι ὁ Βάκχῳ
Ἁρμόδιος οὐ Βάκχου πλήρης ἔπεστι τάφῳ.

ΑΝΤΙPΑΤRΙ Sidonij. 2.

Canæ hoc sepulctum Maronidis: cuius in tumulo
Sculptum ex petrâ ipse vides calicem.
Hæc meri amans & semper loquax, neque ob liberos
Dolet, non liberorum egeno patri,
Vnum verò luget etiam sub sepulcro, quòd Baccho
Conueniens non Baccho plenum inest tumulo.

ΛΕΩΝΙΔΟΥ.

Μαρωνὶς ἡ φίλοινος, ἡ πίθων σποδὸς,
Ἐνταῦθα κεῖται γρηῦς, ἧς ὑπὲρ τάφου
Γνωστὴ πρόκειται πᾶσιν Ἀττικὴ κύλιξ.
Στένει δὲ καὶ γῆς νέρθεν οὐχ ὑπὲρ τέκνων,
Οὐκ ἀνδρὸς, οὓς λέλοιπεν ἐνδεεῖς βίου·
Ἓν δ' ἀντὶ πάντων, οὕνεχ' ἡ κύλιξ κενή.

LEONIDÆ. 3.

Maronis merum amans, & doliorum fœditas,
Hìc iacet onus, cuius super tumulo
Notus iacet omnibus Atticus calix.

Iacet verò Æolide à Smyrnâ procul. Sed quid caliginis
Metuat Ebrius viam pluuiâ lubricam.

ΔΙΟΣΚΟΡΙΔΟΥ.

Τὴν πιτθὴν Ἱέρων Σιληνίδα, τὴν, ὅτε πίνοι
Ζωρόν, ἀπ' οὐδεμιῆς θλιβομένην κύλικος,
Ἀγρῷ ἐν τοῖς ἔθηκεν, ἵν' ἡ φιλάκρητος ἐκείνη
Καὶ φθιμένη, ληνῶν γείτονα τύμβον ἔχῃ.

DIOSCORIDIS 9.

Nutricem Hiero Thyadem, quàm, cùm biberet
Merum, à nullo ebriam factam calice.
In agro posuit, vt vini amans illa
Et mortuâ, torcularibus vicinum tumulum habeat.

Ἄδηλον.

Τὴν ἱλαρὰν φωνὴν καὶ τίμιον ὦ παριόντες,
Τῷ χρηστῷ χαίρειν εἴπατε Πραξιτέλει.
Ἦν δ' ὁ ἀνὴρ μουσῶν ἱερὴ μερίς, ἠδὲ πρὸς οἶνον
Κρήγυος. ὦ χαίροις Ἄνδριε Πραξιτέλες.

Incerti. 7.

Hilaram vocem & preciosam, ô prætereuntes,
Bono valere dicite Praxiteli.
Erat verò hic vir Musarum magna pars, & aptæ vinum
Idoneus. O Salue Andrie Praxiteles.

ΕΙΣ ΜΟΙΧΟΥΣ, κεζ. καζ

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Οὐχ ὁσίοις λεχέεσσιν ἐτέρπετο λάθριος ἀνήρ,
Λέκτρον ὑποκλέπτων ἀλλοτρίης ἀλόχου·
Ἐξαπίνης δὲ δόμων ὀροφὴ πέσε, τοὺς δὲ κακούργους
Ἔσκεπεν ἀλλήλοις εἰσέτι μισγομένους.
Ξυνὴ δ' ἀμφοτέρους κατέχει παγίς, εἰν ἑνὶ δ' ἄμφω
Κεῖνται, συζυγίης οὐκ ἔτι παυόμενοι.

IN ADVLTEROS, Cap. XXI.

AGATHIÆ Scholastici. 1.

Non ſanctis lectis gaudebat occultus vir,
  Lectum furatus alterius vxoris.
Extemplo verò domi ſummitas cecidit, illos verò maleficos
  Oppreſſit ad inuicem adhuc commixtos.
Commune verò vtrumque cohibet rete, in vno verò ambo
  Iacent, à coniunctione nondum ceſſantes.

ΕΙΣ ΝΑΥΑΓΗΣΑΝΤΑΣ, χξϛ χβϛ

ΑΝΑΚΡΕΟΝΤΟΣ.

Καί σε Κλεηνορίδη πόθος ὤλεσε πατρίδος αἴης,
  Θαρσήσαντα νότου λαίλαπι χειμερίῃ.
Ὥρη γάρ σε πέδησεν ἀνέγγυος, ὑγρὰ δὲ τὴν σὴν
  Κύματ' ἀμφ' ἱμερτὴν ἔκλυσεν ἡλικίην.

IN NAVFRAGOS, Cap. XXII.

ANACREONTIS. 1.

Et te Cleenorida amor perdidit patriæ terræ,
  Confiſum Noti turbine hyemali.
Hora enim te illaqueauit infidelis, humida verò tuam
  Fluctus deſiderabilem obruerunt ætatem.

ΛΕΩΝΙΔΟΥ.

Εἴη ποντοπόρῳ πλόος οὔριος, ἢν δ' ἄρ' ἀήτης
  (Ὡς ἐμὲ) τοῖς ἀΐδεω προσαπελάσῃ λιμέσι,
Μεμφέσθω μὴ λαῖτμα κακόξενον, ἀλλ' ἕο τόλμαν,
  Ὅστις ἀφ' ἡμετέρου πείσματ' ἔλυσε τάφου.

LEONIDÆ. 2.

Sit nautæ nauigatio ſecunda, vbi verò ventus
  (Vt me) ad inferni appulerit limina,
Reprehendat non vndam inhoſpitalem, ſed ſuam audaciam
  Quicunque à meo retinacula ſoluerit ſepulcro.

ΠΛΑΤΩΝΟΣ.

Ναυηγοῦ τάφος εἰμί, ὁ δ' ἀντίον, ἐστὶ γεωργοῦ·
Ὡς ἁλὶ καὶ γαίῃ ξυνὸς ὕπεστ' ἀΐδης.

PLATONIS. 3.

Naufragi ſum tumulus,qui verò è regione,eſt ruſtici:
Vt mari atque terræ communis ſubeſt mors !

ΛΕΩΝΙΔΟΥ.

Ναυηγοῦ τάφος εἰμὶ Διοκλέος· οἱ δ' ἀνάγονται,
(Φεῦ τόλμης) ἀπ' ἐμοῦ πείσματα λυσάμενοι.

LEONIDÆ. 4.

Naufragi tumulus ſum Dioclis: qui verò auehunt,
(Vah audacia!)à me retinacula ſoluentes.

ΠΟΣΕΙΔΙΠΠΟΥ.

Ναυτίλοι, ἐγγὺς ἁλὸς τί με θάπτετε; πολλὸν ἄνευθεν
Χῶσαι ναυηγοῦ τλήμονα τύμβον ἔδει.
Φρίσσω κύματος ἦχον, ἐμὸν μόρον. ἀλλὰ καὶ οὕτως,
Χαίρετε Νικήτην οἵ τινες οἰκτίρετε.

POSIDIPPI. 5.

Nautæ,propè mare cur me ſepelitis? valdè ſeorſum
Infodi naufragi miſerabilem tumulum oportebat.
Formido fluctus ſonum,meam mortem:ſed & ita,
Saluete Nicetam quicunque miſeramini,

ΠΛΑΤΩΝΟΣ.

Ναυηγόν με δέδορκας ὃν ἡ κτείνασα θάλαττα,
Γυμνῶσαι πυμάτου φάρεος ᾐδέσατο,
Ἄνθρωπος παλάμῃσιν ἀταρβήτοις μ' ἀπέδυσεν,
Τόσσον ἄγος τόσσου κέρδεος ἀράμενος.
Κεῖνό κεν ἐνδύσαιτο, καὶ εἰν ἀΐδαο φέροιτο,
Καί μιν ἴδοι Μίνως τοὐμὸν ἔχοντα φάρος.

PLATONIS. 6.

Naufragum me vidiſti:quem interimens mare,
Denudare ab vltimo veſtimento erubeſcebat.
Homo manibus intrepidis me exuit,

Eiusdem. 10.

Naxius non in terra mortuus est Lycus, sed in mari
Nauim simul & vitam vidit pereuntem.
Mercator ex Æginâ cùm nauigaret. Et hic quidem in humido
Mortuus, ego verò frustrà nomen tumulus habens.
Nuncio verissimum verbum hoc. Fuge cum mari
Commisceri hœdis, nauta occidentibus.

ΛΕΩΝΙΔΟΥ.

Εὔρου με τρηχεῖα καὶ αἰπήεσσα καταιγὶς,
Καὶ νὺξ, καὶ δνοφερῆς κύματα πανδυσίης
Ἔβλαψ' ὠρίωνος· ἀπώλισθον δὲ βίοιο
Κάλλαισχρος, Λιβυκοῦ μέσσα θέων πελάγευς.
Κἀγὼ μὲν πόντῳ δινεύμενος, ἰχθύσι κύρμα
Οἴχομαι· ψεύστης δ' ἐνθάδ' ἔπεστι λίθος.

LEONIDÆ. 11.

Euri me horribilis & alta procella,
Et nox, & caliginosi fluctus penitus, occidentis
Orionis nocuit: Excidi autem è vitâ.
Callæschrus, Libyci in medio currens maris.
Et ego quidem ponto sepultus, piscibus esca
Discedo: falsus verò hic superest lapis.

ΓΕΤΟΥΛΑΙΚΟΥ.

Α Πελοπόννησος καὶ δύσπλοος ὤλεσε Κρήτη,
Καὶ Μαλέου τυφλαὶ καμπτομένου σπιλάδες,
Δάμιδος Ἀστυδάμαντα, Κυδώνιον. ἀλλ' ὁ μὲν ἤδη
Ἔπλησεν θηρῶν νηδύας εἰναλίων·
Τὸν ψεύσταν δέ με τύμβον ἐπὶ χθονὶ θέντο. τί θαῦμα;
Κρῆτες ὅπου ψεῦσται, καὶ Διός ἐστι τάφος.

GETVLICI. 12.

Peloponnesus, & infelix perdidit Creta,
Et Maleæ cæca inflexæ saxa in aquis.
Damidos Astydamanta, Cidonium. Sed hic quidem iam
Implet ferarum ventres marinarum.
Mendacem verò tumulum terræ imposuere. quid mirum?

Cretes vbi sunt mendaces, & Iouis est sepulcrum.

Αδέσποτον.

Παῦσαι νηὸς ἐρέτμα καὶ ἔμβολα ταῦτ᾽ ἐπὶ τύμβῳ
 Αἰὲν ἐπὶ ψυχρῇ ζωγραφέων σποδιῇ.
Ναυαγίου τὸ μνῆμα· τί τῆς ἐν κύμασι λώβης
 Αὖθις ἀναμνῆσαι τὸν κατὰ γῆς ἐθέλεις;

Incerti 13.

Desine nauis remos & rostra nauium hoc super tumulo
 Semper in frigido pingere cinere.
Naufragi hoc monumentum: quid illius in fluctibus damni
 Rursus reminisci illum qui est in terrâ cupis?

ΙΣΙΔΩΡΟΥ Αἰγεάτου, ἀπὸ ναυηγοῦ
 πρὸς γεηπόνον.

Τὸ χῶμα, τύμβος ἐστίν· ἀλλὰ τὼ βόε
Ἐπίσχες οὗτος, τὴν ὕνιν τ᾽ ἀνάσπασον.
Κινεῖς σποδὸν γάρ· ἐς δὲ τοιαύτην κόνιν
Μὴ σπέρμα πυρῶν, ἀλλὰ χεῦε δάκρυα.

Isidori Ægeatæ, naufragi ad agricolam. 14.

Cumulus tumulus est: sed boues
Cohibe heus, & vomerem retrahe.
Moues cineres enim: in talem autem cinerem
Non semen tritici sed funde lacrumas.

ΑΝΤΙΠΑΤΡΟΥ.

Οὐδετέρης ὅλος εἰμὶ θανὼν νέκυς, ἀλλὰ θάλασσα
 Καὶ χθὼν τὴν ἀπ᾽ ἐμεῦ μοῖραν ἔχουσιν ἴσην.
Σάρκα γὰρ ἐν πόντῳ φάγον ἰχθύες· ὀστέα δ᾽ αὖτε
 Βέβρασται ψυχρῇ τῇδε παρ᾽ ἠιόνι.

Antipatri. 15.

Neutrius totus sum mortuus cadauer, sed mare
 Et terra à me æqualem habent partem.
Carnem enim in mari comederunt pisces. Ossa rursus
 Eiecta sunt frigidum hoc ad littus.

Τοῦ αὐτοῦ.

Ανθέα τὸν ναυηγὸν ἐπὶ στόμα Πηνειοῖο
Νυκτὸς ὑπὲρ βαιῆς νηξάμενον σανίδος,
Μουνιὸς ἐκ θάμνοιο θορὼν λύκος ἄσκοπον ἄνδρα
Ἔκτανεν. ὦ γαίης κύματα πικρότερα.

Eiusdem. 16.

Anthea naufragum ad ostium Penei
Nocte super paruâ natantem tabulâ,
Syluestris è luco exsiliens lupus ex insperato virum
Occidit. O terra fluctus acerbiores!

ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.

Λαίλαπα καὶ μανίην ὀλοῆς προφυγόντα θαλάττης
Ναυηγὸν Λιβυκαῖς κείμενον ἐν ψαμάθοις,
Οὐχ ἑκὰς ἠιόνων πυμάτῳ βεβαρημένον ὕπνῳ,
Γυμνὸν, ἀπὸ στυγερῆς ὡς κάμε ναυφθορίης,
Ἔκτανε λυγρὸς ἔχις. τί μάτην πρὸς κύματ' ἐμόχθει
Τὴν ἐπὶ γῆς φεύγων μοῖραν ὀφειλομένην;

STATYLLII FLACCI. 17.

Turbinem & insaniam perniciosi effugientem maris
Naufragum Libycâ iacentem in arenâ,
Non procul à littore vltimo grauatum somno,
Nudum, lethali cum adhuc laboraret naufragio,
Occidit dira Echidna. quid frustra cum fluctibus laborabat:
In terrâ fugiens fatum debitum?

ΙΣΙΔΩΡΟΥ.

Οὐ χεῖμα Νικόφημον, οὐκ ἄστρων δύσις
Ἁλὸς Λιβύσσης κύματος κατέκλυσεν,
Ἀλλ' ἐν γαλήνῃ (φεῦ τάλας) νηνεμίῃ,
Πλόῳ πεδηθεὶς, ἐφρύγη δίψης ὕπο.
Καὶ τοῦτ' ἀήτων ἔργον. ὦ πόσον κακὸν
Ναύταισιν, ἢ πνέοντες, ἢ μεμυκότες.

ISIDORI. 18.

Non hyems Nicophemum, non stellarum occasus
Maris Libyci fluctus absorpsit,

Sed in ſerenitate(hei miſera)tranquillâ,
Naui clauſus exaruit à ſiti.
Et hoc ventorum opus. Hei quantum malum,
Nautis aut ſpirantes, aut non ſpirantes.

ΣΤΑΤΥΛΛΙΟΥ.

Γρωνέα τὸν πρέσβυν, τὸν ἁλιτρύπου ἀπὸ κύμβης
Ζῶντα, τὸν ἀγκίστροις καὶ μογέοντα λίνοις,
Ἐκ δεινοῦ τρηχεῖα νότου κατέδυσε θάλαττα,
Ἔβρασε δ' εἰς κεγχάλλην τρεφίον ἠιόνα,
Χεῖρας ἀποβρωθέντα. τίς οὐ νόον ἰχθύσιν εἴποι
Ἔμμεναι, οἳ μούνας αἷς ὀλέκοντο φάγον;

STATYLLII. 19.

Grynea ſenem, in mari perforatâ à cymba
Viuentem, & hamis & laborantem retibus,
Ex graui horridum noto ſubmerſit mare,
Eiecit verò in arenoſum inane litus
Manus abroſum. Quis non mentem piſcibus dicat
Ineſſe, qui ſolas, quibus perierunt, comederunt?

ΛΕΩΝΙΔΟΥ Ταραντίνου.

Θῆριν τὸν τειγέροντα, τὸν εὐάγρων ἀπὸ κύρτων
Ζῶντα, τὸν αἰθύης πλείονα νηξάμενον·
Ἰχθύσι λῃστῆρα, σαγηνέα, χηραμοδύτην,
Οὐχὶ πολυσκάλμου πλώτορα ναυτιλίης,
Ἔμπης οὔτ' Ἀρκτοῦρος ἀπώλεσεν, οὔτε καταιγὶς
Ἤλασε τὰς πολλὰς τῶν ἐτέων δεκάδας·
Ἀλλ' ἔθαν' ἐν καλύβῃ σχοινίτιδι, λύχνος ὁποῖα,
Τῷ μακρῷ σβεσθεὶς ἐν χρόνῳ αὐτόματος.
Σῆμα δὲ τῷδ' οὐ παῖδες ἐφήρμοσαν, οὐδ' ὁμόλεκτρος,
Ἀλλὰ συνεργατίνης ἰχθυβόλων θίασος.

LEONIDÆ Tarentini. 20.

Therem valde ſenem, capientibus à naſſis
Viuentem, qui mergo aue ſæpius natabat.
Piſcibus latronem, euerriculo piſcantem, vrinantem,

Nondum multis ſcalmis inſtructæ nautam nauigationis,
Tamen neque Arcturus perdidit, neque procella
Vexauit multas annorum decades:
Sed occidit in tugurio iunceo, velut lychnus,
Longo extinctus in tempore ſponte.
Sepulcrum verò huic non liberi exſtruxerunt, neque coniux,
Sed collaborans piſcatorum multitudo.

ΑΔΔΑΙΟΥ Μιτυληναίου.

Ο γριπεὺς Διότιμος, ὁ κύμασιν ὁλκάδα πιστήν,
Κὴν χθονὶ τὴν αὐτὴν οἶκον ἔχων πενίης·
Νήγρετον ὑπνώσας, τὸν ἀμείλιχον ἵκτο πρὸς ᾅδην
Αὐτερέτης ἰδίῃ νηὶ κομιζόμενος.
Ην γὰρ ἔχε ζωῆς παραμύθιον, ἔσχεν ὁ πρέσβυς
Καὶ φθίμενος πύματον πυρκαϊῆς ὄφελος.

ADDÆI Mitylenæi. 21.

Piſcator Diotimus, qui fluctibus nauim fidam,
Etiam in terra eandem domum habet paupertatis:
Perpetuò qui dormit, implacabilem venit ad orcum
Sibi ipſi remex propria naui latus.
Quam enim habuit vitæ ſolatium, habuit ſenex
Et moriens vltimum rogi commodum.

ΑΡΓΕΝΤΑΡΙΟΥ.

Δύσμορος ἐκρύφθη πόντῳ νέκυς, ὃν παρὰ κῦμα
Εκλαυσεν μήτηρ μυρία Λυσιδίκη,
Ψεύστην αἰάζουσα κενὸν τάφον· ἀλλά μιν δαίμων
Απνοον αἰθυίαις θῆκεν ὁμορρόθιον,
Πυθαγόρην· ἔσχον δὲ κατ' Αἰγαίην ἅλα πότμον,
Πρυμνούχους στέλλων ἐκ Βορέαο κάλως.
Αλλ' οὐδ' ὣς ναύτην ἔλιπον δρόμον, ἀλλ' ἀπὸ νηὸς
Αλλην πρὸς φθιμένοις εἰσανέβην ἄκατον.

ARGENTARII. 22.

Infelix abſconditum eſt ponto cadauer, quod propè fluctum
Plorauit mater multùm Lyſidice,

Falſum inſpiciens vanum ſepulcrum: ſed me deus
Mortuum mergis poſuit cohabitatorem,
Pnytagoram: Habuit verò iuxta Ægæum mare mortem,
Funes laxans ob Boream rudentes.
Sed nec ſic nauigabilem reliquit curſum, ſed è naui
Aliam apud inferos ingreſſus eſt nauim.

ΕΤΡΟΥΣΚΟΥ Μεσσηνίου.

Ἡ μία καὶ βιότοιο καὶ ἄϊδος ἤγαγεν εἴσω
Ναῦς Ἡρακλείδην, κοινὰ λαχοῦσα τέλη.
Ἔτρεφεν ἰχθυβολεῦντα, κατέφλεγε τεθνειῶτα,
Σύμπλοος εἰς ἄγρην, σύμπλοος εἰς ἀΐδην.
Ὄλβιος ὁ γριπεὺς ἰδίῃ καὶ πόντον ἔπλει
Νηΐ, καὶ ἐξ ἰδίης ἔδραμεν εἰς ἀΐδην.

HETRVSCI Meſſenij. 23.

Vna & in vitam & in mortem duxit
Nauis Heraclidem, communes ſortitum fines.
Aluit piſcatorem, combuſſit mortuum,
Vnà nauigans ad piſcationem, vnà nauigans ad infernum.
Felix piſcator propriâ & pontum nauigauit
Naui, & propriâ cucurrit ad inferos.

ΦΙΛΙΠΠΟΥ.

Ἠπείρῳ μ' ἀποδοῦσα νέκυν τρηχεῖα θάλαττα,
Σύρεις καὶ τέφρης λοιπὸν ἔτι σκύβαλον.
Κἠν ἀΐδῃ ναυηγὸς ἐγὼ μόνος, οὐδ' ἐπὶ χέρσου
Εἰρήνην ἕξω φρικαλέης σπιλάδος.
Ἢ τύμβευε κρατοῦσα καθ' ὕδατος, ἢ παραδοῦσα
Γαίῃ, τῆς κείνης μηκέτι κλέπτε νέκυν.

PHILIPPI. 24.

Littori me reddens mortuum horridum mare,
Trahis etiam cineris reliquas reliquias.
Et in morte naufragus ego ſolus, neque in littore
Pacem habebo ab horrendis ſub aqua ſaxis.
Aut me ſepeli tenens in aqua, aut reddens
Terræ, illius non amplius furare mortuum.

Ἠϊόνι τόδε σῆμα βεβρ. καὶ τὰ ἑξῆς, ζήτει ἐν τῷ ἕκτῳ κεφαλαίῳ τῷ εἰς ἄνδρας οὐκ ἐπισήμους.

Ἰχθύσι καὶ ποταμῷ Κλειτώνυμον ἐχθρὸς ὅμιλος
Ὦσεν, ὅτ᾽ εἰς ἄκρην ἦλθε τυραννοφόνος.
Ἀλλὰ δίκη μιν ἔθαψεν· ἀποσπασθεῖσα γὰρ ὄχθη
Πᾶν δέμας ἐς κορυφὴν ἐκ ποδὸς ἐκτέρισεν.
Κεῖται δ᾽ οὐχ ὑδάτεσσι διάβροχος· αἰδομένη δὲ
Γῆ κεύθει τῆς ὅρμον ἐλευθερίης.

BIANORIS. 25.

Piſcibus & fluuio Clitonymon hoſtica turba
Suſtulit, cùm in ſummitatem venit tyrannicida.
Sed vindicta eum ſepeliit. Auulſa enim ripa in litore
Omne corpus à capite ad pedes attriuit.
Iacet verò non aquis madidus: reuerita enim
Terra tegit ſuæ portum libertatis.

ΗΡΑΚΛΕΙΔΟΥ Σινωπέως.

Λαῖλαψ, καὶ πολὺ κῦμα, καὶ αἱ τολαὶ Ἀρκτουρίου,
Καὶ σκότος, Αἰγαίου τ᾽ οἶδμα κακὸν πελάγευς,
Ταῦθ᾽ ἅμα πάντα κύκησεν ἐμὴν νέα· τριχθὰ δὲ κλασθεὶς
Ἱστὸς, ὁμοῦ φόρτῳ κἀμὲ κάλυψε βυθῷ.
Ναυηγὸν κλαίοιτε παρ᾽ αἰγιαλοῖσι γονῆες
Τλησιμένη, κωφὸν στησάμενοι λίθακα.

HERACLIDÆ Sinopenſis. 26.

Procella, & multus fluctus, & ortus Arcturi,
Et tenebræ, Ægæique tumor malus pelagi,
Hæc ſimul omnia perturbarunt meam nauim: trifariá v. fractus
Malus ſimul cum onere & me ſubmerſit profundo.
Naufragum flcatis in litore parentes
Tleſemneem, ſurdum erigentes lapidem.

ΕΡΥΚΙΟΥ.

Οὐχ ὅδε δειλαίου Σατύρου τάφος, οὐδ᾽ ὑπὸ ταύτῃ
(Ὡς λόγος) ἵδρυται πυρκαϊῇ Σάτυρος,
Ἀλλ᾽ εἴ που τινὰ πόντον ἀκούετε πικρὸν ἐχθρόν,

Τὸν πέλας αἰγινόμου κλυζόμενον Μυκάλης,
Κείνῳ δινήεντι καὶ ἀτρυγέτῳ ἔτι κεῖμαι
Ὕδατι μαινομένῳ, μεμφόμενος βορέην.

ERYCII. 27.

Non hic infelicis Satyri tumulus, neque sub hoc
(Vt sermo) habitat sub rogo Satyrus,
Sed sicubi quem pontum auditis paruum illius,
Prope apud capras pascentem demersum Mycalem,
Illo agitato & indomito adhuc iaceo
In aqua furente, accusans boream.

ΘΕΑΙΤΗΤΟΥ.

Ναυτίλοι ὦ πλώοντες, ὁ Κυρηναῖος Ἀρίστων
Πάντας ὑπὲρ ξενίου λίσσεται ὔμμε Διός,
Εἰπεῖν πατρὶ Μένωνι, παρ' Ἰκαρίαις ὅτι πέτραις
Κεῖται, ἐν Αἰγαίῳ θυμὸν ἀφεὶς πελάγει.

THEÆTETI. 28.

Nautæ ô nauigantes, Cyrenæus Ariston
Omnes per Iouem vos orat hospitalem,
Vt dicatis patri Menoni apud Icarias quòd petras
Iacet, in Ægæo animum amittens pelago.

ΑΣΚΛΗΠΙΑΔΟΥ.

Ὦ παρ' ἐμὸν στείχων κενὸν ἠρίον εἶπον ὁδῖτα,
Εἰς Χίον εὖτ' ἂν ἵκῃ, πατρὶ Μελησαγόρῃ,
Ὡς ἐμὲ μὲν καὶ νῆα καὶ ἐμπορείην κακὸς Εὖρος
Ὤλεσεν, Εὐίππου δ' αὐτὸ λέλειπται ὄνομα.

ASCLEPIADÆ. 29.

O prope meum ambulans sepulcrum dic viator,
In Chium cùm venis, patri Melesagoræ,
Quòd me quidem & nauem & mercimonia malus Eurus
Perdidit, Euippi verò ipsum relinquitur nomen.

ΠΕΡΣΟΥ.

Εὔρου χειμέριαί σε καταιγίδες ἐξεκύλισαν,
Φιλλί, πολυκλαύτῳ γυμνὸν ἐπ' ἠιόνι,

Οἰνηρῆς Λέσβοιο παρὰ σφυρόν· αἰγίλιπος δὲ
　Πέτρης ἁλιβρέκτῳ κεῖσαι ὑπὸ πρόποδι.

PERSÆ. 30.

Euri hyemales te proſtrauêre procellæ,
　Philli, lacrumoſo nudum in litore
Vinoſæ Leſbi in imâ parte: excelſæ verò
　Petræ à mari irrigato iaces in ſaxo.

ΝΙΚΑΙΝΕΤΟΥ.

Ἠρίον εἰμὶ Βίτωνος ὁδοιπόρε. εἰ δὲ Τορώνην
　Λείπων, εἰς αὐτὴν ἔρχεαι Ἀμφίπολιν,
Εἰπεῖν Νικαγόρᾳ, παίδων ὅτι τὸν μόνον αὐτῷ
　Στρυμονίης ἐρίφων ὤλεσε πλημυδυσίη.

NICÆNETI. 31.

Sepulcrum ſum Bitonis viator. Si verò Toronem
　Relinquens, in ipſam veneris Amphipolin,
Dic Nicagoræ, puerorum quòd vnicum ipſi
　Strymoniæ hœdorum perdidit occaſus.

ΛΕΩΝΙΔΟΥ.

Ἀρχαίης ὦ θινὸς ἐπεστηλωμένον ἄχθος,
　Εἴποις ὅντιν' ἔχεις, ἢ τίνος, ἢ ποδαπόν.
Φίντων', Ἑρμιονῆα, Βαθυκλέος, ὃν πολὺ κῦμα
　Ὤλεσεν, ἀρκτούρου λαίλαπι χρησάμενον.

LEONIDÆ. 32.

Antiqui tumuli columnatum pondus,
　Dicas quem habeas, & cuius, & cuiatem.
Phintonem, Hermionenſem, Bathyclei, quem multus fluctus
　Perdidit, arcturi turbine vſus.

Τοῦ αὐτοῦ.

Γάρμις ὁ Καλλιγνώτου ἐπάκτιος, ὃς καλαμευτὴς
　Ἄκρος, καὶ κίχλης καὶ σκάρου ἰχθυβολεύς,
Καὶ λάβρου πέρκης δελεάρπαγος, ὅσσα τε κοίλας

Σήραγγας, πέτρας τ' ἐμβυθίους νέμεται,
Ἄγρης ἐκ πρώτης, ὅτ' ἰουλίδα πετρήεσσαν
Δακνάζων, ὀλοὴν ἐξ ἁλὸς ἀράμενος,
Ἔφθιτ'. ὀλισθηρὴ γὰρ ὑπ' ἐκ χερὸς ἀΐξασα,
Ὤχετ' ἐπὶ στεινὸν παλλομένη φάρυγα.
Χὠ μὲν, μηρίνθων, καὶ δούνακος, ἀγκίστρων τε
Ἐγγὺ, ἀπὸ πνοιὴν ἧκε κυλινδόμενος,
Νήματ' ἀναπλήσας ἐπιμοίρια· τοῦ δὲ θανόντος
Γρίπωνος γριπεὺς τοῦτον ἔχωσε τάφον.

Eiusdem. 32.

Parmis Callignoti in littore degens, qui piscator
Excellens, & turdi & scari piscator,
Et voracis percæ escam rapientis, quótque caua
Antra, & petras in profundo piscantur,
Captura ex prima, cùm iulidem saxatilem
Mordens, perniciosam ex mari tollens,
Periit. lubrica enim ex manu proruens,
Transiit ad angustum vibrans guttur.
Et hic quidem, apud funes retium, & calamos, & hamos
Prope, animam efflauit circumuolutus,
Fila implens fatalia: hoc verò mortuo
Griponus piscator hunc effodit tumulum.

ΦΛΑΚΚΟΥ.

Ἕβρου χειμερίοις ἁπαλὸς κρυμοῖσι πεδηθεὶς
Κοῦρος, ὀλισθηροῖς ποσσὶν ἔθραυσε πάγον.
Τοῦ δὲ παρασυρομένοιο περιρραγὲς αὐχέν' ἔκοψε
Θηγαλέον ποταμοῦ Βιστονίοιο τρύφος.
Καὶ τὸ μὲν ἡρπάσθη δίναις μέρος· ἡ δὲ τεκοῦσα
Λειφθὲν ὕπερθε τάφου μοῦνον ἔθηκε κάρη.
Μυρομένη δὲ τάλαινα, τέκος, τέκος, εἶπε, τὸ μέν σου
Πυρκαϊή, τὸ δέ σου πικρὸν ἔθαψεν ὕδωρ.

FLACCI. 33.

Hebri frigoribus paruus super glacie constrictus

Puer, lubricis pedibus fregit glaciem.
Quo tracto circumcisam ceruicem abscidit
Acutum fluuij Bistonij fragmentum.
Et hæc quidem rapta est vorticibus pars: mater verò
Acceptum in sepulcrum solum posuit caput.
Lugens verò misera, fili, fili, inquit, hoc quidem
Rogus, illud verò acerba sepeliuit aqua.

Ἀδέσποτον.

Πάντα τὶς ἀρήσαιτο φυγεῖν πλόον, ὁππότε καὶ σὺ
Θεόγνες ἐν Λιβυκῷ τύμβον ἔχεις πελάγει,
Ἡνίκα σοι κεκμηὼς ἐπέπτατο φορτίδι νηῒ
Οὖλον ἀνηρείθμων κεῖνο νέφος γεράνων.

Incerti. 35.

Omnem quis fugiat nauigationem, quandoquidem & tu
Theogenes in Libyco tumulum posuisti pelago,
Cùm tibi defatigata aduolauit ad onerariam nauem
Perniciosa innumerabilium illa nubes gruum.

ΛΕΩΝΙΔΟΥ.

Ναυηγὸς γλαύκοιο φυγὼν Τρίτωνος ἀπειλὰς
Ἀνθεὺς Φθιώτην οὐ φύγεν αἰνόλυκον.
Πηνειοῦ παρὰ χεῦμα γὰρ ὤλετο. φεῦ τάλας, ὅστις
Νηρεΐδων νύμφας, ἔσχες ἀπιστοτέρας.

Leonidæ. 36.

Naufragus glauci fugiens Tritonis minas
Antheus propè phthiam non effugit immanem lupum.
Penei ad fluuium enim periit. Hei miser, qui
Nereïdum Nymphas habuisti infideliores.

ΙΟΥΛΙΑΝΟΥ.

Χαῖρέ μοι ὦ ναυηγέ· καὶ εἰς Ἀΐδαο περήσας,
Μέμφεο μὴ πόντου κύμασιν, ἀλλ' ἀνέμοις.
Κεῖνοι μέν σ' ἐδάμασσαν· ἁλὸς δέ σοι μείλιχον ὕδωρ.
Ἐς χθόνα καὶ πατέρων ἐξεκύλισσε τάφους.

Iuliani. 37.

Salue mihi, ô naufrage: & cùm in infernum transieris,

Accusa non maris fluctus, sed ventos.
Illi quidem te domuerant: maris verò te suauis aqua
In terram & parentum deuoluit sepulcra.

Τοῦ αὐτοῦ.

Πλώεις, ναυηγόν με λαβὼν, καὶ σῆμα κάλυψας.
Πλῶε, Μαλειάων ἄκρα φυλασσόμενος.
Αἰεὶ δ' εὐπλοΐην μετίποις φίλος· ἢν δέ τι ῥέξῃ
Ἄλλο τύχη, τοίων ἀντιάσειας χαρίτων.

Eiusdem. 38.

Nauigas, naufragum me capiens, & sepulcro obruens.
Nauiga, Maleæ promontoria cauens.
Semper autem bonam nauigationem consequaris. Sin verò quid feceris
Aliud, à fortuna talem vicissim referas gratiam.

Τοῦ αὐτοῦ.

Οὔτι σε πόντος ὄλεσσε, καὶ οὐ πνείοντες ἀῆται,
Ἀλλ' ἀκόρητος ἔρως φορτίδος ἐμπορίης.
Εἴη μοι γαίης ὀλίγος βίος· ἐκ δὲ θαλάττης
Ἄλλοισιν μελέτω κέρδος ἀελλομάχον.

Eiusdem. 39.

Nec mare te perdidit, nec flantes venti,
Sed inexplebilis amor vagæ mercaturæ.
Contingat mihi terræ paucus victus. Ex mari verò
Aliis curæ sit lucrum cum procellis contendens.

Τοῦ αὐτοῦ.

Χθών σε τέκεν, πόντος δὲ διώλεσε· δέκτο δὲ θῶκος
Πλουτῆος· κεῖθεν δ' οὐρανὸν εἰσδμένεις.
Οὐχ ὡς ναυηγὸς δὲ βυθῷ θάνες, ἀλλ' ἵνα πλώτων
Κλήροις ἀθανάτων Πάμφιλε κόσμον ἄγῃς.

Eiusdem. 40.

Terra te genuit, mare verò perdidit: excepit te solium
Plutonis: inde verò cælum ascendes.
Non tanquam naufragus profundo perieris, sed vt omnium

Suffragio Deorum Pamphile ornatum ducas.

Τοῦ αὐτοῦ.

Ὑπατίου τάφος εἰμί· νέκυν δ' οὔ φημι καλύπτειν,
Τόσσου τόσσος ἐὼν Αὐσονίων προμάχου.
Γαῖα γὰρ αἰδομένη λιτῷ μέγαν ἀνέρα χῶσαι
Σήματι, τῷ πόντῳ μᾶλλον ἔδωκεν ἔχειν.

Eiusdem. 41.

Hypatij tumulus sum: mortuum verò non dico me tegere,
Tanti tantulus existens Ausoniorum antesignani.
Terra enim erubescens paruulo magnum virum tumulare
Sepulcro, ponto potiùs dedit vt haberet.

ΑΝΤΙΦΙΛΟΥ.

Ἤδη που πάτρης πελάσας σχεδὸν, αὔριον, εἶπον,
Ἡ μακρὴ κατ' ἐμοῦ δυσπλοΐη κοπάσει.
Οὔπω χεῖλος ἔμυσε, καὶ ἦν ἴσος ἅιδι πόντος,
Καί με κατέτρυχεν κεῖνο τὸ κοῦφον ἔπος.
Πάντα λόγον πεφύλαξο τὸν αὔριον. οὐδὲ τὰ μικρὰ
Λήθει τὴν γλώσσης ἀντίπαλον νέμεσιν.

ANTIPHILI. 42.

Iam ad patriam appropinquans pænè, cras, dixi,
Magna contra me infelix nauigatio cessabit.
Vix verbum protuleram, & erat æqualis inferno pontus,
Et me contriuit, illud ob leue verbum.
Omnem sermonem vita crastinum. Neque enim parua
Latent linguæ hostilem nemesin.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ἢν ἄρα Μιλήτου Φοιβήιον ὅρμον ἵκησθε,
Λέξατε Διογένει πένθιμον ἀγγελίην,
Παῖς ὅτι οἱ ναυηγὸς ὑπὸ χθονὶ κεύθεται Ἄνδρου
Δίφιλος, Αἰγαίου κῦμα πιὼν πελάγους.

APOLLONIDÆ. 43.

Vbi sanè ad Miletæ Phœbeum portum perueneritis,
Dicite Diogeni luctuosum nuncium,

Puer quòd ipsi naufragus sub terra conditur Andro
  Diphilus Ægæi fluctum bibens pelagi.

ΑΝΤΙΠΑΤΡΟΥ.

Πᾶσα θάλαττα, θάλαττα. τί κυκλάδας, ἢ στενὸν Ἕλλης
  Κῦμα, καὶ ὀξείας ἠλεὰ μεμφόμεθα;
Ἄλλως τοὔνομ' ἔχουσιν. ἐπεὶ, τί με τὸν προφυγόντα
  Κῦμα, Σκαρφαιεὺς ἀμφεκάλυψε λιμήν;
Νόστιμον εὔπλοιαν ἀρῷτό τις· ὡς τά γε πόντου,
  Πόντος ὁ τυμβευθεὶς οἶδεν Ἀρισταγόρης.

ANTIPATRI. 44.

Omne mare, mare est. quid cycladas, aut angustum Græciæ
  Fluctum, & ventos stultè reprehendimus?
Temerè nomen hoc habent, cùm, quid me euitantem
  Illa, Scarphæus circumoperuit portus?
Reditus bonam nauigationem aret quis: sunt enim ponti,
  Periculorum plena. Sepultus nouit Aristagoras.

ΦΛΑΚΚΟΥ.

Φεῦγε θαλάττια ἔργα, βοῶν δ' ἐπιβάλλευ ἐχέτλῃ,
  Εἴ τι τοι ἡδὺ μακρῆς πείρατ' ἰδεῖν βιοτῆς.
Ἠπείρῳ γὰρ ἔνεστι μακρὸς βίος· εἰν ἁλὶ δ' οὔπως
  Εὐμαρὲς εἰς πολιὴν ἀνδρὸς ἰδεῖν κεφαλήν.

FLACCI. 45.

Fuge marina opera, & bobus impone stiuam,
  Si tibi gratum est videre longæ terminos vitæ:
Continenti enim inest longa vita. In mari verò non
  Promptum canum viri videre caput.

ΛΕΩΝΙΔΟΥ.

Οὐδ' εἴ μοι γελόωσα καταστορέσειε γαλήνη
  Κύματα, καὶ μαλακὴν φρῖκα φέρεσι ζέφυρος,
Νηοβάτην ὄψεσθε. δέδοικα γὰρ οἷς πάρος ἔτλην
  Κινδύνοις ἀνέμοις ἀντικορυσσάμενος.

LEONIDÆ. 46.

Neque si mihi arridens strauerit tranquillitas

Fluctus, & mollem auram fecerit Zephyrus,
Nautam me videbis. Timeo enim quæ prius sustinui
Pericula, ventos contra luctatus.

Τοῦ αὐτοῦ.

Ἄτρεμας ἐκ τύμβου λύε πείσματα ναυηγοῖο
Χἠμῶν ὀλλυμένων ἄλλος ἐποντοπόρει.

Eiusdem. 47.

Intrepidè ex tumulo retinacula solue naufragi:
Et nobis pereuntibus alius nauigabat.

Ἄδηλον.

Ἐμπορίης λήξαντα Φιλόκριτον, ἄρτι δ' ἀρότρου
Γευόμενον, ξείνη Μέμφις ἔχωσε τάφῳ·
Ἔνθα δραμὼν Νείλοιο πολὺς ῥόος ὕδατι λάβρῳ
Τἀνδρὸς τὴν ὀλίγην βῶλον ἀπημφίασεν.
Καὶ ζωὸς μὲν ἔφευγε πικρὴν ἅλα, νῦν δὲ καλυφθεὶς
Κύμασι, ναυηγὸν σχέτλιος ἔσχε τάφον.

Incerti. 48.

A mercatura cessantem Philocritum, & iam aratro
Fruentem, communi Memphis operuit tumulo:
Vbi currens Nili multus fluctus, aqua voraci
Viri paruam glebam circumdedit.
Et viuus quidem effugit acerbum mare, iam verò opertus
Fluctibus, naufragum infelix habet tumulum.

ΗΡΑΚΛΕΙΔΟΥ.

Ἄπεχ' ἄπεχε χεῖρας ὦ γεωπόνε,
Μηδ' ἀμφίταμνε τὴν ἐν νείῳ κόνιν.
Αὐτὰ κέκλαυται βῶλος· ἐκ κεκλαυμένας
Δ' οὔτοι κοματὸς ἀναθαλήσεται στάχυς.

Heraclidæ. 49.

Abstine abstine manus ô rustice,
Neque amputa in sepulcro cinerem.
Ipsa defleta est gleba: ex defleta verò
Nunquam comam habens efflorebit spica.

ΓΛΑΥΚΟΥ.

Οὐ κόνις, οὐδ' ὀλίγον πέτρας βάρος, ἀλλ' Ἐρασίππου,
  Ἣν ἐσορᾷς αὕτη πᾶσα θάλασσα, τάφος.
Ὤλετο γὰρ σὺν νηΐ. τὰ δ' ὀστέα πού ποτ' ἐκείνου
  Πύθεται, αἰθυίαις γνωστὰ μόναις ἐνέπειν.

GLAVCI. 50.

Non cinis, non paruum petræ onus, ſed Eraſippi,
  Quod vides hoc omne mare, ſepulcrum eſt.
Periit verò cum naui. Oſſa verò illius alicubi
  Putreſcunt, quæ ſolis mergis nota ſunt dicere.

ΑΝΤΙΠΑΤΡΟΥ.

Δύσμορε Νίκανορ, πολιῷ μεμορημένε πόντῳ,
  Κεῖσαι δὴ ξείνῃ γυμνὸς ἐπ' ἠϊόνι,
Ἢ σύ γε πρὸς πέτρῃσι· τὰ δ' ὄλβια κεῖνα μέλαθρα
  Φροῦδά τε καὶ πάσης ἐλπὶς ὄλωλε Τύρου.
Οὐδέ τί σε κτεάνων ἐρρύσατο φεῦ ἐλεεινέ.
  Ὤλεο μοχθήσας ἰχθύσι καὶ πελάγει.

ANTIPATRI. 51.

Infelix Nicanor, cano in fatum date ponto,
  Iaces ſane peregrino nudus in littore,
An verò tu ad petras: beatæ autem illæ domus
  Inanes ſunt, & omnis ſpes periit Tyri.
Neque quid poſſeſſionum tuarum te eripuit, ô miſerande.
  Periiſti multùm laborans piſcibus & pelago.

ΘΕΟΚΡΙΤΟΥ.

Ἄνθρωπε, ζωῆς περιφείδεο, μηδὲ παρ' ὥρην
  Ναυτίλος ἴσθι ὡς οὐ πολὺς ἀνδρὶ βίος.

THEOCRITI. 52.

Homo, vitæ parce, nec præter tempus
  Nauta ſis, ſcis quòd non magna viro ſit vita.

ΘΕΟΔΩΡΙΔΟΥ.

Κλῃῖδες πόντου σε, καὶ ἐσχαλιαὶ Σαλαμῖνος,
  Τίμαρχ', ὑβριστής τ' ὤλεσε λὶψ ἄνεμος.

THEODORIDÆ. 53.

Claues ponti te,& extremæ Salaminis,
Timarche,& iniurius perdidit Africus ventus.

ΟΝΕΣΤΟΥ.

Οὔνομα κηρύσσω Τιμοκλέος, εἰς ἅλα πικρὴν
Γαίτῃ σκεπτομένη ποῦ ποτ' ἄρ' ἐστὶ νέκυς.
Αἶ, αἶ, τὸν δ' ἤδη φάγον ἰχθύες· ἡ δὲ περισσὴ
Πέτρος ἐγὼ τὸ μάτην γράμμα τυπωθὲν ἔχω.

ONESTI. 54.

Nomen inclamo Timoclis,in mare acerbum
Vndique lustrans vbinam sit mortuus.
Hei,hei,illum verò iam comederunt pisces:superuacua verò
Petra ego frustra litteras insculptas habeo.

Ἀδήλου.

Ναυτίλε μὴ πεύθου τίνος ἐνθάδε τύμβος ὅδ' εἰμί,
Ἀλλ' αὐτὸς πόντου τύγχανε χρηστοτέρου.

Incerti. 55

Nauta ne quæras cuius hîc tumulus hic sim,
Sed ipse tu mare consequaris vtilius.

ΔΙΟΔΩΡΟΥ.

Ἔῤῥοις Ἰονίοιο πολυπλοίητε θάλασσα,
Νηλεὴς, αἴδεω πορθμὲ κελαινοπέπλου,
Ἣ τόσσους κατέδεξο. τίς ἂν τεὰ κάμμορε λέξαι
Αἴσυλα, δυστήνων αἶσαν ὀπιζόμενος,
Ἄλγεα, καὶ λαβέων ὅσσον ὠκυμόροισιν ἑταίροις,
Νηΐ τε σὺν πάσῃ βρύξας ἁλιρροθίῃ.

DIODORI. 56.

Pereas Ionij valdè formidabile mare,
Crudele,inferni portitor nigerrimi,
Quæ tot accipias.Quis tua infelix dicat
Iniqua,ærumnosorum fatum obseruans,
Dolores,& quantum occasionum citò perituris sociis,
Nauíque cum omni mersisti marino fluctu.

ΑΡΓΕΝΤΑΡΙΟΥ.

Οὗτος ὁ Καλλαίσχρου κενεὸς τάφος, ὃν βαθὺ χεῦμα
  Ἔσφηλεν Λιβυκῶν εὐδρομέοντα πόρων.
Συρμὸς ὅτ' Ὠρίωνος ἀνεστρώφησε θαλάττης
  Βένθος, ὑπὸ στυγνῆς οἴδματα πανδυσίης.
Καὶ τὸν μὲν δαίσαντο κυκώμενον εἰν ἁλὶ θῆρες,
  Κωφὸν δὲ στήλη γράμμα λέλογχε τόδε.

ARGENTARII. 57.

Hic Callæſchri vacuus tumulus, quem profundus fluctus
  In errorem impulit per Libyca bene currentem vada.
Tractus cum Orionis conuertit mare
  Profundum, ob triſtes tumores occaſus.
Et hunc quidem deuorarunt confuſum in mari feræ,
  Muta verò Cippus titulum ſortitus eſt hunc.

ΞΕΝΟΚΡΙΤΟΥ.

Χαῖταί σου στάζουσιν ἔθ' ἁλμυρὰ δύσμορε κούρη,
  Ναυηγοῦ φθιμένης εἰν ἁλὶ, Λυσιδίκη.
Ἦ γὰρ ὀρινομένου πόντου δείσασα θαλάττης
  Ὕβριν, ὑπὲρ κοίλου δούρατος ἐξέπεσες.
Καὶ σὸν μὲν φωνεῖ τάφος οὔνομα, καὶ χθόνα Ταρσόν.
  Ὀστέα δὲ ψυχρῷ κλύζετ' ἐπ' αἰγιαλῷ·
Πικρὸν Ἀριστομάχῳ γενέτῃ κακὸν, ὅς σε κομίζων
  Ἐς γάμον, οὔτε κόρην ἤγαγεν, οὔτε νέκυν.

XENOCRITI. 58.

Capilli tui ſtillant adhuc ſalſuginem, infelix puella,
  Naufragio pereuntis in mari, Lyſidice.
Nam ponto concitato metuens maris
  Iniuriam è concauâ trabe decidiſti.
Et tuum quidem loquitur tumulus nomen, & terram Tarſum.
  Oſſa autem in frigido aluntur littore:
Acerbum Ariſtomacho patri malum, qui te deducens
  Ad nuptias, neque puellam duxit, neque cadauer.

ΖΑΝΟΥ.

Ψυχραὶ σεῦ κεφαλᾶς ἐπαμήσομαι αἰγιαλῖτιν
 Θῖνα κατὰ κρυεροῦ χευάμενος νέκυος.
Οὐ γάρ σεῦ μήτηρ ἐπὶ τύμβια κωκύουσα,
 Οἶδεν Ἀλεξάντη σὸν μόρον εἰνάλιον,
Ἀλλά σ' ἐρημαῖοί τε καὶ ἄξεινοι πλαταμῶνες
 Δέξονται γαίης, γείτονες ἠιόνος,
Ὥστ' ἔχε μὲν ψαμάθου μέρος βραχὺ, πουλὺ δὲ δάκρυ,
 Ξεῖν' ἐπεὶ εἰς ὀλοὴν ἔδραμες ἐμπορίην.

ZANI. 59.

Frigidam tui capitis accumulabo littoralem
 Arenam ad miserabile effundens cadauer.
Non enim te mater super tumulum deflens,
 Nouit Alexante tuam mortem in mari,
Sed te deserti & inhospiti sinus maris lati
 Accipient terræ, vicini litori.
Vt habeas arenæ partem paruam, multæ verò lacrumæ,
 O hospes, cùm ad perniciosam cucurristi mercaturam.

ΑΛΚΑΙΟΥ.

Στυγνὸς ἐπ' ἀρκτούρῳ ναύταις πλόος· ἐκ δὲ βαρείης
 Λαίλαπος, Ἀσπασίῳ πικρὸν ἔτευξε μόρον,
Οὗ στείχεις παρὰ τύμβον ὁδοιπόρε. σῶμα δὲ πόντος
 Ἔκρυψ', Αἰγαίῳ ῥαινόμενον πελάγει.
Ἠιθέων δακρυτὸς ἅπας μόρος· ἐν δὲ θαλάττῃ
 Πλεῖστα πολυκλαύτου κήδεα ναυτιλίης.

ALCÆI. 60.

Tristis sub arcturo nautis nauigatio: ex graui autem
 Turbine, Aspasio acerbam confecit mortem.
Feliciter præteris tumulum, viator. Corpus verò pontus
 Abscondit Ægæo irrigatum pelago.
Iuuenum deflenda omnis mors: in mari autem
 Plurimæ lacrumosæ curæ nauigationis.

ΛΕΩΝΙΔΟΥ.

Ἠχήεσσα θάλασσα, τί τὸν Τιμάρεος οὕτω
Πλώοντ' οὐ πολλῇ νηὶ Τελεσταγόρην,
Ἄγρια χειμήνασα κατεπρηνώσαο πόντῳ
Σὺν φόρτῳ, λάβρον κῦμ' ἐπιχευαμένη;
Χὼ μέν που καύηξιν ἢ ἰχθυβόροις λαρίδεσσι
Τεθρήνητ' ἄπνους εὐρεῖ ἐν αἰγιαλῷ·
Τιμάρης δὲ κενὸν τέκνου κεκλαυμένον ἀθρῶν
Τύμβον, δακρύει παῖδα Τελεσταγόρην.

LEONIDÆ. 61.

Sonorum mare, quid Timaris filium ita
Nauigantem non multâ naui Telestagoram,
Horribiliter hybernans præcipitasti in mare
Cum onere, rapidum fluctum superfundens?
Et ille quidem laris, aut pisciuoris mergis
Luctu deploratus mortuus lato in pelago:
Timares verò vacuum filij defletum videns
Tumulum, lacrumatur filium Telestagoram.

ΑΘΗΝΟΔΩΡΟΥ.

Ἐν πόντῳ Σώδαμις ὁ Κρὴς θάνεν, ὦ φίλε Νηρεῦ,
Δίκτυα, καὶ τὸ σὸν ἦν κεῖνο συνήθες ὕδωρ.
Ἰχθυβόλος δ' ὁ περισσὸς ἐν ἀνδράσιν; ἀλλὰ θάλαττα
Οὔτι διακρίνει χείματος, οὐδ' ἁλιεῖς.

ATHENODORI. 62.

In ponto Sodamis Cretensis mortuus est, ô care Nereu,
Retia, & tua erat illa familiaris aqua.
Piscator præstans inter viros? Sed mare
Ne discernit hyeme piscatores quidem.

ΑΝΤΙΠΑΤΡΟΥ.

Δᾶμις ὁ Νικαδέος ἐλαχὺ σκάφος ἔκ ποτε πόντου
Ἰονίου ποτὶ γᾶν ναυστολέων Πέλοπος,
Φορτίδα μέν, καὶ πάντα νεὼς ἐπιβήτορα λαὸν
Κύματι καὶ στυγερῷ πλαζομένους ἀνέμων,
Ἀσκηθὴς ἐσάωσε· καθιεμένης δ' ἐπὶ πέτραις

Ἀγκύρης, ψυχρῇσι κάτθανεν ἐκ νιφάδων
Ἠμύσας ὁ πρέσβυς. ἴδ' ὡς λιμένα γλυκὺν ἄλλοις
Δοὺς ξένε, τῆς Λήθης αὐτὸς ἔδυς λιμένα.

ANTIPATRI. 63.

Damis Nicaensis paruam nauim aliquando ex ponto
Ionio ad terram gubernans Pelopis,
Onerariam quidem naué,& omné nauis vectorem populum
Fluctu & tractu vagantes ventorum,
Illæsus seruauit:missa verò ad petras
Anchora,frigidis mortuus est ex niuibus
Se incuruans senex.Vide vt portum dulcem aliis
Cùm dedisti,hospes,ipse Lethes subiisti portum.

ΠΑΓΚΡΑΤΙΟΥ.

Ὤλεσεν Αἰγαίου διὰ κύματος ἄγριος ὀρθεὶς
Λὶψ Ἐπιηρείδην ὑάσι δυομέναις,
Αὐτῇ σὺν νηῒ καὶ ἀνδράσιν· ᾧ τόδε σῆμα
Δακρύσας κενεὸν παιδὶ πατὴρ ἔκαμεν.

PANCRATII. 64.

Perdidit Argæos per fluctus immanis commotus
Libs Epieridem succulis occidentibus,
Ipsâ cum naui & viris:cui hoc sepulcrum
Lacrumans vacuum puero pater fabricauit.

ΛΕΩΝΙΔΟΥ.

Αἰεὶ λῃσταὶ, καὶ ἁλιφθόροι, οὐδὲ δίκαιοι
Κρῆτες· τίς Κρητῶν οἶδε δικαιοσύνην;
Ὡς καὶ ἐμὲ πλώοντα σὺν οὐ πίονι φόρτῳ
Κρηταιῆες ὦσαν Τιμόλυτον καθ' ἁλός,
Δείλαιον. κἠγὼ μὲν ἁλιζώοις λαρίδεσσιν
Κέκλαυμαι, τύμβῳ δ' οὐχ ὕπο Τιμόλυτος.

LEONIDÆ. 65.

Semper latrones,& marini prædones,neque iusti
Cretenses:quis Cretensium nouit iustitiam?
Vt me etiam nauigantem cum non opimo onere

Creticum impulerunt Timolytum in mare,
Infelicem. Et ego quidem in mare viuentibus mergis
Defletus sum, tumulo autem non subest Timolytus.

Τοῦ αὐτοῦ.

Καὶ γῇ, καὶ πόντῳ κεκρύμμεθα· τοῦτο περισσὸν
Ἐκ μοιρέων Θάρσυς Χαρμίδου εἰργάσατο.
Ἦ γὰρ ἐπ᾽ ἀγκύρης ἔνοχον βάρος εἰς ἅλα δύνων,
Ἰόνιόν θ᾽ ὑγρὸν κῦμα καταρχόμενος,
Τὴν μὲν ἔσωσ᾽· αὐτὸς δὲ μετάτροπος ἐκ βυθοῦ ἔρρων
Ἤδη, καὶ ναύταις χεῖρας ὀρεγνύμενος,
Ἐβρώθην. τοῖόν μοι ἐπάγειον ἐς μέγα κῆτος
Ἦλθεν. ἀπέβρυξεν δ᾽ ἄχρις ἐπ᾽ ὀμφαλίου.
Χἤμισυ μὲν ναῦται ψυχρὸν βάρος ἐξ ἁλὸς ἡμῶν
Ἦραν, θ᾽ ἥμισυ δὲ πρίστις ἀπεκλάσατο.
Ἠόνι δ᾽ ἐν ταύτῃ κακὰ λείψανα Θάρσυος ὦνερ
Ἔκρυψαν. πάτρην δ᾽ οὐ πάλιν ἱκόμεθα.

Eiusdem. 66.

Et in terra, & in mari sepultus sum: hoc incredibile
Ex fato Tarsys Charmidis perfecit.
Nam ob anchoræ appendens pondus in mare submersus,
Ioniúmque humidum in fluctum descendens,
Hanc quidem seruaui: ipse autem reuersus ex profundo periés
iam & nautis manus tendens,
Voratus sum. Talis super me immanis & grandis cetus
Venit, deglutiuit autem me vsque ad vmbilicum
Et dimidium quidem nautæ frigidum pondus ex mare nostri
Sustulerunt dimidium vero balęna abripuit.
Litore verò in hoc miseræ reliquiæ Tharsys, ô vir
Absconderunt Ad patriam verò non reuersi sumus.

Τοῦ αὐτοῦ.

Τετρηχυῖα θάλασσα, τί μ᾽ οὐκ οἰζυρὰ παθόντα,
Τηλόσ᾽ ἀπὸ ψιλῆς ἔπλυσας ἠιόνος;
Ὡς σεῦ μηδ᾽ ἀΐδαο καὶ ἐν φθιμένοις ἀχλυώδη

Φιλλεὺς Ἀμφιμένευς ἆσσον ἐγειτόνεον.

Eiuſdem. 67.

Turbatum mare, quid me non acerba paſſum,
Procul ab exili expuiſti littore?
Vt tibi ne poſt mortem quidem malam induens caliginem
Philleus Amphimeneus vicinior eſſem.

ΑΣΚΛΗΠΙΑΔΟΥ.

Ὀκτὼ μὲν πήχεις ἄπεχε τρηχεῖα θάλασσα,
Καὶ κύμαινε, βόα θ' ἡλίκα σοι δύναμις.
Ἢν δὲ τὸν Εὐμάρεω καθέλῃς τάφον, ἄλλο μὲν οὐδὲν
Κρήγυον· εὑρήσεις δ' ὀστέα καὶ σποδιήν.

ASCLEPIADIS. 68.

Octo vlnas à me diſtat horridum mare,
Et fluctua, & boa quanta tibi eſt poteſtas,
Si autem Eumaris deſtruxeris ſepulcrum, aliud quidẽ nullum
Vtibile: inuenies autem oſſa & cinerem.

ΣΙΜΩΝΙΔΟΥ.

Σῶμα μὲν ἀλλοδαπὴ κεύθει κόνις· ἐν δέ σε πόντῳ,
Κλεισθένες, Εὐξείνῳ κὴρ ἔκιχεν θανάτου,
Γλαζόμενον· γλυκεροῦ δὲ μελίφρονος οἴκαδε νόστου
Ἤμβροτες, οὐδ' ἵκευ Χίον ἐς ἀμφιρύτην.

SIMONIDÆ. 69.

Corpus quidem peregrinus tegit cinis: in ponto verò te,
Cliſthenes, Euxino neceſſitas comprehendit mortis,
Errantem: dulci autem valde grato in terram reditu
Fruſtratus es, neque venis Chium in circumfluam.

Τοῦ αὐτοῦ.

Φῆ ποτε Τίμαρχος πατρὸς περὶ χεῖρας ἔχοντος,
Ἡνίκ' ἀμφ' ἱμερτὴν ἔπνεεν ἡλικίην,
Ὦ Τιμηνοείδη, παιδὸς φίλου οὔποτε λήσῃ,
Οὔτ' ἀρετὴν ποθέων, οὔτι σαοφροσύνην.

Eiuſdem. 70.

Dixit aliquando Timarchus cùm pater eum in manu haberet,

Cùm desiderabilem expiraret iuuentam,
O Timenoride, chari filij nunquam obliuiscaris,
Neque virtutem desiderans, neque temperantiam.

ΑΝΤΙΠΑΤΡΟΥ.

Καὶ νέκυν ἀπρήϋντος ἀνιήσει με θάλαττα
Λῦσιν, ἐρημαίῃ κρυπτὸν ὑπὸ σπιλάδι,
Στρηνὲς ἀεὶ φωνεῦσα παρ' οὔατι, καὶ παρὰ κωφὸν
Σῆμα. τί μ' ὤνθρωποι τῇδε παρῳκίσατε;
Η πνοιῆς χήρωσε τὸν οὐκ ἐπὶ φορτίδι νηὶ
Εμπορον, ἀλλ' ὀλίγης ναυτίλον εἰρεσίης·
Θηκαμένη ναυηγόν· ὁ δ' ἐκ πόντοιο ματεύων
Ζωὴν, ἐκ πόντου καὶ μόρον εἱλκυσάμην.

ANTIPATRI. 71.

Et mortuum immansuetus lædet me pontus
Lysin, deserto sepultum sub saxo.
Validè semper sonans apud aures, & apud surdum
Sepulcrum. quid me ô homines hîc habitare fecistis?
Quæ spiritu priuauit non adhuc in naui onerariâ vectum
Mercatorem, sed exigui nautam remigij:
Sepulcro condens naufragûm: hic verò ex ponto quærens
Vitam, ex ponto etiam mortem contraxi.

ΑΡΧΙΟΥ.

Οὐδὲ νέκυς ναυηγὸς ἐπὶ χθόνα Θῆρις ἐλασθεὶς
Κύμασιν, ἀγρύπνων λήσομαι ἠιόνων.
Η γὰρ ἁλιρρήκτοις ποτὶ χοιράσιν ἄγχοθι πόντου
Δυσμενέος, ξείνων χερσὶν ἔκυρσα τάφου.
Αἰεὶ δὲ βρομέοντα καὶ ἐν νεκύεσσι θαλάττης
Ο τλήμων αἰῶ δοῦπον ἐπεχθόμενον.
Μόχθων δ' οὐδ' αἴδης με κατευνάσεν, ἡνίκα μοῦνος
Οὐδὲ θανὼν λείῃ κέκλιμαι ἡσυχίῃ.

ARCHII 72.

Neque mortuus naufragus ad terram Theris expulsus
Fluctibus, nunquam cessantium obliuiscar littorum

Siquidem ad ſaxa à mari fracta prope pontum
Immitem,hoſpitum manibus adeptus ſum ſepulcrum.
Semper verò frementem etiam in mortuis maris
Miſer audio fremitum ſuperuenientem.
A laboribus ne mors quidem me ſopiuit,quando ſolus
Ne mortuus quidem facilem inclinor ad quietem.

ΑΝΤΙΠΑΤΡΟΥ.

Ναυηγοῦ τάφος εἰμί· σὺ δὲ πλέε· καὶ γὰρ ὅθ' ἡμεῖς
Ὠλλύμεθ', αἱ λοιπαὶ νῆες ἐποντοπόρευν.

ANTIPATRI. 73.

Naufragi tumulus ſum:tu verò nauiga:nam & cùm nos
Periimus,reliquæ naues nauigabant.

ΙΣΙΔΩΡΟΥ.

Ἐκ γαιομορίης Ἐτεοκλέα πόντιος ἐλπὶς
Εἵλκυσεν, ὀθνείης ἔμπορον ἐργασίης.
Νῶτα δὲ Τυρσηνῆς ἐπάτει ἁλός· ἀλλ' ἅμα νηῒ
Πρηνιχθεὶς, κείνης ὕδασιν ἐγκατέδυ,
Ἀθρόον ἐμβρίσαντος ἀήματος. οὐκ ἄρ' ἀλωὰς
Ὡυτὸς ἐπιπνείει κ' εἰς ὀθόνας ἄνεμος.

ISIDORI. 74.

Ex agricultura Eteoclem marina ſpes
Traxit externæ mercatorem negotiationis.
Dorſa autem Tyrrheni calcabat maris:ſed ſimul cum naui
Præcipitatus,illius aquis immerſus ſum,
Confertim flante vento. Non igitur areas *in terra*
Idem adflat,& in vela ventus.

ΘΕΟΦΑΝΟΥΣ.

Οὐ περιίδων Θεότιμε κακὴν δύσιν ὑετίοιο
Ἀρκτούρου, χρυσέης ἥψαο ναυτιλίης.
Ἦ σε δι' Αἰγαίοιο πολυκλήϊδι θέοντα
Νηῒ, σὺν οἷς ἑτάροις ἤγαγεν εἰς ἀΐδην.
Αἶ, αἶ, Ἀριστοδίκη δὲ καὶ Εὔπολις οἵ σ' ἐτέκοντο,
Μύρονται, κενεὸν σῆμα περισχόμενοι.

THEOPHANIS. 75.

Non præuidens Theotime, malum occaſum pluuij
Arcturi, lethiferam attigiſti nauigationem.
Quæ te per Ægeum multa tranſtra habente currentem
Naui, cum tuis ſociis deduxit ad infernum.
Æ, æ. Ariſtodice verò & Eupolis qui te generarunt,
Lugent, vacuum ſepulcrum complectentes.

ΕΙΣ ΝΕΟΥΣ ΚΑΙ ΝΕΑΣ κεφ. κγ

ΚΑΛΛΙΜΑΧΟΥ.

Δωδεκέτη τὸν παῖδα πατὴρ ἀπέθηκε Φίλιππος
Ἐνθάδε, τὴν πολλὴν ἐλπίδα, Νικοτέλην.

IN IVVENES ET PVELLAS.
Cap. XXIII.

CALLIMACHI. I.

Duodecim annorum puerum pater poſuit Philippus
Hîc, multam ſpem, Nicotelem.

Ἀδεσπότου.

Ἅδης μὲν σύλησεν ἐμῆς νεότητος ὀπώρην·
Κρύψε δὲ παππώῳ μνήματι τῷδε λίθος.
Οὔνομα Ῥουφῖνος γενόμην, παῖς Αἰθερείοιο,
Μητρὸς δ' ἐξ ἀγαθῆς· ἀλλὰ μάτην γενόμην.
Ἐς γὰρ ἄκρον μούσης τε καὶ ἥβης ἄνθος ἐλάσας,
Φεῦ, σοφὸς εἰς ἀΐδην, καὶ νέος εἰς ἔρεβος.
Κώκυε καὶ σὺ βλέπων τάδε γράμματα μακρὰ ὁδῖτα.
Δὴ γὰρ ἔφυς ζώων, ἢ παῖς ἠὲ πατήρ.

Incerti 2.

Mors quidem depopulata eſt meæ iuuentæ fructum:
Abſcondit verò auito in ſepulchro hic lapis.
Nomine Rufinus fui, puer Ætherei,
Matre ex bona: ſed fruſtra natus ſum.
In ſummum enim Muſæ & iuuentæ florem euectus,

Hei

Hei, ſapiens in infernum, & iuuenis in erebum.
Defle & tu videns has literas multum ô viator.
Certè enim factus es viuens vel puer vel pater.

ΠΑΥΛΟΥ Σιλεντιαρίου.

Πολλά σοι ἐκ βλεφάρων ἐχύθη περιτύμβια φωτῶν
Δάκρυα δυστλήτῳ πένθει δαπτομένων.
Πᾶσι γὰρ ἦσθα λίην πεφιλημένος, οἷά τε πάντων
Ξυνὸς ἐὼν κοῦρος, ξυνὸς ἐὼν ἕταρος.
Αἶ, αἶ, λευγαλέη καὶ ἀμείλιχος ἔπλετο μοῖρα,
Μηδὲ τεῆς ἥβης δύσμορε φεισαμένη.

PAVLI Silentiarij. 3.

Multæ tibi ex oculis effuſæ ſunt circa tumulum hominum
Lacrumæ ab intolerabili luctu deuoratorum.
Multis enim fuiſti valdè amatus, adeò vt omnium
Communis fuerit filius, communis fuerit ſocius.
Hei hei difficilis & dura fuerit parca,
Neque tuæ iuuentuti infelix parcens.

ΑΓΑΘΙΟΥ.

Θεσμοὶ μὲν μεμέληντο συνήθεες Ἀγαθονίκῳ,
Μοῖρα δὲ δειμαίνειν οὐ δεδάηκε νόμους·
Ἀλλά μιν ἁρπάξασα, σοφῶν ἤμερσε θεμίστων,
Οὔπω τῆς νομίμης ἔμπλεον ἡλικίης.
Οἰκτρὰ δ' ὑπὲρ τύμβοιο κατεστονάχησαν ἑταῖροι
Κείμενοι, οὗ θιάσου κόσμον ὀδυρόμενοι.
Ἡ δὲ κόμην τίλλουσα γόῳ πλήκτιζετο μήτηρ,
Αἶ, αἶ, τῶν λαγόνων μόχθον ἐπισταμένη.
Ἔμπης ὄλβιος οὗτος, ὃς ἐν νεότητι μαρανθεὶς,
Ἔκφυγε τὴν βιότου θᾶσσον ἀλιτροσύνην.

AGATHIÆ. 4.

Leges quidem curæ erant conſuetudine Agatonico,
Fatum verò reformidare non didicit leges:
Sed ipſum rapiens ſapientibus priuauit iuribus,

Nondum legitimâ plenum iuuentute.
Miserabiliter verò super tumulum lamentati sunt socij,
Iacentem sui chori ornamentum deplorantes.
Comam verò lanians fletu obstupuit mater,
Hei hei ventris laborem sciens.
Sed tamen felix hic qui in iuuentute exaruit,
Et effugit vitæ citius stultitiam.

ΠΑΥΛΟΥ σιλεντιαρίου.

Ὥριος εἶχέ σε παςάς, ἀώριος εἷλέ σε τύμβος,
Εὐθαλέων χαρίτων ἄνθος Ἀναςασίη.
Σοὶ γενέτης, σοὶ πικρὰ πόσις κατὰ δάκρυα λείβει·
Σοὶ τάχα καὶ πορθμεὺς δακρυχέει νεκύων.
Οὐ γὰρ ὅλον λυκάβαντα διηνύσας ἄγχι συνεύνου,
Ἀλλ' ἑκκαιδεκέτιν (φεῦ) κατέχει σε τάφος.

PAVLI Silentiarij. 5.

Tempestiuus habuit te thalamus nuptialis, intempestiuus rapuit tumulus,
Bene florentium flos Anastasia.
Tibi genitor tibi acerbas maritus lacrumas libat:
Tibi fortè & portitor lacrumas fundit mortuorum.
Non enim totum annum peregisti prope coniugem,
Sed sexdecim annorum (hei) cohibet te tumulus.

ΕΡΑΤΟΣΘΕΝΟΥΣ εἰς τὸ αὐτό.

Φεῦ, φεῦ, ἀμετρήτων χαρίτων ἔαρ ἠδὸ μαραίνει
Ἀμφὶ σοὶ ὠμοφάγων χεῖμα τὸ νερτερίων.
Καί σε μὲν ἥρπασε τύμβος ἀπ' ἠελιώτιδος αἴγλης,
Γέμπτον ἐφ' ἑνδεκάτῳ πικρὸν ἄγουσαν ἔτος·
Σὸν δὲ πόσιν γενέτην τε κακαῖς ἀλόωσιν ἀνίαις,
Οἷς πλέον ἠελίου λάμπες Ἀναςασίη.

ERATOSTHENIS in idem. 6.

Hei hei immensarum gratiarum ver immarcescit
Iam apud te crudiuorum hyems inferorum.
Et te quidem rapuit tumulus à solari splendore,
Quintum post vndecimum grauem agentem annum:

Tuum verò maritum patrémque malis afficit luctibus,
Quibus sole magis luxisti Anastasia.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Εὐστάθιε, γλυκερὸν μὲν ἔχεις τύπον· ἀλλά σε κηρὸν
Δέρκομαι, οὐδ' ἔτι σοι κεῖνο τὸ λαρὸν ἔπος
Ἕζεται ἐν στομάτεσσι· τεὴ δ' εὐάνθεμος ἥβη,
(Αἶ, αἶ) μαψιδίη νῦν χθονός ἐστι κόνις.
Πέμπτου καὶ δεκάτου γὰρ ἐπιψαύσας ἐνιαυτοῦ,
Τετράκις ἓξ μούνους ἔδρακες ἠελίους.
Οὐδέ τοι οὐ πάππου θρόνος ἤρκεσεν, οὐ γενετῆρος
Ὄλβος· πᾶς δὲ τεὴν εἰκόνα δερκόμενος,
Τὴν ἄδικον μοίρην καταμέμφεται, οὕνεκα τοίην
Ἆ μέγα νηλειὴς ἔσβεσεν ἀγλαΐην.

AGATHIÆ scholastici. 7.

Eustasthi, dulcem quidem habes imaginem: sed te cereum
Video, neque adhuc tibi illud dulce verbum
Sedebat in ore: tua verò benè florens iuuenta,
Hei hei, leuis nunc terræ est cinis.
Quintum & decimum enim attingens annum,
Quater sex solos vidisti soles.
Neque tui aui sedes tibi satisfuit, neque patris
Diuitiæ: omnis verò tuam imaginem videns,
Iniquum fatum reprehendit, quod talem
Hei valdè crudele exstinxit pulchritudinem.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων
Αἰγυπτίου.

Σχέτλιός ἐστι Χάρων; πλέον ἤπιος· ἥρπασεν ἤδη
Τὸν νέον; ἀλλὰ νόῳ τοῖς πολιοῖσιν ἴσον.
Τερπωλῆς ἀπέπαυσεν, ἀπεσυφέλιξε δὲ μόχθων.
Οὐκ ἐνόησε γάμους; οὐδὲ γάμων ὀδύνας.

IVLIANI Imperatorum Ægypti. 8.

Crudelis est Charon? magis misericors. rapuit iam
Iuuenem? sed mente canis æqualem.

Sed voluptate eum priuasti? expulit verò dolores.
Non cognouit nuptias? neque nuptiarum dolores.

ΠΑΥΛΟΥ Σιλεντιαρίου ἐπὶ τῇ ἰδίᾳ θυγατρί.

Λέκτρα σοι ἀντὶ γάμων ἐπιτύμβια παρθένε κούρη
Ἐστόρεσαν παλάμαις πενθαλέαις γενέται.
Καὶ σὺ μὲν ἀμπλακίας βιότου καὶ μόχθον Ἐλευθοῦς
Ἐκφυγες· οἱ δὲ, γόων πικρὸν ἔχουσι νέφος.
Δωδεκέτιν γὰρ ἄρουρα Μακηδονική σε καλύπτει,
Κάλλεσιν ὁπλοτέρην, ἤθεσι γηραλέην.

PAVLI Silentiarij in propriam filiam. 9.

Thalami tibi pro nuptiis ſepulchrales, virgo puella,
Strauerunt manibus luctificis parentes.
Et tu quidem peccata vitæ & laborem Lucinæ
Effugiſti, hi verò luctuum acerbam habent nubem.
Duodecim enim amorum terra Macedonica te tegit,
Pulchritudine teneriorem, moribus ſenem.

ΕΥΤΟΛΜΙΟΥ.

Παρθενικὴν Ἑλένην μετ' ἀδελφεὸν ἄρτι θανόντα,
Δειλαίη μήτηρ κόψατο διπλασίως.
Μνηστῆρες δ' ἐθρήνησαν ἴσον γόον. ἦν γὰρ ἑκάστῳ
Θρηνεῖν τὴν μήπω μηδενὸς, ὡς ἰδίην.

EVTOLMII. 10.

Virginem Helenam poſt fratrem iam mortuum,
Luctuoſa mater planxit dupliciter.
Proci verò plorarunt æqualem luctum. erat enim vnicuique
Deploranda, quæ nondum alicuius erat, tanquam propria.

ΠΑΡΜΕΝΙΩΝΟΣ.

Παρθενικῆς τάφος εἰμ' Ἑλένης, πρὶν δ' ἐπ' ἀδελφοῦ
Προφθιμένου, διπλόα μητρὸς ἔχω δάκρυα.
Μνηστῆρσι δ' ἔλιπον κοινὸν ἄλγεα. τὴν γὰρ ἔτ' οὔπω
Οὐδενὸς, ἡ πάντων ἐλπὶς ἔκλαυσεν ἴσως.

PARMENIONIS. 11.

Virginis ſepulchrum ſum Helenes, ob dolorum verò propter
fratrem
Prius mortuum, duplices matris habeo lacrymas.
Procis verò reliqui communes luctus. nam nondum
Alicuius propriam, omnium ſpes deplorauit æqualiter.

ΔΙΟΓΕΝΟΥΣ ἐπισκόπου Ἀμισοῦ.

Σοὶ τόδε Διογένης θαλερῆς μνημήιον ἥβης
Πόντῳ ἐν Εὐξείνῳ θήκατο Φρὺξ γενέτης.
Φεῦ, πάτρης ἑκὰς ὅσσον. ἄγεν δέ σε νεῦμα θεοῖο
Παιδὸς ἀδελφειῷ πένθος ὀφειλόμενον·
Ὅς σε περιστείλας ἱερῇ παλάμῃ τε καὶ εὐχῇ,
Γείτονα τῆς μακάρων θῆκε χοροστασίης.

DIOGENIS Epiſcopi Amiſi. 12.

Tibi hoc Diogenes florentis iuuentæ monumentum
Ponto in Euxino poſuit Phryx pater.
Hei quantum à patriâ! duxit verò te nutus Dei,
Patris fratri luctum debitum:
Qui te contegens ſancta manúque & prece,
Vicinum beatorum fecit Choreæ.

ΚΡΙΝΑΓΟΡΟΥ.

Ηρνήσαντο καὶ ἄλλαι ἑὸν πάρος οὔνομα νῆσοι
Ακλεές, ἐς δ' ἀνδρῶν ἦλθον ὁμωνυμίην·
Κληθείητε καὶ ὕμμες ἐρωτίδες· οὐ νέμεσίς τοι
Εξε δὲ ταύτην κλῆσιν ἀμειψαμέναις.
Παιδὶ γὰρ ὃν τύμβῳ Δίης ὑπεθήκατο Βῶλος,
Οὔνομα καὶ μορφὴν αὐτὸς ἔδωκεν ἔρως.
Ὦ χθὼν σηματόεσσα, καὶ ἡ παρὰ θινὶ θάλασσα,
Παιδὶ σὺ μὲν κούφη κεῖσο, σὺ δ' ἡσυχίη.

CRINAGORI. 13.

Abnegarunt aliæ ſuum nomen inſulæ
Ignobiles, & in virorum venerunt cognomentum.
Vocemini & vos amatoriæ: non vindicta ſanè
Erit hanc nominationem immutantibus.

Puero enim quem tumulo diuinæ ſuppoſuiſtis glebæ,
    Nomen & formam dedit ipſe amor.
O terra ſepulchroſa, & tu apud littus mare,
    Puero tu quidem leuis iace, tu verò, ſilens.

ΣΑΜΙΟΥ.

Ὕστατα δὴ τάδ' ἔειπε φίλαν ποτὶ ματέρα Πορφὼ
    Δακρυόεσσα, δέρης χερσὶν ἐφαπτομένα,
Αὖθι μένοις παρὰ πατρὶ, τέκοις δ' ἐπὶ λῴονι μοίρᾳ
    Ἄλλαν, σῷ πολιῷ γήραϊ κηδομέναν.

SAMII. 14.

Vltima ſanè dicit charam ad matrem Porgo
    Lacrumoſa, collum manibus amplectens,
Rurſus maneas apud patrem, & generes meliori fato
    Aliam, tui cani ſenij curam habentem.

ΛΕΩΝΙΔΟΥ.

Ἡ παῖς ᾤχετ' ἄωρος ἐν ἑβδόμῳ ἤδ' ἐνιαυτῷ
    Εἰς ἀΐδην, πολλῆς ἡλικίης προτέρη·
Δειλαίη, ποθέουσα τὸν εἰκοσάμηνον ἀδελφὸν
    Νήπιον, ἀστόργου γευσάμενον θανάτου.

LEONIDÆ. 15.

Puella abiit intempeſtiua in ſeptimo hæc anno
    In infernum, ante canam ætatem miſera:
Infelix deſiderans viginti menſium fratrem
    Infantem, inamabilem qui guſtauit mortem.

Τοῦ αὐτοῦ.

Αἶ, αἶ, λυγρὰ παθοῦσα Περιστερὶ, ὡς ἐν ἑτοίμῳ
    Ἀνθρώποις δαίμων θῆκε τὰ δεινότατα.

Eiuſdem. 16.

Hei, hei, grauia paſſe Periſtere, quàm promptè
    Hominibus fortuna fecit grauiſſima.

ΣΙΜΩΝΙΔΟΥ.

Αἶ, αἶ, νοῦσε βαρεῖα, τί δὴ ψυχαῖσι μεγαίρεις
    Ἀνθρώποις, ἐρατῇ πὰρ νεότητι μένειν;

Ἦ καὶ Τίμαρχον γλυκερῆς αἰῶνος ἄμερσας
  Ἤϊθεον, πρὶν ἰδεῖν κουριδίας ἀλόχου.

SIMONIDÆ. 17.

Hei hei morbe grauis quid ita animabus inuides
  Hominum, vt amabilem apud iuuentam maneas?
Certè & Timarchum dulci æuo priuans
  Iuuenem, antequam videat puellam coniugem.

ΚΑΛΛΙΜΑΧΟΥ.

Ἠῷοι Μελάνιππον ἐθάπτομεν, ἠελίου δὲ
  Δυομένου Βασιλὼ κάτθανε παρθενική,
Αὐτοχερί. ζώειν γὰρ, ἀδελφεὸν ἐν πυρὶ θεῖσα,
  Οὐκ ἔτλη. δίδυμον δ' οἶκος ἐσεῖδε κακὸν
Πατρὸς Ἀρισίπποιο· κατήφησε δὲ Κυρήνη
  Πᾶσα τὸν εὔτεκνον χῆρον ἰδοῦσα δόμον.

CALLIMACHI. 18.

Manè Menalippum ſepeliuimus, ſole verò
  Occidente Baſilo mortua eſt virgo,
Sua manu. viuere enim, fratrem in igne ponens,
  Non ſuſtinuit. geminum verò domus intuita eſt malum
Patris Ariſtippi: tota enim fuit in mœrore Cyrene
  Tota numeroſam prole viduatam videns domum.

ΒΙΑΝΟΡΟΣ.

Θεονόης ἔκλαιον ἐμῆς γάμον, ἀλλ' ἐπὶ παιδὸς
  Ἐλπίσι κουφοτέρας ἔστενον εἰς ὀδύνας·
Νῦν δέ με καὶ παιδὸς φθονερή τις ἀνόσφισε μοῖρα·
  Φεῦ, βρέφος ἐψεύσθην καὶ σὲ τὸ λειπόμενον.
Φερσεφόνη, τόδε πατρὸς ἐπὶ θρήνοισιν ἄκουσον,
  Θὲς βρέφος ἐς κόλπους μητρὸς ἀποιχομένης.

BIANORIS. 19.

Theonoæ fleui meæ nuptias, ſed ob filij
  Spem leuioribus ingemui mœroribus:
Iam verò & puero inuida quædam priuauit parca:
  Hei, filio deceptus ſum & in te reliquo.

Proserpina, hoc patris in lacrumis audi,
Pone puerum in sinu matris mortuæ.

ΑΝΤΙΠΑΤΡΟΥ Θεσσαλονικέως.

Αὐσονίη με Λίβυσσαν ἔχει κόνις, ἄγχι δὲ Ῥώμης
Κεῖμαι παρθενικὴ τῇδε παρὰ ψαμάθῳ.
Ἡ δέ με θρεψαμένη Πομπηΐη, ἀντὶ θυγατρὸς
Κλαυσαμένη, τύμβῳ θῆκεν ἐλευθερίῳ·
Πῦρ ἕτερον σπεύδουσα, τὸ δ' ἔφθασεν· οὐδὲ κατ' εὐχὴν
Ἡμετέρην ἧψεν λαμπάδα Φερσεφόνη.

ANTIPATRI Thessalonicensis. 20.

Ausonius me Libycus habet puluis, prope verò Romam
Iaceo virgo hâc in arenâ.
Et quæ me nutriuit Pompeia, pro filia
Deflens, tumulo posuit libero.
Ad facem thalami contendens, hæc fax ipsam præuenit: neque (iuxta votum
Nostrum incendit faces Proserpina.

Αδήλου.

Αἲ, αἲ, τοῦτο κάκιστον, ὅταν κλαίωσι θανόντα
Νυμφίον, ἢ νύμφην, ἡνίκα δ' ἀμφοτέρους.
Εὔπολιν ὡς, ἀγαθήν τε Γλυκέριον, ὧν ὑμέναιον
Ἔσβεσεν ἐν πρώτῃ νυκτὶ πεσὼν θάλαμος.
Οὐ καλῶς τόδε κῆδος ἰσόρροπον, ὡς σὺ μὲν υἱὸν,
Νικία, σὺ κλαύσας δ' Εὔδικε θυγατέρα.

Incerti. 21.

Hei, hei, hoc pessimum, quando deplorant mortuum
Sponsum, aut sponsam: quando verò vtrumq; *est deterrimum.*
Eupolin vt & bonam Glycerium, quorum nuptias
Extinxit in primâ nocte cadens thalamus.
Non pulchrè hic luctus æqualis ex vtraque parte, quando tu quidem filium,
Nicia, tu quidem fleuisti Eudice filiam.

ΘΕΟΔΩΡΙΔΟΥ.

Θάλλετε, κηδεμόνες, μέγα δάκρυον εἰς σὲ θανόντα

Κώκυσαν,

Κώκυσαν, μέλεοι πυρσὸν ἀναψάμενοι,
Δεινόλινε, τρισάωρε· σὺ δ' ἀντὶ γάμου τε καὶ ἥβης
Κάλλιπες ἡδίστῃ μητρὶ γόους καὶ ἄχη.

THEODORIDÆ. 22.

Theodotæ curatores magnas lacrumas in te mortuum
Eiularunt, vanam facem accendentes,
Malo Parcarum filo genite, ter intempestiuè sublate: tu verò nuptiis & iuuenta
Reliquisti dulcissimæ matri gemitus & dolores.

ΠΑΥΛΟΥ σιλεντιαρίου.

Εἰ καὶ ἐπὶ ξείνοις σε Λεόντιε γαῖα καλύπτει,
Εἰ καὶ ἐρικλαύτων τῆλ' ἔθανες γονέων,
Πολλά σοι ἐκ βλεφάρων ἐχύθη περιτύμβια φωτῶν
Δάκρυα, δυστλήτῳ πένθεϊ δαπτομένων.
Πᾶσι γὰρ ἦσθα λίην πεφιλημένος, οἷά τε πάντων
Ξυνὸς ἐὼν κοῦρος, ξυνὸς ἐὼν ἕταρος.
Αἴ, αἴ, λευγαλέη καὶ ἀμείλιχος ἔπλεο μοῖρα,
Μηδὲ τεῆς ἥβης δύσμορε φεισαμένη.

PAVLI Silentiarij. 23.

Quamuis apud hospites te Leontie, terra abscondit,
Quamuis lacrumosis procul mortuus es à parentibus,
Multæ tibi ex oculis effusæ sunt circa tumulum hominum
Lacrumæ, ab intolerabili luctu àeuoratorum.
Multis enim fuisti valdè amatus, adeò vt omnium
Communis fueris filius, communis fueris socius.
Hei, hei, difficilis & dura fuerit parca,
Neque tuæ iuuentuti infœlix parcens.

Αδηλον.

Επτά με δὶς λυκάβαντας ἔχουσαν ἀφήρπασε δαίμων,
Ην μούνην Διδύμῳ πατρὶ θάλψα τέκεν.
Ω μοῖραι τί τοσοῦτον ἀπηνέες, οὐδ' ἐπὶ παιδὶ
Ηγάγετ', οὐδ' ἐρατῆς ἔργα τεκνοσπορίης;

Οἱ μὲν γὰρ τοκέες με γαμήλιον εἰς ὑμέναιον
Μέλλον ἄγειν, στυγερὸν δ' εἰς Ἀχέροντος ἔβην.
Ἀλλὰ θεοὶ, λίτομαι, μητρός τε γόους πατέρος τε
Παύσατε, τηκομένων εἵνεκ' ἐμεῦ φθιμένης.

Incerti. 24.

Bis ſeptem annos habentem me rapuit fatum,
Quam ſolam Didimo patri Thalea peperit.
O parcæ, cur adeò immites, neque ad coniugium
Adduxiſtis, neque ad amabilis opera generationis prolis?
Parentes enim me nuptialem in hymenæum
Voluerunt ducere: horribilem verò ad Acheronrem abij.
Sed Dij, oro, matris luctum patríſque
Sedate, contabeſcentium propter me mortuam.

ΔΙΟΔΩΡΟΥ.

Ἡμιτελῆ θάλαμόν τε καὶ ἐγγύθι νυμφικὰ λέκτρα
Κοῦρε λιπὼν, ὀλοὴν οἶμον ἔβης ἀΐδου·
Θώνιον Ἀστακίην τε μέγ' ἤκαχες, οἵ σε μάλιστα
Οἰκτρὰ μετ' ἡβητὴν κώκυον ἠΐθεον,
Ἱππάρχου κλαίουσα κακὸν μόρον, εἴκοσι ποίας
Μοῦνον ἐπεὶ βιότου πλήσατο καὶ πίσυρας.

Diodori. 25.

Semiperfectum thalamúmque & prope virginales lectas
Puer relinquens, exitioſam viam iuiſti mortis:
Thonion Aſtaciam verò valdè turbaſti, quæ te maximè
Miſerabiliter pubeſcentem defleuit iuuenem.
Hipparchi deplorans malum fatum, viginti annos
Solùm poſtquam vitæ impleuit & quatuor.

ΑΝΥΤΗΣ.

Παρθένον Ἀντιβίην κατοδύρομαι, ἧς ἔπι πολλοὶ
Νυμφίοι ἱέμενοι, πατρὸς ἵκοντο δόμον,
Κάλλας καὶ πινυτῆτος ἀγακλέος· ἀλλ' ἐπὶ πάντων
Ἐλπίδας οὐλομένη Μοῖρ' ἐκύλισε πρόσω.

Anytes. 26.

Virginem Antibiam deploro, quam propter multi
Sponſi deſiderantes, ad patris venerunt domum,
Ob pulcritudinem & prudentiam inclytam: ſed omnium
Spem damnoſa mors ſubuertit priùs.

ΜΝΑΣΑΛΚΟΥ.

Αἲ, αἲ, παρθενίας ὀλοόφρονος, ἃς ἄπο φαιδρὰν
Ἔκλασας ἁλικίαν ἱμερόεσσα Κλεοῖ·
Κὰδ δέ σ' ἀμυξάμεναι περὶ δάκρυσιν αἵδ' ἐπὶ τύμβῳ
Λᾶες, σειρήνων ἕσταμες εἰδάλιμοι.

MNASALCI. 27.

Hei hei virginitatem animum mæſtum facientẽ, à qua gratam
Fugiſti iuuentam deſiderabilis Cleo.
Eraſæ enim lacrumis hæ in tumulo
Lapideæ, ſirenûm ſtamus ſpecioſæ.

Ἀδήλου.

Ἀντί τοι εὐλεχέος θαλάμου, σεμνῶν θ' ὑμεναίων,
Μάτηρ στῆσε τάφῳ τῷδ' ἐπὶ μαρμαρίαν
Παρθενικὰν, μέτρον τε τεὸν καὶ κάλλος ἔχουσαν,
Θερσίποτι. φθεγκτὰ δ' ἔπλεο καὶ φθιμένα.

Incerti. 28.

Pro felici thalamo tibi, & verecundis nuptiis,
Mater ſtatuit ſuper hoc ſepulcrum mamoreum
Virginem, menſurámque tuam & pulcritudinem habentem
Therſipoti. Vocalis verò fuiſti & mortua.

Ἀδήλου.

Ὠχόμεθ' ὦ Μίλητε, φίλη πατρὶ, τῶν ἀθεμίστων
Τὴν ἄνομον Γαλατῶν ὕβριν ἀναινόμεναι,
Παρθενικαὶ τελαταὶ πολιήτιδες, ἃς ὁ βιαστὸς
Κελτῶν εἰς ταύτην μοῖραν ἔτρεψεν Ἄρης.
Οὐ γὰρ ἐμείναμεν αἷμα τὸ δυσσεβὲς, οὐδ' ὑμέναιον
Νυμφίον, ἀλλ' ἀΐδην κηδεμόν' εὑράμεθα.

Incerti. 29.

Periimus, ô Melita cara patria, illegitimorum

Illegitimam Gallorum iniuriam recusantes,
Virgines tres ciues, quas violentus
Gallorum ad hoc fatum coëgit Mars.
Neque enim exspectauimus concubitum impiũ, nec Hymenęũ
Sponsum, sed orcum curatorem inuenimus.

ΑΝΤΙΠΑΤΡΟΥ.

Οὐ νούσῳ Ῥοδόπα τε καὶ ἁ γενέτειρα Βοΐσκα,
Οὐδ' ὑπὸ δυσμενέων δούρατι κεκλίμεθα,
Ἀλλ' αὐταὶ, πάτρας ὁπότ' ἔφλεγεν ἄστυ Κορίνθου
Γοργὸς Ἄρης, ἀΐδαν ἄλκιμον εἱλόμεθα.
Ἔκτανε γὰρ μάτηρ με διασφακτῆρι σιδάρῳ·
Οὐδ' ἰδίου φειδὼ δύσμορος ἔσχε βίου,
Ἄψε δ' ἐναυχένιον δειρᾷ βρόχον. ἦν γὰρ ἀμείνων
Δουλοσύνας ἄμμιν πότμος ἐλεύθερος.

ANTIPATRI. 30.

Neque morbo Rhodope, & mater Boïsca,
Neque hostium hastæ succubuimus,
Sed ipsæ patriæ quando concremabat vrbem Corinthi
Terribilis Mars, mortem fortem elegimus.
Occidit enim me mater mactante ferro:
Neque propriç parcimoniam infelix habuit vitæ.
Aptauit enim collarem ceruici laqueum. Erat enim melius
Seruitute nobis mors liberatis.

ΕΙΣ ΟΡΝΙΣ, κτήνη, κύνας.

ΑΡΧΙΟΥ Εἰς κίσσαν.

Ἁ πάρος ἀντίφθογγον ἀποκλάγξασα νομεῦσι
Πολλάκι καὶ δρυτόμοις κίσσα καὶ ἰχθυβόλοις,
Πολλάκι δ' ἢ κρέξασα πολύθροον, οἷά τις Ἀχὼ,
Κέρτομον ἀντῳδοῖς χείλεσιν ἁρμονίαν·
Νῦν εἰς γᾶν ἄγλωσσος, ἀναύδητός τε πεσοῦσα,
Κεῖμαι, μιμητὰν ζᾶλον ἀπεμψαμένα.

IN AVES, Cap. XXIIII.

ARCHII in Picam. I.

Quæ prius respondentem vocem cecini pastoribus
Sæpe etiam arborum sectoribus pica & piscatoribus,
Sæpe resonans sonorum, vt quædam Echo,
Cauillatoriam responsiuis labiis harmoniam:
Nunc in terram elinguis sine voce decidens
Iaceo, imitatricem æmulationem recusans.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ εἰς πέρδικα.

Οὐκ ἔτι που τλῆμον σκοπέλων μετανάστρια πέρδιξ,
Πλεκτὸς λεπταλέοις οἶκος ἔχει σε λύγοις,
Οὐδ' ὑπὸ μαρμαρυγῇ θαλερώπιδος ἠελιώτιδος,
Ἄκρα πεπαιθύσσεις θαλπομένων πτερύγων.
Σὴν κεφαλὴν αἴλουρος ἀπέθρισε· τἆλλα δὲ πάντα
Ἥρπασε, καὶ φθονερὴν οὐκ ἐκόρησε γένυν.
Νῦν δέ σε μὴ κούφη καλύπτοι κόνις, ἀλλὰ βαρεῖα,
Μήποτε σὸν κείνη λείψανον ἐξερύσῃ.

AGATHIÆ Scholastici in perdicem. 2.

Non amplius misera scopulorum exul perdix,
Texta tenuibus domus habet te viminibus,
Neque sub splendore iuuenescentis auroræ,
Summitatem excendens calidarum alarum.
Tuum caput felis demessuit: reliqua verò omnia
Rapuit, & inuidam non satiauit maxillam.
Nunc verò te non leuis tegit púluis, sed grauis,
Ne quando tuas illa reliquias effodiat.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Οἰκογενὴς αἴλουρος ἐμὴν πέρδικ' ἀμελοῦσα,
Ζώειν ἡμετέροις ἔλπεται ἐν μεγάροις.
Οὔ σε φίλη πέρδιξ φθιμένην ἀγέραστον ἐάσω,
Ἀλλ' ἐπὶ σοὶ κτείνω τὴν σέθεν ἀντιβίην.
Ψυχὴ γὰρ σέο μᾶλλον ὀρίνεται, εἰσόκε ῥέξω

Ὅσσ' ἐπ' Ἀχιλλῆος Πύρρος ἔρεξε τάφῳ.

Eiusdem in idem. 3.

Domo nata felis meam perdicem rapiens,
Viuere nostris sperat in ædibus.
Non te amica perdix mortuam sine munere relinquam,
Sed ob te occidam tuum hostem.
Anima verò tua magis turbatur, donec fecero
Quæcunque in Achillis Pyrrhus fecit tumulo.

ΔΑΜΟΧΑΡΙΔΟΣ γραμματικοῦ
εἰς τὸ αὐτό.

Ἀνδροβόρων ὁμότεχνε κυνῶν αἴλουρε κακίστη,
Τῶν ἀκταιονίδων ἐσσὶ μία σκυλάκων.
Κτήτορος Ἀγαθίοιο τεοῦ πέρδικα φαγοῦσα,
Λυπεῖς ὡς αὐτὸν κτήτορα δαισαμένη.
Καὶ σὺ μὲν ἐν πέρδιξιν ἔχεις νόον· οἱ δὲ μύες νῦν
Ὀρχοῦνται, τῆς σῆς δραξάμενοι σπατάλης.

DEMOCHARIDIS Grammatici in idem. 4.

Viros vorantium imitator canum, pessime cate,
Actæoniorum vnus es catulorum.
Tui possessoris boni perdicem deuorans,
Dolore adficis tanquam ipsum dominum deuorasses.
Et tu quidem in perdicibus habes animum: mures verò iam
Saltant, tuas esitantes delicias.

ΜΕΛΕΑΓΡΟΥ εἰς τέττιγα.

Ἀχήεις τέττιξ δροσεραῖς σταγόνεσσι μεθυσθεὶς,
Ἀγρονόμον μέλπεις μοῦσαν ἐρημολάλον·
Ἄκρα δ' ἐφεζόμενος πετάλοις πριονώδεσι κώλοις
Αἰθίοπι κλάζεις χρωτὶ μέλισμα λύρας.
Ἀλλὰ φίλος φθέγγου τι νέον δενδρώδεσι νύμφαις
Παίγνιον, ἀντῳδὸν Πανὶ κρέκων κέλαδον·
Ὄφρα φυγὼν τὸν ἔρωτα, μεσημβρινὸν ὕπνον ἀγρεύσω
Ἐνθάδ' ὑπὸ σκιερῇ κεκλιμένος πλατάνῳ,

MELEAGRI in cicadam. 5.

Reſonas cicada roreis guttis ebria,
Agreſtem canis Muſam in ſolitudine loquacem.
In ſummitate verò inſidens foliis ſerræ in modum complicatis membris
Fuſco frangis corpore cantum lyræ.
Sed amica dic aliquid nouum arboreis nymphis
Ludicrum, contra ſonantem Pani reſonans ſtrepitum,
Vt fugiens amorem meridianum ſomnum, venit
Hic ſub vmbroſâ inclinatus platano.

ΝΙΚΙΟΥ εἰς τὸ αὐτό.

Οὐκ ἔτι δὴ τανύφυλλον ὑπὸ πλάκα χλωρὸς ἑλιχθεὶς
Τέρψομ', ἀπὸ ῥαδινῶν φθόγγον ἱεὶς πτερύγων.
Χεῖρα γὰρ εἰς ἀραιὴν παιδὸς πέσον, ὅς με λαθραίως
Μάρψεν, ἐπὶ χλωρῶν ἑζόμενον πετάλων.

NICII In idem. 6.

Non amplius folia extendente ſub cortice rami circumuoluta
Delectabor è gracilibus vocem emittens alis.
Manum enim in ſiniſtram pueri incidi, qui me clanculum
Comminuit, ſuper viridia ſedentem folia.

ΑΡΧΙΟΥ εἰς τὸ αὐτό.

Πρὶν μὲν ἐπὶ χλωροῖς ἐριθηλέος ἔρνεσι πεύκας
Ἥμενος, ἢ σκιερῆς ἀκρεμόνος πίτυος,
Ἔκρεκες εὐτάρσοιο δι' ἰξύος ἠχέτα μολπὴν
Τέττιξ οἰονόμοις τερπνότερον χέλυος·
Νῦν δέ σε μυρμάκεσσιν ὑπ' εἰνοδίοισι δαμέντα,
Ἀΐδος ἀπροϊδὴς ἀμφεκάλυψε μυχός.
Εἰ δ' ἑάλως, συγγνωστόν· ἐπεὶ καὶ κοίρανος ὕμνων
Μαιονίδας γρίφοις ἰχθυβόλων ἔθανεν.

ARCHIÆ in idem. 7.

Prius quidem ſuper virides latè florentis ramos piceæ
Sedens, aut vmbroſæ præaltæ pinus,
Reſonabas pulchras plantas habentē per ventris pellem ſonora cantum

Cicada, pastoribus ouium gratiorem testudine:
Iam verò te à formicis in via ambulantibus occisam,
Inferni improuisus circumdedit hiatus.
Quod autem capta es, ignoscendum: cùm & rex hymnorum
Mæonides ænigmatibus piscatorum perierit.

ΑΝΥΤΗΣ, ἢ ὥς, ΛΕΩΝΙΔΟΥ
εἰς ἀκρίδα.

Ακρίδι τᾷ κατ' ἄρουραν ἀηδόνι καὶ δρυοκοίτᾳ
Τέττιγι ξυνὸν τύμβον ἔτευξε Μυρώ,
Παρθένιον στάξασα κόρα δάκρυ· δισσὰ γὰρ αὐτᾶς
Παίγνι' ὁ δυσπειθὴς ᾤχετ' ἔχων ἀΐδας.

ANYTÆ, vt alij LEONIDÆ in locustas. 8.

Locustæ in campis lusciniæ & in quercubus iacenti
Cicadæ communem tumulum fecit Myro.
Virgineam stillans puella lacrumam: gemina enim eius
Ludicra impersuasibilis abiit habens mors.

ΜΝΗΣΑΛΚΟΥ εἰς τὸ αὐτό.

Οὐκ ἔτι δὴ πτερύγεσσι λιγυφθόγγοισιν ἀείσῃς,
Ακρὶ, κατ' εὐκάρπους αὔλακας ἑζομένα·
Οὐδέ με κεκλιμένον σκιερὰν ὑπὸ φυλλάδα τέρψεις,
Ξουθᾶν ἐκ πτερύγων ἡδὺ κρέκουσα μέλος.

MNESALCI in idem. 9.

Non amplius sanè alis dulcisonis canes,
Locusta, propè fructuosos sulcos sedens:
Neque me iacétem vmbroso sub lecto è frondibus delectabis,
Leuibus ex alis dulcem resonans cantum.

ΜΕΛΕΑΓΡΟΥ.

Ακρὶς, ἐμῶν ἀπάτημα πόθων, παραμύθιον ὕπνου,
Ακρὶς ἀρουραίη, μοῦσα λιγυπτέρυγε,
Αὐτοφυὲς μίμημα λύρας, κρέκε μοί τι ποθεινόν,
Εκκρούουσα φίλαις ποσσὶ λάλους πτέρυγας.
Ως με πόνων ῥύσαιο πανάγρυπνοιο μερίμνης,

Ακρὶ μιτῶσα μελῳδὸν φθόγγον ἐρωτοπλάνον.
Δῶρα δέ σοι, γήτειον ἀειθαλὲς, ὀρθρινὰ δώσω,
Καὶ δροσερὰς στόματι σχιζομένας ψακάδας.

MELEAGRI. 10.

Locusta meorum deceptrix amorum, solatium somni,
Locusta agrestis, musa resonans alis,
Per se facta imitatio lyræ, cane mihi aliquid amabile,
Concutiens canis pedibus vocales alas.
Vt me à laboribus liberes insomnis valde sollicitudinis,
Locusta texens vocem amoris deceptricem.
Munera verò tibi allium semper virescens, roscida dabo,
Et roreas ori tuæ scindendas guttas.

ΑΝΥΤΗΣ εἰς ἀλέκτορα.

Οὐκέτι μ' ὡς τὸ πάρος, πυκιναῖς πτερύγεσσιν ἐρέσσων,
Ορσεις, ἐξ εὐνῆς ὄρθριος ἐγρόμενος.
Η γάρ σ' ὑπνώοντα σίνις λαθρηδὸν ἐπελθὼν
Εκτεινεν, λαιμῷ ῥίμφα καθεὶς ὄνυχα.

ANYTÆ in gallinaceum. 11.

Non amplius me, vt prius, densis alis quatiens
Excitabis, ex lecto mane euigilans.
Nam te dormientem fur clanculum superueniens
Occidit, gutturi celeriter imposito vnguem.

Τῆς αὐτῆς.

Οὐκ ἔτι λιγυρά σε κατ' ἀφνεὸν Ακιδος οἶκον
Ακρὶ μελιζομέναν ὄψεται ἠέλιος.
Ηδη γὰρ λειμῶνας ἐπὶ Κλυμένου πεπότησαι,
Καὶ δροσερὰ χρυσέας ἄνθεα Περσεφόνας.

Eiusdem. 12.

Non amplius suauiter canens te iuxta diuitem Acidis domum
Locusta canentem videbit Sol.
Iam enim prata ad Clymenis euolasti,
Et roscidos aureæ flores Proserpinæ.

Αδηλον.

Αὐτοῦ σοι παρ' ἄλωνι δυσπαθὲς ἐργάτα μύρμηξ,
 Ἠρίον ἐκ βώλου διψάδος ἐκτισάμην,
Ὄφρα σε καὶ φθίμενον Δηοῦς σταχυηφόρος αὖλαξ
 Θέλγῃ, ἀροτραίῃ κείμενον ἐν θαλάμῃ.

Incerti. 13.

Hic tibi in arca laborioſum operaria formica
 Tumulum ex glebâ ſiccâ concinnaui,
Vt te vel mortuam Cereris ſpicas ferentis ſulcus
 Exhilaret, rurali iacentem in Thalamo.

Ἀδέσποτον.

Ἀρτιγόνων σε χελιδὼν οὖσαν μητέρα τέκνων,
 Ἄρτι σε θάλπουσαν παῖδας ὑπὸ πτέρυγι,
Αἴξας ἔντοσθε νεοσσοκόμοιο καλιῆς
 Νόσφισεν ὠδίνων τετραέλικτος ὄφις.
Καί σε κινυρομένας ὁπότ' ἀθρόος ἦλθε δαΐζων,
 Ἤριπεν ἐς ἀείου λάβρον ἐπ' ἄνθημα πυρός.
Καὶ θάνεν ἡ λιποεργός. ἴδ' ὡς Ἥφαιστος Ἀμύντωρ
 Ταὶ ἀπ' Ἐριχθονίου παιδὸς ἔσωσε γοναί.

Incerti. 14.

Modò natorum te hirundo exiſtentem matrem filiorum,
 Iam te calefacientem pullos ſub alis,
Irruens intus in pullos nutrientem nidum
 Priuauit partu quater in orbem complicatus ſerpens.
Et te flebiliter conquerentem cùm impetuoſus veniret diſcer-
 Cecidit in focalis rapidam flammam ignis. pens,
Et mortuus fruſtra laborans. Vide quî Vulcanus vltor
 Erichthoniæ filiæ ſobolem ſeruauit.

ΦΑΕΝΝΟΥ.

Δαμοκρίτῳ μὲν ἐγὼ λιγυρὰν ὅκα μοῦσαν ἐνίειν,
 Ἀκρὶς ἀπὸ πτερύγων, ἀντὶ βαθὺν ὕπνον ἄγειν.
Δαμόκριτος δ' ἐπ' ἐμοὶ ἀντ' ἐοικότα τύμβον, ὁδῖτα,
 Ἐχύθεν Ὠρωποῦ χεῦεν ἀποφθιμένᾳ.

PHAENNI. 15.

Democrito quidem ego dulcem quando Muſam emiſeram,
Locuſta ab alis profundum ſomnum adducens.
Democritus verò ſuper me conuenientem tumulum, viator,
Prope Oropum fudit mortuam.

ΛΕΩΝΙΔΟΥ.

Εἰ καὶ μικρὸς ἰδεῖν καὶ ἐπ' οὔδεος, ὦ παροδῖτα,
Λᾶας ὁ τυμβίτης ἄμμιν ἐπικρέμαται,
Αἰνοίης ὤνθρωπε Φιλαινίδα· τὴν γὰρ ἀοιδὸν
Ἀκρίδα, τὴν οὖσαν τὸ πρὶν ἀκανθοβάτιν,
Διπλοῦς ἐς λυκάβαντας ἐφίλατο. καί με θανοῦσαν
Κάτθετ' ἐφυπνιδίαν χηραμιδίῳ λαλάγων.
Καί μ' οὐδὲ φθιμένην ἀπανήνατο, τοῦτο δ' ἐφ' ἡμῖν
Τοὐλίγον ὤρθωσεν σῆμα πολυτροφίης.

LEONIDÆ. 16.

Quamuis paruus viſu, & in ſolo, ô viator,
Lapis ſepulcralis nobis impoſitus eſt,
Laudabis tamen ô homo Philænidem : nam muſicam
Locuſtam, prius inter ſpinas incedentem,
Duos in annos amauit, & me mortuam
Hic collocauit ſubitis vocibus viduatam.
Et me neque mortuam repudiauit: hoc autem ſuper nos
Paruum erexit ſepulcrum, quod me diu aluiſſet.

ΤΥΜΝΕΩ.

Ὄρνεον ὦ χάρισιν μεμελημένον, ὦ παρόμοιον
Ἀλκυόσιν τὸν σὸν φθόγγον ἰσωσάμενον,
Ἡρπάσθης φιλέλαιε· σὰ δ' ἤθεα καὶ τὸ σὸν ἡδὺ
Πνεῦμα σιωπηραὶ νυκτὸς ἔχουσιν ὁδοί.

TYMNÆI. 17.

Auis Gratiis amata, ô ſimilem
Halcyonibus tuam vocem æquans,
Rapta es oliuam amans: tuos verò mores & tuum dulcem
Spiritum taciturnæ noctis habent viæ.

ΠΑΜΦΙΛΟΥ.

Οὐκ ἔτι δὴ χλωροῖσιν ἐφεζόμενος πετάλοισιν,
 Ἡδείαν μέλπων ἐκπροχέεις ἰαχάν,
Ἀλλά σε γηρύοντα κατήναρεν ἠχέτα τέττιξ,
 Παιδὸς ἀπ' ἠιθέου χεῖρε μεταπτάμενον.

PAMPHILI. 18.

Non amplius viridantibus insidens foliis,
 Dulcem canens profundis resonantiam,
Sed te canentem interfecit garrula cicada,
 Pueri à iuuenis manu auolantem.

ΣΙΜΜΙΟΥ.

Οὐκ ἔτ' ἀν' ὑλᾶεν δρυὸς βόσκιον ἀγρέτα πέρδιξ
 Ἠχήσεις ἐνιεὶς γῆρυν ἀπὸ στόματος,
Θηρεύων ἀγρίους συνομήλικας ἐν νομῷ ὕλης.
 Ὤχεο γὰρ πυμάτην εἰς Ἀχέροντος ὁδόν.

SIMMII. 19.

Non amplius per syluosum quercetum opacum, rustica perdix,
 Sonabis emittens vocem ex ore,
Venans agrestes coæquales in pascuis syluæ.
 Iuisti enim vltimam ad Acherontis *domum* viam.

ΜΕΛΕΑΓΡΟΥ.

Τὸν ταχύπουν ἔτι παῖδα συναρπασθέντα τεκούσης
 Ἄρτι μ' ἀπὸ στέρνων, οὐατόεντα λαγών,
Ἐν κόλποις στέργουσα διέτρεφεν ἁ γλυκερόχρως
 Φανίον, εἰαρινοῖς ἄνθεσι βοσκόμενον·
Οὐδέ με μητρὸς ἔτ' εἶχε πόθος· θνήσκω δ' ὑπὸ θοίνης
 Ἀπλήστου πολλῇ δαιτὶ παχυνόμενος.
Καί μου πρὸς κλισίαις κρύψεν νέκυν, ὡς ἐν ὀνείροις
 Αἰὲν ὁρᾶν κοίτης γείτονα τὸν τάφον.

MELEAGRI. 20.

Velocipedem adhuc puerum raptum matris
 Iam me ab vberibus, auritum leporem.
In sinu amans nutriuit dulci corpore prædita.

Phanium, vernalibus floribus pastum,
Neque me matris amplius habet desideriũ. morior autẽ à cibo
Nimio multis ferculis saginatus.
Et meum ad caulas celauit cadauer, vt in somnis
Semper videam in cubili vicinum sepulcrum.

ΜΝΗΣΑΛΚΟΥ.

Αἰθυίης ξένε τόνδε ποδηνεμέου ἔννεπε τύμβον,
Τᾶς ποτ᾽ ἐλαφροτάταν χέρσος ἔθρεψε γόνυ.
Πολλαῖς γὰρ νάεσσιν ἰσόδρομον ἄνυσε μᾶκος,
Ὄρνις ὅπως, δολιχὸν ἐκπονέουσα πεῖδον.

MNESALCI. 21.

Mergi hospes hunc velocis dicas tumulum,
Cuius olim mansuetissimum terra nutriuit genu.
Mustis verò nauibus æqualem perfecit summitatem,
Vt auis, longam absoluens viam.

ΕΙΣ ΠΟΙΗΤΑΣ, κεφ. κε.

ΑΛΚΑΙΟΥ Μεσσηνίου εἰς Ὅμηρον.

Ἡρώων τὸν ἀοιδὸν Ἴῳ ἔνι παῖδες Ὁμήρου
Ἤκαχον, ἐκ Μουσέων γρῖφον ὑφηνάμενοι.
Νέκταρι δ᾽ εἰνάλιαι Νηρηΐδες ἐχρίσαντο,
Καὶ νέκυν ἀκταίῃ θῆκαν ὑπὸ σπιλάδι,
Ὅττι Θέτιν κύδηνε καὶ υἱέα, καὶ μόθον ἄλλων
Ἡρώων, Ἰθακοῦ τ᾽ ἔργματα Λαρτιάδεω.
Ὀλβίστη νῆσος πόντῳ Ἴος, ὅττι κέκευθε
Βαιὴ Μουσάων ἀστέρα καὶ Χαρίτων.

IN POETAS, Cap. XXV.

ALCÆI Messenij in Homerum. 1.

Heroum cantorem in Io insula pueri Homerum
Dolore affecerunt, ex Musis ænigmata texentes.

Nectare verò marinæ Nereides inunxerunt,
 Et mortuum Actæo posuerunt sub saxo,
Quòd Thetin honorauit & filium, & pugnam aliorum
 Heroum, Ithacique opera Laërtiadæ.
Felicissima insula in ponto Io, eo quòd occultet
 Parua Musarum stellam & Charitum.

ΑΝΤΙΠΑΤΡΟΥ Σιδωνίου εἰς τὸν αὐτόν.

Τὰν μερόπων πειθὼ, τὸ μέγα στόμα, τὴν ἴσα μούσαις
 Φθεγξαμέναν κεφαλὰν, ὦ ξένε, Μαιονίδεω,
Ἅδ᾽ ἔλαχον νασῖτις Ἴου σπιλάς. οὐ γὰρ ἐν ἄλλᾳ
 Ἱερὸν ἀλλ᾽ ἐν ἐμοὶ πνεῦμα θανὼν ἔλιπεν.
Ὦ νεῦμα Κρονίδαο τὸ παγκρατὲς, ᾧ καὶ Ὄλυμπον
 Καὶ τὴν Αἴαντος ναύμαχον εἶχε βίαν,
Καὶ τὸν Ἀχιλλείοις Φαρσαλίσιν Ἕκτορα πώλοις
 Ὀστέα Δαρδανικῷ δρυπτόμενον πεδίῳ.
Εἰ δ᾽ ὀλίγα κρύπτω τὸν τηλίκον, ἴσθ᾽ ὅτι κεύθει
 Καὶ Θέτιδος γαμέτην ἁ βραχύβωλος Ἴκος.

ANTIPATRI Sidonij in eundem. 2.

Hominum suadelam, magnum os, æqualia musis
 Dicens caput, ô hospes, Mæonidæ,
Hic sortitum est insulare Ii saxum. Non enim in alia
 Sacrum, sed in me spiritum mortuus reliquit.
O nutus Iouis omnipotens, cui & Olympum
 Et Aiacis ad naues pugnantem dixit vim,
Et Achilleis Pharsalicis Hectorem equis
 Ossa Dardanico comminuentem campo.
Licet verò parua cooperit tantum virum, scito quòd tegit
 Et Thetidis coniugem paruam glebam habens Icus.

Εἰς τὸν αὐτόν.

Ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει,
Ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.

In eundem. 3.

Hîc ſacrum caput terra tegit,
Virorum Heroum ornatorem diuinum Homerum.

ΠΑΥΛΟΥ Σιλεντιαρίου εἰς τ̃ αὐτόν.

Ενθάδε πιερίδων τὸ σοφὸν στόμα, θεῖον Ομηρον,
Κλεινὸς ἐπ' αἰγιαλῷ τύμβος ἔχει σκοπέλῳ.
Εἰ δ' ὀλίγη μεγάλα πόσον χάδεν ἀνέρα νῆσος,
Μὴ τόδε θαμβήσῃς ὦ ξένε δερκόμενος·
Καὶ γὰρ ἀλητεύουσα κασιγνήτη ποτὲ Δῆλος,
Μητρὸς ἐπ' ὠδίνων δέξατο Λητοΐδην.

PAVLI Silentiarij in eundem. 4.

Hîc pieridum ſapiens os, diuinum Homerum,
Inclytum in littorali tumulus habet ſcopulo.
Etſi verò parua nata tantum capit virum inſula,
Non hoc demireris ô hoſpes videns:
Etenim errans ſoror quondam Delus,
Matris à ſinu excepit Latoidem.

Εἰς τὸν αὐτόν.

Οὐδ' εἴ με χρύσειον ἀπὸ ῥαιστῆρος Ομηρον
Στήσαιτε φλογέαις ἐν Διὸς ἀστεροπαῖς,
Οὐκ εἰμ' οὐδ' ἔσομαι Σαλαμίνιος, οὐδ' ὁ Μέλητος
Δημαγόρου· μὴ ταῦτ' ὄμμασιν Ελλὰς ἴδοι.
Αλλον ποιητὴν βασανίζετε· τὰ μὰ δὲ μοῦσαι
Καὶ Χίος Ελλήνων παισὶν ἀείσατ' ἔπη.

In eundem. 5.

Non ſi me aureum à malleo Homerum
Statuatis flammeis in Iouis fulgoribus,
Non ſum neque ero Salaminius, neque Miletus
Demagoræ: ne hæc oculis Græcia videat.
Alium poëtam examinate: mea verò muſæ,
Et Chius Græcorum filiis decantarunt carmina.

ΑΝΤΙΠΑΤΡΟΥ εἰς τὸν αὐτόν.

Ηρώων κάρυκ' ἀρετᾶς, μακάρων δὲ προφήταν,
Ελλάνων βιοτᾷ δεύτερον ἀέλιον,

Μουσῶν φέγγος Ομηρον, ἀγήρατον στόμα κόσμου
  Παντὸς, ἁλιῤῥόθια ξεῖνε κέκευθε κόνις.

ANTIPATRI in eundem. 6.

Heroum præconem virtutis, beatorum verò vatem,
  Græcorum vitæ secundum Solem,
Musarum lucem Homerum, immortale os mundi
  Omnis, maritimus hospes celat puluis.

Εἰς τὸν αὐτόν.

Ενθάδε θεῖος Ομηρος, ὃς Ελλάδα πᾶσαν ἄεισε,
  Θήβης ἐκγεγαὼς τῆς ἑκατονταπύλου.

In eundem. 7.

Hîc diuus Homerus, qui omnem Græciam cecinit,
  Thebis natus in centum portarum vrbe.

ΑΝΤΙΠΑΤΡΟΥ εἰς Ορφέα.

Οὐκ ἔτι θελγομένας Ορφεῦ δρύας, οὐκ ἔτι πέτρας
  Αξεις, οὐ θηρῶν αὐτονόμους ἀγέλας·
Οὐκ ἔτι κοιμάσεις ἀνέμων βρόμον, οὐχὶ χάλαζαν,
  Οὐ νιφετῶν συρμούς, οὐ παταγεῦσαν ἅλα.
Ωλεο γάρ· σὲ δὲ πολλὰ κατωδύραντο θύγατρες
  Μναμοσύνας, μάτηρ δ' ἔξοχα Καλλιόπα.
Τί φθιμένοις στοναχεῦμεν ἐφ' υἱάσιν, ἁνίκ' ἀλαλκεῖν
  Ταν παίδων ἀΐδαν οὐδὲ θεοῖς δύναμις;

ANTIPATRI in Orphea. 8.

Non adhuc delinitas Orpheu quercus, non adhuc petras
  Duces, non ferarum per se pastos greges:
Non amplius sopies ventorum fremitum, non grandinem,
  Non niuium tractus, non strepens mare.
Occidisti enim: te verò multùm luxerunt filię
  Mnemosynes, & mater vehementissimè Calliope.
Quid ob mortuos dolemus filios, cum arcêre
  Filiorum mortem neque in Deorum est potentiâ?

Εἰς τὸν αὐτόν.

Ορφέα Θρηϊκίῃσι παρὰ προμολῇσιν Ολύμπου

Τύμβος

Τύμβος ἔχει, μούσης υἱέα Καλλιόπης.
Ω δρύες οὐκ ἀπίθησαν· ὅτῳ σὺν ἅμ' ἕσπετο πέτρη
Αψυχος, θηρῶν θ' ὑλονόμων ἀγέλη.
Ος ποτε καὶ τελετὰς μυστηρίδας εὕρετο Βάκχου,
Καὶ στίχον ἡρώῳ ζευκτὸν ἔτευξε ποδί.
Ος καὶ ἀμειλίκτοιο βαρὺ Κλυμένοιο νόημα
Καὶ τὸν ἀκήλητον θυμὸν ἔθελξε λύρῃ.

In eundem. 9.

Orphea Thraciis in iugis Olympi
Tumulus habet, musæ filium Calliopes.
Cui quercus obedierunt: quem simul petra sequebatur
Inanimata, & ferarum in syluis pastarum grex.
Qui olim etiam sacrificia arcana inuenit Bacchi,
Et carmen heroo iunctum fecit pede.
Qui & immitis graue Clymeni mentem
Et inexorabilem animum demulsit lyrâ.

Εἰς τὸν αὐτόν.

Καλλιόπης Ορφῆα καὶ Οἰάγροιο θανόντα
Εκλαυσαν ξανθαὶ μυρία Βιστονίδες.
Στικτοὺς δ' ἡμάξαντο βραχίονας, ἀμφὶ μελαίνῃ
Δευόμεναι σποδιῇ Θρηίκιον πλόκαμον.
Καὶ δ' αὐταὶ στοναχεῦντι σὺν εὐφόρμιγγι Λυκείῳ
Ερρηξαν μοῦσαι δάκρυα πιερίδες,
Μυρόμεναι τὸν ἀοιδόν· ἐπωδύραντο δὲ πέτραι,
Καὶ δρύες, ἃς ἐρατῇ τοπρὶν ἔθελγε λύρῃ.

In eundem. 10.

Calliopes Orphea & Oeagri filij, mortuum
Deplorarunt flauæ valde Bistonides.
Puncta verò cruentarunt brachia, circa nigro
Polluentes cinere Thracium capillum.
Et verò ipsæ plorante cum pulchram lyram habente Lyceo
Expresserunt musæ lacrumas pierides,
Deplorantes vatem: luxerunt verò petræ,

Et quercus, quas amabili prius demulcebat lyrâ.

Εἰς τὸν αὐτόν.

Θρήϊκα χρυσολύρην τῇδ' Ὀρφέα μοῦσαι ἔθαψαν,
Ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολόεντι βέλει.

In eundem. 11.

Thracem cum aureâ lyrâ hîc Orphea musæ sepelierunt,
Quem occidit in altis regnans Iupiter flammeo fulmine.

Εἰς Μουσαῖον.

Εὐμόλπου φίλον υἱὸν ἔχει τὸ Φαληρικὸν οὖδας
Μουσαῖον, φθίμενον σῶμ' ὑπὸ τῷδε τάφῳ.

In Musæum. 12.

Eumolpę charum filium habet Phalaricum solum
Musæum, mortuum corpus sub hoc tumulo.

Εἰς Λίνον.

Ηδε Λίνον Θηβαῖον ἐδέξατο γαῖα θανόντα,
Μούσης Οὐρανίης υἱὸν ἐϋστεφάνου.

In Linum. 13.

Hæc Linum Thebanum accepit terra mortuum,
Musæ Vraniæ filium bene coronatæ.

Εἰς Ἡσίοδον.

Ἑλλάδος εὐρυχόρου στέφανον, καὶ κόσμον ἀοιδῆς,
Ἀσκραῖον γενεὴν Ἡσίοδον κατέχω.

In Hesiodum. 14.

Græciæ spatiosæ coronam, & ornatum cantus,
Ascræum genus Hesiodum teneo.

Ἀναθηματικὸν εἰς τὸν αὐτόν.

Ἡσίοδος μούσαις Ἑλικωνίσι τῇδ' ἀνέθηκε,
Ὕμνῳ νικήσας ἐν Χαλκίδι θεῖον Ὅμηρον.

Anathematicum in eundem. 15.

Hesiodus Musis Heliconidibus hîc deposui,
Cantu vincens in Chalcide diuinum Homerum.

Εἰς τὸν αὐτόν.

Ἄσκρη μὲν πατρὶς πολυλήιος, ἀλλὰ θανόντος

Ὀστέα πληξίππων γῆ Μινυῶν κατέχει
Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστὶν,
Ἀνδρῶν κρινομένων, ἐν βασάνῳ σοφίης.

In eundem. 16.

Ascra quidem patria est segete abundans, sed mortui
Ossa equos percutientum terra Minyorum habet
Hesiodi: cuius maxima inter mortales laus est,
Virorum iudicatorum, in examine sapientiæ.

ΑΛΚΑΙΟΥ εἰς τὸν αὐτόν.

Λοκρίδος ἐν νέμεϊ σκιερῷ νέκυν Ἡσιόδοιο
Νύμφαι κρηνιάδων λοῦσαν ἀπὸ σφετέρων,
Καὶ τάφον ὑψώσαντο· γάλακτι δὲ ποιμένες αἰγῶν
Ἔρραναν, ξανθῷ μιξάμενοι μέλιτι.
Τοίην γὰρ καὶ γῆρυν ἀπέπνεεν, ἐννέα μουσῶν
Ὁ πρέσβυς καθαρῶν γευσάμενος λιβάδων.

ALCÆI in eundem. 17.

Locridis in nemore opaco cadauer Hesiodi
Nymphæ è fontibus lauarunt suis,
Et tumulum erexerunt: lacte verò pastores ouium
Libarunt, flauo miscentes cum melle.
Talem enim & cantilenam spirauit, nouem Musarum
Senex puros gustans fontes.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων Αἰγυπτίου εἰς Ἀρχίλοχον.

Κέρβερε, δειμαλέην ὑλακὴν νεκύεσσιν ἰάλλων,
Ἤδη φρικαλέον δείδιθι καὶ σὺ νέκυν.
Ἀρχίλοχος τέθνηκε· φυλάσσεο θυμὸν ἰάμβων
Δριμὺν, πικροχόλου τικτόμενον στόματος.
Οἶσθα βοῆς κείνοιο μέγα σθένος, εὖτε Λυκάμβεω
Νηῦς μία σοὶ δισσὰς ἤγαγε θυγατέρας.

IVLIANI imperatorum Ægypti in Archilochum. 18.

Εἰς τὸν αὐτόν.

Ἀρχιλόχου τόδε σῆμα, ὃν ἐς λυσσῶντας ἰάμβους
Ἤγαγε Μαιονίδῃ μοῦσα χαριζομένη.

In eundem. 21.

Archilochi hic tumulus, quem in furentes iambos
Duxit Mæonidæ Musa gratificata.

ΛΕΩΝΙΔΟΥ εἰς Ἱππώνακτα.

Ἀτρέμα τὸν τύμβον παραμείβετε, μὴ τὸν ἐν ὕπνῳ
Πικρὸν ἐγείρητε σφῆκ' ἀναπαυόμενον.
Ἄρτι γὰρ Ἱππώνακτος ὁ καὶ τοκέων ἔοβαΰξας,
Ἄρτι κεκοίμηται θυμὸς ἐν ἡσυχίῃ.
Ἀλλὰ προμηθήσασθε. τὰ γὰρ πεπυρωμένα κείνου
Ῥήματα πημαίνειν οἶδε καὶ εἰν Ἀΐδῃ.

LEONIDÆ in Hipponactem. 22.

Tacitè tumulum accedite, ne illum in somno
Acerbum excitetis crabronem iacentem.
Iam enim Hipponactis, qui etiam parentes suos allatrauit,
Iam iacet ira in quiete.
Sed vobis præuidete. Nam ignita eius
Verba nocere possunt etiam in morte.

ΑΛΚΑΙΟΥ εἰς τὸν αὐτόν.

Οὐδὲ θανὼν ὁ πρέσβυς ἑῷ ἐντέτροφε τύμβῳ
Βότρυν ἀπ' οἰνάνθης ἥμερον, ἀλλὰ βάτον.
Καὶ πιγρέαν ἀχράδα, ἀποστύφουσαν ὁδιτῶν
Χείλεα, καὶ δίψει καρφαλέον φάρυγα.
Ἀλλά τις, Ἱππώνακτος ἐπὴν παρὰ σῆμα νέηται,
Εὐχέσθω κνώσσειν εὐμυθέοντα γέρων.

ALCÆI in eundem. 23.

Neque mortuus senex suo enutruit tumulo
Vuam ob florem vini amabilem, sed rubos.
Sed suffocantem apiastrum, astringentem viatorum
Labra, & siti aridam faucem.
Sed aliquis, Hipponactis cùm sepulcrum præterit,

Oret, vt quiescat benignum cadauer.

ΘΕΟΚΡΙΤΟΥ εἰς τὸν αὐτόν.

Ο μουσοποιὸς ἐνθάδ' Ἱππώναξ κεῖται·
Εἰ μὲν πονηρὸς, μὴ προσέρχευ τῷ τύμβῳ·
Εἰ δ' ἐσσὶ κρήγυός τε, καὶ παρ' ἀχρηστῶ,
Θαρσέων καθίζευ, κἢν θέλῃς, ἀπόβειξον.

THEOCRITI in eundem. 24.

Poeta hîc Hipponax iacet:
Qui si malus, ne accedas ad tumulum:
Si verò est bonus, & apud bonum
Confidens confide, & si voles, irriga.

Ἀδηλον εἰς τὸν αὐτόν.

Ω ξένε, φεῦγε τὸν χαλαζεπῆ τάφον,
Τὸν φρικτὸν, Ἱππώνακτος· οὗ τε χἀ τέφρα
Ἰαμβιάζει βουπάλειον εἰς στύγος.
Μήπως ἐγείρῃς σφῆκα τὸν κοιμώμενον,
Ὃς οὐδ' ἐν ἅδῃ νῦν κεκοίμηκεν χόλον,
Σκάζουσι μέτροις ὀρθὰ τοξεύσας ἔπη.

Incerti in eundem. 25.

O hospes fuge grandinem loquentem tumulum
Horrendum, Hipponactis: cuius etiam cinis
Iambos condit in bupali odium.
Nequa excites crabronem iacentem,
Qui ne in inferno quidem iam sedauit iram,
Claudicantibus versibus recta iaculans verba.

ΑΝΤΙΠΑΤΡΟΥ εἰς Πίνδαρον.

Πιερικὰν σάλπιγγα, τὸν εὐαγέων βαρυύμνων
Χαλκευτὴν κατέχει Πίνδαρον ἅδε κόνις.
Οὗ μέλος εἰσαΐων, φθέγξαιό κεν ὡς ἀπὸ μουσῶν
Ἐν Κάδμου θαλάμοις σμῆνος ἀπεπλάσατο.

ANTIPATRI in Pindarum. 26.

Piericam citharam, & sacrorum graue sonantium hymnorum
Conditorem habet Pindarum hic cinis.

Cuius carmen audiens, dices quòd à musis
In Cadmi thalamis fauum formauerit.

ΛΕΩΝΙΔΟΥ εἰς τὸν αὐτόν.

Ἤπιος ἦν ξείνοισιν ἀνὴρ ὅδε, καὶ φίλος ἀστοῖς,
Πίνδαρος, εὐφώνων πιερίδων πρόπολος.

LEONIDÆ in eundem. 27.

Beneuolus fuit hospitibus hic vir, & amicus ciuibus
Pindarus, benesonantium musarum princeps.

ΑΝΤΙΠΑΤΡΟΥ εἰς Αἰσχύλον.

Ὁ τραγικὸν φώνημα καὶ ὀφρυόεσσαν ἀοιδὴν
Πυργώσας στιβαρῇ πρῶτος ἐν εὐεπίῃ,
Αἰσχύλος Εὐφορίωνος, Ἐλευσινίης ἑκὰς αἴης
Κεῖται, κυδαίνων σήματι Ταιναρίην.

ANTIPATRI in Æschylum. 28.

Qui Tragicam, & superciliosam cantilenam
Exaltasti graui primus in eximio carmine,
Æschylus Euphorionis, Elensiniâ procul à terrâ
Iacet, glorificans sepulcro suo Trinacriam.

Ἄδηλον εἰς τὸν αὐτόν.

Αἰσχύλον ἥδε λέγει ταφίη λίθος ἐνθάδε κεῖσθαι
Τὸν μέγαν, οἰκείης τῆλ' ἀπὸ Κεκροπίης,
Λευκὰ Γέλας Σικελοῖο παρ' ὕδατα. τίς φθόνος ἀστῶν
Θησείδας ἀγαθῶν ἔγκοτος αἰὲν ἔχει;

Incerti in eundem. 29.

Æschylum hic dicit sepulcralis lapis hîc recumbere
Magnum, propriâ procul à Cecropiâ.
Alba Gelas Siculi apud aquas, quæ inuidia ciuium
Theseidas bonorum iracunda semper habet?

ΙΩΝΟΣ εἰς Εὐελπίδην.

Χαῖρε μελαμπέπλοις Εὐελπίδη ἐν γυάλοισι
Πιερίας, τὸν ἀεὶ νυκτὸς ἔχων θάλαμον.
Ἴσθι δ' ὑπὸ χθονὸς ὤν, ὅτι σοι κλέος ἄφθιτον ἔσται,
Ἶσον Ὁμηρείαις ἀενάοις χάρισιν.

IONIS in Euripidem. 30.

Salue pullatis Euripides in vallibus
Pieriæ ſemper nocte habens thalamum:
Scito verò ſub terrâ exiſtens, quòd tibi honor immortalis erit,
Æquale Homericis æternis gratiis.

Εἰς τὸν αὐτόν.

Εἰ καὶ δακρυόεις Εὐριπίδη εἷλέ σε πότμος,
Καί σε λυκορραῖσται δεῖπνον ἔθεντο κύνες,
Τὸν σκηνῇ μελίγηρυν ἀηδόνα, κόσμον Ἀθηνῶν,
Τὸν σοφίῃ τραγικῇ μιξάμενον χάριτα,
Ἀλλ' ἔμολες Πελλαῖον ὑπ' ἠρίον, ὡς ἂν ὁ λάτρις
Πιερίδων ναίῃς ἄγχι Πιερίδων.

In eundem. 31.

Quamuis lacrumoſa Euripides abſtulit te mors,
Et te luporum occiſores cœnam fecerunt canes,
In ſcena dulciloquẽ tam philomelam, ornamentũ Athenarum,
Cum ſapientiâ tragicam miſcentem gratiam,
Sed iuiſti pellæum ſub ſepulcrum, vt famulus
Muſarum habites prope muſas.

Εἰς τὸν αὐτόν.

Μνᾶμα μὲν Ἑλλὰς ἅπασ' Εὐριπίδου, ὀστέα δ' ἴσχει
Γῆ Μακεδών. ᾗ γὰρ δέξατο τέρμα βίου.
Πατρὶς δ' Ἑλλάδος Ἑλλάς, Ἀθῆναι. πλεῖστα δὲ μούσας
Τέρψας, ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχει.

In eundem. 32.

Monumentum quidem Græcia omnis Euripidis. Oſſa verò co-
Terra Macedon. Hîc enim accepit finem vitæ. (hibet
Patria verò Græciæ Græcia, Athenæ. Multùm verò muſas
Delectans, ex multis etiam laudem habet.

Εἰς τὸν αὐτόν.

Οὐ σὸν μνῆμα τόδ' ἔστ' Εὐριπίδη, ἀλλὰ σὺ τοῦδε.
Τῇ σῇ γὰρ δόξῃ μνῆμα τόδ' ἀμπέχεται.

In eundem. 33.

Non

Non tuum hoc monumentum Euripides, ſed tu huius.
Tuâ enim gloriâ monumentum hoc illuſtratum.

Εἰς τὸν αὐτόν.

Ἅπασ' Ἀχαιῒς μνῆμα σόν γ' Εὐριπίδη.
Οὔκουν ἄφωνος, ἀλλὰ καὶ λαλητέος.

In eundem. 34.

Omnis Græcia ſepulcrum tuum Euripides.
Ob id mutus es, verumtamen etiam vocalis.

Εἰς τὸν αὐτόν.

Τὴν Εὐριπίδεω μήτ' ἔρχεο, μήτ' ἐπιβάλλου,
Δύσβατον ἀνθρώποις οἶμον, ἀοιδοθέτα.
Λείη μὲν γὰρ ἰδεῖν καὶ ἐπίρροθος· εἰ δέ τις αὐτὴν
Εἰσβαίνοι, χαλεποῦ τρηχυτέρη σκόλοπος.

In eundem. 35.

Euripidis neque vade, neque affecta,
Inuiam hominibus viam, poëta.
Facilis enim viſu quidem eſt, & plauſibilis: ſi verò quis ipſam
Ingrediatur, difficili eſt horridior ſtimulo.

Εἰς τὸν αὐτόν.

Α'μάκετις σε κέκευθε τάφου κόνις· ἀλλὰ πυρωθεὶς
Ζανὶ κεραυνείῳ πᾶσαν ἀπημφίασας.
Τρὶς γὰρ ἀπαστράψας Εὐριπίδη ἐκ Διὸς αἰθὴρ,
Ἥγνισε τὴν θνητὴν σήματος ἱσορίην.

In eundem. 36.

Amacetis te tegit tumuli puluis: ſed concrematus
Ioui fulminanti omnem circumdediſti.
Ter enim fulgurans Euripidi ex Ioue cœlum,
Luſtrauit mortalem ſepulcri hiſtoriam.

ΔΙΟΝΥΣΙΟΥ εἰς τὸν αὐτόν.

Οὔ σε κυνῶν γένος εἷλ' Εὐριπίδη, οὐδὲ γυναικὸς
Οἶστρος, τὸν σκοτίης Κύπριδος ἀλλότριον,
Ἀλλ' ἀΐδης καὶ γῆρας ὑπεξέβαλε. τῇ δ' Ἀρεθούσῃ
Κεῖσαι ἑταιρείῃ τίμιος Ἀρχέλεω.

Σὸν δ' οὐ τοῦτον ἐγὼ τίθεμαι τάφον· ἀλλὰ τὰ Βάκχου
Εἵματα, καὶ σκηνὰς ἔμβαλε πειθομένας.

DIONYSII in eundem. 37.

Non te canum genus rapuit Euripides, neque mulierum
Furor, à tenebrosâ Venere alienum.
Sed mors & ſenium occupauit. Huic verò Arethuſæ
Iaces ſociali honoratus Archelao.
Tuum verò non hunc ego pono tumulum: ſed Bacchi
Veſtes, & ſcenas iniecit obedientes.

ΣΙΜΩΝΙΔΟΥ εἰς Σοφοκλέα.

Ἐσβέσθης γηραιὲ Σοφόκλεες, ἄνθος ἀοιδῶν,
Οἰνωπὸν Βάκχου βότρυν ἐρεπτόμενος.

SIMONIDIS in Sophoclem. 38.

Extinctus es ſenex Sophocles, flos poëtarum,
Vineam Bacchi vuam comedens.

Εἰς τὸν αὐτόν.

Ἠρέμ' ὑπὲρ τύμβοιο Σοφοκλέος, ἠρέμα κισσὲ
Ἑρπύζοις, χλοεροὺς ἐκπροχέων πλοκάμους·
Καὶ πέταλον πάντη θάλλοι ῥόδου, ἥτε φιλορρὼξ
Ἄμπελος, ὑγρὰ πέριξ κλήματα χευαμένη,
Εἵνεκεν εὐμαθίης πινυτόφρονος ἣν ὁ μελιχρὸς
Ἤσκησεν, μουσῶν ἄμμιγα καὶ χαρίτων.

In eundem. 39.

Tacitè ſuper tumulum Sophoclis, tacitè hedera
Serpas, virides effundens comas.
Et florem vndique flore roſæ, & vuarum amans
Vitis, ſiccas circùm palmites fundens,
Propter doctrinam variè ſapientem: quam dulcis
Exercuit, cum muſis commixtim & Gratiis.

ΕΡΥΚΙΟΥ εἰς τὸν αὐτόν.

Αἰεί τοι λιπαρῷ ἐπὶ σήματι δῖε Σοφόκλεις
Σκηνίτης μαλακοὺς κισσὸς ἅλοιτο πόδας.
Αἰεί τοι βούπαισι περιστάζοιτο μελίσσαις

Τύμβος, Ὑμηττείῳ λειβόμενος μέλιτι.
Ὡς ἄν τοι ῥείῃ μὲν ἀέναος Ἀτθίδι δέλτῳ
Κηρὸς, ὑπὸ στεφάνοις δ᾽ αἰὲν ἔχοις πλοκάμους.

HERCII in eundem. 40.

Semper tibi formoso in sepulcro diue Sophocles
Scenica molles hedera saltet pedes.
Vtinam tibi bouigenis irrigetur apibus
Tumulus, Hymetteo fluens melle.
Vt tibi quidem fluat perenne Atticâ linguâ
Mel, sub coronis verò semper habeas comas.

ΔΙΟΣΚΟΡΙΔΟΥ εἰς τὸν αὐτόν.

Τύμβος ὅδ᾽ ἔστ᾽ ὤνθρωπε Σοφοκλέος, ὃς παρὰ μουσῶν
Ἱρὴν παρθενίην ἱερὸς ὢν ἔλαχεν.
Ὅς με τὸν ἐκ Φλιοῦντος ἔτι τρίβολον πατέοντα
Πείνινον ἐς χρύσεον σχῆμα μεθηρμόσατο,
Καὶ λεπτὴν ἐνέδυσεν ἁλουργίδα. τοῦ δὲ θανόντος,
Εὔθετον ὀρχηστὴν τῇδ᾽ ἀνέπαυσα πόδα.
Ὄλβιος, ὡς ἀγαθὴν ἔλαχε στάσιν· ἡ δ᾽ ἐνὶ χερσὶ
Κούρειμος ἐκ ποίης ἥδε διδασκαλίης;
Εἴτε σοὶ Ἀντιγόνην εἰπεῖν φίλον, οὐκ ἂν ἁμάρτοις·
Εἴτε καὶ Ἠλέκτραν. ἀμφότεραι γὰρ ἄκρον.

DIOSCORIDIS in eundem. 41.

Tumulus hic est, ô homo, Sophoclis, qui apud musas
Sacram virginitatem sacerdos existens sortitus est.
Qui me ex Phliunte adhuc tribulum conculcantem
Iliceum, in auream formam concinnauit.
Et tenui me induit purpurâ. quo & mortuo
Agilem saltatorem quiescere feci hîc pedem.
Felix, quàm bonam sortitus est stationem: at verò hæc in manibus
Tonsa capillis hæc ex quali est doctrinâ?
Si tuum Antigonem dicere gratum est, non peccabis,
Siue etiam Electram. Vtraque enim summa est.

Εἰς τὸν αὐτόν.

Τόν σε χορεῖς μέλψαντα Σοφοκλέα παῖδα Σοφίλου,
    Τὸν τραγικῆς μούσης ἀστέρα Κεκρόπιον,
Πολλάκις ἐν θυμέλῃσι καὶ ἐν σκηνῇσι τιθηλὼς
    Βλαισὸς Ἀχαρνείτης κισσὸς ἔρεψε κόμην,
Τύμβος ἔχει, καὶ γῆς ὀλίγον μέρος· ἀλλ᾽ ὁ περισσὸς
    Αἰὼν ἀθανάτοις δέρκεται ἐν σελίσιν.

In eundem, 42.

Te qui cecinisti in choris Sophoclem filium Sophili,
    Tragicæ musæ stellam Cecropiam,
Sæpiùs in pulpitis & scenis florens
    Transuersa Achernita hedera coronauit comam,
Tumulus habet,& terræ parua pars:sed reliquum
    Æuum immortalibus videt in libris.

Εἰς τὸν αὐτόν.

Ἐνθάδ᾽ ἐγὼ Σοφοκλῆς στυγερὸν δόμον ἄϊδος ἦλθον,
Κάμμορος. εἰ δέ τι Σαρδῷον σελίνοιο γελάσκων,
Ὡς μὲν ἐγὼν, ἕτεροι δ᾽ ἄλλως· πάντες δέ τε πάντως.

In eundem. 43.

Hîc ego Sophoclis horrendam ad domum inferni veni,
Infelix. Si verò quid Sardoo risu Bacchi ridens,
Vt quidem ego,reliqui verò aliter:omnes vero omnino.

ΑΝΤΙΠΑΤΡΟΥ Θεσσαλονικέως
εἰς Ἀλκμᾶνα.

Ἀνέρα μὴ πέτρῃ τεκμαίρεο. λιτὸς ὁ τύμβος
    Ὀφθῆναι, μεγάλου δ᾽ ὀστέα φωτὸς ἔχει.
Εἰδήσεις Ἀλκμᾶνα, λύρης ἐλατῆρα Λακαίνης
    Ἔξοχον, ὃν μουσῶν ἐννέ᾽ ἀριθμὸς ἔχει.
Κεῖται δ᾽ ἠπείροις διδύμαις ἔρις, εἴθ᾽ ὅγε Λυδός,
    Εἴτε Λάκων. πολλαὶ ματέρες ὑμνοπόλων.

ANTIPATRI Thessalonicensis in Alcmanem. 44.

Virum non ex lapide diiudica. vilis est tumulus
    Intuitu, magni verò ossa viri habet.
Scies Alcmanem,lyræ agitatorem Lacænæ

Eximium, quem muſarum nouem numerus habet.
Iacet verò continentibus duabus contentio. annè hic Lydus,
An verò Lacon. Multæ patriæ poëtarum.

ΛΕΩΝΙΔΟΥ εἰς τὸν αὐτόν.

Τὸν χαρίεντ' Ἀλκμᾶνα, τὸν ὑμνητῆρ' ὑμεναίων
Κύκνον, τὸν μουσῶν ἄξια μελψάμενον,
Τύμβος ἔχει, Σπάρτης μεγάλαν χάριν. εἴθ' ὅγε Λυδὸς,
Ἄχθος ἀπορρίψας, οἴχεται εἰς ἀΐδην.

LEONIDÆ in eundem. 45.

Gratioſum Alcmanem, & cantorem Hymenæorum
Cygnum, muſis qui digna cecinit,
Tumulus habet, Spartæ magnam gratiam. Siue hic Lydus,
Onus abiiciens, abiit ad inferos.

ΑΝΤΙΠΑΤΡΟΥ Σιδωνίου εἰς Ἀνακρέοντα.

Θάλλοι τετρακόρυμβος Ἀνάκρεον ἀμφὶ σὲ κισσὸς,
Ἁβρά τε λειμώνων πορφυρέων πέταλα·
Πηγαὶ δ' ἀργινόεντος ἀναθλίβοιντο γάλακτος·
Εὐῶδες δ' ἀπὸ γῆς ἡδὺ χέοιτο μέθυ.
Ὄφρα κέ τοι σποδιή τε καὶ ὀστέα τέρψιν ἄρηται
Εἰ δή τις φθιμένοις χρίμπτεται εὐφροσύνη.

ANTIPATRI SIDONII in Anacreontem. 46.

Floreſcat quatuor corymbos habẽs Anacreon circa te hedera,
Et venuſta pratorum purpureorum folia.
Fontéſque nitidi exprimantur lactis:
Et benefragrans ex terra dulce fundatur vinum.
Vt tibi cineres & oſſa delectationem capiant:
Si verò mortuos quædam afficit voluptas.

Εἰς τὸν αὐτόν.

Ὦ τὸ φίλον στέρξας φίλε βάρβιτον, ὦ σὺν ἀοιδᾷ
Πάντα διαπλώσας καὶ σὺν ἔρωτι βίον.

In eundem. 47.

O charum qui amaſti, amice, barbitum, ô cum cantu

Omnem traducens & cum amore vitam.

ΣΙΜΩΝΙΔΟΥ εἰς τὸν αὐτόν.

Ἡμερὶ πολυθέλκτειρα μεθυτρόφε μῆτερ ὀπώρης
    Οὔλης, ἣ σκολιὸν πλέγμα φύουσ' ἕλικος,
Τηΐου ἡβήσαιας Ἀνακρείοντος ἐπ' ἄκρῃ
    Στήλῃ, καὶ λεπτῷ χώματι τοῦδε τάφου.
Ὡς ὁ φιλάκρητός τε καὶ οἰνοβαρὴς φιλόκωμος,
    Παννύχιος κρούοι τὴν φιλόπαιδα χέλυν·
Κἢν χθονὶ πεπτηὼς, κεφαλῆς ἐφύπερθε φέροιτο
    Ἀγλαὸν ὡραίων βότρυν ἀπ' ἀκρεμόνων·
Καί μιν ἀεὶ τέγγοι νοτερὴ δρόσος, ἧς ὁ γεραιὸς
    Λαρότερον μαλακῶν ἔπνεεν ἐκ στομάτων.

SIMONIDIS in eundem. 48.

O vitis omnes demulcens vini nutrix, mater fructus
    Crispi, cui tortile contextum producis claviculæ,
Teij pubescas Anacreontis in summâ
    Columnâ, & tenui aggere huius tumuli.
Vt vini amator, & ebrius comessator,
    Totâ nocte pulset puerum amantem citharam:
Et in terram prolapsus super caput ferat
    Splendidam tempestiuis vuam à ramis:
Et ipsum semper irriget humidus ros, quo senex
    Dulciùs molli spirabat ex ore.

Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Οὗτος Ἀνακρείοντα τὸν ἄφθιτον εἵνεκα μουσῶν
    Ὑμνοπόλον πάτρης τύμβος ἐδέξατο Τέω.
Ὃς χαρίτων πνείοντα μέλη, πνείοντα δ' ἐρώτων,
    Τὸν γλυκὺν ἐς παίδων ἵμερον ἡρμόσατο.
Μοῦνος δ' εἰν Ἀχέροντι βαρύνεται, οὐχ ὅτι λείπων
    Ἠέλιον, λήθης ἐνθάδ' ἔκυρσε δόμων·
Ἀλλ' ὅτι τὸν χαρίεντα μετ' ἠιθέοισι Μεγιστέα,
    Καὶ τὸν Σμερδίεω Θρῆκα λέλοιπε πόθον.

Μολπῆς δ' οὐ λήθη μελιτερπέος, ἀλλ' ἔτ' ἐκεῖνο
  Βάρβιτον οὐδὲ θανὼν εὔνασεν εἰν ἀΐδῃ.

Eiuſdem in eundem. 49.

Hic Anacreontem immortalem propter Muſas
  Poëtam patriæ tumulus accepit Tei.
Qui Gratiarum ſpirantia carmina, ſpirantia verò amorum
  Dulcem ad puerorum amorem applicauit.
Solus autem in Acheronte dolet, non quòd relinquens
  Solem, Lethes hic inciderit domum:
Sed quòd gratioſum inter adoleſcentes Megiſthea
  Et Smerdæ Thracium reliquerit amorem.
Carminis verò non eſt obliuio melliti, ſed adhuc illud
  Barbitum ne mortuum quidem ſopiuit in inferno.

ΑΝΤΙΠΑΤΡΟΥ εἰς τὸν αὐτόν.

Ξεῖνε, τάφον παρὰ λιτὸν Ἀνακρείοντος ἀμείβων,
  Εἴ τί τοι ἐκ βίβλων ἦλθεν ἐμῶν ὄφελος,
Σπεῖσον ἐμῇ σποδιῇ, σπεῖσον γάνος, ὄφρα κεν οἴνῳ
  Ὀστέα γηθήσῃ τἀμὰ νοτιζόμενα.
Ὡς ὁ Διωνύσου μεμελημένος οὔασι κῶμος,
  Ὡς ὁ φιλακρήτου σύντροφος ἁρμονίης,
Μηδὲ καταφθίμενος, Βάκχου δίχα τοῦτον ὑποίσω
  Τὸν γενεῇ μερόπων χῶρον ὀφειλόμενον.

Antipatri in eundem. 50.

Hoſpes tumulum paruum apud Anacreontis tranſiens,
  Si tibi quid ex libris meis venit vtilitatis,
Liba meo cineri, liba vinum, vt vel vino
  Oſſa litentur mea madefacta.
Vt Bacchi qui curæ fuit auribus comus,
  Vt vinolentæ alumnus harmoniæ,
Neque mortuus, ſine Baccho hunc ſufferam,
  Generi mortalium locum debitum.

Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Εἴης ἐν μακάρεσσιν Ἀνάκρεον, εὖχος Ἰώνων,
  Μήτ' ἐρατῶν κώμων ἄνδιχα, μήτε λύρης·

Υγρὰ δὲ δερκομένοισιν ἐν ὄμμασιν οὖλον ἀείδοις
    Αἰθύσσων λιπαρῆς ἄνθος ὕπερθε κόμης.
Ηὲ πρὸς Εὐρυπύλην τετραμμένος ἠὲ Μεγίστην,
    Η Κίκονα Θρηκὸς Σμερδίεω πλόκαμον,
Ηδὺ μέθυ βλύζων, ἀμφίβροχος εἵματα Βάκχῳ,
    Ακρητον θλίβων νέκταρ ἀπὸ σαλίκων.
Τρισσοῖς γὰρ, Μούσαισι, Διονύσῳ, καὶ Ερωτι,
    Πρέσβυ, κατεσπείσθη πᾶς ὁ τεὸς βίοτος.

Eiuſdem in eundem. 51.

Sis inter beatos Anacreon, gloria Ionum,
    Neque ſine amabili laſciuiâ, neque lyrâ:
Laſciuè vt intuentibus in oculis ſuauiter cantes
    Extendens vnctam florem ſuper comam.
Siue ad Eurypylem conuerſus, ſiue Megiſten,
    Vel Ciconem Thracis Smerdei crinem.
Dulce merum effundens, vndiq; irrigatus veſtimenta Baccho,
    Merum exprimens nectar à calicibus vnguentariis.
Tribus enim, Muſis, Baccho, & Amori,
    Senex, dedicata fuit omnis tua vita.

Εἰς τὸν αὐτόν.

Ω ξένε, τόνδε τάφον τὸν Ανακρείοντος ἀμείβων,
    Σπεῖσόν μοι παριών· εἰμὶ γὰρ οἰνοπότης.

In eundem. 52.

O hoſpes, hoc ſepulcrum Anacreontis tranſiens,
    Liba mihi præteriens: ſum enim vinibiba.

ΑΝΤΙΠΑΤΡΟΥ Σιδωνίου εἰς τὸν αὐτόν.

Εὕδεις ἐν φθιμένοισιν Ανάκρεον, ἐσθλὰ πονήσας·
    Εὕδει δ' ἡ γλυκερὴ νυκτιλάλος κιθάρα·
Εὕδει καὶ Σμέρδις, τὸ πόθων ἔαρ, ᾧ σὺ μελίσδων
    Βάρβιτ' ἀνεκρούου νέκταρ ἐναρμόνιον.
Ηϊθέων γὰρ ἔρωτος ἔφυς σκοπός· εἰς σὲ δὲ μοῦνον
    Τόξα τε καὶ σκολιὰς εἶχεν ἑκηβολίας.

ANTIPATRI Sidonij in eundem. 53.

Dormis inter mortuos, Anacreon, cùm bona feceris:
 Dormit & ſuauis noctiloqua cithara:
Dormit & Smerdis, ô amorum ver, cui tu canens
 Barbite pulſabas nectar concordans.
Iuuenum enim amoris fuiſti ſcopus: in te verò vnum
 Sagittas & incuruas habuit iaculationes.

Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Τύμβος Ἀνακρείοντος· ὁ Τήιος ἐνθάδε κύκνος
 Εὕδει, χἡ παίδων ζωροτάτη μανίη.
Ἀκμὴν ἔτι λυρόεν μελίζεται ἀμφὶ Βαθύλλῳ
 Ἵμερα, καὶ κισσοῦ λευκὸς ὄδωδε λίθος.
Οὐδ' ἀΐδης σοι ἔρωτας ἀπέσβεσεν, ἐν δ' Ἀχέροντος
 Ὢν, ὅλος ὠδίνεις Κύπριδι θερμοτέρῃ.

Eiuſdem in eundem. 54.

Tumulus Anacreontis: Teius hic cygnus
 Dormit, & puerorum meraciſſima inſania.
Adhuc deſiderabili modulatur pro Bathyllo
 Deſideranda, & hederæ albus redolet lapis.
Neque mors tibi amores extinxit, in Acheronte autem
 Exiſtens, totus parturis venere calidiore.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων Αἰγυπτίου, εἰς τὸν αὐτόν.

Πολλάκι μὲν τόδ' ἄεισα, καὶ ἐκ τύμβου δὲ βοήσω,
 Πίνετε, πρὶν ταύτην ἀμφιβάλησθε κόνιν.

IVLIANI imperatorum Ægypti, in eundem. 55.

Sæpius hoc cecini, & in tumulo clamabo,
 Bibite, antequam hunc induatis cinerem.

Εἰς τὸν αὐτόν.

Πολλὰ πιὼν τέθνηκας Ἀνάκρεον, ἀλλὰ τρυφήσας·
 Καὶ σὺ δὲ, μὴ πίνων, ἵξεαι εἰς ἀΐδην.

In eundem. 56.

Multa bibens mortuus es Anacreon, ſed deliciatus:
 Et tu ſanè, licèt nihil bibas, venies in infernum.

Ἄδηλον, εἰς Καλλίμαχον.

Ὦ μάκαρ ἀμβροσίῃσι συνέστιε φίλτατε μούσαις,
Χαῖρε καὶ εἰν Ἀΐδεω δώμασι Καλλίμαχε.

Incerti in Callimachum. 57.

O beate ambrosiis conuictor amicissime musis,
Salue etiam inferni Callimache in domibus.

Εἰς τὸν αὐτόν.

Ὦ μέγα Βαττιάδαο σοφοῦ περίπυστον ὄνειαρ,
Ἦ ῥ᾽ ἐτεὸν κεράων οὐδ᾽ ἐλέφαντος ἔφυς.
Τοῖα γὰρ ἄμμιν ἔφηνας ἅ τ᾽ οὐ πάρος ἀνέρες ἴσμεν,
Ἀμφί τε ἀθανάτους, ἀμφί τε ἡμιθέους.
Εὖτέ μιν ἐκ Λιβύης ἀναείρας εἰς Ἑλικῶνα,
Ἤγαγες ἐν μούσαις Πιερίδεσσι φέρων·
Αἱ δέ οἱ εἰρομένῳ ἀμφ᾽ Ὠγυγίων ἡρώων
Αἴτια, καὶ μακάρων, εἶρον ἀμειβόμεναι.

In eundem. 58.

O magnum Battiadæ sapientis certum insomnium,
Certè verum licet non è cornu, neque ebore fuisti.
Talia enim nobis demonstrasti, quæ non antea homines noui-
Et de Diis & de semideis. (mus,
Cùm illud somnium ex Libya sublatum in Heliconem
Duxisti, inter musas Pierides ferens:
Hæ verò ipsi percontanti de priscis heroibus
Causam, & beatis, dixerunt respondentes.

ΚΑΛΛΙΜΑΧΟΥ εἰς τὸν ἑαυτοῦ πατέρα.

Ὅστις ἐμὸν παρὰ σῆμα φέρεις πόδα, Καλλιμάχου με
Ἴσθι Κυρηναίου παῖδά τε καὶ γενέτην.
Εἰδείης δ᾽ ἄμφω κεν· ὁ μέν ποτε πατρίδος ὅπλων
Ἦρξεν, ὁ δ᾽ ἤεισεν κρείσσονα βασκανίης.
Οὐ νέμεσις· μοῦσαι γὰρ ὅσους ἴδον ὄμματι παῖδας,
Ἄχρι βίου πολιοὺς οὐκ ἀπέθεντο φίλους.

CALLIMACHI in suum patrem. 59.

Quicunque ad meum sepulcrum fers pedem, Callimachi me
Scito Cyrenæi filium & patrem.
Cognosces verò ambos: alter olim patriæ armis
Imperauit, hic verò cecinit superiora inuidiâ.
Ne indigneris. Musæ enim quos viderunt oculis pueros,
Vsque ad vitam, canos non à se alienant amicos.

ΑΝΤΙΠΑΤΡΟΥ εἰς Ἴβυκον.

Ἴβυκε, λῃσαί σε κατέκτανον ἔκ ποτε νήσου
Βάντ᾽ ἐς ἐρημαίην ἄστιβον ἠϊόνα·
Πόλλ᾽ ἐπιβωσάμενον γεράνων νέφος, αἵ τοι ἵκοντο
Μάρτυρες ἄλγιστον ὀλλυμένῳ θάνατον.
Οὐδὲ μάτην ἰάχησας, ἐπεὶ ποινή τις ἐρινὺς
Τῶνδε διὰ κλαγγὴν τίσατο σεῖο φόνον,
Σισυφίην κατὰ γαῖαν. ἰὼ φιλοκερδέα φῦλα
Ληϊστέων, τί θεῶν οὐ πεφόβησθε χόλον;
Οὐδὲ γὰρ ὁ προπάροιθε κανὼν Αἴγισθος ἀοιδὸν
Ὄμμα μελαμπέπλων ἔκφυγεν Εὐμενίδων.

ANTIPATRI in Ibycum. 60.

Ibyce, latrones te occiderunt olim ex insulâ
Digressi ad desertum inuium littus:
Multùm inclamantem gruum nubem, quæ veniebant
Testes acerbissimâ pereunti morte.
Neque frustra inclamasti, quando pœna quædam Erynnys
Harum per clangorem vlta est tuam mortem,
Sisyphia in terrâ. Eheu! lucrum amantes generationes
Latronum, quid Deûm non formidastis iram?
Neque enim qui prius occidit Ægisthus vatem
Oculum nigrarum fugerat Eumenidum.

Ἄδηλον, εἰς τὸν αὐτόν.

Ῥήγιον Ἰταλίης τεναγώδεος ἄκρον ἀείδω,
Αἰεὶ Τρινακρίου γευομένης ὕδατος,
Οὕνεκα τὸν φιλέοντα λύρην, φιλέοντα δὲ παῖδας

Ἴβυκον εὐφύλλῳ θῆκεν ὑπὸ πτελέῃ,
Τῇδέ τι πολλὰ παθόντα· πολὺν δ' ὑπὸ σήματι κισσὸν
Χεῦατο, καὶ λευκοῦ φυταλιὴν καλάμου.

Incerti in eundem. 61.

Regium Italiæ luculentæ summum cano,
Semper Trinacriam gustantis aquam,
Eo quòd amantem lyram, amantem pueros
Ibycum bene foliata posuit sub vlmo,
Hîc multa passum: multam verò in tumulo hederam
Fudit, & albi plantationem calami.

ΑΝΤΙΠΑΤΡΟΥ εἰς Στησίχορον

Στησίχορον ζαπληθὲς ἀμέτρητον στόμα μούσης,
Ἐκτέρισεν Κατάνας αἰθαλόεν δάπεδον·
Οὗ, κατὰ Πυθαγόρεω φυσικὰν φάτιν, ἁ πρὶν Ὁμήρου
Ψυχὰ ἐν στέρνοις δεύτερον ᾠκίσατο.

ANTIPATRI in Stesichorum. 62.

Stesichorum valde plenum, & immensum os musæ,
Humauit Catanæ splendidum solum,
Cuius, iuxta Pythagoræ physicum sermoné, quæ prius Homeri
Anima in pectore posteriùs habitauit.

ΠΙΝΥΤΟΥ εἰς Σαπφώ.

Ὀστέα μὲν καὶ κωφὸν ἔχει τάφος οὔνομα Σαπφοῦς·
Αἱ δὲ σοφαὶ κείνης ῥήσιες, ἀθάνατοι.

PINYTI In Sappho. 63.

Ossa quidem & mutum habet tumulus nomen Sapphus:
Sapientes verò eius versus, immortales.

ΤΥΛΛΙΟΥ Λαύρεα εἰς τὴν αὐτήν.

Αἰολικὸν παρὰ τύμβον ἰών, ξένε, μή με θανοῦσαν
Τὰν Μιτυληναίαν ἔννεπ' ἀοιδοπόλον.
Τόνδε γὰρ αἱ θεράπων ἔκαμον χέρες· ἔργα δὲ φωτῶν
Ἐς ταχινὴν ἔρρει τοιάδε ληθεδόνα.
Ἢν δέ με μουσέων αἰτίσῃς χάριν, ὧν ἀφ' ἑκάστης
Δαίμονος ἄνθος ἐμῇ θῆκα παρ' ἐννεάδι.

Γνώσεαι ὡς ἀΐδαο σκότος ἔκφυγον, ὡς οὔ τις ἔσται
Τῆς λυρικῆς Σαπφοῦς νώνυμος ἠέλιος.

TYLLII Laureæ in eandem. 64.

Æolicum ad tumulum accedens, hoſpes, ne me mortuam
Mitylenæam dicito poëtidem.
Hunc enim hominum fabricarunt manus: opera verò hominũ
In celerem euaneſcunt talem obliuionem.
Si verò me muſarum roges gratiâ, quarum ab vnaquaque
Deâ florem mea poſui in Enneade,
Cognoſces quomodo Orci tenebras effugerim, neque aliquis
Lyricæ Sapphus obſcurus Sol. (erit

Ἀδήλου εἰς τὴν αὐτήν.

Οὔνομά μεν Σαπφώ· τόσσον δ' ὑπερέσχον ἀοιδᾶν
Θηλειᾶν, ἀνδρῶν ὅσσον ὁ Μαιονίδας.

Incerti in eandem. 65.

Nomen meum Sappho: tantum verò ſuperaui cantatrices
Mulieres, quantum viros Mæonides.

ΑΣΚΛΗΠΙΑΔΟΥ εἰς Ἤρινναν.

Ὁ γλυκὺς Ἠρίννης οὗτος πόνος, οὐχὶ πολὺς μὲν,
(Ὡς ἂν παρθενικᾶς ἐννεακαιδεκέτευς)
Ἀλλ' ἑτέρων πολλῶν δυνατώτερος· εἰ δ' ἀΐδας μοι
Μὴ ταχὺς ἦλθε, τίς ἂν ταλίκον ἔσχ' ὄνομα;

ASCLEPIADIS in Erinnam. 66.

Dulcis Erinnæ hic labor, non multus quidem,
(Vtpote virginis nouemdecim annorum)
Sed reliquis multis potentior: ſi verò mors mihi
Non cita veniſſet, quis vnquam tantum habuiſſet nomen?

Ἀδέσποτον εἰς τὴν αὐτήν.

Ἄρτι λοχευομένην σε μελισσοτόκων ἔαρ ὕμνων,
Ἄρτι δὲ κυκνείῳ φθεγγομένην στόματι,
Ἤλασεν εἰς Ἀχέροντα διὰ πλατὺ κῦμα καμόντων
Μοῖρα, λινοκλώστου δεσπότις ἠλακάτης·
Σὸς δ' ἐπέων Ἤριννα καλὸς πόνος οὔ σε γεγωνε

φθίσθαι, ἔχειν δὲ χορούς ἄμμιγα Πιερίσιν.

Incerti in eandem. 67.

Nuper parturientem te ab apibus genitorum ver hymnorum,
Nuper te Cygnæo loquutam ore,
Impulit ad Acheronta per latum fluctum mortuorum
Parca, filum nentis domina coli:
Tuus verò carminum, Erinna, elegans labor, non te clamat
Mortuam esse, sed habere choros inter Pierides.

ΛΕΩΝΙΔΟΥ εἰς τὴν αὐτήν.

Παρθενικὴν νεαοιδὸν ἐν ὑμνοπόλοισι μέλισσαν
Ἤρινναν, μουσῶν ἄνθεα δρεπτομένην,
Ἅδης εἰς ὑμέναιον ἀνήρπασεν. ἦ ῥα τόδ᾽ ἔμφρων
Εἶπ᾽ ἐτύμως ἁ παῖς βάσκανος ἐσσ᾽ ἀΐδη.

LEONIDÆ in eandem. 68.

Virginem iuuenem inter Poëtas apem
Erinnam, musarum flores decerpentem,
Mors in hymenæum rapuit. Profectò hoc sapiens
Dixit verè puella, inuidus es Acheron.

ΑΝΤΙΠΑΤΡΟΥ εἰς τὴν αὐτήν.

Παυροεπὴς Ἤριννα, καὶ οὐ πολύμυθος ἀοιδαῖς,
Ἀλλ᾽ ἔλαχεν μούσας τοῦτο τὸ βαιὸν ἔπος.
Τοιγάρτοι μνήμης οὐκ ἤμβροτεν, οὐδὲ μελαίνης
Νυκτὸς ὑπὸ σκιερῇ κωλύεται πτέρυγι.
Αἱ δ᾽ ἀναρίθμητοι νεαρῶν σωρηδὸν ἀοιδῶν
Μυριάδες λήθῃ, ξεῖνε, μαραινόμεθα.
Λωΐτερος κύκνου μικρὸς θρόος, ἠὲ κολοιῶν
Κρωγμὸς, ἐν εἰαριναῖς κιδνάμενος νεφέλαις.

ANTIPATRI in eandem. 69.

Pauciloqua Erinna, & non verbosa cantibus,
Sed sortitum est musas hoc exiguum carmen.
Igitur memoria non caret, neque nigræ
Noctis sub vmbrosa cohibetur alâ.
At verò innumeræ recentiorum coaceruatim poëtarum
Myriades obliuione, ô hospes, contabescimus.

Est melior cycni modicus cantus, quàm graculorum
Cornicatio, in vernis quæ dissipatur nubibus.

ΕΙΣ ἄλλους τινὰς ποιητὰς αἰωνύμους.

Εἰς Μελέαγρον.

Ἀτρέμας ὦ ξένε βαῖνε· παρ' εὐσεβέσι γὰρ ὁ πρέσβυς
Εὕδει, κοιμηθεὶς ὕπνον ὀφειλόμενον,
Εὐκράτεω Μελέαγρος, ὁ τὸν γλυκύδακρυν ἔρωτα,
Καὶ μούσας ἱλαραῖς συστολίσας χάρισιν.
Ὃν θεόπαις ἤνδρωσε Τύρος, Γαδάρων θ' ἱερὴ χθών·
Κῶς δ' ἐρατὴ Μερόπων πρέσβυν ἐγηροτρόφει.
Ἀλλ' εἰ μὲν Σύρος ἐσσὶ, Σαλάμ· εἰ δ' οὖν σύγε φοῖνιξ,
Ναίδιος· εἰ δ' Ἕλλην, χαῖρε. τὸ δ' αὐτὸ φράσον.

In alios quosdam Poëtas recentiores. In Meleagrum. 70.

Sensim, ô hospes, transi: apud pios enim hic senex
Dormit, dormiens somnum debitum,
Eucratis filius Meleager, qui dulcilacrumem amorem,
Et musas hilaribus ornauit gratiis.
Quem Dei filia virũ firmauit Tyrus, & Sadarorum sacra terra:
Cos verò amabilis Meropum senem in senio enutriuit.
Sed siquidem Syrus, Salam. Si verò tu Phœnix
Nædius. Si verò Græcus, chære. Idem tu dic *mihi*.

Εἰς τὸν αὐτόν.

Πτανὲ, τί σοι σιβύνη, τί δὲ καὶ συὸς ἥδε δέρμα;
Καὶ τίς ἐὼν, στάλας σύμβολον ἐστὶ τίνος;
Οὐ γὰρ ἔρωτ' ἐνέπω σε. τί γὰρ νεκύεσσι πάρεργος
Ἵμερος; αἰάζει δ' ὁ θρασὺς οὐκ ἔμαθεν.
Οὐδὲ μὲν οὐδ' αὐτὸν ταχύπουν κρόνον ἔμπαλι γὰρ δὴ
Κρῖος μὲν τρίβων, σοὶ δὲ τέθηλε μέλη.
Ἀλλ' ἄρα (ναὶ δοκέω γὰρ) ὁ γῆς ὑπένερθε, σοφιστὴς
Ἐστί. σὺ δ' ὁ πτερόεις τοὔνομα τοῦδε λόγοις.
Ἀελίῳ δ' ἀμφῆκες ἔχεις γῆρας ἔς τε γέλωτα
Καὶ σπουδὴν, καί που μέτρον ἐρωτογράφον.

Ναὶ μὴν δὴ Μελέαγρον ὁμώνυμον Οἰνέος υἱῷ
Σύμβολα σημαίνει ταῦτα συοκτασίης.
Χαῖρε καὶ ἐν φθιμένοισιν· ἐπεὶ καὶ μοῦσαν ἔρωτι
Καὶ χάριτας σοφίαν εἰς μίαν ἡρμόσαο.

In eundem. 71.

Aliger adolescens, quid tibi bipennis, & quid suis placuit pellis?
Et qui existens, cippi symbolum es cuius.
Non enim amorem te dico. quid enim cum mortuis inhabita-
Amor? Lamentari audax ille non didicit. (tor
Neque ipsum velocem Saturnum. Rursus enim
Ille quidem ter senex, tibi autem florent membra.
Verum sanè (certè enim opinor) sub terra Sophista
Es. Tu autem aliger secundùm nomen illius sermo.
In vita anceps habes munus siue in iocis
Siue in seriis, & in versibus de amore scribentibus.
Quinetiam Meleagrum cognominem Oenei filio
Indicia significant hæc interfectionis apri.
Salue etiam in mortuis: postquam & musam amori
Et gratias ad vnam sapientiam adaptasti.

ΠΑΥΛΟΥ Σιλεντιαρίου εἰς Δαμόχαριν.

Δαμόχαρις μοίρης πυμάτην ὑπεδύσατο σιγήν.
Φεῦ, τὸ καλὸν μούσης βάρβιτον ἠρεμέει.
Ὤλετο γραμματικῆς ἱερὴ βάσις, ἀμφιρύτη Κῶς,
Καὶ πάλι πένθος ἔχεις οἷον ἐφ' Ἱπποκράτει.

PAVLI Silentiarij in Democharin. 72.

Democharis parcæ vltimum subiit silentium:
Heu, pulchrum musæ barbitum tacet!
Grammaticæ periit sermo sacer. Circumflua Cos,
Et rursus luctum habes qualem ob Hippocratem.

ΑΓΑΘΙΟΥ εἰς Εὐστόργιον.

Μηδὲν ἀπαγγείλῃς ἐς Ἀντιόχειαν, ὁδῖτα,
Μὴ πάλιν οἰμώξῃ χεύματα Κασταλίης.
Οὕνεκεν ἐξαπίνης Εὐστόργιος ἔλλιπε μοῦσαν,

Θεσμοῖ

Θέσμιά τ' Αὐσονίων ἐλπίδα ματιδίην,
Ἑβδόματον δέκατόν τε λαχὼν ἔτος. ἐς δὲ κονίην
Ἠμείφθη κενεὴν ἄσταχυς ἡλικίη.
Καὶ τὸν μὲν κατέχει χθόνιος τάφος, ἀντὶ δ' ἐκείνου,
Οὔνομα καὶ γραφίδων χρώματα δερκόμεθα.

AGATHII in Eustorgium. 72.

Nihil annuncies in Antiochiam, viator,
Ne rursus lugeant flumina Castaliæ.
Quòd subitò Eustorgius reliquit musam,
Legúmque Ausoniarum spem frustraneam.
Septimum & decimum consecutus annum. In verò cinerem
Mutata est vanum florens iuuenta.
Et hunc quidem cohibet terrestris tumulus, pro illo autem
Nomen & picturæ colores cernimus.

Ἄδηλον εἰς Θεόδωρον.

Κάτθανε μὲν Θεόδωρος, ἀοιδοπόλων δὲ παλαιῶν
Πληθὺς οἰχομένη νῦν θάνεν ἀτρεκέως.
Πᾶσα γὰρ ἐμπνείουσα συνέπνεε, πᾶσα δ' ἀπέσβη
Σβεννυμένου. κρύφθη δ' εἰν ἑνὶ πάντα τάφῳ.

Incerti in Theodorum. 73.

Mortuus est Theodorus, vatum verò priscorum
Multitudo periens nunc periit verè.
Omnis enim viuente Theodoro vnà spirabat, omnis verò ex-
Extincto. Abscōdita v. sunt in vno omnia tumulo. (tincta est

ΙΟΥΛΙΑΝΟΥ εἰς τὸν αὐτόν.

Μνῆμα σὸν ὦ Θεόδωρε πολυατρεκὲς οὐδ' ἐνὶ τύμβῳ,
Ἀλλ' ἐν βιβλιάδων μυριάσι σελίδων,
Αἷσιν ἀεὶ ζώγρησας ἀπολλυμένων ἀπὸ λήθης
Ἁρπάξας νεαρῶν μόχθον ἀοιδοπόλων.

IVLIANI in eundem. 74.

Monumentum tuum, ô Diodore, reuera neque in tumulo,
Sed in librorum mille paginis,
Quibus in vitam reuocas, mortuorum ab obliuione

Rapiens ſapientum laborem Poëtarum.

Τοῦ αὐτοῦ.

Οὔτι φύσις θήλεα, καὶ τὰ ἑξῆς, ζήτει ἐν τοῖς ἐμπροσθεν ἐν τῷ ιε κεφ. τῷ εἰς κιθαρῳδούς.

Ἄδηλον, εἰς Λεωνίδην.

Πολλὸν ἀπ' Ἰταλίης κεῖμαι χθονός, ἔκ τε Τάραντος
  Πάτρης· τοῦτο δέ μοι πικρότερον θανάτου.
Τοιοῦτος πλανίων ἄβιος βίος· ἀλλά με μοῦσαι
  Ἔστερξαν. λυγρῶν δ' ἀντὶ μελιχρὸν ἔχω.
Οὔνομα δ' οὐκ ἤμυσε Λεωνίδου· αὐτά με δῶρα
  Κηρύσσει μουσέων πρὸς πάντας ἐπ' ἠελίους.

Incerti in Leonidam. 75.

Procul ab Italiæ iaceo terrâ, áque Tarento
  Patria: hoc verò mihi acerbius morte.
Talis erronum non vitalis vita: ſed me muſæ
  Amarunt. pro triſtibus iucundum ſolatium habeo.
Nomen autem non periit Leonidæ: ipſa me munera
  Annunciant muſarum omnes in ſoles.

ΔΙΟΝΥΣΙΟΥ εἰς Φαινόκριτον.

Πρώϊος, ἀλλὰ ποθεινὸς ὅσοι πόλιν Ἠλυσίοιο
  Ναιόμεθ', εἰς λήθης πικρὸν ἔδυς πέλαγος,
Δρεψάμενος σοφίην ὀλίγον χρόνον· ἀμφὶ δὲ τύμβῳ
  Σῷ καὶ ἄκλαυτοι γλαῦκες ἔθεντο γόον,
Φαινόκριτ'. οὐδὲν ὅμοιον ἐπ' ἐσσομένοισιν ἀοιδὸς
  Φθέγξεται, αἰ θνητοὺς ἄχρι φέρωσι πόδες.

DIONYSII in Phænocritum. 76.

Maturior, ſed deſiderabilis, quotquot vrbem Elyſij
  Habitamus, in obliuionis acerbum ſubiiſti mare,
Decerpens ſapientiam per exiguũ tempus: circa verò tumulũ
  Tuum etiam indefletæ noctuæ poſuerunt gemitum,
Phænocrite. Nihil ſimile in futurum vates
  Dicet, homines quamdiu ferent pedes.

ΑΛΚΑΙΟΥ εἰς Πυλάδην.

Πᾶσά σοι οἰχομένῳ Πυλάδη κωκύεται Ἑλλὰς,
    Ἄπλεκτον χαίτην ἐν χροῒ κεκαρμένα.
Αὐτὸς δ' ἀτμήτοιο κόμας ἀπεθήκατο δάφνας
    Φοῖβος, ἑὸν τιμῶν ἦ θέμις ὑμνοπόλον.
Μοῦσαι δ' ἐκλαύσαντο· ῥόον δ' ἔστησεν ἀκούων
    Ἀσωπὸς, γοερῶν ἦχον ἀπὸ στομάτων.
Ἔλληξεν δὲ μέλαθρα Διονύσοιο χορείης,
    Εὖτε σιδηρείην οἶμον ἔβης ἀΐδεω.

ALCÆI in Pyladem. 77.

Omnis tibi mortuo, Pylades, lacrumatur Græcia,
    Incompositam comam ad cutem detondens.
Ipſe verò intonſæ comas depoſuit Daphnæ
    Phœbus, ſuum honorans qua fas poëtam.
Muſæ verò lacrumatæ ſunt: flumen autem inhibuit audiens
    Aſopus, lamentantibus ſonum ab oribus.
Deſierant verò domus Bacchi choreæ,
    Cùm ferream viam iuiſti inferni.

ΕΙΣ ΠΟΙΜΕΝΑΣ, κεφ. κϛ.

ΔΙΟΤΙΜΟΥ, οἱ δὲ, ΛΕΩΝΙΔΟΥ,
εἰς Θηρίμαχον.

Αὐτόματοι δειλαὶ ποτὶ ϛαῦλιον αἱ βόες ἦλθον
    Ἐξ ὄρεος, πολλῇ νιφόμεναι χιόνι.
Αἰ, αἰ, Θηρίμαχος δὲ παρὰ δρυῒ τὸν μακρὸν εὕδει
    Ὕπνον· ἐκοιμήθη δ' ἐκ πυρὸς οὐρανίου.

IN PASTORES, Cap. XXVII.

DIOTIMI vt alij LEONIDÆ, in Therimachum. 1.

Spontaneæ timidæ ad ſtabulum vaccæ venerunt
    Ex monte, multâ aſperſæ niue.
Hei, hei, Therimachus verò prope quercum longum dormit
    Somnum: iacet verò ex igne cæli.

ΕΡΥΚΙΟΥ εἰς τὸν αὐτόν.

Οὐκ ἔτι συρίζων νόμιον μέλος ἀγρόθι ταύτας
  Ἁρμόζῃ βλωθρᾶς Θηρίμαχε πλατάνου.
Οὐδέ σε ἐκ καλάμων κεραοὶ βόες ἁδὺ μέλισμα
  Δέξονται, σκιερῇ πὰρ δρυῒ κεκλιμένοι.
Ὤλεσε γὰρ πρηστήρ σε κεραύνιος· αἱ δ' ἐπὶ μάνδρας
  Ὀψὲ βόες νιφετῷ ἀπερχόμεναι κατέβαν.

ERYCII in eundem. 2.

Non amplius fistulans pastorale carmen prope hanc
  Aptabis proceram Therimache platanum.
Nec te è labore cornutæ boues suaue carmen
  Accipient, vmbrosa sub quercu recubante.
Perdidit enim turbo te fulmineus: hæ verò ad stabulum
  Serò boues niue aspersæ ibant.

ΚΑΛΛΙΜΑΧΟΥ εἰς Ἀστακίδην.

Ἀστακίδην τὸν Κρῆτα τὸν αἰπόλον ἥρπασε νύμφη
  Ἐξ ὄρεος· καὶ νῦν ἱερὸς Ἀστακίδης
Οἰκεῖ Δικταίῃσιν ὑπὸ δρυσίν. οὐκ ἔτι Δάφνιν
  Ποιμένες, Ἀστακίδην δ' αἰὲν ἀεισόμεθα.

CALLIMACHI in Astacidem. 3.

Astacidem Cretensem pastorem rapuit Nympha
  Ex monte: & nunc sanctus Astacides
Habitat Dictæis sub quercubus. Non amplius Daphnidem
  Pastores, Astacidem verò semper canemus.

ΛΕΩΝΙΔΟΥ.

Ποιμένες οἳ ταύτην ὄρεος ῥάχιν οἰοπολεῖτε,
  Αἶγας κ' εὐμάλλους ἐμβατέοντες ὄις,
Κλειταγόρῃ (πρὸς γῆς) ὀλίγην χάριν ἀλλὰ προσηνῆ
  Τίνοιτε, χθονίης εἵνεκα Φερσεφόνης.
Βληχήσαιντ' ὄιές μοι, ἐπ' ἀξέστοιο δὲ ποιμὴν
  Πέτρης συρίζοι πρηέα βοσκομέναις.
Εἴαρι δὲ πρώτῳ λειμώνιον ἄνθος ἀμέρσας
  Χωρείτης στεφέτω τύμβον ἐμὸν στεφάνῳ.

Καί τις ἀπ' οἰάρνοιο καὶ χραίνοιτο γάλακτος,
Οἰὸς ἀμολγαῖον μαστὸν ἀναχόμενος,
Κρηπῖδ' ὑγραίνων ἐπιτύμβιον· εἰσὶ θανόντων,
Εἰσὶν ἀμοιβαῖαι κἀν φθιμένοις χάριτες.

LEONIDÆ. 4.

Paſtores qui hoc montis dorſum pererratis,
Capras & lanigeras ineuntes oues,
Clitagoræ (per terram) paruam gratiam oro, ſed promptam,
Impendite, terreſtrem ob Proſerpinam.
Vtinam balent oues mihi, in impolitâ autem paſtor
Petrâ canat ſuauiter paſcentibus.
Primo verò vere pratenſem florem decerpens
Viator, coronet tumulum meum corolla.
Atque aliquis ouino inungat lacte,
Ouis nondum exſiccatam mamillam comprimens,
Fundamentum irrigans ſepulcrale. Sunt autem mortuorum,
Sunt remuneratrices & in mortuis Gratiæ.

ΜΥΡΙΝΟΥ.

Θύρσις ὁ κωμήτης, ὁ τὰ νυμφικὰ μῆλα νομεύων,
Θύρσις ὁ συρίζων Πανὸς ἴσον δόνακι,
Ἔνδιος, οἰνοπότης, σκιερὴν ὑπὸ τὴν πίτυν εὕδει.
Φρυρεῖ δ' αὐτὸς ἑλὼν ποίμνια βάκτρον ἔρως.
Α, νύμφαι, νύμφαι, διεγείρατε τὸν λυκοθαρσῆ
Βοσκὸν, μὴ θηρῶν κύρμα γένηθ' ὁ ἔρως.

MYRINI. 5.

Thyrſis paganus virginales oues paſcens,
Thyrſis canens Panis æquale fiſtulæ,
In meridie, ebrius, vmbroſa ſub hac pinu dormit.
Cuſtodit verò ipſe capiens pedum gregem Amor.
O, nymphæ, nymphæ, excitate lupos contemnentem
Paſtorem, ne ferarum laniena fiat amor.

ΕΙΣ ΠΟΛΕΙΣ, καὶ κτλ.

Ἀδέσποτον.

Απάρος εὔδμητος καὶ ἀνέμβατος ὦ Λακεδαῖμον,
Καπνὸν ἐπ' Εὐρώτα δέρκεαι Ωλένιον,
Ασκιος· οἰωνοὶ δὲ κατὰ χθονὸς οἰκία θέντες,
Μύρονται, μήλων δ' οὐκ ἀΐουσι λύκοι.

IN VRBES, Cap. XXVIII.

Incerti. 1.

Prius bene ædificata & inaccessibilis, ô Lacedæmon,
Fumum apud Eurotam iam aspicis Olenium,
Vmbra carens: aues verò in terra nidos ponentes,
Lugent, oues autem non audiunt lupi.

ΕΙΣ ΠΤΩΧΟΥΣ, κεφ. κη.

ΚΑΛΛΙΜΑΧΟΥ.

Εἶχον ἀπὸ σμικρῶν ὀλίγον βίον, οὔτε τι δεινὸν
Ρέζων, οὔτ' ἀδικῶν οὐδένα, γαῖα φίλη,
Μίκυλος· εἴ τι πονηρὸν ἐπῄνεσα, μήτε σὺ κούφη
Γίνεο, μήτ' ἄλλοι δαίμονες οἵ μ' ἔχετε.

IN MENDICOS, Cap. XXIX.

CALLIMACHI. I.

Habebam è tenuibus exiguum victum. neque quidquam mali
Faciens, nec iniuria adficiens quenquam, amica terra,
Micvlus: quòd si quid praui laudaui, neque tu leuis
Mihi fias, neque alij Dæmones, qui me cohibetis.

ΕΙΣ ΠΟΝΗΡΟΥΣ, κεφ. κθ.

ΚΡΙΝΑΓΟΡΟΥ.

Τὴν δ' ὑπὸ δενδρολίβανον ὁ θλιβὲν ἀπὸ φωτὸς ἀλιτροῦ
Οστέα μισητῆς τύμβος ὑπὲρ κεφαλῆς,
Στέρνα τε πλεῦρα δόλοιο, καὶ οὐκ εὐοδμον ἰδόντων

Πείονα, καὶ κώλων δούλιον οἰοπέδην,
Αἴσχεα καὶ κόρσην Εὐνιδίκου ἡμιπύρωτα
Λείψαν', ἔτι χλωρῆς ἔμπλεα τηκεδόνος.
Χθὼν ὦ δυσνύμφευτε, κακοσκήνεας ἐπὶ τέφρης
Ἀνδρὸς μὴ κούφη κέκλισο, μηδ' ὀλίγη.

IN MALOS, Cap. XXX.

CRINAGORÆ. I.

Hac ſub infelici gleba comprimit terra viri mali
Oſſa odioſi tumulus ſuper caput,
Pectoráque plena doli,& malè olentem dentium
Seriem,& membrorum ſeruilem compagem,
Depilatúmque caput Eunidici, ſemimutilatas
Reliquias,adhuc flaua plena ſanie.
Terra ô infeliciter *ſcelerato* deſponſata, malum tentorium ſu-
Viri neque leuis incumbas,neque pauca. (per cinerem

ΕΙΣ ΡΗΤΟΡΑΣ, κεφ. λα.

ΛΕΟΝΤΙΟΥ σχολαστικοῦ.

Χαιρεδίου τόδε σῆμα, ὃν ἔτρεφεν Ἀτθὶς ἄρουρα,
Εἰκόνα ῥητήρων τῆς προτέρης δεκάδος·
Ῥηϊδίως πείθοντα δικασπόλον· ἀλλὰ δικάζων,
Οὔποτε τῆς ὀρθῆς οὐδ' ὅσον ἐτράπετο.

IN RHETORAS, Cap. XXXI.

LEONTII Scholaſtici. I.

Cheridij hoc ſepulcrum,quem nutriit Attica tellus,
Imaginem Rhetorum prioris decadis:
Facile perſuadentem iudicem:ſed iudicans,
Nunquam à recto ne tantillum quidem diuertebat.

Τοῦ αὐτοῦ.

Πέτρου ὁρᾷς ῥητῆρος ἀεὶ γελόωσαν ὀπωπήν,
  Ἐξόχου εἰν ἀγοραῖς, ἐξόχου ἐν φιλίῃ.
Ἐν δὲ Διωνύσου θεήμασιν ὤλετο μοῦνος,
  Ὑψόθεν ἐκ τέγεος σὺν πλεόνεσσι πεσών.
Βαιὸν ἐπιζήσας, ὅσον ἤρκεσε. τοῦτον ἔγωγε
  Ἄγελον οὐ καλέω, τὸν δὲ φύσει θάνατον.

Eiusdem. 2.

Petri vides rhetoris semper ridentem faciem,
  Eximij inque foro, eximij in amicitiâ.
In Dionysij verò spectans periit solus,
  Altè ex tecto cum pluribus decidens.
Cùm modicum superuiueret, quantum satis erat. Hanc
  Violentam non dico, sed ex naturâ mortem.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων Αἰγυπτίου.

Ἡ φύσις ὠδίνασα πολὺν χρόνον, ἀνέρ' ἔτικτεν
  Ἄξιον εἰς ἀρετὴν τῶν προτέρων ἐτέων,
Τὸν κρατερὸν σοφίην τε καὶ οὔνομα, τὸν καὶ ἀνιγροῖς
  Κινήσαντα γόοις δάκρυον ἀντιπάλοις.
Εἰ δὲ νέος τέθνηκεν, ὑπὲρ περὶ νήματα μοίρης
  Μέμφεο, βουλομένης κόσμον ἄκοσμον ἔχειν.

IVLIANI imperatorum Ægypti. 3.

Natura parturiens multum tempus, virum generauit,
  Dignum in virtutem priorum annorum,
Fortem sapientia & nomine, qui etiam crudelibus
  Excitabat gemitu lacrumas aduersariis.
Quod verò iuuenis mortuus est, suspensa pensa parcæ
  Accusa, volentis mundum immundum habere.

Τοῦ αὐτοῦ,

Ὦ φθέγμα Κρατερεῖο, τί σοι πλέον, εἴγε καὶ αὐδῆς
  Ἔπλεο καὶ σιγῆς αἴτιον ἀντιπάλοις;

Ζῶντος μὲν γὰρ, ἅπαντες ἐφώνεον· ἐκ δὲ τελευτῆς
　Ὑμετέρης ἰδίην αὖθις ἔδησαν ὄπα.
Οὔτις γὰρ μετὰ σεῖο μόρον τέτληκε τανύσαι
　Ὦτα λόγοις· Κρατερῷ δ' ἓν τέλος ἠδὲ λόγοις.

Eiuſdem. 4.

O facundia Crateri, quæ tibi inde vtilitas, licèt & ſermonis
　Fueris & ſilentij cauſſa hoſtibus?
Viuente te quidem omnes garriebant: ex morte autem
　Veſtra propriam rurſus ligauerunt vocem
Nemo enim poſt tuam mortem ſuſtinuit adhibere
　Aures ſermonibus: Cratero verò vnus finis, & ſermonibus.

Αδηλον.

Ενθάδε τὴν ἱερὴν κεφαλὴν σορὸς ἥδε κέκευθεν
　Αετίου, χρυσοῦ ῥήτορος εὐεπέος.
Ηλθεν δ' εἰς ἀΐδαο δέμας, ψυχὴ δ' ἐς ὄλυμπον.
　Αθάνατον ποιεῖ δ' οὐ λόγος, οὔτε θεός.

Incerti. 5.

Hîc ſacrum caput tumulus hic tegit
　Aëthij, boni rhetoris eloquentis.
Venit verò ad infernum corpus, anima verò ad olympum.
　Immortalem verò facit neque ſermo, neque deus.

Αδηλον.

Αντιπάτρου ῥητῆρος ἐγὼ τάφος· ἡλίκα δ' ἔπνει
　Εργα, Πανελλήνων πεύθεο μαρτυρίης.
Κεῖται δ' ἀμφήριστος, Αθηνόθεν, εἴτ' ἀπὸ Νείλου
　Ην γένος· ἠπείρων δ' ἄξιος ἀμφοτέρων.
Αστεα καὶ δ' ἄλλως ἑνὸς αἵματος, ὡς λόγος ἐστί·
　Κλήρῳ δ' ἡ μὲν, ἀεὶ Παλλάδος, ἡ δὲ, Διός.

Incerti. 6.

Antipatri rhetoris ego tumulus: quàm grandia autem ſpirabat
　Opera, omnium Græcorum exquire teſtimonium.
Iacet verò controuerſus, ex Athenis, an verò à Nilo
　Sit genere. Continentibus certè dignus vtriſque.

Ciuitates hæ alioqui vnius sanguinis, vt sermo est:
Sorte autem hæc quidem semper Palladis, illa verò, Iouis.

ΕΙΣ ΥΙΟΥΣ ΚΑΙ ΘΥΓΑΤΕΡΑΣ, κεφ. λβ.

ΔΙΟΤΙΜΟΥ.

Τί πλέον εἰς ὠδῖνα πονεῖν; τί δὲ, τέκνα τεκέσθαι;
Μὴ τέκοι, εἰ μέλλοι παιδὸς ὁρᾶν θάνατον.
Ἠϊθέῳ γὰρ σῆμα Βιάνορι χεύατο μήτηρ·
Ἔπρεπε δ᾽ ἐκ παιδὸς μητέρα τοῦδε τυχεῖν.

IN FILIOS ET FILIAS, Cap. XXXII.

DIOTIMI. 1.

Quid commodi est ex dolore partus cruciari? quid autem liberos gignere?
Ne generet, si visurus est filij mortem.
Iuueni enim sepulcrum Bianori aggessit mater:
Decebat verò à filio matrem hoc consequi.

Αδέσποτον.

Υἱῷ πατὴρ τόδε σῆμα, τὸ δ᾽ ἔμπαλιν ἦν τὸ δίκαιον·
Ἦν δὲ δικαιοσύνης ὁ φθόνος ὀξύτερος.

Incerti. 2.

Filio pater hoc sepulcrum, contrarium autem fieri iustum erat:
Erat verò iustitiâ inuidia velocior.

ΛΕΩΝΙΔΟΥ.

Ταὶ στάλαι ἐχάραξε Βιαίωρ οὐκ ἐπὶ ματρὶ,
Οὐδ᾽ ἐπὶ τῷ γενέτᾳ, τύμβοι ὀφειλόμενον,
Παρθενικᾷ δ᾽ ἐπὶ παιδὶ κατέστενε δ᾽ οὐχ ὑμεναίῳ,
Ἀλλ᾽ αἴδᾳ νύμφαν δωδεκέτιν κατάγων.

LEONIDÆ. 3.

Columnam exarauit Bianor non matri,
Neque patri, tumulum debitum,
Sed virgini puellæ: dolet verò quòd non nuptiis,
Sed Plutoni sponsam duodecim annorum adducat.

ΦΙΛΙΠΠΟΥ.

Λατύπος Ἀρχιτέλης Ἀγαθάνορι παιδὶ θανόντι
Χερσὶν ὀϊζυραῖς ἡρμολόγησε τάφον,
Αἰαῖ, πέτρον ἐκεῖνον, ὃν οὐκ ἐκόλαψε σίδηρος,
Ἀλλ' ἐτάκη πυκινοῖς δάκρυσι τεγγόμενος.
Φεῦ, στήλη, φθιμένῃ κούφη μένε, κεῖνος ἵν' εἴπῃ,
Ὄντως πατρῴη χεὶρ ἐπέθηκε λίθον.

PHILIPPI. 4.

Scalptor Architeles Agathanori filio mortuo
Manibus miseris concinnauit tumulum,
Hei, hei, petram illam, quam non incîdit ferrum,
Sed contabuit crebris lacrumis irrigata.
Hei, columna, mortuæ leuis mane, ille vt dicat,
Vere paterna manus imposuit lapidem.

ΣΙΜΩΝΙΔΟΥ.

Ἐνθάδε Πυθώνακτα κασιγνήτην τε κέκευθε
Γᾶ, ἐρατῆς ἥβης πρὶν τέλος ἄχρον ἰδεῖν.
Μνῆμα δ' ἀποφθιμένοισι πατὴρ μέγ' ἄριστον ἔθηκεν
Ἀθάνατον, θνητοῖς παισὶ χαριζόμενος.

SIMONIDÆ. 5.

Hîc Pythonactem & sororem tegit
Terra, amabilis iuuentæ antequam summum finem videret,
Monumentum verò pater valde optimum posuit
Immortale, mortuis pueris gratificans.

Ἀδηλον.

Αἲ, αἲ, Ἀριστοκράτεια, σὺ μὲν βαθὺν εἰς Ἀχέροντα
Οἴχεαι, ὡραίου κεκλιμένα πρὶν γάμου·
Ματρὶ δὲ δάκρυα σᾷ καταλείπεται, ἃ ἐπὶ τύμβῳ
Πολλάκι κεκλιμένας κωκύει ἐκ κεφαλᾶς.

Incerti. 6.

Hei,hei,ô Aristocratea,tu quidem profundum in Acherótem
Discedis, tempestiuas mortua ante nuptias:
Matri verò lacrumæ tuæ relinquuntur,cuius in tumulo
Sæpius reclinato luget capite.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Καὶ τίς ὃς οὐκ ἔτλη κακὸν ἔσχατον, υἷα κλαύσας
Ἀλλ' ὁ Ποσειδίππου πάντας ἔθαψε δόμος,
Τέσσαρας, οὓς ἀίδαο συνήλυθεν ἥρπασεν ἦμαρ,
Τὴν πολλὴν παίδων ἐλπίδα κειραμένου.
Πατρὸς δ' ὄμματα λυγρὰ καταμβρυνθέντα γόοισιν,
Ὤλετο. κοινὴ που νὺξ μία πάντας ἔχει.

APOLLONIDÆ. 7.

Et quis,qui non sustinuit extremum malum,filium luxit?
Sed Posidippi omnes sepeliuit domus,
Quatuor,quos mortis eiusdem numeri rapuit dies,
Multam puerorum spem abscindentis.
Patris verò oculi tristes madefacti gemitu,
Perierunt.Communis nox vna omnes habet,

ΛΕΩΝΙΔΟΥ.

Α δείλ' Ἀντίκλεις, δειλὴ δ' ἐγὼ ἡ τὸν ἐν ἥβης
Ἀκμῇ καὶ μοῦνον παῖδα πυρωσαμένη,
Ὀκτωκαιδεκέτης ὃς ἀπώλεο τέκνον· ἐγὼ δὲ,
Ὀρφάνιον κλαίω γῆρας ὀδυρομένη,
Βαίην εἰς ἀίδος σκιερὸν δόμον. οὔτε μοι ἠὼς
Ἡδεῖ', οὔτ' ἀκτὶς ὠκέος ἠελίου.
Α, δείλ' Ἀντίκλεις, μεμορημένε, πένθεος εἴης
Ἰητὴρ, ζωῆς ὅγε κομισσάμενος.

LEONIDÆ. 8.

Hei miser Anticles,misera autem ego in iuuentæ
Flore,& vnum puerum rogo imponens,
Octodecim annos natus qui mortuus es puer:ego verò,
Viduatum fleo senium lugens,

Vtinam irem ad orci opacam domum. Neque mihi aurora
    Grata, neque fulgur velocis solis.
Hei, miser Anticles, adflicte, luctus sis
    Medicus, vitam qui sanctè produxisti.

ΑΝΤΙΠΑΤΡΟΥ.

Τοῦτό τοι Ἀρτεμίδωρε τεῷ ἐπὶ σήματι μήτηρ
    Ἴαχε, δωδεκέτη σὸν γοάουσα μόρον,
Ὤλετ' ἐμᾶς ὠδῖνος ὁ πᾶς πόνος, εἰς πόνον, εἰς πῦρ·
    Ὤλετο Παμμένεος γειναμένου κάματος·
Ὤλετ' ἀπ' ἀνθ' ἧς μοι τέρψις σέθεν. ἐς γὰρ ἄκαμπτον,
    Ἐς τὸν ἀνίστητον χῶρον ἔβης ἐνέρων·
Οὐδ' ἐς ἐφηβείην ἐλθὼν τέκος. ἀντὶ δὲ σεῖο,
    Στάλα καὶ κωφὰ λείπεται ἄμμι κόνις.

ANTIPATRI. 9.

Hoc tibi Artemidore tuo in sepulcro mater
    Clamauit, duodecim annorum tuam lugens mortem,
Periit mei partus omnis labor, in dolorem, in rogum:
    Periit Pammenis qui genuit fatigatio:
Periit euanida mihi voluptas tua. Nam in inflexibilem,
    Et irremeabilem locum iuisti mortuorum:
Neque ad adolescentiam peruenisti puer. Pro te autem,
    Columna & surdus relinquitur nobis cinis.

Ἀδήλου.

Οἰκτροτάταν μάτηρ σε Χαρίξενε δῶρον ἐς ᾅδαν
    Ὀκτωκαιδεκέτην ἐστόλισε χλαμύδι.
Ἦ γὰρ δὴ καὶ πέτρος ἀνέστενεν, ἀνίκ' ἀπ' οἴκων
    Ἅλικες οἴμωξαν σὸν νέκυν ἀχθοφόρευν.
Πένθος δ' οὐχ' ὑμέναιον ἀνωρύοντο γυναῖκες,
    Αἶ, αἶ, τὰς μαστῶν ψευδομένας χάριτας,
Καὶ κενεὰς ὠδῖνας. ἰὼ κακοπάρθενε μοῖρα,
    Σπειρογόνας στοργὰν ἔπτυσας εἰς ἀνέμους.

Incerti. 10.

Miserabilissimam mater te ego Charixene munus ad inferos

Octodecim annorum ornauit chlamyde.
Nempe & petra ingemiſcebat, cùm ex ædibus
Iuuenes cognati cum fletu te mortuum portabant.
Luctum autem non Hymenæum vlulabant mulieres.
Hei, hei, vberum mentientes gratias,
Et vanos partus! Io inimica virginibus parca,
Spirogonæ amorem diſiecisti in ventos.

ΑΝΥΤΗΣ.

Λοίσθια δὴ τάδε πατρὶ φίλῳ περὶ χεῖρε βαλοῦσα
Εἶπ' Ἐρατὼ, χλωροῖς δάκρυσι λειβομένα,
Ὦ πάτερ, οὔ τοι ἔτ' εἰμὶ, μέλας δ' ἐμὸν ὄμμα καλύπτει
Ἤδη ἀποφθιμένης κυάνεος θάνατος.

ANYTÆ. 11.

Vltima hæc patri charo circa manus amplectens
Dixit Erato, teneris lacrumis conſperſa,
O pater, non amplius ſum. Nigra verò meum oculum occulit
Iam morientis atra mors.

Τῆς αὐτῆς.

Πολλάκι τῷδ' ὀλοφυδνὰ κόρας ἐπὶ σάματι Κλεινὼ
Μάτηρ ὠκύμορον παῖδ' ἐβόασε, φίλαν
Ψυχὰν ἀγκαλέουσα Φιλαινίδος, ἃ πρὸ γάμοιο
Χλωρὸν ὑπὲρ ποταμοῦ χεῦμ' Ἀχέροντος ἔβα.

Eiuſdem. 12.

Sæpius hoc lugubriter puellæ in ſepulcro inclyta
Mater citò morientem filiam inclamauit, charam:
Animam euocans Philænidis, quæ ante nuptias
Viridem ſuper fluuij fluctum Acherontis iuit.

ΠΕΡΣΟΥ.

Ὤλεο δὴ πρὸ γάμοιο Φιλαίνιον, οὐδέ σε μάτηρ
Πυθιὰς ὡραίους ἤγαγεν ἐς θαλάμους
Νυμφίου· ἀλλ' ἐλεεινὰ καταδρύψασα παρειὰς,
Τεσσαρακαιδεκέτιν τῷδ' ἐκάλυψε τάφῳ.

PERSÆ. 1.

Mortua eſt ante nuptias Philænium, neque te mater

Pythias tempestiuos duxit in thalamos
Sponsi: sed misera dilacerans genas,
Quatuordecim annorum hoc occulit in tumulo.

ΕΙΣ ΦΙΛΟΣΟΦΟΥΣ, κεφ. λγ'

ΑΝΤΙΠΑΤΡΟΥ εἰς Σωκράτην.

Ἠ θαμαλὴν ὑπέδυς ὁπόσος κόνιν, εἰς σέ τις ἀθρῶν
Σώκρατες, Ἑλλήνων μέμψεται ἀκρισίην.
Νηλέες, οἳ τὸν ἄριστον ἀπώλεσαν. οὐδὲν ἐν ᾅδου
Δόντες. τοιοῦτοι πολλάκι Κεκροπίδαι.

IN PHILOSOPHOS, Cap. XXXIII.

ANTIPATRI in Socratem. 1.

An terreum subiisti tantus cinerem, in te quis intuens
Socrates, Græcorum reprehendet iniustum iudicium.
Crudeles, qui optimum perdiderunt, nihil in orcum
Dantes. Tales sæpiùs Athenienses.

Εἰς Πλάτωνα.

Γαῖα μὲν ἐν κόλποις κρύπτει τόδε σῶμα Πλάτωνος,
Ψυχὴ δ', ἀθανάτων τάξιν ἔχει μακάρων,
Υἱοῦ Ἀρίστωνος· τόν τις καὶ τηλόθι ναίων
Τιμᾷ ἀνὴρ ἀγαθὸς, θεῖον ἰδόντα βίον.

IN PLATONEM. 2.

Terra quidem in gremio corpus tegit hocce Platonis,
Ast anima, deorum ordinem habet beatorum,
Filij Aristonis: quem quis etiam procul habitans
Honorat vir bonus, qui diuinam vidit vitam.

Εἰς τὸν αὐτόν.

- Αἰετὲ, τίπτε βέβηκας ὑπὲρ τάφου. ἢ τίνος, εἰπὲ,
Ἀστερόεντα θεῶν οἶκον ἀποσκοπέεις.
- Ψυχῆς εἰμὶ Πλάτωνος ἀποπταμένης ἐς Ὄλυμπον
Εἰκών· σῶμα δὲ γῆ γηγενὲς Ἀτθὶς ἔχει.

In eundem. 3.

Aquila quid ascendisti super tumulum, aut cuius, dic,
Stellatam Deorum domum ex alto speculatis.
Animæ sum Platonis euolantis in olympum
Imago: corpus autem terra terrâ ortum Attica habet.

ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ

εἰς τὸν αὐτόν.

Καὶ πῶς, εἰ μὴ Φοῖβος ἀν' Ἑλλάδα φῦσε Πλάτωνα,
Ψυχὰς ἀνθρώπων γράμμασιν ἠκέσατο;
Καὶ γὰρ ὁ τοῦδε γεγὼς Ἀσκληπιός, ἐστὶν ἰητὴρ
Σώματος, ὡς ψυχῆς ἀθανάτοιο Πλάτων.

DIOGENIS LAERTII in eundem. 4.

Et quomodo? si non Phœbus in Græcia generasset Platonem,
Animas hominum literis curasset?
Nam & hinc ortus Asclepius, est medicus
Corporis, vt animæ immortalis est Plato.

Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Φοῖβος ἔφυσε βροτοῖς Ἀσκληπιὸν ἠδὲ Πλάτωνα·
Τὸν μέν, ἵνα ψυχήν, τὸν δ', ἵνα σῶμα σάοι.
Δαισάμενος δὲ γάμον, πόλιν ἤλυθεν, ἥν ποθ' ἑαυτῷ
Ἔκτισε, καὶ δαπέδῳ Ζηνὸς ἐνιδρύσατο.

Eiusdem in eundem. 5.

Phœbus produxit hominibus Asclepium atque Platonem,
Hunc quidem, vt animum, illum vt corpus sanet.
Instruens verò nuptias, in vrbem venit, quam quondam sibi ipsi
Fecit, in fundamento Iouis stabiliuit.

ΣΠΕΥΣΙΠΠΟΥ εἰς τὸν αὐτόν.

Σῶμα μὲν ἐν κόλποις κατέχει τόδε γαῖα Πλάτωνος,
Ψυχὴ δ' ἰσοθέων τάξιν ἔχει μακάρων.

SPEVSIPPI in eundem. 6.

Corpus quidem in gremio cohibet hoc terra Platonis,
Anima verò deis æqualem ordinem habet beatorum.

Εἰς Δημόκριτον.

Ἦν ἄρα

Ἦν ἄρα Δημοκρίτοιο γέλως τόδε· καὶ τάχα λέξει,
Οὐκ ἔλεγον γελόων, πάντα πέλουσι γέλως;
Καὶ γὰρ ἐγὼ σοφίην μετ' ἀπείρονα, καὶ τόσα βίβλων
Τοσσατίων, κεῖμαι νέρθε τάφοιο γέλως.

In Democritum. 7.

Erat ſanè Democriti riſus hic: & fortè dicet,
Nonne ridens dixi, omnia ſunt riſus?
Nam & ego ſapientiam poſt infinitam, & verſus librorum
Tot, iaceo ſub tumulo riſus.

ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ
εἰς τὸν αὐτόν.

Καὶ τίς ἔφυ σοφὸς ὧδε; τίς ἔργον ἔρεξε τοσοῦτον
Ὅσσον ὁ παντοδαὴς ἤνυσε Δημόκριτος;
Ὃς θάνατον παρεόντα τρί' ἤματα δώμασιν ἔσχεν,
Καὶ θερμοῖς ἄρτων ἄσθμασιν ἐξένισεν.

DIOGENIS LAERTII in eundem. 8.

Et quis eſt ſapiens hic? quis opus affecit tantum
Quantum omniſcius excogitauit Democritus?
Qui mortem preſentem tres dies domi tenuit,
Et calidis panum odoribus hoſpitio excepit.

Ἄδηλον εἰς τὸν αὐτόν.

Εἰ καὶ ἀμειδήτων νεκύων κατὰ γαῖαν ἀνάσσεις
Φερσεφόνη, ψυχὴν δέξαι σὺ Δημοκρίτου,
Εὐμενέως γελόωσαν· ἐπεὶ καὶ σεῖο τεκοῦσαν,
Ἀχνυμένην ἐπὶ σοὶ, μοῦνος ἔκαμψε γέλως.

Incerti in eundem. 9.

Quamuis non ridentibus mortuis ſub terra imperas
Proſerpina, animam ſuſcipe Democriti,
Beneuolè ridentem: quando & tuam matrem,
Dolentem propter te, ſolus flexit riſus.

Εἰς Διογένη τὸν κύνα.

Τὸν κύνα Διογένην νεκυοστόλε δέξο με πορθμεῦ,
Γυμνώσαντα βίου παντὸς ἐπισκύνιον.

In Diogenem Canem. 10.

Canem Diogenem cadauerum vector ſuſcipe me portitor,
Denudantem vitæ omnis faſtum.

Εἰς τὸν αὐτόν.

[a]Εἰπὲ κύον τίνος ἀνδρὸς ἐφεστὼς σῆμα φυλάσσεις.
[b]Τοῦ Κυνός.[a]ἀλλὰ τίς ἦν οὗτος ἀνὴρ ὁ Κύων;
[b]Διογένης.[a]γένος εἰπέ;[b]Σινωπεύς.[a]ὃς πίθον ᾤκει;
[b]Καὶ μάλα. νῦν δὲ θανὼν ἀστέρας οἶκον ἔχει.

In eundem. 11.

[a]Dic canis cuius viri ſuperſtans tumulum ſeruas.
[b]Canis.[a]Sed quis vir erat canis hic?
[b]Diogenes. [a]Genus dic.[b] Sinopenſis.[a]qui dolium habitat?
[b]Maximè.iam verò mortuus ſtellas domum habet.

ΑΝΤΙΠΑΤΡΟΥ εἰς τὸν αὐτόν.

Διογένευς τόδε σῆμα σοφοῦ κυνός, ὅς ποτε θυμῷ
Ἄρσενι γυμνήτην ἐξεπόνει βίοτον.
Ὧ μία τις πήρα, μία διπλοΐς, εἷς ἅμ' ἐφοίτα
Σκίπων, αὐτάρκεος ὅπλα σαοφροσύνης.
Ἀλλὰ τάφου τοῦδ' ἐκτὸς ἴτ' ἄφρονες, ὡς ὁ Σινωπεὺς
Ἐχθαίρει φαῦλον πάντα καὶ εἰν ἀΐδῃ.

ANTIPATRI in eundem. 12.

Diogenis hoc ſepulcrum canis, qui quondam animo
Maſculo gymnaſticam elaborauit vitam.
Cui vna quædam pera, vna diplois, vnus ſimul ibat
Baculus, ſeipſa contentæ arma temperantiæ.
Sed tumulum extra hunc ite ſtulti. nam Sinopenſis
Odit malum omnem etiam in inferno.

Εἰς τὸν αὐτόν.

Βάκτρον, καὶ πήρη, καὶ διπλόον εἷμα σοφοῖο
Διογένευς, βιότου φόρτος ὁ κουφότατος.

In eundem. 13.

Baculus, & pera, & duplex veſtis ſapientis
Diogenis, vitæ onus leuiſſimum.

Ὡς ἀπὸ τοῦ Διογένους.

Πάντα φέρω πορθμῆϊ· λέλοιπα γὰρ οὐδὲν ὑπὲρ γῆς.
Ἀλλὰ κύον σαίνοις Κέρβερε τόν με κύνα.

Tanquam Diogenes dicat. 14.

Omnia fero portitori: reliqui autem nihil in terrâ.
Sed tu canis blandiaris cerbere mihi cani.

Ὡς ἀπὸ τοῦ αὐτοῦ.

Αἴδος ὦ νεκυηγὲ, κεχαρμένε δάκρυσι πάντων,
Ὃς βαθὺ πορθμεύεις τοῦτ' Ἀχέροντος ὕδωρ.
Εἰ καί σοι βέβριθεν ὑπ' εἰδώλοισι καμόντων
Ὁλκὰς, μὴ προλίπῃς Διογένη με κύνα.
Ὄλπην καὶ σκίπωνα φέρω καὶ διπλόον εἷμα,
Καὶ πήρην, καὶ σοὶ ναυτιλίης ὀβολόν.
Καὶ ζωὸς τάδε μοῦνον, ἃ καὶ νέκυς ὧδε κομίζω,
Εἶχον· ὑπ' ἠελίου δ' οὔτι λέλοιπα φάει.

Tanquam idem diceret. 15.

Inferni ô cadauerum ductor, lætus es lacrymis omnium,
Qui profundam traiicis hanc Acherontis aquam.
Quamuis tibi onerata est præ vmbris mortuorum
Nauis, ne relinquas Diogenem me canem.
Lecythum & scipionem fero, & duplicem vestem,
Et peram, & tibi pro naulo obolum.
Et viuus hæc solùm, quæ & mortuus hic fero
Habebam: sub solis nihil reliqui luce.

Ἄλλως.

Αἴδεω λυπηρὲ διηκόνε, τοῦτ' Ἀχέροντος
Ὕδωρ ὃς πλώεις πορθμίδι κυανέῃ,
Δέξαι μ', εἰ καί σοι μέγα βρίθεται ὀκρυόεσσα
Βάρεσιν ἀποφθιμένων, τὸν κύνα Διογένην.
Ὄλπη μοι καὶ πήρη ἐφόλκια, καὶ τὸ παλαιὸν
Ἔσθος, χὠ φθιμένους ναυστολέων ὀβολός.
Πάνθ' ὅσα κἠν ζωοῖς ἐπεπάμμεθα, ταῦτα παρ' ἄδην
Ἔρχομ' ἔχων· λείπω δ' οὐδὲν ὑπ' ἠελίῳ.

Aliter. 16.

Inferni dolore afficiens minister, hanc Acherontis
   Aquam, qui nauigas naui atra,
Accipe me, quamuis tibi valde onerata nauis,
   Ob longas prominentias habens à mortuis, canẽ Diogenẽ.
Lecythus mihi & pera sarcina, & antiqua
   Vestis, & mortuos traiiciens obolus.
Omnia quæ in vita induebamus, hæc ad inferos
   Venio habens: reliqui verò nihil sub sole.

ΔΙΟΝΥΣΙΟΥ Κυζικηνοῦ εἰς Ἐρατοσθένην.

Πρηΰτερον γῆράς σε καὶ οὐ κατὰ νοῦσος ἀμαυρὴ
   Ἔσβεσεν· εὐνήθης δ' ὕπνον ὀφειλόμενον,
Ἄκρα μεριμνήσας Ἐρατόσθενες· οὐδὲ Κυρήνη
   Μαῖας ἐπ' ἀτρεύτων ἐντὸς ἔδεκτο τάφων,
Ἀγλαοῦ υἱέ. φίλος δὲ καὶ ἐν ξείνῃ κεκάλυψαι
   Πὰρ τόδε Πρωτῆος κράσπεδον αἰγιαλοῦ.

DIONYSII Cyziceni in Eratosthenem. 17.

Modestior senectus te, & non morbus languidus
   Extinxit: sopitus es somno debito,
Summa contemplatus Eratosthenes: neque Cyrena
   Insana sub æternis extra suscepit sepulcris,
Aglai fili. Charus verò etiam in aliena sepultus es *terra*
   Iuxta hanc Protei oram litoris.

ΑΝΤΙΠΑΤΡΟΥ εἰς τοὺς ἑπτὰ σοφούς.

Ἑπτὰ σοφῶν Κλεόβουλε, σὲ μὲν τεκνώσατο Λίνδος·
   Ἀμφὶ δὲ Σισυφία χθὼν Περίανδρον ἔχει·
Πιττακὸν, ἁ Μιτυλήνα· Βίαντα δὲ, δῖα Πριήνη·
   Μίλητος δὲ Θαλῆν, ἄκρον ἔρεισμα δίκας.
Ἁ Σπάρτα Χίλωνα· Σόλωνα δὲ Κεκροπὶς αἶα·
   Πάντας ἀριζάλου σωφροσύνας φύλακας·

ANTIPATRI in septem sapientes. 18.

Septem ſapientum Cleobule, te quidem genuit Lindus:
Siſyphia verò tellus Periandrum cohibet:
Pittacum, Mytelena: Biantem verò, diua Priene:
Miletus verò Taletem, ſummum ſuſtentaculum iuris.
Sparta Chilonem: Solonem verò Athenienſis terra:
Omnes illuſtris temperantiæ cuſtodes.

Εἰς Θαλῆν.

Τόνδε Θαλῆν Μίλητος Ἰὰς θρέψασ᾽ ἀνέδειξεν
Ἀστρολόγων πάντων πρεσβύτατον σοφίῃ.

In Thaletem. 19.

Hunc Thaletem Miletus Ionica nutriens demonſtrauit
Aſtrologorum omnium antiquiſſimum ſapientiâ.

Εἰς τὸν αὐτόν.

Ἦ ὀλίγον γε τὸ σῆμα, τὸ δὲ κλέος οὐρανόμηκες
Τοῦ πολυφροντίστου τῷδε Θάλητος ὅρη.

In eundem. 20.

Quamuis paruum ſepulcrum, gloriam verò cœlum tangētem
Multam ſapiéntis huius Thaleti vide.

Εἰς τὸν αὐτόν.

Γυμνικὸν αὖ ποτ᾽ ἀγῶνα θεώμενον, Ἠλεῖε Ζεῦ,
Τὸν σοφὸν ἄνδρα Θαλῆν ἥρπασας ἐκ σταδίου.
Αἰνέω ὅττι μιν ἐγγὺς ἀπήγαγες· ἦ γὰρ ὁ πρέσβυς
Οὐκ ἔθ᾽ ὁρᾶν ἀπὸ γῆς ἀστέρας ἠδύνατο.

In eundem. 21.

Gymnicum quondam certamen ſpectantem, Elee Iupiter,
Sapientem virum Thaletem rapuiſti ex ſtadio.
Laudo quòd ipſum propius adduxeris: certè enim hic ſenex
Non amplius videre ex terra ſtellas poterat.

ΚΑΛΛΙΜΑΧΟΥ εἰς Πιττακόν.

Ξεῖνος Ἀταρνείτης τις ἀνείρετο Πιττακὸν οὕτω
Τὸν Μιτυληναῖον, παῖδα τὸν Ὑρράδιον.
Ἄττα γέρον, δοιός με καλεῖ γάμος· ἡ μία μὲν δὴ
Νύμφη, καὶ πλούτῳ καὶ γενεῇ κατ᾽ ἐμέ·

Η δ' ἑτέρη προβέβηκε. τί λώϊον; εἰ δ' ἄγε μοι σὺ
    Βούλευσον ποτέρην εἰς ὑμέναιον ἄγω.
Εἶπεν. ὁ δὲ σκίπωνα, γεροντικὸν ὅπλον, ἀείρας,
    Ηνίδε· κεῖνοί σοι πᾶν ἐρέουσιν ἔπος.
Οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβικας ἔχοντες
    Εστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ.
Κείνων ἔρχεο, φησί, μετ' ἴχνια. χὼ μὲν ἐπέστη
    Πλησίον· οἱ δ' ἔλεγον, τὴν κατὰ σαυτὸν ἔλα.
Ταῦτ' ἀίων ὁ ξεῖνος, ἐφείσατο μείζονος οἴκου
    Δράξασθαι, παίδων κληδόνι συνθέμενος·
Τὴν δ' ὀλίγην ὡς κεῖνος ἐς οἶκον ἐπήγετο νύμφην,
    Οὕτω καὶ σύ γ' ἰὼν τὴν κατὰ σαυτὸν ἔλα.

CALLIMACHI in Pittacum. 22.

Hoſpes Atarnita quiſpiam interrogabat Pittacum ſic
    Mitylenæum, filium Hyrrhadij.
Chare ſenex duplex me vocat thalamus: & vna quidem
    Puella, & diuitiis & genere mihi æqualis:
Altera verò me anteit. Quid melius? age tu mihi
    Conſule quamnam in hymenæum ducam.
Dixit. Hic verò baculum, ſenilia arma, attollens,
    Vide: illi tibi omne dicent verbum.
Illic verò flagellis veloces turbines habentes
    Rotabant lato pueri in triuio.
Ad illos accede, dicit, per veſtigia Et hic quidem aſtitit
    Propè: illi verò dicebant, tibi conuenientem ſume.
Hæc audiens hoſpes, parcebat maiorem domum
    Appetere, puerorum voci aſſentiens:
Paruam verò vt ille in domum deduxit puellam,
    Sic & tu Dion tibi conuenientem ſume.

Εἰς Βίαντα.

Κλεινοῖς ἐν δαπέδοισι Πριήνης φῦντα καλύπτει
    Ηδε Βίαντα πέτρη, κόσμον Ιωσι μέγαν.

In Biantem. 23.

Inclyto in ſolo Prienes natum tegit

Hæc Biantem petra, ornamentum Ionibus magnum.

ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ

εἰς τὸν αὐτόν.

Τῇδε Βίαντα κέκευθα, τὸν ἀτρέμας ἤγαγεν Ἑρμῆς
Εἰς Ἀΐδην, πολιῷ γήραϊ νιφόμενον.
Εἶπε γάρ, εἶπε δίκην ἑτάρου τινός· εἶτ' ἀποκλινθεὶς
Παιδὸς ἐς ἀγκαλίδας, μακρὸν ἔτεινεν ὕπνον.

DIOGENIS LAERTII in eundem. 24.

Hîc Biantem occultaui, quem intrepidus duxit Mars
In infernum, cauâ senectâ vt niue aspersum.
Dixit enim, dixit ius socij cuiusdam: deinde inclinans
Filij in vlnas, longum intendebat somnum.

Τοῦ αὐτοῦ εἰς Ἀνάχαρσιν

Ἐς Σκυθίην Ἀνάχαρσις ὅτ' ἤλυθε πολλὰ μογήσας,
Πάντας ἔπειθε βιοῦν ἤθεσιν Ἑλλαδικοῖς·
Τὸν δ' ἔτι μῦθον ἄκραντον ἐνὶ στομάτεσσιν ἔχοντα
Πτηνὸς ἐς ἀθανάτους ἥρπασεν ὦκα δόναξ.

Eiusdem in Anacharsin. 15.

In Scythiam Anacharsis cùm venit multa laborans,
Omnes persuasit viuere moribus Græcis:
Illum verò adhuc sermonem nondum perfectũ in ore habentẽ
Velox ad deos rapuit citò sagitta.

ΠΛΑΤΩΝΟΣ εἰς Δίωνα τὸν

Συρακούσιον.

Δάκρυα μὲν Ἑκάβῃ τε καὶ Ἰλιάδεσσι γυναιξὶ
Μοῖραι ἐπέκλωσαν δή ποτε γεινομέναις·
Σοὶ δὲ Δίων ῥέξαντι καλῶν ἐπινίκιον ἔργων
Δαίμονες εὐρείας ἐλπίδας ἐξέχεαν.
Κεῖσαι δ' εὐρυχόρῳ ἐν πατρίδι τίμιος ἀστοῖς,
Ὦ ἐμὸν ἐκμήνας θυμὸν ἔρωτι Δίων.

PLATONIS in Dionem Syracusanum. 26.

Lacrymas quidem Hecabæque & Iliadibus mulieribus.

Fata destinarunt olim natis:
Tibi verò Bion facienti pulcrum victoriosum opus
Dæmones lætas spes effuderunt,
Iaces verò spaciosa in patria honoratus ciuibus,
O qui meum in furorem egisti animum amore Dion.

ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ
εἰς Θεόφραστον.

Οὐκ ἄρα τοῦτο μάταιον ἔπος μερόπων τινὶ ἐλέχθη,
Ῥήγνυσθαι σοφίης τόξον ἀνιέμενον.
Δὴ γὰρ καὶ Θεόφραστος, ἕως ἐπόνει μὲν, ἄπηρος
Ἦν δέμας· εἶτ᾽ ἀνεθεὶς, κάτθανε πηρομελής.

DIOGENIS Laërtij in Theophrastum. 27.
Non sanè hoc frustra verbum hominum cuipiam dictum est,
Rumpi sapientiæ arcum extensum.
Sane enim & Theophrastus, quàm diu laborabat, integer
Erat corpore: postea remittens, mortuus est corpore, at mutilatus.

Τοῦ αὐτοῦ, εἰς Ἡρακλείδην.

Ἤθελες ἀνθρώποισι λιπεῖν φάτιν Ἡρακλείδη,
Ὥς ῥα θανὼν, ἐγένου ζωὸς ἅπασι δράκων·
Ἀλλὰ διεψεύσθης σεσοφισμένε. δὴ γὰρ ὁ μὲν θὴρ
Ἦε δράκων· σὺ δὲ, θὴρ οὐ σοφὸς ὢν, ἑάλως.

Eiusdem in Heraclidem: 28.
Voluisti hominibus relinquere sermonem Heraclide,
Quòd mortuus, factus es viuus omnibus draco.
Sed mentitus es per sapientiam decepte. Hæc enim fera
Erat draco: tu verò, fera non sapiens existens, deprehésus es.

Τοῦ αὐτοῦ, εἰς Πυθαγόραν.

Οὐ μόνος ἐμψύχων ἀπέχες χέρας, ἀλλὰ καὶ ἡμεῖς·
Τίς γὰρ ὃς ἐμψύχων ἥψατο, Πυθαγόρη;
Ἀλλ᾽ ὅταν ἑψηθῇ τι καὶ ὀπτηθῇ καὶ ἁλισθῇ,
Δὴ τότε καὶ ψυχὴν οὐκ ἔχον ἐσθίομεν.

Eiusdem in Pythagoram. 29.

Non

Non solus à viuis abstinuisti manus, sed & nos:
Quis autem qui viuentia tetigit, Pythagoras?
Nam quando sunt assata & elixata, & sale condita sunt,
Tunc sanè etiam animam non habentia comedimus.

Τοῦ αὐτοῦ, εἰς τὸν αὐτόν.

Αἶ, αἶ, Πυθαγόρης τί τόσον κυάμους ἐσεβάσθη;
Καὶ θάνε δῆτα φυτοῖς ἄμμιγα τοῖς ἰδίοις.
Χωρίον ἦν κυάμων· ἵνα μὴ τούτους διαπατήσῃ,
Ἐξ Ἀκραγαντίνων κάτθαν' ἐνὶ τριόδῳ.

Eiusdem in Eundem. 30.

Heu, heu, Pythagoras, quid tantum fabas adorauit?
Et mortuus est fabis vnà cum propriis.
Campus erat fabarum: ne verò illas conculcaret,
Ab Agrigentinis cæsus est in triuiis.

Τοῦ αὐτοῦ εἰς Ἐμπεδοκλέα.

Καὶ σύ ποτ' Ἐμπεδόκλεις, διερῇ φλογὶ σῶμα καθήρας,
Πῦρ ἀπὸ κρητήρων ἔκπιες ἀθανάτων.
Οὐκ ἐρέω δ' ὅτι σαυτὸν ἑκὼν βάλες ἐς ῥόον Αἴτνης·
Ἀλλὰ λαθεῖν ἐθέλων, ἔμπεσες οὐκ ἐθέλων.

Eiusdem in Empedoclem. 31.

Et tu quondam Empedocles, rapidâ flammâ corpus purgans,
Ignem è crateribus bibisti deorum:
Non dico, quòd te ipsum sponte conieceris in fluctum Ætnæ:
Sed latere cupiens, incidisti non cupiens.

Τοῦ αὐτοῦ, εἰς τὸν αὐτόν.

Ναὶ μὴν Ἐμπεδοκλῆα θανεῖν λόγος, ὥς ποθ' ἁμάξης
Ἔκπεσε, καὶ μηρὸν κλάσατο δεξιτερόν.
Εἰ δὲ πυρὸς κρητῆρας ἐσήλατο, καὶ πίε τὸ ζῆν,
Πῶς ἂν ἔτ' ἐν Μεγάροις δείκνυτο τοῦδε τάφος;

Eiusdem in Eundem. 32.

Profectò Empedoclē mortuū esse sermo est, cùm olim è curru
Decidit, & crus fregit dextrum.
Si verò igneus Crater abstulit, & bibit immortalitatem,

Quomodo adhuc in Megaris demonstratum est huius sepulcrum?

Ἄδηλον, εἰς Ἐπίχαρμον.

Εἴ τι παραλλάσσει φαέθων μέγας ἥλιος ἄστρων,
Καὶ πόντος ποταμῶν μείζον᾽ ἔχει δύναμιν·
Φαμὶ τοσοῦτον ἐγὼ σοφίᾳ προέχειν Ἐπίχαρμον,
Ὃν πατρὶς ἐστεφάνωσ᾽ ἅδε Συρακοσίων.

Incerti, in Epicharmum. 33.

Quantum superat Phaëton magnus sol stellas,
Et pontus fluuiorum maiorem habet vim:
Tantum ego dico sapientiâ superare Epicharmum,
Quem patria coronauit hæc Syracusorum.

ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ
εἰς Φιλόλαον.

Τὴν ὑπόνοιαν πᾶσι μάλιστα λέγω θεραπεύειν.
Εἰ γὰρ καὶ μὴ δρᾷς, ἀλλὰ δοκεῖς, ἀτυχεῖς.
Οὕτω καὶ Φιλόλαον αἷλε Κρότων ποτὲ πάτρη,
Ὥς μιν ἔδοξε θέλειν δῶμα τύραννον ἔχειν.

DIOGENIS Laërtij in Philolaum. 34.

Suspicionem omnibus maximè dico esse curandam.
Quamuis enim non facias, & tamen videaris, infelix es.
Sic & Philolaum sustulit Croton quondam patria,
Cùm ipsi visus est velle domum tyrannum habere.

Εἰς Ἡράκλειτον.

Πολλάκις Ἡράκλειτον ἐθαύμασα, πῶς ποτε τὸ ζῆν
Ὧδε διαντλήσας δύσμορος εἶτ᾽ ἔθανεν.
Σῶμα γὰρ ἀρδεύουσα κακὴ νόσος ὕδασι, φέγγος
Ἔσβεσεν ἐκ βλεφάρων, καὶ σκότον ἠγάγετο.

In Heracletum. 35.

Sæpe Heracletum demiratus sum quomodo quondam viuere
Sic sustinens infelix postea mortuus est.
Corpus enim irrigans malus morbus aqua, lucem
Extinxit ex oculis, & tenebras adduxit.

Εἰς τὸν αὐτόν.

Ἡράκλειτος ἐγώ· τί με ὦ κάτω ἕλκετ' ἄμουσοι;
    Οὐχ ὑμῖν ἐπόνουν, τοῖς δέ μ' ἐπισταμένοις.
Εἷς ἐμοὶ ἄνθρωπος, τρισμύριοι· οἱ δ' ἀνάριθμοι,
    Οὐδείς. ταῦτ' αὐδῶ καὶ παρὰ Φερσεφόνῃ.

In Eundem. 36.

Heracletus ego: quid me deorſum trahitis indocti?
    Non vobis laborabam, ſed qui me intellexerunt.
Vnus mihi homo, tredecim mille ſunt: innumeri verò,
    Nullus. Hæc dico & apud Proſerpinam.

ΚΑΛΛΙΜΑΧΟΥ εἰς τὸν αὐτόν.

Εἶπέ τις Ἡράκλειτε τεὸν μόρον, ἐς δέ με δάκρυ
    Ἤγαγεν· ἐμνήσθην δ' ὁσσάκις ἀμφότεροι
Ἥλιον ἐν λέσχῃ κατεδύσαμεν. ἀλλὰ σὺ μέν που
    Ξεῖν' Ἁλικαρνασεῦ τετράπαλαι σποδιή·
Αἱ δὲ τεαὶ ζώουσιν ἀηδόνες, ᾗσιν ὁ πάντων
    Ἁρπακτὴς ἀΐδης οὐκ ἐπὶ χεῖρα βαλεῖ.

CALLIMACHI In eundem. 37.

Dixit quis, Heraclete, tuam mortem, in me verò lacrymam
    Excitauit, recordabar enim quoties ambo
Solem inter iocos occidere fecimus. Sed tu quidem
    Hoſpes Halicarnaſſenſis cinis iampridem es
Verùm tuæ viuunt muſæ, quibus omnium
    Raptrix mors non manum iniicit.

ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ
εἰς Ζήνωνα τὸν Ἐλεάτην.

Ἤθελες ὦ Ζήνων, καλὸν ἤθελες ἄνδρα τύραννον
    Κτείνας ἐκλῦσαι δουλοσύνης Ἐλέαν.
Ἀλλ' ἐδάμης. δὴ γάρ σε λαβὼν ὁ τύραννος, ἐν ὅλμῳ
    Κόψε. τί τοῦτο λέγω; σῶμα γὰρ οὐχὶ δέ σε.

DIOGENIS Laërtij in Zenonem Eleatem. 38.

Voluiſti, ô Zenon, bonum voluiſti, virum tyrannum
    Occidens, trahere è ſeruitute Eleam.

Et paupertate Irus, & amicus diis.

Εἰς Δημόκριτον.

Πλούτων δέξο μάκαρ Δημόκριτον, ὥς κεν ἀνάσσων
Αἰὲν ἀμειδήτων, καὶ γελῶντα λάχῃς.

In Democritum. 43.

Pluto accipe beate Democritum, vt cùm imperes,
Semper non ridentibus, etiam ridentem habeas.

ΠΛΑΤΩΝΟΣ.

Νῦν ὅτε μηδὲν Ἄλεξις ὅσον μόνον εἶφ' ὅτι καλὸς
Ὤφθαι, καὶ πάντη πᾶσι περιβλέπεται.
Θυμὲ, τί μηνύεις κυσὶν ὀστέον; εἶτ' ἀνιήσεις
Ὕστερον. οὐχ οὕτω Φαῖδρον ἀπωλέσαμεν;

PLATONIS. 44.

Nunc quando nihil Alexis, quantum solum dic quòd pulcher
Visus est, & vbique omnibus circumspicitur.
O anima quid demonstras canibus os? deinde dolebis
Postea. Nonne sic etiam Phædrum perdidimus?

Ἄδηλον.

Ἐνθάδε Γοργίου Κυνικοῦ κεφαλὴ κατάκειμαι,
Οὐκ ἔτι χρεμπτομένη, οὔτ' ἀπομυσσομένη.

Incerti. 45.

Hîc Gorgij Cynici caput iaceo,
Non amplius exscreans, neque emungens.

ΚΑΛΛΙΜΑΧΟΥ.

Εἴπας ἥλιε χαῖρε Κλεόμβροτος ὡμβρακιώτης,
Ἥλατ' ἀφ' ὑψηλοῦ τείχεος εἰς ἀΐδην,
Ἄξιον οὐδὲν ἰδὼν θανάτου κακὸν, ἀλλὰ Πλάτωνος
Ἓν τὸ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος.

CALLIMACHI. 46.

Dicens Sol valeas Cleombrotus Ambraciota,
In mortem ex altis mœnibus insiluit,
Dignum cùm nullum vidisset morte malum, sed Platonis
Vnum de anima librum relegens.

Ἐν τῷ ἑξῆς τετάρτῳ τμήματι ἐπιγράμματα εἰς θεῶν ἀγάλματα ἔχοντι, καὶ ἀνδρῶν στήλας, καὶ ζώων μορφάς, καὶ ἔτι εἰς τόπους, περιέχεται κεφάλαια τάδε.

In sequenti quarta sectione Epigrammata in Deorum Simulacra habenti, & virorum columnas, & animalium formas, & denique in Locos, comprehenduntur capita hæc.

ΑΝΘΟΛΟΓΙΑΣ ΔΙΑΦΟΡΩΝ

ἐπιγραμμάτων, εἰς ἑπτὰ βιβλία διῃρημένης, τὸ τέταρτον.

ΕΙΣ ΕΙΚΟΝΑΣ ΑΝΔΡΩΝ ΑΓΑΘΩΝ, κεφ. αʹ.

ΛΕΟΝΤΙΟΥ σχολαστικοῦ εἰς εἰκόνα Γαβριήλου ὑπάρχου ἐν Βυζαντίῳ.

Καὶ Φαέθων γραφίδεσσιν ἔχει τύπον· ἀλλὰ χαράσσει
  Ἠέλιον τέχνη, κρυπτομένων φαέων.
Καὶ σὲ σοφὲ πολίαρχε γράφει Γαβριῆλε τέχνη,
  Ἐκτὸς σῶν ἀρετῶν, ἐκ τίς ὅλων καμάτων.

Semper verò in thalamis sopori dans regem,
Omnem adspiras auribus dulcedinem.

ΘΕΟΔΩΡΗΤΟΥ γραμματικοῦ εἰς εἰκόνα ἄρχοντος ἐν Σμύρνῃ.

Ἐκ Φιλαδελφείης ξείνια ταῦτα Φιλίππῳ,
Φράζεο πῶς μνήμων ἡ πόλις εὐνομίης.

THEODORETI Grammatici in imaginem Imperatoris in Smyrnâ. 4.

Ex Philadelphiâ munera hæc Philippo.
Dic quòd memor hæc vrbs bene constitutarum legum.

Ἀδέσποτον.

Μνήμονες οἱ Κᾶρες πολέων εὐεργεσιάων,
Παλμάτιον ἰθυδίκην τόσσον ἀγασσάμενοι.

Incerti. 5.

Memores Cares multorum beneficiorum,
Palmatum iudicia dirigentem tantum admirantes.

ΑΓΑΘΙΟΥ εἰς εἰκόνα τινὸς σοφιστοῦ ἐν Περγάμῳ δοθεῖσαν ἐπὶ πρεσβείᾳ πολιτικῇ.

Τὰς μὲν ὑπὲρ μύθων τε καὶ εὐτροχάλοιο μελίσσης
Εἰκόνας ἱλήκοις δηρὸν ὀφειλομένας·
Νῦν δ' ὑπὲρ ἱδρώτων τε καὶ ἀστυόχοιο μερίμνης,
Τῇδέ σε τῇ γραφίδι στήσαμεν Ἡρακλάμμον.
Εἰ δ' ὀλίγον τὸ γέρας, μὴ μέμφεο. τοῖσδε γὰρ ἡμεῖς
Αἰεὶ τοὺς ἀγαθοὺς ἄνδρας ἀμειβόμεθα.

AGATHII in imaginem cuiusdam Sapientis in Pergamo datam ob legationem ciuilem. 6.

Ob sermonum & volubilis apis
Imagines, clemens esto, cùm dudum debeantur:
Iam verò ob sudores & ciuiles molestias,
Hâc te pictura statuimus Heracsamon.
Licet paruum munus, ne reprehendas. His enim nos
Semper bonos viros remuneramur:

ΛΕΟΝΤΙΟΥ σχολαστικοῦ τοῦ μινωταύρου, εἰς στήλην.

Πέτρον ὁρᾷς χρυσέοισιν ἐν εἵμασιν· αἱ δὲ παρ' αὐτὸν
  Ἀρχαί, ἀμοιβαίων μάρτυρές εἰσι πόνων,
Ἀντολίης πρώτη, καὶ διπλαδίη μετὰ τήνδε
  Κόλχου πορφυρέης, καὶ πάλιν ἀντολίης.

LEONTII Scholastici Minotauri, in columnam. 7.

Petrum vides aureis in vestibus: & penes ipsum
  Magistratus, alternorum testes sunt laborum.
In oriente primus, & geminus post hunc
  Colchi obscuræ, & rursus orientis.

ΙΩΑΝΝΟΥ ποιητοῦ τοῦ Βαρβουκάλλου, εἰς εἰκόνα Συνεσίου σχολαστικοῦ ἐπὶ νίκῃ μάχης ἀνατεθεῖσαν ἐν Βηρυτῷ.

Οὐχὶ παρ' Εὐρώτᾳ μόνον ἀνέρες εἰσὶ μαχηταί,
  Οὐδὲ παρ' Ἰλισσῷ μνάμονές εἰσι δίκας.
Ὡς ἀπὸ τᾶς Σπάρτας, ὡς αὐτᾶς ἀστὸν Ἀθάνας
  Συνέσιον νίκα καὶ θέμις ἠγάσατο.

IOANNIS Poëtæ Barbucalli, in imaginem Synesij Scholastici ob victoriam pugnæ positam in Beryto. 8.

Non apud Eurotam solùm viri sunt pugnatores,
  Neque apud Ilissum memores sunt iustitiæ,
Tanquam Spartanum, tanquam ipsarum ciuem Athenarum
  Synesium victoria & Themis demirata est.

ΑΡΑΒΙΟΥ σχολαστικοῦ εἰς εἰκόνα Λογγίνου ὑπάρχου ἐν Βυζαντίῳ.

Νεῖλος, Περσίς, Ἴβηρ, Σόλυμοι, Δύσις, Ἀρμενίς, Ἰνδοί,
  Καὶ Κόλχοι, σκοπέλων ἐγγύθι Καυκασίων,
Καὶ πεδία ζείοντα πολυσπερέων Ἀγαρηνῶν,
  Λογγίνου ταχινῶν μάρτυρές εἰσι πόνων.
Ὡς δὲ ταχὺς βασιλῆι διάκτορος ἦεν ὁδοῖων,

Καὶ ταχὺς εἰρήνην ὤπασε κλεπτομένην.

ARABII Scholastici, in imaginem Longini præfecti in Byzantio. 9.

Nilus, Persis, Iber, Solymi, Dysis, Armenis, Indi
Et Colchi scopulis proximi Caucasiis:
Et campi calidi multa seminantium Agarenorum,
Longini celerum testes sunt laborum.
Vt verò celer regi minister fuit proficiscens,
Et celer pacem præbuit occultatam.

ΚΡΙΝΑΓΟΡΟΥ εἰς εἰκόνα Κρίσπου.

Γείτονες οὐ τρισσαὶ μοῦναί τοι τύχαι ἔπρεπον εἶναι,
Κρίσπε, βαθυπλούτου σῆς ἕνεκεν κραδίης·
Ἀλλὰ καὶ αἱ πάντων πᾶσαι. τί γὰρ ἀνδρὶ τοσῷδε
Ἀρκέσει εἰς ἑτάρων μυρίον εὐφροσύνην;
Νῦν δέ σε καὶ τούτων κρέσσων ἐπὶ μεῖζον ἀέξοι
Καῖσαρ· τίς κείνου χωρὶς ἄρηρε τύχη;

CRINAGORÆ in imaginem Crispi. 10.

Vicinæ non tres solum fortunæ debebant esse,
Crispe, opulentissimum tuum propter cor:
Sed etiam omnium omnes. Quid enim viro tanto
Sufficeret in sociorum innumeram beniuolentiam?
Iam verò te his melior ad maiora euehet
Cæsar. Quæ sine ipso placuit fortuna?

ΑΓΑΘΙΟΥ σχολαστικοῦ, εἰς εἰκόνα ἀνατεθεῖσαν ἐν τοῖς Πλακίδου ὑπὸ τῶν τοῦ ἐν σκρινίου.

Θωμᾶν παμβασιλῆος ἀμεμφέα κηδεμονῆα,
Ἀνθέσαν οἱ τὸ νέον τάγμα μετερχόμενοι,
Θεσπεσίης ἄγχιστα συνωρίδος, ὄφρα καὶ αὐτῇ
Εἰκόνι χῶρον ἔχῃ γείτονα κοιρανίης.
Αὐτὸς γὰρ ζαθέοιο θρόνους ὕψωσε μελάθρου,
Πλοῦτον ἀεξήσας, ἀλλὰ μετ' εὐσεβίης.
Εὔγνωμον τὸ πόνημα. τί γὰρ γραφὶς οἶδεν ὀπάσσαι,

Εἰ μὴ τοῖς ἀγαθοῖς μνῆστιν ὀφειλομένην;

AGATHII Scholastici in imaginem positam in
Placidi, sub illis quæ in nouo
scrinio. 11.

Thomam summi imperatoris irreprehensibilē procuratorem,
Posuerunt qui nouam cohortem ambiunt,
Diuinas prope imagines binas, vt & ipsā
Imagine locum habeat vicinum dominationi.
Ipse enim sacræ sedes erexit domus,
Diuitiis adauctis, sed cum pietate.
Beniuola statua. Quid enim penicillus nouit præbere,
Si non bonis memoriam debitam?

Εἰς εἰκόνα Θεοδοσίου ἄρχοντος ἐν Σμύρνῃ.

Τὸν μέγαν ἐν βουλαῖς Θεοδόσιον, Ἀσίδος ἀρχόν,
Εἰκόνι μαρμαρέῃ στήσαμεν ἀνθύπατον·
Οὕνεκα Σμύρναν ἔγειρε, καὶ ἤγαγεν ἐς φάος αὖθις,
Ἔργοις θαυμασίοις πολλὸν ἀειδομένην.

In imaginem Theodosij regis in Smyrnâ. 12.
Magnum in consiliis Theodosium, Asiæ pręfectum,
Imagine marmorea statuimus proconsulem:
Quòd Smyrnam excitauit, & duxit in lucem iterum,
Operibus admirandis valdè à multis decantatam.

Εἰς εἰκόνα Δαμοχάρειδος ἐν Σμύρνῃ.

Δαμόχαρει κλυτόμητι, δικασπόλε, σοὶ τόδε κῦδος,
Ὅττι γε τὴν Σμύρναν μετὰ λοίγια πήματα σεισμοῦ,
Ἐσπουδαίως πονέων, αὖθις πόλιν ἐξετέλεσσας.

In imaginem Democharidis in Smyrna. 13.
Demochari, inclyte consiliis, iudex, tibi hæc gloria,
Quòd Smyrnam post exitialia damna terræ motus,
Studiosè laborans, rursus ciuitatem perfeceris.

Ἄδηλον.

Πᾶσα φύσις, βασίλεια, τεὸν κράτος αἰὲν ἀείδει,
Οὕνεκα δυσμενέων ῥίζας ὤλεσσας, οὕνεκα φέγγεις.

Ἀνδράσι σωφρονέουσι κακὴν μετὰ δῆριν ἀνῆψας,
Ἱππολύτης δ' ἐκέδασσας ὁμόγνια πήματα χάρμης.

Incerti. 14.

Omnis natura, regina, tuam potentiam ſemper canit,
Quòd hoſtium verſus perdidiſti, eo quòd lucem
Viris ſapientibus malam poſt pugnam incendiſti,
Et equos interficientis reſtituiſti cognata damna lætitiæ.

Εἰς εἰκόνα Θεοδώρου ἄρχοντος.

Ῥητῆρες Θεόδωρον ἐμέλλομεν εἰς ἓν ἰόντες
Χρυσείαις γραφίδεσσιν ἀειμνήστοισι γεραίρειν,
Εἰ μὴ χρυσὸν ἔφευγε καὶ ἐν γραφίδεσσιν ἐόντα.

In imaginem Theodori principis. 15.

Rhetores Theodorum volumus in vnum euntes
Aureis penicillis ſempiternis colere,
Niſi fortè etiam aurum vitat in penicillis exiſtens.

Εἰς τὴν ἀνατολικὴν πύλην Θεσσαλονίκης.

Ἠνορέης ὀλετῆρα ὑπερφιάλου Βαβυλῶνος,
Καὶ σέλας ἀκτεάνοιο δίκης βασιλῆος ὕπαρχον
Ξεῖνε νόῳ σκίρτησον, ἰδὼν ἐφύπερθε πυλάων.
Εὐνομίης ποτὶ χῶρον ἀριστογένεθλον ὁδεύεις.
Βάρβαρον οὐ τρομέεις, οὐκ ἄρρενας ἀρρενοκοίτας.
Ὅπλα Λακώνων· σὺ δὲ τεῖχος, ἔχεις βασιλῆος ἄγαλμα.

In Orientalem portam Theſſalonicæ. 16.

Fortitudinis euerſorem ſuperbæ Babylonis,
Et iubar nullis muneribus corruptæ iuſtitiæ regium præfectum:
Hoſpes mente ſalta, videns ſuper portis:
Eunomiæ ad locum optimos generantem tranſis.
Barbarum non formidas, neque viros cinædos.
Arma Laconum: tu verò murus, habes regiam ſtatuam.

Ἄδηλον.

Νικήτην ὁ δεῖ πόλεμοι, ἄναξ, στρατός, ἄστεα, δῆμος,
Στῆσεν ὑπὲρ μεγάλων μηδοφόνων καμάτων.

Incerti. 17.

Nicetam hastâ audacem, rex, exercitus, vrbes, populus,
Statuerunt ob magnos Medos occidentes labores.

Εἰς τὸν αὐτόν.

Τὸν μέγαν ἐν πολέμοισι, καὶ ἄτρομον ἡγεμονῆα
Νικήτην, ἀρετῆς εἵνεκεν οἱ Πράσινοι.

In eundem. 18.

Magnum in bellis, & intrepidum ducem
Nicetam, propter virtutem Prasini.

Ἄδηλον.

Πρόκλος ἐγὼ Παύλου, Βυζάντιος, ὃν περὶ δῶμα
Τηλεθάοντα δίκης βασιλήϊος ἥρπασεν αὐλή,
Ὄφρ' εἴην στόμα πιστὸν ἐρισθενέος βασιλῆος.
Ἀγγέλλει δ' ὅδε χαλκὸς ὅσον γέρας ἐστὶν ἀέθλων.
Καὶ τὰ μὲν εἴκελα πάντα καὶ υἱέϊ καὶ γενετῆρι,
Ἐν δ' ὑπάτων ῥάβδοισι πάις νίκησε τοκῆα.

Incerti. 19.

Proclus ego Pauli, Byzantius, quem in domo
Florentem Iustitiæ regia rapuit aula,
Vt essem os fidele fortis regis.
Nunciat verò hoc æs quantum munus sit certaminum.
Et hæc quidem omnia consentiunt & filio & patri,
In consulum verò fascibus filius superauit patrem.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Θαύμασε καὶ Κινύρην ὁ πάλαι χρόνος, ἠὲ Φρύγας ἄμφω·
Σὸν δὲ Λέων ἡμεῖς κάλλος ἀεισόμεθα.
Κερκαφίδη περίβωτε μακαρτάτη ἔσσ' ἄρα νήσων
Καὶ Ῥόδος, ἣ τόσῳ λάμπεται ἠελίῳ.

APOLLONIDÆ. 20.

Demiratum est Cinyram prius tempus, & Phrygas duos:
Tuam verò Leon nos pulchritudinem canemus,
Cercaphita famigerabilis beatissima sanè est insularum,
Et Rhodus, quæ tanto fulget sole.

Εἰς τὸν αὐτόν.

Εἰ τοιόσδε λέων λάχεν ἀντίος Ἡρακλῆϊ,
Οὐκ ἦν Ἀλκίδεω τοῦτο τὸ δωδέκατον.

In eundem. 21.

Si talis Leo forte fuisset obuius Herculi,
Non foret Alcidæ hic labor duodecimus.

Εἰς τὴν ἀνατολικὴν πύλην Θεσσαλονίκης.

Μορφὰς ὁ γράψας, ἤθελον καὶ τοὺς τρόπους.
Ἀνεστείρασε δέ μου τὴν ὄρεξιν ἡ τέχνη.
Καλεῖ δέ μ' Ἀλέξανδρον ἄγαλον φίλος.

In orientalem portam Thessalonicæ. 22.

Imagines cùm descripsissem, volebam & mores.
Retraxit verò meam cupiditatem ars.
Vocat verò me Alexandrum facundum amicus.

ΜΗΤΡΟΔΩΡΟΥ.

Αὐτὸν Ἰωάννην ὁ γέρων ὅτ' ἐδίξατο θεσμός,
Εἶπεν ἀνηβήσας, αὖθις ἔχω σε Σόλων.

METRODORI. 23.

Ipsum Iohannem senex cùm accepisset lex,
Dixit rursus iuuenescens, Iterum habeo te Solon.

ΕΙΣ ΑΓΩΝΙΣΤΩΝ ΕΙΚΟΝΑΣ,

κεφ. β.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Τῷ ξοάνῳ τὸν παῖδα Θυώνιχον, οὐχ' ἵνα λεύσσῃς
Ὡς καλὸς ἐν τῇδε μνάματος ἀγλαΐᾳ·
Ἀλλ' ἵνα σοὶ τὸν ἄεθλον ἐν ᾧ 'ξεπόνησε μαθόντι
Ὦ 'γαθέ, πᾶς αὐτᾶς ζᾶλος ἔοι μανίας.
Οὗτος ὁ μὴ κλίνας καμάτῳ πόδα, πάντα δι' ἀγῶνι
Ἄλικα νικήσαις, ὁπλότερον, πρότερον.

IN ATHLETARVM IMAGINES, Cap. II.

MACEDONII Consulis. 1.

Simulacro sculptili puerum Thyonichum, non vt videas
  Quàm pulcher sit in hoc monumenti splendore:
Sed vt tibi certamen, quod elaborauit discenti
  O bone, eius æmulatio sit insaniæ.
Sic qui nunquam inclinasti labore pedum, omnẽ verò in cer-
  Æqualem superasti, iuniorem, priorem. (tamine

ΦΙΛΙΠΠΟΥ.

Ἴσως με λεύσσων ξεῖνε ταυρογάστορα,
Καὶ στερρόγυιον, ὡς Ἄτλαντα δεύτερον,
Θαμβεῖς, ἀπιστῶν εἰ βρότειος ἡ φύσις.
Ἀλλ' ἴσθι μ' Ἡρᾶν Λαδικῆα παμμάχον,
Ὃν Σμύρνα καὶ δρῦς Περγάμου κατέστεψεν,
Δελφοὶ, Κόρινθος, Ἦλις, Ἄργος, Ἄκτιον.
Λοιπῶν δ' ἀέθλων ἢν ἐρευνήσῃς κράτος,
Καὶ τὴν Λίβυσσαν ἐξαριθμήσεις κόνιν.

PHILIPPI. 2.

Fortè me videns hospes tauri ventrem habentem,
Et solidis membris, vt Atlantem secundum,
Obstupescis, dubitans an sit figura hominis.
Sed scito me Heram Laodicensem omni pugnæ genere cer-
Quem Smyrna & quercus Pergami coronauit, (tantem,
Delphi, Corinthus, Elis, Argus, Action.
Reliquorum verò certaminum si inquiras robur,
Et Libyssam numerabis arenam.

Ἄδηλον εἰς δρομέα.

Λάδας τὸ στάδιον εἴθ' ἥλατο, εἴτε διέπτη,
  Δαιμόνιον τὸ τάχος, οὐδὲ φράσαι δυνατόν.

Incerti in cursorem. 3.

Ladas stadium siue saltarit, siue volarit,

Diuina

Diuina celeritas, neque eloqui possibile est..

Εἰς τὸν αὐτόν.

Οἷος ἔης φεύγων τὸν ἀελλήεντα ἔμπνοε Λάδα
Θυμὸν, ἐπ' ἀκροτάτῳ πνεύματι θεὶς ὄνυχα,
Τοῖον ἐχάλκευσε Μύρων ἐπὶ παντὶ χαράξας
Σώματι, Πισαίου προσδοκίῃ στεφάνου.
Πλήρης ἐλπίδος ἐστίν, ἄκροις δ' ἐπὶ χείλεσιν ἆσθμα
Ἐμφαίνει, κοίλων ἔνδοθεν ἐκ λαγόνων.
Πηδήσει τάχα χαλκὸς ἐπὶ στέφος, οὐδὲ καθέξει
Ἁ βάσις. ὦ τέχνη, πνεύματος ὠκυτέρα.

In eundem. 4.

Qualis eras fugiens celerrimum viuens Ladas
Impetum, in summo aëre ponens pedem.
Talem fabricauit Myron cùm in omni insculpsit
Corpore, Pisææ expectatione coronæ.
Plena spe est. Summis verò in labris anhelitus
Apparet, cauos intus in pulmones.
Saliet pæne æs ob coronam, neque tenet ipsum
Basis. O ars spiritu velocior.

ἈΛΚΑΙΟΥ.

Οἷον ὁρῇς ὦ ξεῖνε τὸ χάλκεον εἰκόνι λῆμα
Κλειτομάχου, τοίαν Ἑλλὰς ἐσεῖδε βίαν.
Ἄρτι γὰρ αἱματόεντα χερῶν ἀπελύετο πυγμᾶς
Ἔντεα, καὶ γοργῷ μάρνατο παγκρατίῳ.
Τὸ τρίτον οὐκ ἐκόνισεν ἐπωμίδας, ἀλλὰ παλαίσας,
Ἀπτὼς τοὺς τρισσοὺς Ἰσθμόθεν εἷλε πόνους.
Μοῦνος δ' Ἑλλαίων τόδ' ἔχει γέρας. ἑπτάπυλοι δὲ
Θῆβαι, καὶ γενέτωρ ἔστεφεθ' Ἑρμοκράτης.

ALCÆI. 5.

Qualem vides, ô hospes, in statua æneam confidentiam
Clitomachi, talem Græcia vidit violentiam.
Nuper penes sanguinea manuum soluebatur cæstus

IN IMAGINES BACCHARVM, Cap. III.

PAVLI Silentiarij in Baccham in Byzantio. 1.

Insanam Baccham non natura sed ars
Fecit, & furorem cum lapide commiscuit.

Εἰς τὸ αὐτό.

Ἴσχετε τὴν βάκχην, μὴ λαϊνέη περ ἐοῦσα,
Οὐδὸν ὑπερθεμένη, νηὸν ὑπεκπροφύγῃ.

In idem. 2.

Cohibete Baccham, ne lapidea quamuis existens,
Super limen posita, è templo effugiat.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ εἰς τὸ αὐτό.

Οὔπω ἐπισταμένην τάχα κύμβαλα χερσὶ τινάξαι,
Βάκχην αἰδομένην στήσατο λαοτύπος.
Οὕτω γὰρ προνένευκεν· ἔοικε δὲ τοῦτο βοώσῃ,
Ἔξιτε, καὶ παταγῶ, μηδενὸς ἱσταμένου.

AGATHII Scholastici in idem. 3.

Quæ nondum nouit fortè cymbala manibus pulsare,
Baccham verecundam posuit lapicida.
Sic enim innuit: videtur verò, hoc proclamabit,
Exite, & strepitum edo, nemine astante.

ΣΙΜΩΝΙΔΟΥ.

[a]Τίς ἅδε; [b]Βάκχα. [a]τίς δέ μιν ξέσε; [b]Σκόπας.
[a]Τίς δ' ἐξέμηνε, Βάκχος, ἢ Σκόπας; [b]Σκόπας.

SIMONIDIS. 4.

[a]Quię hæc?[b]Baccha. [a]Quis autem eam poliuit?[b]Scopa.
[a]Quis autem in furorem dedit? Bacchus aut Scopa?[b]Scopa.

ΓΛΑΥΚΟΥ Ἀθηναίου.

Ἁ Βάκχα, Παρία μὲν, ἐνεψύχωσε δ' ὁ γλύπτας
Τὸν λίθον· ἀνθρώσκει δ' ὡς βρομιαζομένα.
Ὦ Σκόπα, ἁ θεοποιὸς ἐμήσατο μήσατο τέχνα
Θαῦμα χιμαιροφόνον, Θυάδα μαινομέναν.

GLAVCI Atheniensis. 5.

O Baccha, paria quidem es, animauit verò te sculptor
Lapidem: subsilit verò vt Baccho stimulata.
O Scopa: diuina recogitauit cogitauit ars
Miraculum Chimęram occidens, Thyadem insanam.

ΓΛΑΥΚΟΥ.

Η βάκχη Κεριδέων σάτυρον θέτο· εἰς δὲ χορείαν
Θρώσκει μαινομένη, ὡς βρομιαζομένη.

GLAVCI. 6.

Baccha valdè senem Satyrum posuit: in choream verò
Impetu irruit insana, vt Bacchi furore agitata.

ΕΙΣ ΕΙΚΟΝΑΣ ΒΑΣΙΛΕΩΝ, κεφ. δ.

ΚΡΙΝΑΓΟΡΟΥ εἰς εἰκόνα Νέρωνος.

Ἀντολίαι, δύσιες, κόσμου μέτρα, καὶ τὰ Νέρωνος
Ἔργα, δι' ἀμφοτέρων ἵκετο γῆς περάτων.
Ἥλιος Ἀρμενίην ἀνιὼν ὑπὸ χερσὶ δαμεῖσαν
Κείνου, Γερμανίην δ' εἶχε κατερχόμενος.
Δισσὸν ἀειδέσθω πολέμου κράτος· οἶδεν Ἀράξης,
Καὶ Ῥῆνος, δούλοις ἔθνεσι πινόμενοι.

IN IMAGINES REGVM, Cap. IIII.

CRINAGORÆ in imaginem Neronis. 1.

Ortus, occasus, mundi cardines, & Neronis
Opera, per vtrumque venerunt terræ terminum.
Sol Armeniam oriens sub manibus domitam
Eius, Germaniam verò habuit occidens.
Duplex canatur belli robur: nouit Araxes,
Et Rhenus, seruis gentibus qui bibuntur.

Εἰς στήλην Ἰουστινιανοῦ βασιλέως ἐν τῷ ἱπποδρόμῳ.

Ταῦτά σοι ὦ βασιλεῦ μηδοκτόνε δῶρα κομίζει

Σῆς Ῥώμης γενέτης καὶ παῖς Εὐςάθιος,
Πῶλον ὑπὲρ νίκης, νίκην στεφανηφόρον ἄλλην,
Καί σε μετηωρέοντι πώλῳ ἐφεζόμενον,
Ὕψος Ἰουστινιανὲ τεὸν κράτος· ἐν χθονὶ δ᾽ αἰεὶ
Δεσμὸς ἔχοι Μήδων καὶ Σκυθέων προμάχους.

In columnam Iuſtiniani regis in Hippodromo. 2.

Hæc tibi ô rex Medorum occiſor dona fert
Tuæ Romæ pater & filius Euſtathius.
Equum ob victoriam, victoriam coronam ferentem aliam,
Et te excelſo equo inſidentem,
Sublime Iuſtiniane, tuum robur: in terrâ verò ſemper
Vinculum habeat Medorum & Scytharum anteſignanos.

Εἰς τὸ αὐτό.

Πῶλον ὁμοῦ καὶ ἄνακτα, καὶ ὀλλυμένην Βαβυλῶνα,
Χαλκὸς ἀπὸ σκύλων ἔπλασεν Ἀσσυρίων.
Ἐστι δ᾽ Ἰουστινιανὸς, ὃν ἀντολίης ζυγὸν ἕλκων
Στῆσεν Ἰουλιανὸς μάρτυρα μηδοφόνον.

In idem. 3.

Equum ſimul & regem & pereuntem Babylonem,
Æs è ſpoliis formauit Aſſyriorum.
Eſt verò Iuſtinianus, quem Orientis iugum trahentem
Poſuit Iulianus teſtem Medorum occiſionis.

Εἰς στήλην τοῦ αὐτοῦ ἐν τῷ λιμένι.

Τοῦτο παρ᾽ αἰγιαλοῖσιν ἐγὼ Θεόδωρος ὕπαρχος
Στῆσα φαεινὸν ἄγαλμα Ἰουστίνῳ βασιλῆϊ,
Ὄφρα καὶ ἐν λιμένεσσιν ἑὴν πετάσῃ γαλήνην.

In columnam eiuſdem in portu. 4.

Hoc in portu ego Theodorus præfectus
Poſui inclytum ſimulacrum Iuſtino regi,
Vt vel in portubus ſuam extendat fulgore.

Εἰς εἴσοδον τῆς ἱερείας.

Τοῦτον Ἰουστινιανὸς ἀγακλέα δείματο χῶρον,
Ὕδασι καὶ γαίῃ κάλλος ἐπικρεμάσας.

In introitum Sacerdotis. 5.

Hunc Iuſtinianus illuſtrem extruxit locum,
Aquæ & terræ pulchritudinem ſuper impendens.

Ἄδηλον.

Κοίρανοι, ὑμετέρην ἀρετήν, κάρτος τε καὶ ἔργα
Αὐδήσει χρόνος αἰέν, ἕως πόλος ἀστέρας ἕλκῃ.

Incertum.. 6.

Domini, veſtram virtutem, robur & opera
Loquetur tempus ſemper, quamdiu cælum ſtellas trahet.

Εἰς στήλην Θεοδοσίου βασιλέως.

Ἐκθορες ἀντολίηθε φαεσφόρος ἠέλιος ἄλλος,
Θευδόσιε θνητοῖσι πόλου μέσον, ἠπιόθυμε,
Ὠκεανὸν παρὰ ποσσὶν ἔχων μετ' ἀπείρονα γαῖαν,
Πάντοθεν αἰγλήεις κεκορυθμένος, ἀγλαὸν ἵππον
Ρηϊδίως, μεγάθυμε, καὶ ἐσσύμενον κατερύκων.

In columnam Theodoſij regis. 7.

Exſiluiſti ex oriente lucifer Sol alius,
Theodoſie hominibus cœli medium, mitis animo,
Oceanum ad pedes habens cum infinita terra,
Vndique ſplendidus, galeâ armatus, præclarum equum
Faciliùs, magnanime, & proſimilem cohibens.

Καλλιάδης στρατηγὸς Βυζαντίου τὸ περιβόητον τοῦ
Βύζαντος ἄγαλμα, κατὰ τὴν καλουμένην
βασιλικὴν ἀνέθηκεν, ἐπιγράψας
οὕτω.

Τὸν κρατερὸν Βύζαντα καὶ ἱμερτὴν Φιδάλειαν
Εἰν ἑνὶ κοσμήσας ἄνθετο Καλλιάδης.

Calliades dux exercitus Byzantij famigerabile Byzantis
ſimulacrum, iuxta dictam Baſilicam poſuit,
hæc inſcribens. 8.

Fortem Byzantem & deſiderabilem Phidalcam
In vno ſimul ornans poſuit Calliades.

Εἰς τὸ αὐτό.

Ἱμερτὴ Φιδάλεια δάμαρ Βύζαντος ἐτύχθην,
Εἰμὶ δὲ βουπάλεως δῶρον ἀεθλοσύνης.

In idem. 9.

Amabilis Phidalea vxor Byzantis fuit,
Sum verò ingentis munus luctæ.

Εἰς εἰκόνα Πεισιστράτου.

Τρίς με τυραννήσαντα, τοσαυτάκις ἐξεδίωξε
Δῆμος Ἐρεχθειδῶν, καὶ τρὶς ἐπηγάγετο,
Τὸν μέγαν ἐν βουλῇ Πεισίστρατον, ὃς τὸν Ὅμηρον
Ἤθροισα, σποράδην τὸ πρὶν ἀειδόμενον.
Ἡμέτερος γὰρ ἐκεῖνος ὁ χρύσεος ἦν πολιήτης,
Εἴπερ Ἀθηναῖοι Σμύρναν ἀπῳκίσαμεν.

In imaginem Pisistrati. 10.

Ter me gubernantem, toties eiecit
Populus Erechthidarum, & ter reduxit,
Magnum in consilio Pisistratum, qui Homerum
Collegi, sparsim antea decantatum.
Noster enim ille aureus erat ciuis,
Licet Athenienses Smyrnam inhabitauerimus.

ΑΣΚΛΗΠΙΑΔΟΥ, ἢ ὡς, ΠΟΣΕΙΔΙΠΠΟΥ, εἰς εἰκόνα Βερενίκης.

Κύπριδος ἅδ᾽ εἰκών· φέρ᾽ ἰδώμεθα μὴ Βερενίκας.
Διςάζω ποτέρα φῆ τις ὁμοιοτέραν.

ASCLEPIADIS, vt alij POSIDIPPI in imaginem in Berenices. 11.

Cypridis hæc imago: age videamus an Berenicæ.
Dubito vtram dicat quis similiorem.

ΓΕΜΙΝΟΥ.

Οὗτος ὁ Κεκροπίδῃσι βαρὺς λίθος, ἄρεϊ κεῖμαι
Ξεῖνε, Φιλιππείης σύμβολον ἠνορέης,
Ὑβρίζων Μαραθῶνα, καὶ ἀγχιάλου Σαλαμῖνος
Ἔργα, Μακηδονίοις ἔγχεσι κεκλιμένα.

Ὄμνυε νῦν νέκυας Δημόσθενες· αὐτὰρ ἔγωγε
　Καὶ ζωοῖς ἔσομαι καὶ φθιμένοισι βαρύς.

GEMINI. 12.

Hic Athenienſibus grauis lapis, Marti iaceo,
　Hoſpes, Philippicæ ſignum fortitudinis,
Iniuria afficiens Marathonem, & vicinæ mari Salaminis
　Opera, Macedoniis gladiis deſolata.
Iura nunc mortuos Demoſthenes: ſed ego
　Et viuentibus ero, & mortuis grauis.

Ἀδηλον.

Ζήνωνα πολίαρχος Ἰουλιανὸς βασιλῆα,
Ζήνωνος παράκοιτιν Ἰουλιανὸς Ἀριάδνην.

Incerti. 13.

Zenonem imperator Iulianus regem,
Zenonis coniugem Iulianus Ariadnem.

Ἀδηλον.

Οἶκον ἄναξ Ἑλικῶνος αἰνηβήσαντα νοήσας
Κυδαλίμοις καμάτοισιν Ἰουλιανοῦ πολιάρχου,
Πιερικῶν προπάροιθε δόμων πάγχρυσος ἔστη.

Incerti. 14.

Domum rex Heliconis iuueneſcentem cognoſcens
Eximiis laboribus Iuliani imperantis nubibus,
Piericas ante domos totus aureus ſtabat.

Ἀδηλον.

Κῦδος Ἰουλιανοῦ πάμπαν ἀοίδιμον, ὃς μετὰ κόσμον
　Πιερίδων, χρυσέην στῆσεν Ἀναστασίην.

Incerti. 15.

Gloria Iuliani omnino prædicanda, qui poſt mundum
　Pieridum, auream poſuit Anaſtaſiam.

Εἰς εἰκόνα Ἰουστινιανοῦ βασιλέως.

Ἄλλον ὑπὲρ νίκας ἐναρηφόρον ἔνδοθι Σούσων
　Ὁ θρασὺς αἰστήσει Μῆδος ἀνακτι τύπον,
Ἄλλον ἀκειρεκόμας Ἀβάρων στρατὸς ἔκπεσθεν Ἴστρου,

Κείρας

Κείρας ἐκ κεφαλῆς βόστρυχον αὐσταλέης.
Τὸν δ' ὕπατον εὐνομίας ἐριθηλέος ἐνθάδε τεύχει
Ἐξ ὑπάτου μίτρης στῆσεν ἄνασσα πόλις.
Ἔμπεδος ἀλλὰ μένοις Βυζαντιὰς ἄμμορε Ῥώμα,
Θεῖον Ἰουστινιανοῦ κάρτος ἀμειψαμένα.

In imaginem Iustiniani regis. 16.

Aliam ex victoria spoliis onustam in Susis
Audax exiget Medus regi statuam,
Aliam intonsus Hunnorum exercitus extra Istrum,
Detondens è capite crinem demisso.
Hanc autem bonis legibus virescenti hoc in loco hanc
Ex consulis habitu statuit regina ciuitas.
Firma autem maneas Byzantias felix Roma,
Diuinum Iustiniani robur remunerans.

Ἄδηλον.

Οὗτος ὁ κοσμήσας ὑπάτων θρόνον, ὃν τρισέπαρχον
Καὶ πατέρα βασιλῆες ἑὸν καλέσαντο μέγιστοι,
Χρύσεος ἕστηκεν Αὐρηλιανός· τὸ δὲ ἔργον,
Τῆς βουλῆς, ἧς αὐτὸς ἑκὼν κατέπαυσεν ἀνίας.

Incerti. 17.

Hic exornans consulũ sedem, quem ter maximũ auspicatorem
Et patrem reges suum appellarunt maximum,
Aureus stetit Aurelianus: opus verò
Consilii quo ipse spontè sopiuit dolores.

Ἄδηλον εἰς ἄρχοντα.

Μῖξον μειλιχίῃ βαιὸν φόβον, ὄφρα καὶ αὐτή
Βομβέουσα μέλισσα κορύσσεται ὀξέϊ κέντρῳ.
Οὐ γὰρ ἄτερ μάστιγος ἰθύνεται ἵππος ἀγήνωρ,
Οὐδὲ συῶν ἀγέλη ἐπιπείθεται ἀνδρὶ νομῆϊ
Ῥεῖ καὶ εὐγλώττοιο καλαύροπος ἦχον ἀκούσῃ.

Incerti in imperantem. 18.

Misce cum dulcedine paruum metum, vt & ipsa
Bombum edens apis armatur acuta cuspide.

Non enim ſine flagello dirigitur equus ferox,
Neque ſuum grex obedit viro paſtori
Antequam valde ſonantis pedi ſonitum audiat.

ΑΝΤΙΠΑΤΡΟΥ.

Ζηνὶ καὶ Ἀπόλλωνι καὶ Ἀρεϊ τέκνον αἰάκτων
Εἴκελον, εὐκταίῃ μητέρος εὐτοκίῃ,
Πάντα τοι ἐκ μοιρέων βασιλήϊα, πάντα τέλεια
Ἦλθεν, ἐποιήθης δ᾽ ἔργον ἀοιδοπόλων.
Ζεὺς σκῆπτρον βασίλειον, Ἄρης δόρυ, καλλοσύνην δὲ·
Φοῖβος ἔχει· παρὰ σοὶ δ᾽ ἀθρόα πάντα Κότυ.

ANTIPATRI. 19.

Ioui, & Apollini, & Marti filius regum
Imaginem, felici matris partu,
Omnia tibi ex fatis regia, omnia perfecta
Venerunt, exhibuiſti autem opus Poëtis.
Iupiter ſceptrum regium, Mars haſtam, pulcritudinem verò
Phœbus habet: apud te verò cumulata omnia, Coty.

ΣΥΝΕΣΙΟΥ φιλοσόφου.

Οἱ τρεῖς Τυνδαρεῖδαι, Κάστωρ, Ἑλένη, Πολυδεύκης.

SYNESII Philoſophi. 20.

Tres Tyndaridæ, Caſtor, Helena, Pollux.

Εἰς οἶκον σοφίας.

Αὐσονίων δέσποιναν Ἰουλιανὸς πολιοῦχος
Ὡς σοφίης μεστὴν ἄνθετο τὴν Σοφίην.

In domum Sapientiæ. 21.

Auſoniorum reginam Iulianus vrbes habens
Vt ſapientiâ plenam poſuit Sapientiam.

Εἰς Ἰουστινιανοῦ στήλην.

Ἰουστῖνον κατὰ χρέος τὸν δεσπότην,
Ἰουλιανὸς ὕπαρχος ὡς εὐεργέτην.

In Iuſtiniani columnam. 22.

Iuſtinum ex debito regem,
Iulianus princeps vt benefactorem.

ΕΙΣ ΕΙΚΟΝΑΣ γυναικῶν, κεφ. ε.

ΠΑΥΛΟΥ σιλεντιαρίου εἰς εἰκόνα Θεοδωριάδος.

Ὄμματα μὲν κούρης μόλις ἡ γραφὶς, οὔτε δὲ χαίτην
  Οὔτε σέλας χροιῆς ἄκρον ἀπεπλάσατο.
Εἴ τις μαρμαρυγὴν δύναται φαεθοντίδα γράψαι,
  Μαρμαρυγὴν γράψει καὶ Θεοδωριάδος.

IN IMAGINES MVLIERVM, Cap. V.

PAVLI SILENTIARII in imaginem Theodoriadis. 1.

Oculos quidem puellæ vix penicillum, neque comam
  Neque fulgorem cutis summum efformauit.
Si quis radium potest solarem depingere,
  Radium depinget & Theodoriadis.

Εἰς τὴν αὐτήν.

Βάσκανος ἡ γραφίς ἐστι, καὶ εἰσορόωσι μεγαίρεις,
  Χρύσεα κεκρυφάλοις βόστρυχα κρυψαμένη.
Εἰ δ' ὑπεράτης κεφαλῆς ὑπεράτην χάριν εἰκόνι κεύθεις,
  Οὐδ' ἐπὶ τῷ λοιπῷ κάλλεϊ πίστιν ἔχεις.
Πᾶσα γραφὶς μορφῇσι χαρίζεται· ἀλλὰ σὺ μούνη
  Τῆς Θεοδωριάδος κλέψας ἀπ' ἀγλαΐας.

In eandem. 2.

Inuidum es penicillum, & intuentibus inuides,
  Aureos reticulis capillos abscondens.
Si verò summi capitis summam gratiam imagine cælas,
  Neque in reliqua pulcritudine fidem habes.
Omnis pictura formis gratificatur: sed tu sola
  Theodoriadæ furata quid es à pulchritudine.

ΣΥΝΕΣΙΟΥ φιλοσόφου εἰς εἰκόνα τῆς αὐτοῦ ἀδελφ.

Τῆς χρυσῆς εἰκὼν ἢ Κύπριδος, ἢ Στρατονίκης.

SYNESII Philosophi in imaginem suæ sororis. 3.

Aureæ imago, aut Veneris, aut Stratonices.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Μαχλὰς ἐγὼ γενόμην Βυζαντίδος ἔνδοθι Ῥώμης,
 Ὠνητὴν φιλίην πᾶσι χαριζομένη.
Εἰμὶ δὲ Καλλιρόη πολυδαίδαλος, ἣν ὑπ' ἔρωτος
 Οἰστρηθεὶς Θωμᾶς τῇδ' ἔθετο γραφίδι,
Δεικνὺς ὅσσον ἔχει πόθον ἐν φρεσίν. ἶσα γὰρ αὐτῷ
 Κηρῷ τηκομένῳ, τήκεταί ἡ κραδίη.

AGATHII Scholastici. 4.

Scortum ego fueram Byzantiâ in Româ,
 Vendibilem amicitiam omnibus indulgens:
Sum verò Callirhoë valde varia, quam ab amorem
 Insania actus Thomas hâc posuit picturâ,
Demonstrans quantum habet amorem animo. Æqualiter e-
 Cerę liquefactę, liquefit cor ipsi. (nim ipsi

ΑΝΑΚΡΕΟΝΤΟΣ.

Ἡ τὸν θύρσον ἔχουσ', Ἑλικωνιὰς· ἡ δὲ παρ' αὐτὴν,
 Ξανθίππη· Γλαύκη δ', ἡ σχεδὸν ἐρχομένη·
Ἐξ ὄρεος χωρεῦσι. Διωνύσῳ δὲ φέρουσι
 Κισσὸν, καὶ σταφυλὴν, πίονα καὶ χίμαρον.

ANACREONTIS. 5.

Thyrsum habens, Heliconias: & penes ipsam,
 Xanthippe: Glauca verò iamiam accedens,
Ex monte descendunt, Baccho verò ferunt
 Hederam, & vuam, & pinguem hœdum,

Ἄδηλον.

Θαῦμ' ἀρετᾶς μορφὰν ὁ πίναξ ἔχει. εἴθε γ' ὁ γαῦρον
 Τεῦξε, τὸ δ' ὡραῖον τῆς ἀγανοβλεφάρου·
Σαίνοι κέν σ' ἐσιδοῦσα καὶ οἰκοφύλαξ σκυλάκαινα,
 Δέσποιναν μελάθρων οἰομένη ποθορῶν.

Incerti. 6.

Miraculū virtutis imaginem tabula habet. Vtinam in elationē
 Fecisset, pulcritudinem illius cuius palpebræ coalescunt.
Adblanditur te intuens & domum custodiens catella,

Dominam domus ratą ſe intueri.

ΗΡΙΝΝΗΣ.

Εξ ἁπαλῶν χειρῶν τάδε γράμματα λῷστε Προμηθεῦ
 Εντὶ, καὶ ἄνθρωποι τὶν ὁμαλοὶ σοφίην.
Ταύτην γοῦν ἐτύμως τὴν παρθένον ὅστις ἔγραψεν,
 Αἴκ' αὐγὴν ποτ' ἔθηκ', ἦς Ἀγαθαρχὶς ὅλη.

Erinnæ. 7.

Ex teneris manibus hæc imago, optime Prometheu,
 Eſt, & homines plane ſimiles ſapientia,
Hanc igitur verò virginem quiſquis pinxit,
 Si etiam vocem addidiſſet, eſſet Agatharchis tota.

ΕΙΣ ΖΩΓΡΑΦΟΥΣ, ΚΑΙ ΑΓΑΜΑΛ-
τουργοὺς, καὶ ἁπλῶς εἰκόνας, κεφ. ϛ.

Εἰς εἰκόνα Ἀπέλλου.

Αὐτὸς ἑαυτὸν ἐν εἰκόνι γράψεν ἄριστος Ἀπέλλης.

IN PICTORES ET STATVA-
rios, & planè imagines, Cap. VI.

In imaginem Apellis. 1.

Ipſe ſeipſum in imagine pinxit optimus Apelles.

ΚΩΜΗΤΑ σχολαστικοῦ ἐν Ἀναζάρβῳ.

Νωθεὺς ἐγὼ τελέθεσκον ἀπ' ἰξύος ἐς πόδας ἄκρους,
 Τῆς πρὶν ἐνεργείης δηρὸν ἀτεμβόμενος,
Ζωῆς καὶ θανάτοιο μεταίχμιον, ἀΐδι γείτων,
 Μοῦνον ἀναπνείων, τἄλλα δὲ πάντα νέκυς·
Ἀλλὰ σοφός με Φίλιππος, ὃν ἐν γραφίδεσσι δοκεύεις,
 Ζώγρησε, χρυσέην νοῦσον ἀκεσσάμενος.
Αὖθις δ' Ἀντωνῖνος, ἄναξ πάτρης, ἐν χθονὶ βαίνω,
 Καὶ ποσὶ πεζεύω, καὶ ὅλος ἀθαίομαι.

COMETÆ Scholaſtici in Anazarbo. 2.

Piger ego eram à lumbis ad summos pedes,
 Priori operatione diu priuatus,
Vitæ & mortis interstitium,inferno vicinus,
 Solum respirans,cætera verò omnia mortuus.
Sed sapiens Philippus,quem in picturis cernis,
 In vitam reuocauit,frigidum morbum sanans.
Rursus verò Antoninus,vt antè,in terra incedo,
 Et pedibus ambulo,& totus sentio.

Εἰς τὸ τοῦ ὀλυμπίου Διὸς ἄγαλμα.

Ἢ θεὸς ἦλθ' ἐπὶ γῆν ἐξ οὐρανοῦ εἰκόνα δείξων,
 Φειδία,ἢ σύ γ' ἔβης τὸν θεὸν ὀψόμενος·

In cælestis Iouis simulacrum 3.

Aut Deus venit in terram è cælo imaginem monstrans,
 Phidia,aut tu ascendisti Deum visurus.

ΣΙΜΩΝΙΔΟΥ εἰς τὸν ἐν Ῥόδῳ κολοσσόν.

Τὸν ἐν Ῥόδῳ κολοσσὸν ὀκτάκις δέκα
Λάχης ἐποίει πηχέων ὁ Λίνδιος.

SIMONIDIS. 4.

In Rhodo colossum octies decem
Laches faciebat cubitorum Lindius.

Ἀδέσποτον.

Αἶσαν Τιμομάχου πλέον ἢ πατρὸς ἥρπασε τέχνα
 Τὰν φύσιν.ὁ γράψας εἶδέ σε μαινόμενον,
Καὶ συνελυσσήθη χεὶρ ἀνέρι· καὶ τὰ κερασθὰ
 Δάκρυα σὺν λύπης πάντας ἔμιξε πόνους.

Incerti. 8.

Partem Timomachi magis quàm patris. Rapuit ars
 Naturam,qui pinxit,vidit te insanum,
Et vnà insaniit manus cum viro:& commixtas
 Lacrumas cum dolore omnes miscuit labores.

ΑΙΜΙΛΙΑΝΟΥ.

Τέχνας εἵνεκα σεῖο,καὶ ἁ λίθος ἅδε βρυάζει,

Γραξίτελες· λῦσον, καὶ πάλι κωμάσεται.
Νῦν δ' ἡμῖν οὐ γῆρας ἔτ' ἀδρανές. ἀλλ' ὁ πεδητὴς
Σιληνοῖς κώμων, βάσκανός ἐστι λίθος.

ÆMILIANI. 9.

Propter tuam artem, & hic lapis virescit,
Praxiteles: solue è basi, & rursus precatum ibit.
Iam verò nobis non senectus adhuc infirma, sed ligator
Silenis commessationum, inuidus est lapis.

ΣΙΜΩΝΙΔΟΥ.

Ἰφίων τάδ' ἔγραψε Κορίνθιος· οὐκ ἔνι μῶμος
Χερσὶν, ἐπεὶ δόξας ἔργα πολὺ προφέρει.

SIMONIDIS. 10.

Iphion hæc pinxit Corinthius: non reprehensio
In manibus, cùm gloriæ opera multum profert.

Ἄδηλον.

Οὐκ ἀδαὴς ἔγραψε Κίμων τάδε· παντὶ δ' ἐπ' ἔργῳ
Μῶμος, ὃν οὐδ' ἥρως Δαίδαλος ἐξέφυγεν.

Incerti. 11.

Non rudis hæc pinxit Simon: omni verò in opere
Reprehensio, quam neque heros Dædalus effugit.

Ἀδέσποτον.

Ἁ τέχνα τὸν ἔλεγχον ἀπώλεσεν· οὐδὲ γὰρ αὐτὰ
Μαινῦσαι δύναται· τοῦ, πόρε τὰν κεφαλάν.

Incerti. 12.

Ars reprehensionem perdidit: neque enim ipsa
Demonstrare potest. quare, præbe caput.

Ἄδηλον.

Μικροῦ κατέσχον τὸν βότρυν τοῖς δακτύλοις,
Ὑφαπατηθεὶς τῇ θέᾳ τῶν χρωμάτων.

Incerti. 13.

Pæne apprehendissem vuam digitis,
Deceptus aspectu colorum.

ΕΙΣ ΑΓΑΛΜΑΤΑ ΖΩΩΝ, κεφ. ζ΄

Εἰς τὴν Μύρωνος βοῦν.

Βοΐδιον εἰμὶ Μύρωνος, ἐπὶ στήλῃ δ' ἀνάκειμαι·
Βουκόλε, κεντήσας εἰς ἀγέλην μ' ἄπαγε.

IN SIMVLACRA ANIMALIVM, Cap. VII.

In Myronis buculam. 1.

Bucula ſum Myronis, in columna verò poſita ſum:
Paſtor me ſtimulans in armentum abige.

Εἰς τὸ αὐτό.

Τίπτε Μύρων με τὸ βοΐδιον ἐνθάδε τοῖς παρὰ βωμοῖς
Ἱδρύσαι; οὐκ ἐθέλεις εἰσαγέμεν μέγαρον;

In idem. 2.

Quid Myro me buculam hic apud aras
Statuiſti? non vis inducere in campum?

ΑΝΑΚΡΕΟΝΤΟΣ εἰς τὸ αὐτό.

Βουκόλε τὰν ἀγέλαν πόρρω νέμε, μὴ τὸ Μύρωνος
Βοΐδιον ὡς ἔμπνουν βουσὶ συνεξελάσῃς.

ANACREONTIS in idem. 3.

Paſtor armentum procul paſce, ne hanc Myronis
Buculam vt viuam cum bubus vna abigas.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Βοΐδιον οὐ χοάνοις τετυπωμένον, ἀλλ' ὑπὸ γήρως
Χαλκωθὲν, σφετέρῃ ψεύσατο χειρὶ Μύρων.

Eiuſdem in idem. 4.

Buculam non fuſione efformatam, ſed ob ſenectutem
In æs intabeſcentem, ſuâ mentitus eſt manu Myron.

ΕΥΗΝΟΥ εἰς τὸ αὐτό.

Η τὸ δέρας χάλκεον ὅλον βοῒ τῷδ' ἐπίκειται
Ἔκτοθεν, ἢ ψυχὴν ἔνδον ὁ χαλκὸς ἔχει.

EVENI in idem. 5.

Aut pellis ærea tota huic boui incumbit
Exterius, aut animam intus æs habet.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Αὐτὸς ἐρεῖ τάχα τοῦτο Μύρων, οὐκ ἔπλασα ταύτην
Ταὶ δάμαλιν, ταύτας δ' εἰκόν' ἀνεπλασάμην.

Eiusdem in idem. 6.

Ipse propè dicet Myron, non formaui hanc
Buculam, huius verò imaginem effigiaui.

ΛΕΩΝΙΔΟΥ εἰς τὸ αὐτό.

Οὐκ ἔπλασέν με Μύρων, ἐψεύσατο· βοσκομένην δὲ
Ἐξ ἀγέλας ἐλάσας, δῆσε βάσει λιθίνᾳ.

LEONIDÆ in idem. 7.

Non formauit me Myron, mentitus est: pascentem verò
Ex armento abigens, alligauit basi lapideæ.

ΑΝΤΙΠΑΤΡΟΥ Σιδωνίου εἰς τὸ αὐτό.

Εἰ μή μου ποτὶ τᾷδε Μύρων πόδας ἥρμοσε πέτρᾳ,
Ἄλλαις ἂν νεμόμην βουσὶν ὁμοῦ δάμαλις.

ANTIPATRI Sidonij in idem. 8.

Nisi meos ad hanc Myron pedes illigasset petram,
Aliis vnà pascerer cum bobus bucula.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Μόσχε, τί μοι λαγόνεσσι προσέρχεαι; ἐς τί δὲ μυκᾷ;
Ἁ τέχνα μαζοῖς οὐκ ἐνέθηκε γάλα.

Eiusdem in idem. 9.

Vitule, quid ad meas mammas accedis? Quid verò mugis?
Ars mammis non subdidit lac.

Εἰς τὸ αὐτό.

Ταὶ δάμαλιν βουφορβὲ παρέρχεο, μηδ' ἀπόπροσθεν
Συρίσδῃς· μαστῷ πόρτιν ὑποδέχεται.

In idem. 10.

Buculam bubulce præteri, neque procul hinc
Canas fistula: mammis vitulum excepit.

Εἰς τὸ αὐτό.

Ἁ μόλιβος κατέχει με καὶ ἁ λίθος· εἵνεκα δ' αὖ σεῦ
Πλάστα Μύρων λωτὸν καὶ θρίον ἐδρεπόμαν.

In idem. 11.

Plumbum cohibet me & lapis: per te autem,
O formator Myron, lotum, & ficus folia decerpsi.

Εἰς τὸ αὐτό.

Ἁ δάμαλις (δοκέω) μυκήσεται· ἢν δὲ βραδύνῃ,
Χαλκὸς ὁ μὴ νοέων, αἴτιος, οὐχὶ Μύρων.

In idem. 12.

Bucula vt videtur mugiet, si verò cunctetur
Ferrum non sentiens, causa est, non tu Myron.

ΑΝΤΙΠΑΤΡΟΥ εἰς τὸ αὐτό.

Ἁ δάμαλις (δοκέω) μυκήσεται. ἦ ῥ' ὁ Προμηθεὺς
Οὐχὶ μόνος, πλάττεις ἔμπνοα καὶ σὺ Μύρων.

ANTIPATRI in idem. 13.

Bucula vt videtur mugiet. Sanè Prometheus
Non solùm, formas viuentia & tu Myron.

Ἄδηλον εἰς τὸ αὐτό.

Βοῦν ἰδίαν ποτὶ βουσὶ Μύρων μιχθεῖσαν ἐρευνᾷ·
Εὗρε μόλις δ' αὐτήν, τὰς βόας ἐξελάσας.

Incerti in idem. 14.

Bouem propriam aliquando bobus Myron commixtam in-
Inuenit autem ægrè ipsam, bubus abactis. (uestigauit.

Ἄδηλον εἰς τὸ αὐτό.

Ἁ βοῦς ἁ τίκτουσ', ἀπὸ γαστέρος ἔπλασε τήνδ' βοῦν·
Ἁ δὲ Μύρωνος χεὶρ οὐ πλάσεν, ἀλλ' ἔτικεν.

Incerti in idem. 15.

Vacca pariens, in ventre formauit hanc buculam:
Myronis autem manus non formauit, sed genuit.

Ἄδηλον εἰς τὸ αὐτό.

Καὶ χαλκῆ περ ἐοῦσα λάλησεν ἂν ἡ κεραὴ βοῦ,
Εἴπερ σπλάγχνα Μύρων ἔνδον ἐπεχράσατο.

Incerti in idem. 16.

Et licet ærea sit, loqueretur hæc cornuta bos,
Si ei pectora intus Myron machinatus esset.

ΑΝΤΙΠΑΤΡΟΥ εἰς τὸ αὐτό.

Πηκτόν μοί τις ἄροτρον ἐπ' αὐχένι καὶ ζυγὰ θέσθω.
Εἵνεκα γὰρ τέχνης σεῖο Μύρων ἀρόσω.

ANTIPATRI in idem. 17.

Fabricatum mihi quis aratrum in dorso & iugum imponat.
Nam ob artem tuam, Myron, arabo.

ΔΗΜΗΤΡΙΟΥ τοῦ Βιθυνοῦ, εἰς τὸ αὐτό.

Ἤν μ' ἐσίδῃ μόσχος, μυκήσεται· ἢν δέ γε ταῦρος,
Βήσεται· ἢν δὲ νομεύς, εἰς ἀγέλην ἐλάσει.

DEMETRII Bithyni in idem. 18.

Cùm me viderit vitulus, mugiet: sin verò taurus,
Inscendet: si verò pastor, in armentum abiget.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ὧδε Μύρων μ' ἔστησε τὸ βοΐδιον· οἱ δὲ νομῆες
Βάλλουσί με λίθοις ὡς ἀπολειπομένην.

Eiusdem in idem. 19.

Hîc Myron me statuit buculam: pastores verò
Petunt me lapidibus tanquam relictam.

ΜΑΡΚΟΥ Ἀργενταρίου εἰς τὸ αὐτό.

Βουκόλον ἢν ἐσίδῃς τὸ ἐμόν, ξένε, τοῦτ' ἔπος αὐτῷ
Εἰπέν, ὅθ' ὁ πλάστης ὧδέ μ' ἔδησε Μύρων.

MARCI ARGENTARII in idem. 20.

Buculam cùm intueris meam, hospes, hoc verbum ipsi
Dicas, quòd fusor hîc me ligauit Myron.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Τὰν βοῦν τήνδ' ὁ Μύρων ξεῖν' ἔπλασεν, ἢν ὅδε μόσχος
Ὡς ζώουσαν ἰδὼν μητέρα δερκόμενος.

Eiusdem in idem. 21.

Hanc bouem Myron, ô hospes, formauit, quam hic vitulus
Vt viuam trahit matrem, videns.

ΔΙΟΚΡΙΔΟΣ εἰς τὸ αὐτό.

Ταῦρε μάτην ἐπὶ πόρτιν ἐπείγεαι· ἔστι γὰρ ἄπνους·
Ἀλλά σ' ὁ βουπλάστας ἐξαπάτησε Μύρων.

DIOCRIDIS in idem. 22.

Taure frustra super vitulam ruis. Est enim mortua:
Sed te bouis formator decepit Myron.

Εἰς τὸ αὐτό.

Σῷ Μύρων δαμάλει παρὰ καὶ τέθνηκε μόσχος ἀληθής,
Καὶ γάλα τῆς δείνης χαλκὸν ἔσωθεν ἔχειν.

In idem. 23.

Tuam apud buculam mortuus est vitulus circumuagatus,
Etiam lac credens æs intus habere.

Εἰς τὸ αὐτό.

Φεῦ ὁ Μύρων πλάσσαις οὐκ ἔφθασας· ἀλλά σε χαλκός,
Πρὶν ψυχὴν βαλέειν, ἔφθασε πηγνύμενος.

In idem. 24.

Hei Myron formans non festinasti: sed te æs,
Antequam animam immitteres, præuenit concrescens.

Εἰς τὸ αὐτό.

Χαλκείην τί παίεις δάμαλιν; μέγα σ' ἤπαφε τέχνη
Βουκόλε, τὴν ψυχὴν οὐ προσέθηκε Μύρων.

In idem. 25.

Æream cædis buculam: valdè te decepit ars,
Pastor, animam non addidit Myron.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων
εἰς τὸ αὐτό.

Πόρτιν τήνδε Μύρωνος ἰδὼν, τάχα τοῦτο βοήσεις,
Ἡ φύσις ἄπνοός ἐστιν, ἢ ἔμπνοος ἔπλετο τέχνη.

IVLIANI Principum in idem. 26.

Bouem hanc Myronis videns, pænè hoc dices,
Natura est mortua, aut viua fuit ars.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Βουκόλε, ποῖ προθέειν με βιάζεαι; ἴσχεο νύσσων.

Οὐ γὰρ μοι τέχνη καὶ τόδ᾽ ἔδωκεν ἔχειν.

Eiusdem in idem. 27.

Pastor, quò currere me cogis? desine percutere.
Non enim mihi ars & hoc dedit habere.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ἢ χαλκὸν ζώωσε Μύρων σοφὸς, ἢ τάχα πόρτιν
Χάλκωσε, ζωὰν ἐξ ἀγέλας ἐρύσας.

Eiusdem in idem. 28.

Aut æs viuum fecit Myron sapiens, aut propè bouem
Æream fecit, viuam ex armento trahens.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Γλάψα Μύρων, σέο πόρτιν ὁδοιπόρος ἦλθεν ἐλάσσων·
Χαλκοῦ δὲ ψαύσας, φὼρ κενὸς ἐξεφάνη.

Eiusdem in idem. 29.

Formator Myron tuam buculam viator venit abacturus:
Æs verò tangens, fur vacuus apparuit.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό,

Εἰσορόων με λέων χαίνει στόμα· χερσὶ δ᾽ ἀείρει
Γειοπόνος ζεύγλην, αἰγονόμος κορύνην.

Eiusdem in idem. 30.

Intuens me leo diduxit rictum: manibus verò attollit
Arator lignum à iugo dependens pastor in agro clauam.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Τλῆθι Μύρων, τέχνη σε βιάζεται· ἄπνοον ἔργον.
Ἐκ φύσεως τέχνη· οὐ γὰρ φύσιν εὕρετο τέχνη.

Eiusdem in idem. 31.

Perfer Myron, ars te cogit: mortuum opus.
Ex natura ars. Non enim naturam inuenit ars.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ἐν βοῒ τᾷδ᾽ ἐμάχοντο φύσις καὶ πότνια τέχνα·
Ἀμφοτέραις δὲ Μύρων ἶσον ὄπασσε γέρας.
Δερκομένοις μὲν γὰρ, φύσιος κράτος ἥρπασε τέχνα·
Αὐτὰρ ἐφαπτομένοις, ἡ φύσις ἐστὶ φύσις.

Eiusdem in idem. 32.

In boue hac inter se contendebant natura & diuina ars:
Vtrisque verò Myron æquale tribuit præmium.
Intuentibus enim, naturæ robur rapuit ars,
Sed tangentibus natura est natura.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ἤπαφε καὶ σὲ μύωπα Μύρων, ὅτι κέντρον ἐρείδεις
Πλευραῖς χαλκοτύποις αὐτοτύποιο βοός.
Οὐ νέμεσις δὲ μύωπι· τί γὰρ τόσον, εἴγε καὶ αὐτοὺς
Ὀφθαλμοὺς νομέων ἠπερόπευσε Μύρων;

Eiusdem in idem. 33.

Decepit te lucrosum Myron, quod stimulum intentas
Lateri ex ære formato resistentis bouis.
Non verò indignatio lucroso. Quid enim tantum, si & ipsos
Oculos pastorum decepit Myron?

ΓΕΜΙΝΟΥ εἰς τὸ αὐτό.

Ἡ βάσις ἡ κατέχουσα τὸ βοΐδιον, ἧ πεπέδηται·
Ἢν ἀφεθῇ ταύτης, φεύξεται εἰς ἀγέλην.
Μυκᾶται γὰρ ὁ χαλκός· ἴδ᾽ ὡς ἔμπνουν ὁ τεχνίτης
Θήκατο. κἂν ζεύξῃς ἄλλον, ἴσως ἀρόσει.

GEMINI in idem. 34.

Basis cohibens buculam, cui alligatur:
Sin liberetur ab hac, fugiet ad armentum.
Mugit enim æs: vide quomodo viuentem artifex
Fecerit. Et si ei adiungas alium, fortè arabit.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Χάλκεος ἦς, ἐπὶ σοὶ δὲ γεωτόμος εἷλκεν ἄροτρον,
Καὶ ζυγόδεσμα φέρων ψευδομένα δαμάλει·
Ἀλλὰ Μύρων τέχνα πολυπείριος, ὅς σε δι᾽ ἔργων
Ἔμπνοον ὥς τινα βοῦν ἐργάτιν εἰργάσατο.

Eiusdem in idem. 35.

Ærea es per te verò agricola traxit aratrum,
Et iuga ferens falsæ buculæ:

Sed Myron arte ſummus, qui te per opera ſua
Viuam vt bouem operatorem perfecit.

ΦΙΛΙΠΠΟΥ Μακεδόνος εἰς τὸ αὐτό.

Ἀπαιρέ μου τίνοντος ὦ γεωπόνε
Λέπαδνα, καὶ σίδαρον αὐλακεργάτην.
Χαλκὸν γὰρ ἀμὸν οὐκ ἐσάρκωσε Μύρων,
Τέχνᾳ δ' ἐξεπόνησεν ὄψιν ἔμπνοον,
Ὡς πολλάκις με κἀπομυκᾶσθαι θέλειν·
Εἰς ἔργα δ' οὐκ εἴασε, προσδήσας βάσει.

PHILIPPI Macedonis in idem. 36.

Aufer meo è colle, ô ruſtice,
Lata lora & ferreum vomerem.
Æs enim noſtrum non incarnauit Myron,
Arte verò elaborauit viſum viuum,
Vt ſæpe etiam mugire velim:
Ad opera verò non conceſſit, alligans baſi.

Τοῦ αὐτοῦ εἰς ἵππον.

Ἴδ' ὡς ὁ πῶλος χαλκοδαιδάλῳ τέχνῃ
Κορωνιῶν ἕστηκε. δριμὺ γὰρ βλέπων
Ὑψαυχενίζει, καὶ διηνεμωμένας
Κορυφῆς ἐθείρας οὐρίωκεν ἐς δρόμον.
Δοκέω, χαλινοὺς εἴ τις ἡνιοστρόφος
Εναρμόσει γένυσι, κἀπικεντήσει,
Ὁ σὸς πόνος Λύσιππε, καὶ παρ' ἐλπίδας
Τάχ' ἐκδραμεῖται· τῇ τέχνῃ γὰρ ἔμπνεει.

Eiuſdem in equum. 37.

Vide quomodo equus variâ in ære arte
Contumax ſtetit acre intuens enim
Ceruicem attollit, & à ventis commota
Verticis iuba vento fertur in curſum.
Cenſeo habenas ſi quis equorum gubernator
Adaptet maxillis, & ſtimulet
Tuus labor, Lyſippe, & præter ſpem
Propè curret. arte enim viuit.

Εἰς τὸν Καλυδώνιον κάπρον.

Χάλκεος· ἀλλ' ἄθρησον ὅσον θράσος ἤνυσε κάπρου
 Ὁ πλάστας, ἔμπνουν θῆρα τυπωσάμενος,
Χαίτας αὐχενίους πεφρικότα, θηκτὸν ὀδόντα
 Βρύχοντα, γληναῖς φρικτὸν ἱέντα σέλας,
Ἀφρῷ χείλεα πάντα δεδευμένα. οὐκ ἔτι θάμβος
 Εἰ λογάδα στρατιὴν ὤλεσεν ἡμιθέων.

In Calydonium aprum. 30.

Æreus:ſed vide quantam confidentiam abſoluit apri
 Sculptor,viuam feram efformans,
Setas dorſales horrentem,mortalem dentem
 Frendentẽ,oculorũ canthis formidabilẽ emittentẽ fulgorẽ.
Spuma labra omnia irrigata. Non amplius mirandum
 Si collectum exercitum perdidit ſemideorum.

Ἀδήλου.

Τόν με παρὰ σιπύῃ φύλακος μακρὰν ἀποτῆλε φύλαξαι.
 Τοῖος ἐὼν οἷον ὁρᾷς ὦ παρ' ἔμ' ἐρχόμενε,
Σύκινος, οὐ ῥίνῃ πεποιημένος, οὐδ' ἀπὸ μίλτου,
 Ἀλλ' ἀπὸ ποιμενικῆς αὐτομάθου ξοΐδος.
Ἄγριος· γέλασον. μετὰ δ' εὐκλείους πεφύλαξο
 Σίνεσθαι, μὴ καὶ Σαρδόνιον γελάσῃς.

Incerti. 31.

In arcâ me cuſtodem longè procul caue.
 Talis exiſtens,quem vides,ô ad me accedens,
Ficulnus,non lima elaboratus,nec rubricâ,
 Sed à paſtorali per ſe edocto ſcalpro.
Agreſtis:ride.Poſt ſuperbiam verò caue
 Ne lædaris,ne & Sardonium rideas.

ΕΙΣ ΕΙΚΟΝΑΣ ΑΡΧΑΙΩΝ ΚΑΙ ΗΡΩΩΝ ΤΙΝΩΝ, κεφ. ηʹ.

ΙΟΥΛΙΑΝΟΥ εἰς Περιμήδεα.

Τέχνης

Τέχνης πυρσὸν ὄπασσα φερέσβιον, ἐκ δ' ἄρα τέχνης
Καὶ πυρὸς, ἀλλήκτου πήματος ὄψιν ἔχω.
Ἦ μερόπων ἀχάριστον ἀεὶ γένος, εἴγε Προμηθεὺς
Ἀντ' εὐεργεσίης ταῦτ' ὑπὸ χαλκοτύπων.

IN IMAGINES PRISCORVM & heroum quorundam. Cap. VIII.

IVLIANI in Promethea. 1.

Artis ignem præbui ferentem vitam. Ex arte verò
Et igni, indeſinentis doloris ſpectaculum habeo.
Certè hominum ingratum eſt ſemper genus, ſiquidem Prome-
Pro beneficio hæc à fabris *patior*. (theus

Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Χαλκὸν μὲν καλέεσκεν ἀπειρέα βίβλος Ὁμήρου,
Ἀλλά μιν ὁ πλάστης δεῖξεν ἐλεγχόμενον.
Δεῦρ' ἴδε γὰρ στενάχοντα Προμηθέα, δεῦρ' ἴδε χαλκοῦ
Τειρομένου σπλάγχνων ἐκ μυχάτων ὀδύνας.
Ἡράκλεες νεμέσησον, ἐπεὶ μετὰ σεῖο φαρέτρην
Ἰαπετιονίδης ἄλγος ἄπαυστον ἔχει.

Eiuſdem in eundem. 2.

Æs dicebat indomitum liber Homeri,
Sed illud formator monſtrauit reprehenſibile.
Huc enim & vide ingemiſcētem Promethea, Huc accede vide
Adflicti ex imis viſceribus dolores. (æris
Hercules indignare: cùm adhuc poſt tuam pharetram
Iapetionides dolorem non ceſſibilem habet.

ΓΑΛΛΟΥ εἰς Τάνταλον.

Οὗτος ὁ πρὶν μακάρεσσι συνέστιος, οὗτος ὁ νηδὺν
Πολλάκι νεκταρέου πλησάμενος πόματος,
Νῦν λιβάδος θνητῆς ἱμείρεται· ἡ φθονερὴ δὲ
Κρᾶσις ἀεὶ χείλευς ἐστὶ ταπεινοτέρη.
Πίνε, λέγει τὸ τόρευμα, καὶ ὄργια μάνθανε σιγῆς.
Οἱ γλώσσῃ προπετεῖς ταῦτα κολαζόμεθα.

GALLI in Tantalum. 3.

Hic qui prius diis conuiua, hic qui ventrem
Sæpius nectareo impleuit potu,
Nunc liquorem mortalem desiderat: inuida autem
Mixtio semper labiis est depressior.
Bibe, dicit opus torno factum, & orgia disce silentij.
Lingua qui sumus incontinentes (hisce) ita puniunt.

Εἰς ἄγαλμα Ἡρακλέους νηπίου ὄντος ἔτι, καὶ ταῖς χερσὶ θλίβοντος δράκοντας δύο.

Θλῖβε δρακοντείους περιμήκεας ὄβριμε χεῖρας
Ἡρακλες, δακέτων ἀγχιβαθεῖς φάρυγας.
Ἐξέτι νηπιάχοιο, χόλον ζηλήμονος Ἥρης
Ἄμπαυσον, μοχθεῖν γνῶθι καὶ ἐκ βρέφεος.
Οὐ γάρ σοι κρητὴρ χαλκήλατος, οὐδὲ λέβητες,
Ἀλλ' ὁδὸς εἰς αὐλὴν Ζηνὸς, ἔπαθλον ἔφυ.

In simulacrum Herculis infantis adhuc, & manibus elidentis dracones duos. 4.

Elide draconum prælongas, violente, manus
Hercules, draconum profunda guttura.
Vel ex infante iram zelotypia adfectæ Iunonis
Compesce, laborare disce vel ex infante.
Non tibi enim crater ex ære, neque lebetes,
Sed via in Iouis aulam, precium est certaminis.

Εἰς τοὺς δώδεκα ἄθλους τοῦ Ἡρακλέους.

Δέρκεο μυελόμενα τοὺς Ἡρακλες ἀγῶνας,
Οὓς τλὰς, ἀθανάτων οἶκον ὄλυμπον ἔβης.
Γηρυόνην, κλυτὰ μῆλα, μέγαν πόνον Αὐγείαο.
Πώλους, Ἱππολύτην, πουλυκάρηνον ὄφιν,
Κάπρον θωϊκτῆρα, χάους κυνὰ, θῆρα Νεμείης,
Οἰωνοὺς, ταῦρον, Μαιναλίην ἔλαφον.
Νῦν δὲ κατ' ἄκρα πτόλιος ἀπορθήτοιο βεβηκὼς
Περγαμίης, μεγάλους ῥύεο Τηλεφίδας.

In duodecim labores Herculis. 5.

Aspice mille laborum tua Hercules certamina,
  Quæ perpessus, Deorum domum cælum ascendisti.
Geryonem, inclyta poma, magnum laborem Ægëi,
  Equos, Hippolyten, multa capita habentem serpentem,
Aprum impetuosum, inferni canem, feram Nemeæ,
  Aues, taurum, Mænalium ceruum,
Iam verò in summitatem nobis indeletæ cùm veneris
  Pergamiæ, magnos libera Telephidas.

Ἄδηλον εἰς τὸ αὐτό.

Πρῶτα μὲν, ἐν Νεμέῃ βριαρὸν κατέπεφνε λέοντα·
Δεύτερον, ἐν Λέρνῃ πολυαύχενον ὤλεσεν ὕδρην·
Τὸ τρίτον αὖτ' ἐπὶ τοῖς, Ἐρυμάνθιον ἔκτανε κάπρον·
Χρυσόκερων δ' ἔλαφον μετὰ τοῦτ' ἤγρευσε, τέταρτον.
Πέμπτον δ', ὄρνιθας Στυμφηλίδας ἐξεδίωξεν·
Ἕκτον, Ἀμαζονίδος κόμισε ζωστῆρα φαεινόν·
Ἕβδομον, Αὐγείου πολλὴν κόπρον ἐξεκάθηρεν·
Ὄγδοον, ἐκ Κρήτης δὲ πυρίπνοον ἤλασε ταῦρον·
Εἴνατον, ἐκ Θρῄκης Διομήδεος ἤγαγεν ἵππους·
Γηρυόνου, δέκατον, βόας ἤγαγεν ἐξ Ἐρυθείης·
Κέρβερον, ἑνδέκατον, κύν' ἀνήγαγεν ἐξ Ἀΐδαο·
Δωδέκατον δ' ἐκόμισεν ἐς Ἑλλάδα χρύσεα μῆλα·
Τὸ τρισκαιδέκατον, τοῖον λυγρὸν ἔσχεν ἄεθλον,
Μουνονυχὶ πεντήκοντα ξυνελέξατο κούρας.

Incerti in idem. 6.

Primò quidem, in Nemeâ immanem occidit leonem:
Deinde, in Lerna multiceruicem perdidit hydram:
Tertiò rursus post hæc, Erymanthium occidit aprum:
Auricornem ceruum post hæc venatus est, quartò:
Quintò verò, aues Stymphalides expulit:
Sextò, Amazonidis tulit cingulum præclarum:
Septimò, Ægei multum fimum expurgauit:
Octauò, ex Creta igniuomum abegit taurum:

Nonò, ex Thraciâ Diomedis duxit equos,
Geryonæ, decimò, boues eduxit ex Erythiâ:
Cerberum, vndecimò, canem sursum duxit ex orco:
Duodecimò tulit in Græciam aurea poma:
Decimò tertiò tale difficile habuit certamen,
Vna nocte cum quinquaginta concubuit puellis.

ΦΙΛΙΠΠΟΥ εἰς τὸ αὐτό.

Ὤλεσα τὸν Νεμέας θῆρ' ἄπλετον, ὤλεσα δ' ὕδρην,
Καὶ ταῦρον κάπρου δ' ἀμφετίναξα γένυν,
Ζωστῆρ' ἑλκύσας, πώλους Διομήδεος εἷλον·
Χρύσεα μῆλα κλάσας, Γηρυόνην ἔλαβον.
Αὐγείαν ἐδάην· κεμὰς οὐ φύγεν· ἔκτανον ὄρνις·
Κέρβερον ἠγαγόμην· αὐτὸς Ὄλυμπον ἔχω.

PHILIPPI in idem. 7.

Perdidi Nemeæ feram insatiabilem, perdidi & hydram,
Et taurum: apri verò vndique concussi maxillam.
Cingulum abstrahens, equos Diomedis abstuli:
Aurea mala fregi, Geryonem cepi.
Augeam didici: cerua non aufugit: occîdi aues:
Cerberum duxi: ipse cælum habito.

ΑΡΧΙΟΥ εἰς τὸν αὐτὸν φονεύσαντα τὸν ἐν Νεμέᾳ λέοντα.

Μηκέτι ταυροβόροιο βαρὺ βρύχημα λέοντος
Πτήσσετε ληϊνόμοι γλαφυρῆς Νεμέης.
Ἡ γὰρ ὑφ' Ἡρακλῆος ἀριστάθλοιο δέδουπεν,
Αὐχένα θηροφόνοις ἀγχόμενος παλάμαις.
Ποίμνας ἐξελάσασθε· πάλιν μυκηθμὸν ἀκούει
Ἠχὼ, ἐρημαίης ἐνναύτειρα νάπης.
Καὶ σὺ λεοντόχλαινε πάλιν θωρήσσεο ῥινῷ,
Ἥρης ὀτρηρῶν μισθοτόθοιο χόλου.

ARCHII in eundem occidentem in Nemeâ Leonem. 8.

Non amplius tauriuori grauem rictum leonis

Formidate agricolæ paſtores Nemeæ.
Certè enim ab Hercule optimo certatore cecidit domitus,
Ceruicem feras occidentibus ſtrangulatus manibus.
Stabula rurſus emittite: rurſus mugitum audiat
Echo, deſerti inhabitatrix ſaltus.
Et tu leonis veſte indute rurſus armare pelle,
Iunonis compeſcens nothis filiis infenſæ iram.

ΔΑΜΑΓΗΤΟΥ εἰς τὸ αὐτό.

Ἐκ Νεμέης ὁ λέων, ἀτὰρ ὁ ξένος, Ἀργόθεν αἷμα·
Πολλὸν ὁ μὲν θηρῶν μεῖζον, ὁ δ᾽ ἡμιθέων.
Ἔρχονται δ᾽ ἐς ἀγῶνα, κατ᾽ ἀντίον ὄμμα βαλόντες
Λοξὸν, ὑπὲρ ζωᾶς καὶ βιοτᾶς σφετέρας.
Ζεῦ πάτερ, ἀλλ᾽ εἴη τὸν ἀπ᾽ Ἄργεος ἀνέρα νικᾶν,
Ἐμβατὸς ὡς αὖ τοι καὶ Νεμέα πελέθοι.

DAMAGETI in idem. 9.

Ex Nemea leo, ſed hoſpes, ex Argis ſanguinem habet:
Multum quidem ille feras ſuperans, hic ſemideos.
Veniunt in certamen, in contrarium oculum coniicientes
Obliquè, ſuper vitam & mortem ſuam.
Iupiter pater, ſed contingat Argiuum virum vincere,
Vt peruius etiam ſaltus Nemeus tibi ſit.

Εἰς τὸν αὐτὸν καὶ τὴν ἔλαφον.

Τί πρῶτον, τί δ᾽ ἔπειτα φρεσὶν, τί δὲ λοίσθιον ὄσσοις
Θαυμάσσω, τέχνης ἀνέρος, ἢ δ᾽ ἐλάφου;
Ὧι ὁ μὲν, ἰξύι θρεὶς ἐπιμεβεβαὼς, γόνυ βρίθει,
Εὐπλέκτων παλάμῃσι δραξάμενος κεράων·
Ἡ δ᾽ ὑπὸ χάσματι πολλὰ καὶ ἄσθματι φυσιόωσα,
Γλώσσῃ σημαίνει θλιβομένην κραδίην.
Ἡρακλὲς γήθησον· ὅλη κεμὰς ἤδε τέθηλεν
Οὐ κέρασιν μούνοις, ἀλλὰ τέχνῃ χρυσίῃ.

In eundem & ceruum. 10.

Quid prius, quid poſterius animis, quid verò vltimum oculis
Demirabor artis viri, & cerui?

Quorum hic quidem humeros feræ ascendens, genib. depẽdit,
   Pulchros ramos manibus prehendens cornuum:
Hæc fera hiatu multum & anhelitu spirans,
   Linguâ demonstrat excruciatum cor.
Hercules gaude: tota cerua hæc floret,
   Non solum cornibus, sed arte aureâ.

Εἰς τὸν αὐτὸν, καὶ τὸν Ἀνταῖον.

Χαλκὸν ἀποιμώζοντα τίς ἔπλασε; τίς δ' ὑπὸ τέχνας
   Καὶ πόνον ἐκ μορφᾶς καὶ θράσος εἰργάσατο;
Ἔμψυχον τὸ πλάσμα· καὶ οἰκτείρω μογέοντα,
   Καὶ φρίττω κρατερὸν τὸν θρασὺν Ἡρακλέα.
Ἀνταῖον γὰρ ἔχει πεπονημένον ἐκ παλαμάων·
   Ἰγνωθεὶς δὲ δοκεῖ καὶ στοναχὴν ἱέναι.

In eundem, & Antæum. 11.

Æs eiulans quis formauit? quis ab arte
   Et laborem ex formâ & audaciam fabricatus est?
Viuum hoc est figmentum: & miseret me laborantis,
   Et horreo validum audacem Herculem.
Antæum enim habet adflictum ex manibus:
   Incortus verò videtur & gemitum emittere.

Εἰς τὸν αὐτὸν μεθύοντα.

Οὗτος ὁ νῦν ὕπνῳ βεβαρημένος ἠδὲ κυπέλλῳ,
   Κενταύρους νήφων οἰνοβαρεῖς ὄλεσεν.

In eundem ebrium. 12.

Hic iam somno grauatus & poculo,
   Centauros sobrius vino grauatos perdidit.

Εἰς τὸ αὐτό.

Οὗτος ὁ πανδαμάτωρ, ὁ παρ' ἀνδράσι δωδεκάεθλος
   Μελπόμενος, κρατερῆς εἵνεκεν ἠνορέης,
Οἰνοβαρὴς μετὰ δαῖτα μεθυσφαλὲς ἴχνος ἐλίσσει,
   Νικηθεὶς ἁπαλῷ λυσιμελεῖ Βρομίῳ.

In idem. 13.

Hic omnium domitor, qui apud homines tanquam duodecim certamina vicerit

Cantatur, fortem ob fortitudinem.
Mero grauatus post epulas vino vacillantem gradum trahit,
Superatus molli membra soluente à Baccho.

Εἰς ἕτερον ἀγῶνα τοῦ αὐτοῦ.

Χαίτην καὶ ῥόπαλον καὶ ἐν ὀφθαλμοῖσιν ἀταρβῆ
Θυμὸν ὁρῶν, βλοσυρόν τ' ἀνδρὸς ἐπισκύνιον,
Ζήτει δέρμα λέοντος ἐπ' εἰκόνι· κἢν μὲν ἐφεύρῃς,
Ἡρακλέης· εἰ δ' οὔ, Λυσιμάχοιο πίναξ.

In aliud certamen eiusdem. 14.

Setas, & clauam, & in oculis intrepidam
Iracundiam videns, & formidabile viri supercilium,
Quære pellem leonis in imagine: & vbi inueneris,
Herculis est: si verò non, Lysimachi tabula.

Εἰς ἕτερον ἄγαλμα τοῦ αὐτοῦ.

Οἵῳ Θειοδάμας πρὶν ἀπήντησεν Ἡρακλῆι,
Τοῖον ὁ τεχνίτης υἱὸν Διὸς εἰργάσατο,
Βοῦν ἀροτῆρα ἕλκοντα, καὶ ἀντείνοντα κορύνην.
Ἀλλ' οὐ τὴν ὀλοὴν γράψε βοοσφαγίην.
Ναὶ τάχα Θειοδάμαντι γοήμονα χείλεσι φωνὴν
Ἥρμοσεν, ἧς ἀΐων φείδεται Ἡρακλέης.

In aliud simulacrum eiusdem. 15.

Quali Theodamas prius obuiam factus est Herculi,
Talem artifex Iouis filium perfecit,
Bouem aratorem trahentem, & prætendentem clauam.
Sed non perniciosam pinxit bouis cædem.
Certè propè Theodamanti lugentem labris vocem
Aptauit, quam audiens pepercit Hercules.

Εἰς εἰκόνα ἑτέραν τοῦ αὐτοῦ.

Οἷον καὶ Κρονίδης ἔσπειρέ σε τῇ τρισελήνῳ
Νυκτὶ καὶ Εὐρυσθεὺς εἶδεν ἀεθλοφόρον,
Κἢκ πυρὸς εἰς Ὄλυμπον ἐκώμασας, ὦ βαρύμοχθε
Ἀλκείδη, τοίην εἰκόνα σου βλέπομεν.
Ἀλκμήνης δ' ὠδῖνας ἔχει λίθος· αἱ δὲ μεγαυχεῖς

Θῆβαι νῦν μύθων εἰσὶν ἀπιστότεραι.

In imaginem aliam eiusdem. 16.

Qualem & Iupiter seminauit te tribus
 Noctibus, & Eurystheus vidit ferentem certamina,
Et ex igni in olympum venisti, ô grauia perpesse
 Alcida, talem imaginem tuam cernimus.
Alcmenæ partum habuit lapis. Sed valde gloriosæ
 Thebæ nunc fabulis sunt vaniores.

ΓΕΜΙΝΟΥ εἰς ἄγαλμα τοῦ αὐτοῦ.

[a]Ἡρακλες, ποῦ σοι πτόρθος μέγας, ἥ τε Νέμειος
 Χλαῖνα, καὶ ἡ τόξων ἔμπλεος ἰοδόκη;
Ποῦ σοβαρὸν μίμημα; τίς ἔπλασεν ὧδε κατηφῆ;
 [b]Λύσιππος· χαλκῷ δ' ἐγκατέμιξ' ὀδύνην.
[a]Ἄχθῃ γυμνωθεὶς ὅπλων σέο; τίς δέ σ' ἔπερσεν;
 [b]Ὁ πτερόεις (ὄντως εἷς βαρὺς ἆθλος) ἔρως.

GEMINI in simulachrum eiusdem. 17.

[a]Hercules, vbi ramus magnus, & Nemea
 Læna, & sagittis plena pharetra?
Vbi superbus habitus? quis formauit te sic demissum?
 [b]Lysippus, æri verò commiscuit dolorem.
[a]An doles spoliatus tuis armis? quis te expugnauit?
 [b]Alatus (verè vnum graue certamen) amor.

ΦΙΛΙΠΠΟΥ εἰς τὸ αὐτό.

Ἥρη τοῦτ' ἄρα λοιπὸν ἐβούλετο πᾶσιν ἐπ' ἄθλοις,
 Ὅπλων γυμνὸν ἰδεῖν τὸν θρασὺν Ἡρακλέα.
Ποῦ χλαίνωμα λέοντος, ὅ, τ' ὠρείζηλος ἐπ' ὤμοις
 Ἰός, καὶ βαρύπους ὄζος ὁ θηρολέτης;
Πάντα σ' ἔρως ἀπέδυσε· καὶ οὐ ξένον, εἰ Δία κύκνον
 Ποιήσας, ὅπλων νοσφίσαθ' Ἡρακλέα.

PHILIPPI in idem. 18.

Iuno sanè hoc volebat reliquum omnibus in certaminibus
 Armis nudatum videre audacem Herculem.
Vbi læna è leonis pelle, & celeriter volans in humeris

Sagitta,

Sagitta, & tarda ob pondus claua feras occidens?
Omnia tibi Amor exuit: & non nouum, si Iouem cygnum
Faciens, armis priuauit Herculem.

Εἰς ἀνδριάντα Θησέως, καὶ τοῦ Μαραθωνίου ταύρου.

Θαῦμα τέχνης ταύρου τε καὶ ἀνέρος· ὧν ὁ μὲν ἀλκῇ
Θῆρα βίῃ βρίθει γυῖα τιταινόμενος·
Ἶνας δ' αὐχενίους γνάμπτων, παλάμῃσιν ἔμαρψε,
Λαιῇ μυκτῆρας, δεξιτερῇ δὲ κέρας.
Ἀστραγάλους δ' ἐλέλιξε, καὶ αὐχένα θὴρ ὑπὸ χερσὶν
Δαμνάμενος κρατεραῖς, ὤκλασεν εἰς ὀπίσω.
Ἔστι δ' ἀίσσασθαι τέχνης ὕπο, τῷδ' ἐνὶ χαλκῷ
Θῆρα μὲν ἐμπνείειν, ἄνδρα δ' ἱδρῶτι ῥέειν.

In statuam Thesei, & Marathonij tauri. 19.

Miraculum artis taurique & viri: quorum hic quidẽ robustam
Feram robore premit, membra intendens:
Fibras ceruicales retorquens, manibus comprehendit,
Læuâ nares, dextrâ verò cornua.
Spinæ vertebras luxauit, & dorsum fera sub manibus
Domita robustis, posterius in genua procubuit.
Licet alicui putare ab arte, hoc in ære
Feram quidem spirare, virum verò sudore fluere.

Εἰς ἀνδριάντα Καπανέως.

Εἰ τοῖος Θήβης Καπανεὺς ἐπεμήνατο πύργοις,
Ἅμμασιν ἠερίην κλίμακα μησάμενος,
Εἷλεν ἂν ἄστυ βίῃ, καὶ ὑπὲρ μόρον. αἴδετο γὰρ ῥα
Καὶ σκηπτὸς Κρονίδου τοῖον ἑλεῖν πρόμαχον.

In statuam Capanei. 20.

Si talis Thebarum Capaneus insaniisset in turribus,
Funibus excelsam scalam molitus,
Cepisset vrbem vi vel contra fatum. Erubuisset enim sanè
Et fulmen Iouis talem capere antesignanum.

ΓΕΜΙΝΟΥ εἰς ἄγαλμα Σαλμωνέως.

Χείρ με Πολυκλείτου Θασίη κάμεν· εἰμὶ δ' ἐκεῖνος
 Σαλμωνεὺς βρονταῖς ὃς Διὸς ἀντεμάχουν·
Ος με καὶ εἰν ἀΐδῃ πορθεῖ πάλι, καί με κεραυνοῖς
 Βάλλει, μισῶν μου καὶ λαλέοντα τύπον.
Ισχε Ζεῦ πρηστῆρα, μέθες χόλον· εἰμὶ γὰρ ἄπνοις
 Ο σκοπός. ἀψύχοις εἰκόσι μὴ πολέμει.

GEMINI in statuam Salmonei. 21.

Manus me Polycleti Thasia fecit: sum verò ille
 Salmoneus fulgura qui Iouis contra insanij:
Qui me etiam in inferno destruit denuò, & me fulmine
 Concutit, odio habens & mutam imaginem.
Cohibe Iupiter fulmen, depone iram: sum enim mortuus
 Ad quem tu iacularis: inanimatis statuis ne pugnes.

ΙΟΥΛΙΑΝΟΥ εἰς Ικαρον χαλκοῦν ἐν λουτρῷ ἱστάμενον.

Ικαρε, κηρὸς μέν σε διώλεσε, νῦν δέ σε κηρῷ
 Ηγαγεν εἰς μορφὴν αὖθις ὁ χαλκοτύπος·
Αλλ' ἄγε μὴ πτερὰ πάλλε κατ' ἠέρα, μὴ τὸ λοετρὸν,
 Ηερόθεν πίπτων, ἰκάριον τελέσῃς.

IVLIANI in Icarum æreum in lauacro stantem. 22.

Icare, cera quidem te perdidit, iam verò te cerâ
 Duxit in imaginem rursus excusor ex ære:
Verùm age ne pennas vibres per aëra, ne lauacrum
 Per aëra decidens, Icarium facias.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ικαρε, χαλκὸς ἐὼν μιμνήσκεο, μηδέ σε τέχνη,
 Μηδ' ἀπάφῃ πτερύγων ζεῦγος ἐπωμάδιον.
Εἰ γὰρ ζωὸς ἐὼν πέσες ἐν πελάγεσσι θαλάσσης,
 Πῶς ἐθέλεις πτῆναι χάλκεον εἶδος ἔχων;

Eiusdem in idem. 23.

Icare, quòd æs sis recordare, neque te ars,

Neque decipiat pennarum iugum super humeros.
Nam si viuus existens cecidisti in pelagus maris,
Quomodo vis volare æream imaginem habens?

ΑΓΑΘΙΟΥ σχολαστικοῦ εἰς Ἱππόλυτον διαλεγόμενον τῇ τροφῷ τῆς Φαίδρας.

Ἱππόλυτος τῆς γρηὸς ἐπ' οὔασι νηλέα μῦθον
Φθέγγεται· ἀλλ' ἡμεῖς οὐ δυνάμεσθα κλύειν.
Ὅσσον δ' ἐκ βλεφάρων μεμηνότος ἔστι νοῆσαι
Ὅττι παρεννέπει μηκέτ' ἄθεσμα λέγειν.

AGATHII Scholastici in Hippolytum colloquentem cum nutrice Phædræ. 24.

Hippolytus aniculæ in aures crudelem sermonem
Dicit: sed vos non potestis audire.
Quantum verò ex oculo præ dolore furioso licet cognoscere
Iubet non amplius illicita dicere.

ΦΙΛΟΣΤΡΑΤΟΥ εἰς εἰκόνα Τηλέφου τιτρωμένου.

Οὗτος ὁ Τευθρανίας πρόμος ἄσχετος, οὗτος ὁ πρὶν
Τήλεφος αἱμάξας φρικτὸν Ἄρη Δαναῶν,
Μυσὸν ὅτε πλήθοντα φόνῳ ἐκέρασσε Κάϊκον·
Οὗτος ὁ Πηλιακοῦ δουρὸς ἀντίπαλος,
Νῦν ὀλοὸν μηρῷ κεύθων βάρος, οἷα λιπόπνους
Τήκεται, ἐμψύχῳ σαρκὶ συνελκόμενος.
Οὗ καὶ πειρωμένοιο περιπλώοντες Ἀχαιοὶ,
Φύρδην Τευθρανίας νεῦνται ἀπ' ἠιόνος.

PHILOSTRATI in imaginem Telephi vulnerati. 25.

Hic Teuthraniæ rex indomitus, hic qui priùs
Telephus cruentans formidabilem Martem Danaorum,
Mysum cùm plenum cæde miscuit Caycum:
Hic Peliacæ hastæ aduersarius,
Nunc perniciosum femore tegens vulnus, tanquam moriturus
Tabescit, viuâ carne contractus.

Quo & vulnerato fugientes Achiui,
   Confusi Teuthraniæ discedunt à litore.

ΓΛΑΥΚΟΥ εἰς εἰκόνα Φιλοκτήτου.

Καὶ τὸν ἀπὸ Τρηχῖνος ἰδὼν πολυώδυνον ἥρω
   Τόνδε Φιλοκτήτην ἔγραφε Παῤῥάσιος.
Ἔν τε γὰρ ὀφθαλμοῖς ἐσκληκόσι κωφὸν ὑποικεῖ
   Δάκρυ, καὶ ὁ τρύχων ἐντὸς ἔνεστι πόνος.
Ζωογράφων ὦ λῷστε σὺ μὲν σοφὸς, ἀλλ' ἀναπαῦσαι
   Ἄνδρα πόνων ἤδη τὸν πολύμοχθον ἔδει.

GLAVCI in imaginem Philoctteti. 26.

Et hunc ex Trachinia intuitus multos dolores passum heroa
   Hunc Philoctetem pinxit Parrhasius.
Inque oculis aridis surdæ habitant
   Lacrumæ, & absumens intus inest labor.
Pictorum ô optime, tu quidem sapiens, sed quiescere
   A laboribus iam illum qui tantum laborauit oportebat.

Εἰς τὸν αὐτόν.

Ἐχθρὸς ὑπὲρ Δαναοὺς πλάστης ἐμὸς, ἄλλος Ὀδυσσεὺς,
   Ὅς μ' ἔμνησε κακῆς οὐλομένης τε νόσου.
Οὐκ ἤρκει πέτρη, τρῦχος, λύθρον, ἕλκος, ἀνίη·
   Ἀλλὰ καὶ ἐν χαλκῷ τὸν πόνον εἰργάσατο.

In eundem. 27.

Magis hostilis quàm Danai pictor meus, alius Achilles,
   Qui me recordari fecit mali perniciosi morbi.
Non satis est petra, pannus lacer, purulentus sanguis, vulnus, (dolor:
   Verùm etiam in ære hunc dolorem elaborauit.

ΙΟΥΛΙΑΝΟΥ Αἰγυπτίου εἰς τὸν αὐτόν.

Οἶδα Φιλοκτήτην ὁρόων, ὅτι πᾶσι φαείνει
   Ἄλγος ἑὸν καὶ τοῖς τηλόθι δερκομένοις.
Ἄγρια μὲν κομόωσαν ἔχει τρίχα. δέρκ' ἴδε χέρσον
   Χαίτην τριχαλέοις χρώμασιν αὐσταλέην.
Δέρμα κατεσκληκὸς δὲ φέρει καὶ ῥικνὸν ἰδέσθαι.

Καὶ τάχα καρφαλέον χερσὶν ἐφαπτομένοις.
Δάκρυα δὲ ξηροῖσιν ὑπὸ βλεφάροισι παγέντα
Ἵσταται, ἀργυπίου σῆμα δυηπαθίης.

Iuliani Ægyptij in eundem. 28.

Noui Philoctetem videns, quòd omnibus demonſtrat
Dolorem ſuum etiam procul intuentibus,
Horridè quidem comantem habet capillum: age huc aſpice capitis verticem
Comam horridis coloribus demiſſam.
Cutem arefactam verò fert, & rugoſam aſpectu,
Et prope ſiccam manibus tactu:
Lacrumæ verò aridis in palpebris concretæ
Stant, immenſæ ſignum calamitatis.

ΚΟΣΜΑ ΜΗΧΑΝΙΚΟΥ εἰς Πύῤῥον μέλλοντα σφάξαι τὴν Πολυξένην.

Πύῤῥος ἐγώ· σπεύδω δὲ πατρὸς χάριν. ἡ δὲ κυνῶπις
Παλλάδα κικλήσκει, γνωτὸν ἔχουσα Πάριν.

COSMÆ MECHANICI in Pyrrhum volentem iugulare Polyxenam. 29.

Pyrrhus ego: feſtino autem patris nomine: illa verò impudens
Palladem inclamat, fratrem habens Paridem.

Εἰς Χείρωνα τὸν ἱπποκένταυρον.

Ἀνδρόθεν ἐκχέχυθ' ἵππος, ἀνέδραμε δ' ἱππόθεν ἀνήρ.

In Chironem Hippocentaurum. 30.

E viro effunditur equus, excurrit verò ex equo vir.

Ἄδηλον, εἰς τὸν αὐτόν.

Ἀνὴρ νόσφι ποδῶν, κεφαλῆς δ' ἄτερ, αἰόλος ἵππος.

Incerti in idem. 31.

Vir ſine pedibus ſine capite, varius equus.

Εἰς τὸν αὐτόν.

Ἵππος ἐρεύγεται ἄνδρα, ἀνὴρ δ' ἀποπέρδεται ἵππον.

In eundem. 32.

Equus eructat virum, vir verò excacat equum.

ΕΥΟΔΟΥ εἰς τὸν αὐτόν.

Ιππος ἔην ἀκάρηνος. ἀνὴρ δ' ἀτέλεστος ἔκειτο,
Ον γε φύσις παίζουσα θοῷ ἐνεκέντρισεν ἵππῳ.

Evodi in eundem. 33.

Equus erat ſine capite, vir verò imperfectus iacet,
Quem natura iocata veloci inſeruit equo.

ΚΟΡΝΗΛΙΟΥ εἰς Κυναίγειρον.

Οὔ σε μάκαρ Κυνέγειρε τὸν ὡς Κυνέγειρον ἔγραψε
Φᾶσις, ἐπεὶ βελαραῖς αἴδετο σεῦ παλάμαις.
Αλλὰ σοφός τις ἔην ὁ ζωγράφος, οὐδέ σε χειρῶν
Νόσφισε, τῶν χειρῶν οὕνεκεν ἀθάνατον.

Cornelii in Cynægirum. 34.

Non te beate Cynægire vt Cynægirum pinxit,
Phaſis, cùm robuſtis poſuit cum manibus,
Sed ſapiens quis erat pictor, neque te manibus
Priuauit, manuum nomine immortalem.

ΠΑΥΛΟΥ σιλεντιαρίου εἰς τὸν αὐτόν.

Μηδοφόνους μὲν χεῖρας ὑπὲρ γαμψοῖο κορύμβου
Ναὸς ἀπορνυμένης ἐξέταμον κοπίδες,
Ανίκα που Κυνέγειρε φυγὰς ποτὶ φορτὶς ἐκείνα
Ωσπερ ἀπ' εὐναίας εἴχετο σᾶς παλάμας.
Αλλὰ καὶ ὥς, ἅπερ ἐξ δόρυ νήιον ἀμφιδακοῦσαι,
Απνοον ὡμάρτευν τάρβος Αχαιμενίοις.
Καὶ τὰς μέν τις ἀνὴρ ἕλε βάρβαρος· ἁ δέ γε χειρῶν
Νίκα Μοψοπίοις μίμνε παρ' ἐνναέταις.

Pauli Silentiarij in eundem. 35.

Medos occidentes manus quidem ſuper inflexa puppe
Nauis cum impetu diſceſſuræ amputarunt ſecures,
Cùm Cynegire fugitiua nauis oneraria illa
Tanquam ab anchorâ detineretur tuæ manus,
Sed etiam tam tenaciter, vt ſerrâ lignum nauale admordentes,
Mortua ſequebatur formido Achęmenios.
Et has quidem aliquis vir tulit barbarus: at verò manuum

Victoria Athenienses mansit apud enneatas.

ΠΟΣΕΙΔΙΠΠΟΥ εἰς στήλην Ἀλεξάνδρου
τοῦ Μακεδόνος.

Λύσιππε πλάστα Σικυώνιε, θαρσαλέη χείρ,
Δάϊε τεχνῖτα, πῦρ τοι ὁ χαλκὸς ὁρῇ·
Οἱ κατ' Ἀλεξάνδρου μορφᾶς χέες. οὐκ ἔτι μεμπτοὶ
Πέρσαι. συγγνώμη βουσὶ λέοντα φυγεῖν.

Posidippi in columnam Alexandri
Macedonis. 36.

Lysippe fictor Sicyonie, audacula manus,
Ingeniose artifex, ignem quodammodo æs videt:
Quem iuxta Alexandri formam effudisti. Non amplius reprehendendi.
Persæ. Ignoscendum bobus leonem vitare.

ΑΡΧΕΛΑΟΥ, ὡς δὲ, ΑΣΚΛΗΠΙΑΔΟΥ
εἰς τὸν αὐτόν.

Τόλμαν Ἀλεξάνδρου καὶ ὅλαν ἀπεμάξατο μορφὰν
Λύσιππος· τίν' ὅδ' ὁ χαλκὸς ἔχει δύναμιν;
Αὐδάσοντι δ' ἔοικεν ὁ χάλκεος, ἐς Δία λεύσσων,
Γᾶν ὑπ' ἐμοὶ τίθεμαι Ζεῦ, σὺ δ' Ὄλυμπον ἔχε.

Archelai vt alij Asclepiadis in
eundem. 37.

Audaciam Alexandri, & totam expressit formam
Lysippus: quamnam hoc æs habet vim?
Intuenti simile est æs, in cælum videns
Terram sub me pono, Iupiter, tu verò Olympum habes.

Ἀδηλον, εἰς τὸν αὐτόν.

Αὐτὸν Ἀλέξανδρον τεκμαίρεο· ὧδε τὰ κείνου
Ὄμματα καὶ ζωὸν θάρσος ὁ χαλκὸς ἔχει.
Ὃς μόνος ὃν ἐφορῶσιν ἀπ' οὐρανόθεν αἱ Διὸς αὐγαί,
Πᾶσαν Πελλαίῳ γῆν ὑπέταξε θρόνῳ.

Incerti, in eundem. 38.

Ipsum Alexandrum considera: hîc illius

Oculi, & viuentem confidentiam æs habet.
Qui solus, quam intuentur ex æthere Solis fulgores,
Omnem Pellæo terram supposuit throno.

Ἀδηλον, εἰς τὸν αὐτόν.

Τοῦτον Ἀλέξανδρον μεγαλήτορος υἷα Φιλίππου
Δέρκεαι, ἀρτιλόχευτον, Ὀλυμπιὰς ὅν ποτε μήτηρ
Καρτερόθυμον ἔτικτεν· ἀπ' ὠδίνων δέ μιν Ἄρης
Ἔργα μόθων ἐδίδασκε, τύχη δ' ἐκέλευσεν ἀνάσσειν.

Incerti in eundem. 39.

Hunc Alexandrum magnanimum filium Philippi
Vide iam editum, Olympias quem olim mater
Magnanimum peperit: post partum verò ipsum Mars
Opera bellorum docuit, fortuna verò iussit imperare.

Ἀδηλον.

Μὰ τὸν βουθοίναν Ἡρακλέα, παῖδες ἀγρῶται,
Οὐκ ἔτι κερδαλέοις ἔμβατα ταῦτα λύκοις.
Φῶρές τε στείχειν κλοπίην ὁδὸν ἀρνήσαντο,
Εἰ καὶ κωμήτας ἄκριτος ὕπνος ἔχει.
Ἡ γάρ μ' ἵδρυται Διονύσιος οὐκ ἄτερ εὐχῆς·
Χαίρω τῷδ' ἀγαθὸν σύμμαχον Ἡρακλέα.

Incerti. 40.

Per boum voratorem Herculem, pueri rustici,
Non amplius calidis peruia hæc lupis.
Et fures ambulare furtiuam viam recusant,
Licet etiam rusticos indiscretus somnus habeat.
Hic enim me posuit Dionysius non sine petitione,
Loco hoc bonum commilitonem Herculem.

Ἀδηλον.

Μὴ τρέσῃς ὅτι τόξον ὁδοιπόρε, καὶ νεοθηγεῖς
Ἰοὺς γυμνώσας, σεῖό τε ποδῶν ἐθέμην,
Μηδ' ὅτι βαστάζω ῥόπαλον χερὶ, μηδ' ὅτι δέρμα
Ἀμφ' ὤμοις χαροποῦ τοῦτο λέοντος ἔχω.
Ποιμένα δ' οὐ πόρτας ἐκτίσαμαι, ἀλλὰ κακούργους.

Καὶ

Καὶ σώζειν ἀγαθοὺς ἐξ ἀχέων δύναμαι.

Incerti. 41.

Ne trepides quòd arcum, viator, & recens acutas
 Sagittas extrahens ante pedes posui:
Neque quòd baiulo clauam manu, neque quod pellem
 Circa humeros horrendi hanc leonis habeo.
Lędere non omnes noui, sed malos.
 Et liberare bonos ex doloribus possum.

Ἄδηλον εἰς τὸν Ὀδυσσέα.

Αἰεὶ Λαρτιάδη πόντος βαρύς· εἰκόνα χεῦμα
 Ἔκλυσε, κἀκ δέλτων τὸν τύπον ἠφάνισεν.
Τί πλέον; εἰν ἐπέεσσιν Ὁμηρείοις γὰρ ἐκείνου
 Εἰκὼν ἀφθάρτοις ἐγγράφεται σελίσιν.

Incerti in Vlyssem. 42.

Semper Laërtiadæ pontus grauis: imaginem fluctus
 Dissoluit, & è tabula imaginem deleuit.
Quid tum postea? In versibus enim Homericis illius
 Imago immortalibus inscribitur paginis.

Ἄδηλον εἰς τὸν μινώταυρον.

Ὁ παῖς ὁ ταῦρος, ὁ κατὰ μηδὲν ἐντελής,
Ὁ τῆς τεκούσης τοῦ πάθους κατήγορος,
Ὁ μιξόθηρ ἄνθρωπος, ἡ διπλῆ φύσις,
Ὁ ταυρόκρανος, ἡ πλάνη τῶν σωμάτων,
Ὃς οὔτε βοῦς πέφυκεν, οὔτ᾽ ἀνὴρ ὅλως.

Incerti in Minotaurum. 43.

Puer & taurus, nulla re perfectus,
Et matris sceleris accusator,
Mixtus cum fera homo, & duplex naturâ,
Taurino capite, deceptio corporum,
Qui neque bos natus est, nec vir totus.

Ἄδηλον εἰς Λυκοῦργον.

Τίς τὸν Θρήϊκα τόνδε μονοκρήπιδα Λυκοῦργον
 Χάλκεον Ἠδωνῶν παγὸν ἀνεπλάσατο;

ΕΙΣ ΗΡΩΙΔΑΣ, κεφ. θ.

Εἰς ἄγαλμα Νιόβης.

Ἐκ ζωῆς με θεοὶ τεῦξαν λίθον· ἐκ δὲ λίθοιο
Ζωὴν Πραξιτέλης ἔμπαλιν εἰργάσατο.

IN HEROIDAS, Cap. IX.

In ſtatuam Niobæ. 1.

Ex viua me dij fecerunt lapidem: ex lapide verò
Viuam Praxiteles rurſus elaborauit.

ΙΟΥΛΙΑΝΟΥ αἰγυπτίου εἰς τὸ αὐτό.

Δυστήνου Νιόβης ὁρόας τύπον ἀληθέα μορφήν,
Ὡς ἔτι μυρομένης πότμον ἑῶν τεκέων.
Εἰ δ' ἄρα καὶ ψυχὴν οὐκ ἔλλαχε, μὴ τόδε τέχνη
Μέμφεο· θηλυτέρην εἴκασε λαϊνέην.

IVLIANI Ægyptij in idem. 2.

Infelicis Niobæ vides veriſſimam imaginem,
Tanquam adhuc lugentis mortem ſuorum liberorum.
Si verò animam ſortita non eſt, non hoc arti
Imputa: feminam effinxit lapideam.

ΑΝΤΙΠΑΤΡΟΥ εἰς τὸ αὐτό.

Ταντταλὶς ἅδε ποχ' ἅδε, δὶς ἑπτὰ τέκνα τεκοῦσα
Γαστρὶ μιῇ, Φοίβῳ θῦμα καὶ Ἀρτέμιδι.
Κούρα γὰρ προὔπεμψε κούραις φόνον, ἄρσεσι δ' ἄρσην·
Διοσοὶ γὰρ διοσαὶς ἔκτανον ἑβδομάδας.
Ἁ δὲ τόσας ἀγέλας μάτηρ πάρος· ἁ πάρος εὔπαις,
Οὐδ' ἐφ' ἑνὶ πλάμων λείπεται γηροκόμῳ.
Μάτηρ δ' οὐχ' ὑπὸ παισὶν, (ὅπερ θέμις) ἀλλ' ὑπὸ ματρὸς
Παῖδες ἐς ἀλγινοὺς πάντες ἄγοντο τάφους.
Τάνταλε, καὶ δέ σε γλῶσσα διώλεσε, καὶ σέο κούραν·
Χἁ μὲν ἐπετρώθη, σοὶ δ' ἔπι δεῖμα λίθος.

ANTIPATRI in idem. 3.

Tantalis hæc quondam fuit, bis feptem liberos generans
  Vno ventre, Phœbo victimam & Artemidi.
Puella enim præmifit puellis mortem, maribus verò mas:
  Bini etenim binas occiderunt feptimanas.
At verò tantæ gregis mater prius, quæ prius bene fœcunda,
  Neque vni mifera relinquitur, quæ fenem nutriat.
Mater verò non à liberis (vt fas erat) fed à matre
  Liberi in acerbos omnes efferuntur tumulos.
Tantale, & te verò lingua perdidit, & tuam filiam:
  Et hæc quidem fagittis confoffa, fuper te autem metus lapis.

ΘΕΟΔΩΡΙΔΟΥ εἰς τὸ αὐτό.

Στᾶθι πέλας, δάκρυσον ἰδὼν ξένε μυρία πένθη
  Τᾶς ἀθυρογλώσσου Ταντάλιδος Νιόβας·
Ἇς, ἐπὶ γᾶς ἔστρωσε δυωδεκάπαιδα λοχείαν
  Ἄρτι, τὰ μὲν, Φοίβου τόξα, τὰ δ', Ἀρτέμιδος.
Ἃ δὲ, λίθῳ καὶ σαρκὶ μεμιγμένον εἶδος ἔχουσα,
  Πετροῦται· στενάχει δ' ὑψιπαγὴς Σίπυλος.
Θνατοῖς ἐν γλώσσᾳ δολία νόσος· ἁ δ' ἀχάλινος
  Ἀφροσύνα τίκτει πολλάκι δυστυχίας.

THEODORIDÆ in idem. 4.

Sta procul, lacrumare intuens, ô hofpes, mille dolores
  Incontinentis linguæ Tantalidæ Niobes:
Cuius in terra transfixit duodecimum partum
  Iam, & Phœbi fagittæ, & Artemidis.
Hæc verò, lapidi & carni fimilem imaginem habens,
  Lapidefcit: ingemit verò in alto pofitus Sipylus.
Mortalibus in lingua dolofus morbus: ceterum infrænis
  Stultitia generat fæpe infelicitatem.

ΑΝΤΙΠΑΤΡΟΥ εἰς τὸ αὐτό.

Τίπτε γύναι πρὸς Ὄλυμπον ἀναιδέα χεῖρα τείνουσα;
  Ἔνθεον ἐξ ἀθέου κρατὸς ἀφεῖσα κόμην,
Λατοῦς παπταίνουσα πολὺν χόλον, ὦ πολύτεκνε;
  Νῦν στένε τὴν πικρὰν καὶ φιλάεθλον ἔριν.

Ἃ μὲν γὰρ παίδων ἀσπαίρει πέλας, ἃ δὲ, λιπόπνους
Κέκλιται· ἃ δὲ βαρὺς πότμος ἐπικρέμαται.
Καὶ μόχθων οὔπω τόδε σοι τέλος, ἀλλὰ καὶ ἄρσην
Ἔστρωται τέκνων ἑσμὸς ἀποφθιμένων.
Ὦ βαρὺ δακρύσασα γενέθλιον, ἄπνοος αὐτὰ
Πέτρος ἔσῃ Νιόβα, κἀν ἀΐδῃ πιεσμένα.

ANTIPATRI in idem. 5.

Quid mulier ad cœlum impudentem manum tendis,
Insanam ex impio capite demittens comam,
Latonæ circumspiciens multam bilem, ô valde fœcunda?
Nunc ingemisce acerbam & inconsultam contentionem.
Hæc enim puellarum palpitat propè: hęc verò, moritura
Inclinatur: huic verò grauis mors imminet.
Et laborum nondum hic tibi finis, sed & mascula
Sternitur liberorum multitudo morientium.
O graue lacrumans natalitium, mortua ipsa
Petra eris, Niobe, etiam adflicta in orco.

ΜΕΛΕΑΓΡΟΥ εἰς τὸ αὐτό.

Ταντάλι παῖ Νιόβα, κλῦ' ἐμὰν φάτιν, ἄγγελον ἄτας
Δέξαι σῶν ἀχέων οἰκτροτάταν λαλιάν.
Λῦε κόμας ἀνάδεσμον. ἰὼ βαρυπενθέσι Φοίβου
Γειναμένα τόξοις ἀρσενόπαιδα γόνον.
Οὔ σοι παῖδες ἔτ' εἰσίν. ἀτὰρ τί τόδ' ἄλλο τι λεύσσω;
Αἶ, αἶ, πλημμυρεῖ παρθενικαῖσι φόνος.
Ἃ μὲν γὰρ, ματρὸς περὶ γούνασιν, ἃ δ' ἐνὶ κόλποις
Κέκλιται· ἃ δ' ἐπὶ γᾶς, ἃ δ' ἐπιμαστίδιος·
Ἄλλα δ' αὐτωπὸν θαμβεῖ βέλος· ἃ δ' ἐπ' ὀϊστοῖς
Πτώσσει· τᾶς δ' ἔμπνουν ὄμμ' ἔτι φῶς ὁρᾷ·
Ἁ δὲ λάλον στέρξασα πάλαι στόμα, νῦν ὑπὸ θάμβευς
Μάτηρ, σαρκοπαγὴς οἷα πέπηγε λίθος.

MELEAGRI in idem. 6.

Tantali filia Niobe, audi meam vocem, nuncium cladis

Æmulatione & liberis variè distractam,
Infinitum pertulit laborem, vt mores duplices exararet,
Quorum hic quidem ad iram adnuebat, hic verò in misericordiam.
Vtrúmque impleuit. Vide imaginem: nam in minatione,
Lacruma, in misericordia verò ira versatur.
Sufficit cunctatio, dixit sapiens, sanguis verò liberorum
Decebat Medeam, non manus Timomachi.

ΦΙΛΙΠΠΟΥ εἰς τὸ αὐτό.

Τίς σου Κολχὶς ἄθεσμε συνέγραφεν εἰκόνι θυμόν;
Τίς καὶ ἐν εἰδώλῳ βάρβαρον εἰργάσατο;
Αἰεὶ γὰρ διψᾷς βρεφέων φόνον. ἤ τις Ἰήσων
Δεύτερος, ἢ Γλαύκη τις πάλι σοι πρόφασις;
Ἔρρε καὶ ἐν κηρῷ παιδοκτόνε. σῶν γὰρ ἀμέτρων
Ζήλων εἰς ἃ θέλεις, καὶ γραφὶς αἰσθάνεται.

PHILIPPI in idem. 10.

Quis tuam impia Colchis pinxit in imagine iram?
Quis etiam in simulacro barbaram effinxit?
Semper enim sitis liberorum cædem. Aut quis Iason
Secundus, aut Glauca quæ rursus tibi caussa est?
Pereas vel in cerâ. ô puerorum interemptrix. tuam enim infinitam
Zelotypiam in quæ cupias, etiam pictura sentit.

Ἀδέσποτον εἰς τὸ αὐτό.

Δεῦρ' ἴδε παιδολέτειραν ἐν εἰκόνι, δεῦρ' ἴδη ἄγαλμα,
Κολχίδα Τιμομάχου χειρὶ τυπωσαμένου.
Φάσγανον ἐν παλάμᾳ, θυμὸς μέγας, ἄγριον ὄμμα·
Παισὶν ἐπ' οἰκτίστοις δάκρυ καταρχόμενον.
Πάντα δ' ὁμοῦ συνέχευεν, ἄμικτά τι εἰς ἓν ἀγείρας·
Αἵματι μὴ χρῶσαι φεισάμενος παλάμας.

Incerti in idem. 11.

Hic vide liberorum interemptricẽ in imagine, hîc vide statuã
Colchidem Timomachi manu effigiantem.
Ensem in manu, iram magnam, horrendum oculum:

Ob liberos miserandos lacrumam descendentem.
Omnia simul confudit, & immixta in vnum aceruans:
Sanguini non pingere parcens manum.

ΙΟΥΛΙΑΝΟΥ Αἰγυπτίου εἰς τὸ αὐτό.

Τιμόμαχος Μήδειαν ὅτ᾽ ἔγραφεν, εἰκόνι μορφᾶς
Ἀψύχου ψυχὰς θήκατο διχθαδίας.
Ζᾶλον γὰρ λεχέων, τεκέων θ᾽ ἅμα φίλτρα συνάψας,
Δεῖξεν ἐν ὀφθαλμοῖς ἀντιμεθελκομένας.

IVLIANI Ægyptii in idem. 12.

Timomachus Medeam cùm pingeret, in imagine formæ
Mortuæ animas posuit duplices.
Zelotypiam enim lecti, & liberorum simul amore coniungēs,
Demonstrauit in oculis in contrariam partem tractam.

Ἄδηλον εἰς τὸ αὐτό.

Δεῦρ᾽ ἴδε, καὶ θάμβησον ὑπ᾽ ὀφρύσι κείμενον οἶκτον,
Καὶ θυμὸν, βλεφάρων καὶ πυρόεσσαν ἴτυν,
Καὶ μητρὸς παλάμην ἀλόχοιό τε πικρὰ παθούσης,
Ὁρμῇ φειδομένην πρὸς φόνον ἑλκομένην.
Ζωγράφος ὧδ᾽ ἔκρυψε φόνου τέλος, οὐκ ἐθελήσας
Θάμβος ἀπαμβλῦναι πένθει δερκομένων.

Incerti in idem. 13.

Huc vide, & demirare in oculis sitam misericordiam,
Et iram, & palpebrarum ignitam circumferentiam,
Et matris manum & coniugis acerba passæ,
Impetu parcente ad cædem trahentem.
Pictor autem sapienter abscondit cædis finem, nolens
Admirationem obtundere dolore spectatorum.

ΦΙΛΙΠΠΟΥ εἰς τὸ αὐτό.

Κολχίδα τὴν ἐπὶ παισὶν ἀλάστορα τραυλὲ χελιδὼν
Πῶς ἔτλης τεκέων μαῖαν ἔχειν ἰδίων;
Ἧς ἔτι καυθὸς ὕφαιμος ἐπαστράπτει φόνιον πῦρ,
Καὶ πολιὸς γενύων ἀφρὸς ἀποσταλάει·
Ἀρτιβρεχὴς δὲ σίδηρος ἐφ᾽ αἵματι. φεῦγε πανώλη

Ματέρα

Μητέρα, κἀν κηρῷ τεκνοφονεῦσαν ἔτι.

PHILIPPI in idem. 14.

Colchidem per pueros vltricem balba hirundo,
Quomodo sustinuisti liberorũ nutricem habere propriorũ?
Cuius adhuc oculi cruenti fulgent homicidam ignem,
Et alba labiorum spuma destillat:
Nuper verò irrigatum ferrũ sanguine. Fuge perniciosissimam
Matrem, etiam in cera adhuc occidentem liberos.

Εἰς ἄγαλμα τῆς αὐτῆς.

Μαίνῃ καὶ λίθος οὖσα, καὶ ἐκ κραδίης σέο θυμὸς
Ὄμματα κοιλήνας ἐς χόλον ἠντρέπισεν.
Ἔμπης οὐδὲ βάσις σε καθέξεται, ἀλλ' ἄρα θυμῷ
Πηδήσεις, τεκέων εἵνεκα μαινομένη.
Ὦ, τίς ὁ τεχνίτης τόδε γ' ἔπλασεν, ἢ τίς ὁ γλύπτης;
Ὃς λίθον εἰς μανίην ἤγαγεν εὐτεχνίῃ;

In simulacrum eiusdem. 15.

Furit, quamuis lapis, & ex corde tuo ira
Oculos excauans in cædem instruxit.
Firma nec basis te detinet, sed sanè animo
Saltabis, ob liberos insaniens.
O quis artifex hoc formauit, aut quis sculptor
Qui lapidem ad insaniam deduxit sua solertia?

ΑΝΤΙΠΑΤΡΟΥ Μακεδόνος εἰς τὸ αὐτό.

Μηδείης τύπος οὗτος· ἴδ' ὡς τὸ μὲν εἰς χόλον αἴρει
Ὄμμα, τὸ δ' εἰς παίδων ἔκλασε συμπαθίην.

ANTIPATRI Macedonis in idem. 16.

Medeæ imago hæc: vide quomodo hunc in iram tollit
Oculum, hunc in liberorum fregit condolentiam.

Εἰς τὸ αὐτό.

Οἶκτον ὁμοῦ καὶ λύσσαν ἐτήτυμον ἔνθεος ἀνὴρ
Μαρμάρῳ ἐγκατέμιξε· βιαζομένην δ' ὑπὸ τέχνης
Λαϊνέην Μήδειαν ὅλης ἔμνησεν ἀνίης.

In idem. 17.

Misericordiam simul & furorem verè diuinus vir
Marmori immiscuit, coactam verò ab arte
Lapideam Medeam totius recordari fecit doloris.

ΑΡΑΒΙΟΥ σχολαστικοῦ εἰς Ἀταλάντην
καὶ Ἱππομένην.

Ἕδνα γάμου ἔρριπτες, ἢ ἀμβολίην ταχυτῆτος,
Τοῦτο γέρας κούρῃ χρύσεον Ἱππομένης.
Ἄμφω μῆλον ἄνυσσεν· ἐπεὶ καὶ παρθένον ὁρμῆς
Εἶρξεν, καὶ ζυγίης σύμβολον ἦν Παφίης.

ARABII Scholastici in Atalantam &
Hippomenem. 18.

Arrham nuptiarũ proiecisti, aut cunctationem celeritatis,
Hoc prȩmium puellæ aureum Hippomenes.
Vtrumque pomum perfecit: cùm & virginem ab impetu
Inhibuit, & coniugij symbolum erat Veneris.

Εἰς ἄγαλμα Ἀριάδνης.

Οὐ βροτὸς ὁ γλύπτας, οἵαν δέ σε Βάκχος ἐραστὰς
Εἶδεν, ὑπὲρ πέτρας ἔξεσε κεκλιμέναν.

In statuam Ariadnæ. 20.

Non mortalis sculptor, qualem verò te Bacchus amator
Vidit, super petram perpoliuit inclinantem.

Εἰς τὸ αὐτό.

Ξεῖνοι, λαϊνέας μὴ ψαύετε τᾶς Ἀριάδνας,
Μὴ καὶ ἀναθρώσκῃ Θησέα διζομένα.

In idem. 21.

Hospites, lapideam non tangite hanc Ariadnem,
Ne prosiliat ipsa Thesea inquirens.

ΑΝΤΙΦΙΛΟΥ εἰς Ἀνδρομέδην.

Αἰθιόπων ἁ βῶλος· ὁ δὲ πτερόεις τὰ πέδιλα,
Περσεύς· ἁ δὲ λίθῳ προσδέτος, Ἀνδρομέδα.
Ἁ προτομά, Γοργοῦς λιθοδερκέος· ἆθλον ἔρωτος,
Κῆτος· Κασσιέπας, ἁ λάλος εὐτεκνίη.

Χἀ μὲν ἀπὸ σκοπέλοιο χαλᾷ πόδας ἠθάδι νάρκᾳ,
Νωθής· ὁ δὲ μναστὴρ νυμφοκομεῖ τὸ γέρας.

ANTIPHILI in Andromedam. 22.

Æthiopum gleba, alatus autem calceos,
Perseus: at verò lapidi alligata, Andromeda.
Abscissum caput, Gorgonis intuentis lapidē: prēmium amoris,
Cetus: Cassiopes loquax fœcunditas.
Et hæc quidem à scopulo detinetur pedibus consueta torpedine,
Segnis: verùm sponsus, vt nouam nuptam adornat hoc munus.

ΑΡΑΒΙΟΥ σχολαστικοῦ εἰς τὴν αὐτήν.

Κηφεὺς Ἀνδρομέδην ἢ ζωγράφος αὐτὸ τὸ πέτραις·
Καὶ γὰρ ἀπ' ὀφθαλμῶν ἡ κρίσις ἀμφίβολος·
Κῆτος δ' ἐν σπλάγχνοισιν ἐπὶ γραμμαῖσι χαράχθη,
Ἢ ἀπὸ Νηρῆος γείτονος ἐξανέδυ.
Ἔγνων ταῦτα. σοφός τις ἀνὴρ καὶ μὲν δολιὸς ἀληθῶς
Ἰδέξατο καὶ βλεφάρων καὶ στερνίδων ἀπάτην.

ARABII scholastici in eandem.

Cepheus Andromedam, aut pictor apposuit petræ:
Etenim ex oculis iudicium est anceps.
Cetus autem speluncis flexuosis insculptus est,
Aut è mari vicino emersit.
Noui hæc. sapiens quis vir fecit: solers reuera
Construxit & palpebrarum & pectoris fallaciam.

Τοῦ αὐτοῦ εἰς εἰκόνα Ἑλένης.

Ἀργείης Ἑλένης ἐρόεις τύπος, ἥν ποτε βούτης
Ἥρπασε, τὸν ξένιον Ζῆνα παρωσάμενος.

Eiusdem in imaginem Helenæ. 24.

Argiuæ Helenæ amabilis imago, quam olim pastor
Rapuit, Iouem hospitalem violans.

ΡΩΜΙΑΝΟΥ εἰς στήλην Πολυξένης.

Ἅδε Πολυκλείτοιο Πολυξένα, οὐδέ τις ἄλλα
Χεὶρ ἔθιγεν τούτου δαιμονίου πίνακος.

Ἤρας ἔργον, ἀδελφόν. ἴδ' ὡς πέπλοιο ῥαγέντος
    Ταὶ αἰδῶ γυμναὶ σώφρονι κρύπτε πέπλῳ.
Λίσσεται ἁ τλάμων ψυχᾶς ὕπερ· ἐν βλεφάροις δὲ
    Παρθενικᾶς ὁ Φρυγῶν κεῖται ὅλος πόλεμος.

POMIANI in columnam Polyxenæ. 25.

Hæc Polycleti Polyxena, neque quædam alia
    Manus tetigit hanc diuinam tabellam.
Iunonis opus, fraternum. Vide quomodo peplo rupto
    Pudenda nuda verecundo abſcondit peplo.
Inſanit miſera ſuper animam: in oculis verò
    Virginis Phrygum iacet totum bellum.

Ἀδέσποτον εἰς εἰκόνα Διδοῦς.

Ἀρχέτυπον Διδοῦς ἐρικυδέος ὦ ξένε λεύσσεις,
    Εἰκόνα, θεσπεσίῳ κάλλεϊ λαμπομένην.
Τοίη καὶ γενόμην, ἀλλ' οὐ νόον οἷον ἀκούεις,
    Αἰσχρὸν ἐπ' εὐφήμοις, δόξαν ἐνεγκαμένη.
Οὐδὲ γὰρ Αἰνείαν ποτ' ἐσέδρακον, οὐδὲ χρόνοισι
    Τροίης περθομένης ἤλυθον ἐς Λιβύην·
Ἀλλὰ βίας φεύγουσα Ἰαρβαίων ὑμεναίων,
    Πῆξα κατὰ κραδίης φάσγανον ἀμφίτομον.
Πιερίδες, τί μοι ἁγνὸν ἐφωπλίσσατε Μάρωνα;
    Τοῖα καθ' ἡμετέρης ψεύσατο σωφροσύνης.

Incerti in imaginem Didus. 26.

Archetypon Didus inclytæ, ô hoſpes, vides,
    Imaginem, diuina pulcritudine lucentem.
Talis etiam eram, ſed non animo qualem audis,
    Malam ex virtute opinionem ſortita.
Neque enim Æneam vnquam vidi, neque temporibus
    Troiæ euerſæ veni in Libyam:
Sed vim fugiens Iarbæ nuptiarum,
    Fixi per cor gladium ancipitem.
Pierides, quid in me ſanctum armaſtis Maronem?
    Hæc contra noſtram mentitus eſt pudicitiam.

ΕΙΣ ΑΓΑΛΜΑ ΗΧΟΥΣ, κεφ. ι.

ΓΑΥΡΑΔΑ, ὡς παρὰ τοῦ Πανός.

[a]Ἀχὼ φίλα μοι συγκαταίνεσόν τι. [b]τί;
[a]Ἐρῶ Κορίσκας, ἁ δέ μ' οὐ φιλεῖ. [b]φιλεῖ.
[a]Πρᾶξαι δ' ὁ καιρὸς καιρὸν οὐ φέρει. [b]φέρει.
[a]Τὺ τοίνυν αὐτᾷ λέξον ὡς ἐρῶ. [b]ἐρῶ.
[a]Καὶ πίστιν αὐτᾷ κερμάτων τὺ δός. [b]τὺ δός.
[a]Ἀχώ, τί λοιπὸν ἢ πόθου τυχεῖν; [b]τυχεῖν.

IN SIMVLACRVM ECHVS, Cap. X.

PAVRADÆ tanquam à Pane. 1.

[a]Echo amica mihi aſtipulare aliquid. [b]Quid?
[a]Amo Coriſcam, hæc verò me non amat. [b]Amat.
[a]Rem habere tempus occaſionem non fert. [b]Fert.
[a]Tu igitur ipſi dicito quod amem. [b]Dicam.
[a]Et fidem ipſi numorum quid da. [b]Quid da.
[a]Echo, quid reliquum? an amore potiri. [b]Potiri.

ΣΑΤΥΡΟΥ εἰς τὸ αὐτό.

Ποιμνίαν ἄγλωσσον ἀν' ὀργάδα μέλπεται ἀχὼ
Ἀντίθρουν πτανοῖς ὑστερόφωνον ὄπα.

SATYRI in idem. 2.

Paſtoralem elinguem per paſcua canit Echo
Contraſonantem volucribus contraſonantem vocem.

ΛΟΥΚΙΑΝΟΥ, οἱ δὲ, ΑΡΧΙΟΥ, εἰς τὸ αὐτό.

Ἠχὼ πετρήεσσαν ὁρᾷς φίλε, Πανὸς ἑταίρην,
Ἀντίτυπον φθογγὴν ἔμπαλιν ᾀδομένην,
Παντοίων στομάτων λάλον εἰκόνα, ποιμέσιν ἡδὺ
Παίγνιον. ὅσσα λέγῃς, ταῦτα κλύων, ἄπιθι.

LVCIANI, vt alij, ARCHII, in idem. 3.

Echo in ſcopulis naſcentem vides hoſpes, Panis amicam,
Contraſonantem vocem rurſus canentem,
Variorum orium loquacem imaginem, paſtoribus dulce
Ludicrum. quæcunque dicis, illa audiens, abi.

ΕΥΟΔΟΥ εἰς τὸ αὐτό.

Ἠχὼ μιμολόγον, φωνῆς τρύγα, ῥήματος οὐρήν.

EVODI in idem. 4.

Echo ſermonem imitantem, vocis fæcem, verbi caudam.

Εἰς τὸ αὐτό.

Ἀρκαδικὰ θεός εἰμι, παρὰ προθύροισι δὲ Λυαίου
Ναίω, φθεγγόμενον μῦθον ἀμειβομένα.
Οὐκ ἔτι γὰρ στυγέω Βάκχου φίλε, σὸν θιασώτην
Τὸν τεόν. ἔρχεο Πάν· ξυνὰ λέγωμεν ἔπη.

In idem. 5.

Arcadica Dea ſum, in limine verò Lyæi
Habito loquentem vocem reſpondens,
Non amplius enim odi Bacche amice, combibonem
Tuum. Veni Pan: communia dicamus verba.

ΕΙΣ ΘΑΛΑΣΣΗΣ ΕΙΚΟΝΑ, κζ' ιζ'

ΦΙΛΙΠΠΟΥ Μακεδόνος.

Ἔζευξ' Ἑλλήσποντον ὁ βάρβαρος ἄφρονι τόλμᾳ,
Τοὺς δὲ πόσους καμάτους πάντας ἔλυσε χρόνος·
Ἀλλὰ Δικαιαρχεία δ' ἠπείρωσε θάλασσαν,
Καὶ βυθὸν εἰς χέρσου σχῆμα μετεπλάσατο.
Λᾶα βαθυστήρικτα κατερρίζωσε πέλωρσι,
Χερσὶ Γιγαντείαις δ' ἔστασε νέρθεν ὕδωρ.
Ἦν δ' αἰεὶ πλωτὸν. δεδουλωμένη δ' ἐπὶ ναύταις
Ἄστατος, εἰς πεζοὺς ὡμολόγησε μένειν.

IN MARIS IMAGINEM, Cap. XI.

PHILIPPI Macedonis. 1.

Coniunxit Hellespontum barbarus stultâ audaciâ,
   Tantos autem labores omnes resoluit tempus.
Sed Dicæarchia in continentem redegit mare,
   Et mare in litoris imaginem transformauit.
Lapides fundamenta confirmantes stabiliuit immensum,
   Manibus Giganteis verò stetit inferius aqua.
Licebat semper nauigare: peruia verò nautis
   Instabilis, in pedes consensit manere.

Εἰς Σκύλλαν χαλκῆν.

Εἰ μὴ χαλκὸς ἔλαμπεν, ἐμήνυε δ' ἔργον ἄνακτος
   Ἔμμεναι Ἡφαίστου δαιδαλέοιο τέχνης,
Αὐτὴν ἄν τις Σκύλλαν ὀΐσατο τηλόθι λεύσσων
   Ἑστάμεν, ἐκ πόντου γαῖαν ἀμειψαμένην.
Τόσσον ἐπισσείει, τόσσον κότον ἀντία φαίνει,
   Οἷον ἀπὸ πελάγευς ἐκλονέουσα νέας.

In Scyllam æream. 2.

Nisi æs fulgeret, & significaret opus regis
   Esse Vulcani ingeniosi artis,
Ipsam aliquis Scyllam putasset eminus intuens
   Stare, ex ponto terram transeuntem.
Tantum terrorem incutit, tantum furorem contra demõstrat,
   Qualis in pelago quatit naues.

Εἰς τὸν Καλυδώνιον κάπρον.

Χάλκεος, ἀλλ' ἄθρησον, καὶ τὰ ἴδοις, ζώει ὁ πρὶν ἱμάσσων
ζ κεφαλαίῳ, τὸ εἰς ἀγάλματα ζώων.

ΕΙΣ ΘΕΩΝ ΚΑΙ ΘΕΑΙΝΩΝ ΑΓΑΛματα, κεφ. ιβ.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων εἰς τὴν ἐν Ἀθήναις ἔνοπλον Ἀθηνᾶν.

Τίπτε Τριτογένεια κορύσσεαι ἄστεϊ μέσσῳ;
Εἶξε Ποσειδάων, φείδεο Κεκροπίης.

IN DEORVM ET DEARVM statuas, Cap, XII.

IVLIANI Principis in quæ erat Athenis armatam Palladem. 1.

Quid Tritogenia armaris media in vrbe?
Cede Neptune, parce Cecropiæ.

Εἰς ἄγαλμα Ἡφαίστου, Ἀθηνᾶς, καὶ Ἐρεχθέως.

Η τέχνη συνάγειρε ἃ μὴ φύσις, εἶπεν ὁ πλάσας,
Μήτηρ νόσφι τόκων, νυμφίος νόσφι γάμων.

In statuam Vulcani, Palladis, &c. Erechthonij. 2.

Ars coniunxit, quæ non natura, dixit statuarius,
Mater sine liberis, sponsæ sine nuptiis.

Εἰς στήλην Ἄρεως κεκοσμημένην ἐν Θράκῃ.

Εἰσόκε θούρειος οὗτος ἐπὶ χθονὶ κέκλιται Ἄρης,
Οὔποτε Θρηϊκίης ἐπιβήσεται ἔθνεα Γότθων.

In columnam Martis, exornatam in Thracia. 3.

Quoad armatus hic in terram prolapsus est Mars,
Nunquam Thraciæ inuadet gentem Gotthus.

Εἰς ἄγαλμα Ἄρεος καὶ Ἀφροδίτης.

Ἄρεα καὶ Παφίην ὁ ζωγράφος ἐς μέσον οἴκου
Ἀμφιπεριπλέγδην γέγραφεν ἀμφοτέρους·
Ἐκ θυρίδος δὲ μολὼν φαέθων, πολυπάμφανος αἴγλη,
Ἔστη ἀμηχανέων ἀμφοτέροις σκοπέων.
Ἥλιος βαρύμηνις ἕως τίνος; οὐδ' ἐπὶ κηροῦ
Ἤλαινει ἀψύχου σοῦ χόλον ἐξερύσαι.

In si-

In simulacrum Martis & Veneris. 4.

Martem & Venerem pictor in medio domus
 Circumplexim depinxit ambos:
Per vestibulum verò intrans sol, lucidissimus splendor,
 Stetit hæsitans vtrumque intuens.
Sol grauiter iratus quousque? neque in cera
 Voluit mortuâ iram eiicere.

ΔΙΟΤΙΜΟΥ εἰς ἄγαλμα Ἀρτέμιδος.

Ὡς πρέπει Ἄρτεμίς εἰμ᾽. εἰ δ᾽ Ἄρτεμιν αὐτὸς ὁ χαλκὸς
 Μανύει Ζανὸς κοὐχ ἑτέρου θύγατρα,
Τεκμαίρευ τὸ θράσος τᾶς παρθένου. ἦ ῥά κεν εἴποις,
 Πᾶσα χθὼν ὀλίγη τᾷδε κυναγέσιον.

DIOTIMI in statuam Artemidis. 5.

Vt decet, sum Artemis. Si verò Artemin ipse sculptor
 Indicat Iouis & non alterius filiam,
Iudica confidentiam virginis. Certè dixeris,
 Omnis terra parua huic venatio.

ΑΝΤΙΠΑΤΡΟΥ εἰς ἄγαλμα Ἀπόλλωνος.

Βούπαις ὠ᾽πόλλων τόδε χάλκεον ἔργον Ὀνάτα,
 Ἀγλαΐης Λητοῖ καὶ Διὶ μαρτυρίη.
Οὐδ᾽ ὅτι τῆσδε μάτην Ζεὺς ἤρατο, χὤτι κατ᾽ αἶνον,
 Ὄμματα καὶ κεφαλὴν ἀγλαὸς ὁ Κρονίδης.
Οὐδ᾽ Ἥρη νεμεσητὸν ἐχεύατο χαλκὸν Ὀνάτας,
 Ὃν μετ᾽ Εἰλειθυίης τοῖον ἀπεπλάσατο.

ANTIPATRI in simulacrum Apollinis. 6.

Magnus Apollo puer hoc æreum opus Onatæ,
 Pulchritudinis Latonæ & Iouis testimonium.
Neque sanè hanc frustra Iupiter amauit. iuxta prouerbium
 Oculis & capite inclytus Iupiter.
Neque Iunoni indignatione persequendum infudit æs Onata,
 Quem post Iunonem talem formauit.

Εἰς ἄγαλμα Ἀφροδίτης τῆς ἐν
Κνίδῳ.

Τίς λίθον ἐψύχωσε; τίς ἐν χθονὶ Κύπριν ἐσεῖδεν;
Ἵμερον ἐν πέτρῃ τίς τόσον εἰργάσατο;
Πραξιτέλους χειρῶν ὅδε που πόνος. ἢ τάχ' Ὄλυμπος
Χηρεύει, Παφίης εἰς Κνίδον ἐρχομένης.

In ſimulacrum Veneris in Cnido. 7.

Quis lapidem animauit? quis in terra Cyprin vidit?
Deſiderabilem in petra quis adeo operatus eſt?
Praxitelis manuum hic labor. Et propè cœlum
Caret, Paphia in Cnidum veniente.

ΠΛΑΤΩΝΟΣ εἰς τὸ αὐτό.

Ἡ Παφίη Κυθέρεια δι' οἴδματος ἐς Κνίδον ἦλθε,
Βουλομένη κατιδεῖν εἰκόνα τὴν ἰδίην.
Πάντη δ' ἀθρήσασα περισκέπτῳ ἐνὶ χώρῳ,
Φθέγξατο, ποῦ γυμνὴν εἶδέ με Πραξιτέλης;
Πραξιτέλης οὐκ εἶδεν ἃ μὴ θέμις, ἀλλ' ὁ σίδηρος
Ἔξεσ' ἄρης οἵαν ἤθελε τὴν Παφίην.

PLATONIS in idem. 8.

Paphia Cytherea perfluctus in Cnidum venit,
Volens videre imaginem propriam.
Vndique verò circumſpiciens in excelſâ regione,
Dixit, vbi nudam vidit me Praxiteles?
Praxiteles non vidit, quæ nefas eſt. Sed ferrum
Sculpſit Mars qualem voluit Paphiam.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Οὔτε σε Πραξιτέλης τεχνάσατο, οὔθ' ὁ σίδηρος,
Ἀλλ' οὕτως ἔστης ὥς ποτε κρινομένη.

Eiuſdem in idem. 9.

Nec te Praxiteles, perfecit, neque ferrum,
Sed ſic ſtetiſti cùm quondam iudicareris.

Ἄδηλον, εἰς τὸ αὐτό.

Ἁ Κύπρις τὰν Κύπριν ἐνὶ Κνίδῳ εἶπεν ἰδοῦσα,

Φεῦ, φεῦ, ποῦ γυμνὴν εἶδέ με Πραξιτέλης;

Incerti in idem. 10.

Cypris Cyprin in Cnido dixit videns
Vah vah, vbi nudam me vidit Praxiteles.

ΛΟΥΚΙΑΝΟΥ εἰς τὸ αὐτό.

Τὴν Παφίην γυμνὴν οὐδεὶς ἴδεν· εἰ δέ τις εἶδεν,
Οὗτος ὁ τὴν γυμνὴν στησάμενος Παφίην.

LVCIANI in idem. 11.

Paphiam nudam nemo vidit, si verò quis vidit,
Hic vidit qui nudam constituit Venerem.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Σοὶ μορφῆς ἀνέθηκα τεῆς περικαλλὲς ἄγαλμα,
Κύπρι, τεῆς μορφῆς φέρτερον οὐδὲν ἔχων.

Eiusdem in idem. 12.

Tibi pulcritudinis donaui tuæ præclarum simulacrum,
Venus, tua forma melius nihil habens.

ΕΥΗΝΟΥ εἰς τὸ αὐτό.

Παλλὰς καὶ Κρονίδαο συνευνέτις εἶπον ἰδοῦσαι
Τὴν Κνιδίην, ἀδίκως τὸν Φρύγα μεμφόμεθα.

EVENI in idem. 13.

Pallas & Iouis coniux dixêre videntes
Cnidiam, iniustè Phrygem reprehendimus.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Πρόσθε μὲν Ἰδαίοισιν ἐν οὔρεσιν αὐτὸς ὁ βούτας
Δέρξατο τὴν κάλλευς πρῶτ' ἀπενεγκαμένην·
Πραξιτέλης Κνιδίοις δὲ πανωπήεσσαν ἔθηκεν,
Μάρτυρα τῆς τέχνης ψῆφον ἔχων Πάριδος.

Eiusdem in idem. 14.

Prius quidem Idæis in montibus ipse pastor
Vidit illam, quæ pulcritudinis primas consecuta est.
Praxiteles Cnidius verò omnibus conspicuam posuit,
Testem artis calculum habens Paridis.

ΑΝΤΙΠΑΤΡΟΥ Σιδωνίου εἰς τὸ αὐτό.

Φάσεις, τὰν μὲν Κύπριν ἀνὰ κραναὰν Κνίδον ἀθρῶν,
  Ἆ δή που ὡς φλέξει καὶ θεὸς οὖσα λίθον.
Τὸν δ' ἐνὶ Θεσπιάδαις γλυκὺν Ἵμερον, οὐχ ὅτι πέτρον,
  Ἀλλ' ὅτι κὴν ψυχρῷ πῦρ ἀδάμαντι βαλεῖ.
Τοίους Πραξιτέλης κάμε δαίμονας, ἄλλον ἐπ' ἄλλας
  Γᾶς, ἵνα μὴ δισσῷ πάντα θέροιτο πυρί.

ANTIPATRI Sidonij in idem. 15.

Dices, Cyprin per asperam Cnidum videns,
  Hæc quomodò comburet & dea cùm sit lapidem.
Hunc verò in Thespiadis suauē cupidinem, non quòd petram,
  Sed quòd in frigidum ignem adamantem coniiciet.
Tales Praxiteles fecit deos, alium in aliâ
  Terrâ, ne duplici omnia calefaciat igni.

Εἰς τὸ αὐτό.

Γυμνὴν εἶδε Πάρις με, καὶ Ἀγχίσης, καὶ Ἄδωνις·
  Τοὺς τρεῖς οἶδα μόνους· Πραξιτέλης δὲ, πόθεν;

In idem. 16.

Nudam vidit me Paris, & Anchises, & Adonis:
  Hos tres noui solos: Praxiteles verò, vnde?

Εἰς τὸ αὐτὸ, καὶ εἰς τὴν ἐν Ἀθήναις
Ἀθηνᾶν.

Ἀφρογενοῦς Παφίης ζάθεον περιδέρκεο κάλλος,
  Καὶ λέξεις, αἰνῶ τὸν Φρύγα τῆς κρίσεως·
Ἀτθίδα δερκόμενος πάλι Παλλάδα, τοῦτο βοήσεις,
  Ὡς βούτης ὁ Πάρις τήνδε παρεξέχασεν.

In idem, & in, quæ erat Athenis,
Palladem. 17.

Spuma genitæ Paphiæ sanctam circumspice pulchritudinem,
  Et dices, laudo Phrygem ob iudicium:
Atthidem inspiciens rursus Palladem, hoc clamabis,
  Quòd pastor Paris hanc præteriit.

ΕΡΜΟΔΩΡΟΥ εἰς τὸ αὐτό.

Τὰν Κνιδίαν Κυθέρειαν ἰδὼν ξένε, τοῦτό κεν εἴποις,

Αὐτὰ καὶ θνατῶν ἄρχε καὶ ἀθανάτων·
Ταὶδ' ἐνὶ Κεκροπίδαις δορυθαρσέα Παλλάδα λεύσσων,
Αὐδάσεις, οὕτως βουκόλος ἦν ὁ Πάρις.

HERMODORI in idem. 18.

Cnidiam Venerem videns, hospes, hoc dices,
Hæc & mortalibus impera & deis:
In Cecropidis verò hasta audacem Pallada cernens,
Dices, reuera pastor erat Paris.

ΛΕΩΝΙΔΟΥ εἰς τὴν αὐτὴν Ἀφροδίτην ὡπλισμένην.

Ἄρεος ἔντεα ταῦτα τίνος χάριν ὦ Κυθέρεια,
Ἐνδέδυσαι, κενεὸν τοῦτο φέρουσα βάρος;
Αὐτὸν Ἄρη γυμνὴ γὰρ ἀφώπλισας· εἰ δὲ λέλειπται
Καὶ θεὸς, ἀνθρώποις ὅπλα μάτην ἐπάγεις.

LEONIDÆ in ipsam Venerem armatam. 19

Martis arma hæc cuius gratiâ Venus,
Induisti, frustra hoc ferens pondus?
Ipsum Martem nuda enim armasti: si verò victus est
Et deus, hominibus arma frustra inducis.

ΑΛΕΞΑΝΔΡΟΥ Αἰτωλοῦ εἰς τὸ αὐτό.

Αὐτήν που τὴν Κύπριν ἀπηκριβώσατο Παλλὰς,
Τᾶς ἐπ' Ἀλεξάνδρου λαθομένα κρίσιος.

Alexandri Ætoli in idem. 20.

Ipsam Venerem ad amussim fecit Pallas,
Ab Alexandro profecti ignara iudicij.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων Αἰγυπτίου, εἰς τὴν ἐν Σπάρτῃ ἔνοπλον Ἀφροδίτην.

Αἰεὶ μὲν Κυθέρεια φέρειν δεδάηκε φαρέτρην,
Τόξα τε καὶ δολιχῆς ἔργον ἑκηβολίης·
Αἰδομένη δ' ἄρα θεσμὰ μενεπτολέμοιο Λυκούργου,

Φίλτρα φέρει Σπάρτῃ τἀ'χεσιν ἀγχεμάχοις.
Ὑμεῖς δ' ἐν θαλάμοισι Λακωνίδες, ὅπλα Κυθήρης
Ἀζόμεναι, παῖδας τίκτετε θαρσαλέους.

IVLIANI ex imperatoribus Ægypti in Spartæ armatam Venerem. 21.

Semper quidem Cytherea ferre didicit pharetram,
Et arcus, & longæ opus iaculationis:
Venerans verò seueriora instituta bellicosi Lycurgi,
Amatoria fert Spartę armis cum quibus eminus pugnatum.
Vos verò in thalamis Laconicæ, arma Veneris
Colentes, pueros procreate animosos.

Ἀδέσποτον εἰς τὴν αὐτήν.

Παλλὰς τὴν Κυθέρειαν ἔνοπλον ἔειπεν ἰδοῦσα,
Κύπρι, θέλεις οὕτως ἐς κρίσιν ἐρχόμεθα;
Ἡ δ' ἁπαλὸν γελάσασα, τί μοι σάκος ἀντίον αἴρειν;
Εἰ γυμνὴ νικῶ, πῶς ὅταν ὅπλα λάβω;

Incerti in eandem. 22.

Pallas venerem armatam dixit videns,
Venus, vis sic in iudicium veniamus?
Hæc verò molle renidens, quid mihi hastam contra attollere?
Si nuda vinco, quomodo cùm arma fero?

ΑΝΤΙΠΑΤΡΟΥ εἰς τὴν αὐτήν.

Καὶ λίθος ὡς Παφίη θωρήξατο· ἢ τάχα μᾶλλον
Εἶδε λίθον Παφίη, καὶ ὤμοσεν ἤθελον εἶναι.

ANTIPATRI in eandem. 23.

Et lapis vt Venus armatus est: vel potius
Vidit lapidem Venus, & iurauit volui esse.

Τοῦ αὐτοῦ εἰς τὴν αὐτήν.

Καὶ Κύπρις Σπάρτας οὐκ ἄστεσιν οἷα τ' ἐν ἄλλοις
Ἵδρυται, μαλακὰς ἑσσαμένα στολίδας·
Ἀλλὰ κατὰ κρατὸς μὲν ἔχει κόρυν ἀντὶ καλύπτρας,
Ἀντὶ δὲ χρυσείων ἀκρεμόνων κάμακα.

Οὐ γὰρ χρὴ τευχέων εἶναι δίχα τὴν παράκοιτιν
Θρακὸς Ἐνυαλίου, καὶ Λακεδαιμονίαν.

Eiusdem in eandem. 24.

Venus Spartæ non vrbibus vt in aliis
Colitur, molles induta stolas:
Sed in capite quidem habet galeam pro tegmine,
Pro aureis autem ramis hastam.
Non enim oportet sine armis esse coniugem
Thracij martis, & Lacedæmoniam.

ΦΙΛΙΠΠΟΥ εἰς τὴν αὐτήν.

Κύπρι φιλομμειδὴς, θαλαμηπόλε, τίς σε μελιχρὴν
Δαίμονα τοῖς πολέμου ἐστεφάνωσεν ὅπλοις;
Σοὶ παιὰν φίλος ἦν, καὶ ὁ χρυσοκόμης Ὑμέναιος,
Καὶ λιγυρῶν αὐλῶν ἡδυμελεῖς χάριτες·
Ἐς τί δὲ ταῦτ' ἐνέδυς ἀνδροκτόνα; μὴ, θρασὺν Ἄρη
Συλήσασ' αὐχεῖς; Κύπρις ὅσον δύναται.

PHILIPPI in eandem. 25.

Ridens suaue Venus, thalamum ornans, quis te dulcem
Deam bellorum coronauit armis?
Tibi Pæan amicus erat, & auricomus Hymenæus,
Et modulantium tibiarum dulce canentes Charites:
Cur autem hæc induisti arma viros occidentia? An audacem
Spolians gloriaris? Venus quantum potis est. (Martem

ΑΝΤΙΠΑΤΡΟΥ Σιδωνίου εἰς τὴν
αὐτὴν ἀνερχομένην ἀπὸ
θαλάττης.

Τὰν ἀναδυομέναν ἀπὸ ματέρος ἄρτι θαλάττας
Κύπριν, Ἀπελλείου μόχθον ὅρα γραφίδος,
Ὡς χερὶ συμμάρψασα διάβροχον ὕδατι χαίταν,
Ἐκθλίβει νοτερὸν ἀφρὸν ἀπὸ πλοκάμων.
Αὐταὶ νῦν ἐρέουσιν Ἀθηναίη τε καὶ Ἥρη,
Οὐκ ἔτι σοι μορφᾶς εἰς ἔριν ἐρχόμεθα.

ANTIPATRI Sidonij in eandem emergentem è mari. 26.

Emergentem ex matre iam mari
  Venerem, Apelleæ laborem intuere picturæ,
Quomodo manu corripiens irrigatam aquâ comam,
  Exprimit humidis spumam è crinibus.
Ipsæ nunc dicent Pallásque & Iuno,
  Non amplius tibi formę in iudicium veniemus.

ΑΡΧΙΟΥ εἰς τὴν αὐτήν.

Αὐτὰν ἐκ πόντοιο τιθηνητῆρος Ἀπελλῆς
  Τὰν Κύπριν γυμνὰν εἶδε λοχευομέναν·
Καὶ τοίαν ἐτύπωσε διάβροχον ὕδατος ἀφρῷ,
  Θλίβουσαν ἁπαλαῖς χερσὶν ἔτι πλόκαμον.

ARCHII in eandem. 27.

Ipsam ex ponto nutritio Apelles
  Venerem nudam vidit enatam:
Et talem formauit irrigatam aquę spumâ,
  Siccantem teneris manibus adhuc capillum.

ΔΗΜΟΚΡΙΤΟΥ εἰς τὴν αὐτήν.

Κύπρις, ὅτε σταλάουσα κόμας ἁλιμυρέος ἀφροῦ,
  Γυμνὴ πορφυρέου κύματος ἐξανέδυ·
Οὕτω που κατὰ λευκὰ παρήϊα χερσὶν ἐλοῦσα
  Βόστρυχον, Αἰγαίην ἐξεπίεζεν ἅλα,
Στέρνα μόνον φαίνουσα, τὰ καὶ θέμις. εἰ δὲ τοιήδε
  Κείνη, συγχείσθω θυμὸς Ἐνυαλίου.

DEMOCRITI in eandem. 28.

Venus, cùm stillaret comas marinę spumę,
  Nuda purpureâ ex aquâ emersit:
Sic ad albas genas manibus trahens
  Comam, Ægæum expressit mare,
Dorsum solum ostentans, & quæ fas. Si verò talis
  Illa, conturbetur ira Neptuni.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων εἰς τὴν αὐτήν.

Ἄρτι θαλασσαίης Παφίη προέχυψε λοχείης,
Μαῖαν Ἀπελλαίην εὑραμένη παλάμην.
Ἀλλὰ τάχος γραφίδων ἀποχάζεο, μή σε διήνῃ
Ἀφρὸς ἀποστάζων θλιβομένων πλοκάμων.
Εἰ τοίη ποτὲ Κύπρις ἐγυμνώθη διὰ μῆλον,
Τὴν Τροίην ἀδίκως Παλλὰς ἐληίσατο.

IVLIANI ex imperatoribus in eandem. 29.

Iam marinis Venus prorupit ex partubus,
Nutricem Apellæam inueniens manum.
Sed celeriter cum penicillo recede, ne te humectet
Spuma distillans compressarum comarum.
Si talis quondam Venus nudata est propter pomum,
Troiam iniustè Pallas deprædata est.

ΛΕΩΝΙΔΟΥ Ταραντίνου εἰς τὴν αὐτήν.

Τὰν ἐκφυγοῦσαν ματρὸς ἐκ κόλπων ἔτι,
Ἀφρῷ τε μορμύρουσαν εὐλεχῆ Κύπριν,
Εἰδὼς Ἀπελλῆς κάλλος ἱμερώτατον,
Οὐ γραπτὸν ἀλλ' ἔμψυχον ἐξεμάξατο.
Εὖ μὲν γὰρ ἄκραις χερσὶν ἐκθλίβει κόμην,
Εὖ δ' ὀμμάτων γαληνὸς ἐκλάμπει πόθος,
Καὶ μαζὸς ἀκμῆς ἄγγελος κυδωνιᾷ.
Αὐτὰ δ' Ἀθάνα καὶ Διὸς συνευνέτις
Φάσουσιν, ὦ Ζεῦ, λειπόμεσθα τῇ κρίσει.

LEONIDÆ Tarentini in eandem. 30.

Emergentem matris ex sinibus adhuc,
Et spumâ inundantem beneiubantem Cyprim,
Videns Apelles pulchritudinem desiderabilissimam,
Non pictam, sed viuam efformauit.
Benè enim summis manibus exprimit comam.
Benè verò oculorum serenus elucet amor,

Et mamma pubertatis nuncia imitatur malum cydonium.
Ipsa verò Pallas & Iouis coniux
Dicent, ô Iupiter, relinquimur in iudicio.

Εἰς ἄγαλμα Διονύσου πλησίον Ἀθηνᾶς ἑστώς.

ᵃΕἰπέ τί σοι ξυνὸν καὶ Παλλάδι· τῇ γὰρ ἄκοντες
Καὶ πόλεμοι, σοὶ δ' εὔαδον εἰλαπίναι.
ᵇΜὴ προπετῶς ὦ ξεῖνε θεῶν πέρι ταῦτα μετάλλα,
Ἴσθι δ' ὅσοις εἴκελος δαίμονι τῇδε πέλω.
Καὶ γὰρ ἐμοὶ πολέμων φίλιον κλέος. οἶδεν ἅπας μοι
Ἠῷος δμηθεὶς Ἰνδὸς ἀπ' Ὠκεανοῦ·
Καὶ μερόπων δὲ φυλὴν ἐγεραίρομεν· ἡ μὲν, ἐλαίῃ,
Αὐτὰρ ἐγὼ γλυκεροῖς βότρυσιν ἡμερίδος.
Καὶ μὴν οὐδ' ἐπ' ἐμοὶ μήτηρ ὠδῖνας ὑπέτλη.
Λῦσα δ' ἐγὼ μηρὸν πατέριον· ἡ δὲ, κάρη.

In simulacrum Bacchi propè Palladem stans. 31.

ᵃDic quid tibi commune cum Pallade? Huic enim cuspides:
Et bella, tibi verò placent conuiuia.
ᵇNe præcipitanter ô hospes Deorum circa hæc inquire,
Scito verò in quantis similis Deæ huic sim.
Mihi enim bellorum amica laus Nouit omnis mihi
Quòd Oriens domitus sit Indus ab Oceano:
Et hominum naturam excitamus: hæc quidem oliuo,
Verùm ego dulcibus vuis vitis mansuetæ.
Et sanè neque in me mater dolores partus subiit:
Solui verò ego femur patris, hęc verò caput.

ΑΝΤΙΠΑΤΡΟΥ Σιδωνίου εἰς ἕτερον ἄγαλμα τοῦ αὐτοῦ.

Αὐσονίῳ Πείσωνι συνασπιστὴς Διόνυσος
Ἵδρυμαι μεγάρων φρουρὸς ἐπ' εὐτυχίῃ.
Ἄξιον ὦ Διόνυσ' ἰσέβης δόμον· ἔπρεπεν ἄμφω,
Καὶ μέγαρον Βάκχῳ, καὶ Βρόμιος μεγάρῳ.

ANTIPATRI Sidonij in aliud ſimulacrum
ciuſdem. 32.

Cum Auſonio Piſone vnà pugnans Bacchus
Hîc collocor, ædium cuſtodia in felicitate.
Dignam ô Bacche ingreſſus es domum: conueniunt ambo,
Et domus Baccho, & Bacchus domui.

Εἰς ἄγαλμα Διονύσου καὶ Ἡρακλέους.

Ἀμφότεροι Θηβῆθε, καὶ ἀμφότεροι πολεμισταί,
Κὴκ Ζηνός. θύρσῳ δεινός· ὁ δὲ, ῥοπάλῳ.
Ἀμφοῖν δὲ στῆλαι συντέρμονες, εἴκελα δ' ὅπλα.
Νεβρὶς, λεοντῆ· κύμβαλα δὲ, πλαταγή.
Ἥρη δ' ἀμφοτέροις χαλεπὴ θεός· οἱ δ' ἀπὸ γαίης
Ἦλθον ἐς ἀθανάτους, ἐκ πυρὸς ἀμφότεροι.

In ſimulacrum Bacchi & Herculis. 33.

Ambo ex Thebis, & ambo bellatores,
Et ex Ioue. thyrſo validus: hic verò claua.
Amborum columnæ conterminæ, ſimilia arma,
Ceruina, leonina: cymbala, crepitaculum.
Iuno ambobus grauis Dea: hi verò ex terra
Venerunt ad deos, ex igni ambo.

ΞΕΝΟΚΡΑΤΟΥΣ εἰς ἄγαλμα
Ἑρμοῦ.

Ἑρμῆς ὠκὺς ἐγὼ κικλήσκομαι· ἀλλὰ παλαίστρῃ
Μὴ κολοβὸν χειρῶν ἵστατε, μηδ' ἄποδα.
Ἢ πῶς ὠκὺς ἐγώ, πῶς δ' ὄρθια χειρονομήσω,
Ἐς βάσιν ἀμφοτέρων ὀρφανὸς ἱστάμενος;

XENOCRATIS in ſimulacrum Mercurij. 34.

Mercurius velox ego vocor: ſed palęſtra
Nec truncum manibus ſtatuite, nec ſine pede.
Aut quomodo velox ego, & quomodo rectè manib. geſticula-
In baſin vtriuſque truncatus poſitus? (bor,

Εἰς τὸ αὐτό.

Ἑρμείῃ ξυλίνῳ τις ἐπηύχετο, καὶ ξύλον ἦεν·

Posuit caprarum stabulorum idoneum custodem.
Sed mihi hæ iuxta montes virides pascentes syluas,
Rapacem nihil curate lupum.

ΝΙΚΑΙΝΕΤΟΥ εἰς ἕτερον τοῦ αὐτοῦ.

Αὐτόθι ὀςράκινόν με καὶ ἐν ποσὶ γήινον Ἑρμῆν
Ἔπλασεν ἀψῖδος κύκλος ἐλισσόμενος·
Πηλὸς ἐφυράθην· οὐ ψεύσομαι· ἀλλ' ἐφίλησα,
Ὦ ξένε, ὀςρακέων δείμορον ἐργασίην.

NICÆNETI in aliud eiusdem. 39.

Illic testaceum me & in pedibus terreum Mercurium
Finxit rotæ figulinæ circulus in orbem circumactus:
Ego limus subactus sum: non mentiar: sed amaui,
O hospes, testaceam infecilem operationem.

Ἀδέσποτον εἰς ἕτερον τοῦ αὐτοῦ.

Ὦ λῷστε, μὴ νόμιζε τῶν πολλῶν ἕνα
Ἑρμᾶν θεωρεῖν· εἰμὶ γὰρ τέχνα Σκόπα.

Incerti in aliud eiusdem. 40.

O optime, ne censeas ex multis vnum
Mercurium te videre: sum enim ars Scopæ.

ΦΙΛΙΠΠΟΥ εἰς ἕτερον τοῦ αὐτοῦ ἐν κήπῳ.

[a]Κράμβης ἅψωμαι Κυλλήνιε; [b]μή, παροδῖτα.
[a]Τίς φθόνος ἐκ λαχάνων; [b]οὐ φθόνος, ἀλλὰ νόμος
Ἀλλοτρίων ἀπέχειν κλοπίμους χέρας. [a]ὢ παροδόξου;
Μὴ κλέπτειν Ἑρμῆς καινὸν ἔθηκε νόμον.

Philippi in alterum eiusdem in horto. 41.

[a]Brassicam tangam Cyllenie? [b]Ne facias, viator.
[a]Quæ inuidia in oleribus? [b]Non inuidia, sed lex
Ab alienis abstinere furtificas manus. [a]O absurdum!
Non furari Mercurius nouam posuit legem.

Εἰς Ἑρμαφρόδιτον ἐν λουτρῷ ἱστάμενον.

Ἀνδράσιν Ἑρμῆς εἰμι, γυναιξὶ δὲ Κύπρις ὁρῶμαι·
Ἀμφοτέρων δὲ φέρω σύμβολά μοι τοκέων.

Τοὔνεκεν οὐκ ἀλόγως με τὸν Ἑρμαφρόδιτον ἔθεντο
Ἀνδρογύνοις λουτροῖς, παῖδα τὸν ἀμφίβολον.

In Hermaphroditum in lauacro
ſtantem. 42.

Viris Mercurius ſum, mulieribus verò Venus videor:
Vtriuſque enim fero ſymbola mihi parentis.
Propterea non abſurdè me Hermaphroditum poſuerunt
Viris & mulieribus communibus lauacris, filiũ ambiguum.

Εἰς ἄγαλμα Ἔρωτος.

Χάλκεόν τις Ἔρωτα μετήγαγεν ἐκ πυρὸς εἰς πῦρ,
Τήγανον ἁρμόζων τῇ κολάσει κόλασιν.

In ſimulacrum Amoris. 43.

Æreum aliquis amorem tranſtulit ex igne in ignem,
Sartaginem ex eo componens ex pœna pœnam.

ΣΑΤΥΡΟΥ εἰς ἄγαλμα τοῦ αὐτοῦ
δεδεμένου.

Τὸν πτερόεντα τίς ὧδε, τίς ἐν δεσμοῖσι θοὸν πῦρ
Ὤχμασεν; αἰθομένης ἥψατο τίς φαρέτρης;
Καὶ τὰς ὠκυβόλους περιηγέας ἔσφιγξε
Χεῖρας, ἐπὶ στερεῷ κίονι δησάμενος;
Ψυχρὰ τάδ᾽ ἂν θνητοῖς παραμύθια. μήποτ᾽ ἐκεῖνος
Οὗτος ὁ δεσμώτης αὐτὸς ἔδησε φρένα;

SATYRI in ſimulacrum eiuſdem
vincti. 44.

Alatum quis hic, quis in vinculis velocem ignem
Inhibuit? Comburentem quis tetigit pharetram?
Et veloces admodum acutas conſtrinxit
Manus, in valida columna alligans?
Miſera hæc hominibus ſolatia. An non illius
Hic vinctus ipſe vinxit mentem?

ΑΛΚΑΙΟΥ εἰς τὸν αὐτόν.

Τίς σε τὸν οὐχ ὁσίως ἠγρευμένον ὧδε πεδήσας
Θήκατο; τίς πλεκτὴν σαῖς ἐνέδησε χέρας;

Καὶ πιναρὰν ὄψιν τεκτήνατο· ποῦ θοὰ τόξα,
  Νήπιε, ποῦ πικρὴ πυρφόρος ἰοδόκη;
Ἦ ῥα μάτην ἐπόνησε λιθοξόος, ὅς σε τὸν οἴστρῳ
  Κυμήναντα θεούς, τῇδ' ἀνέδησε πάγῃ.

ALCÆI in eundem. 45.

Quis te non ſancta venatione captum
  Poſuit? quis implicatim tuas ligauit manus?
Et ſordidam faciem fecit? Vbi veloces arcus,
  Infans. vbi acerba ignifera pharetra?
Certè fruſtra fecit ſcalptor, qui te œſtro
  Turbantem deos, huic alligauit plagæ.

ΑΝΤΙΠΑΤΡΟΥ εἰς τὸν αὐτόν.

Τίς δισσὰς παλάμας πρὸς κίονα δῆσεν ἀφύκτοις
  Ἄμμασι. τίς πυρὶ πῦρ καὶ δόλον εἷλε δόλῳ;
Νήπιε, μὴ δὴ δάκρυ κατὰ γλυκεροῖο προσώπου
  Βάλλε· σὺ γὰρ τέρπῃ δάκρυσιν ἠιθέων.

ANTIPATRI in eundem. 46.

Quis duplices manus ad columnam alligauit ineuitabilibus
  Nexibus? quis igne ignem & dolum cepit dolo?
Infans, ne lacrumas per iucundam faciem
  Demitte: tu enim delectaris lacrumis iuuenum.

ΜΑΙΚΙΟΥ εἰς τὸν αὐτόν.

Κλαῖε δυσεκφύκτως σφιγχθεὶς χέρας ἄκριτε δαῖμον,
  Κλαῖε μάλα, στάζων ψυχοτακῆ δάκρυα,
Σωφροσύνας ὑβριστὰ φρενοκλόπε, ληστὰ λογισμοῦ,
  Πτανὸν ψυχᾶς πῦρ, τραῦμ' ἀόρατον, Ἔρως.
Θνατοῖς μὲν λύσις ἐστὶ γόων ὁ σὸς ἄκριτε δεσμός·
  Ὦ σφιγχθεὶς, κωφοῖς πέμπε λιτὰς ἀνέμοις.
Οἳ δὲ βροτοῖς ἀφύλακτος ἐνέφλεγες ἐν φρεσὶ πυρσὸν,
  Ἄθρει νῦν ὑπὸ σῶν σβεννύμενον δακρύων.

MÆCII in eundem. 47.

Fleto ineuitabiliter conſtrictus manus, inconſulte deus,
  Fleto validè, ſtillans quibus anima contabeſcit lacrumas,

Temperantiæ iniuriator, fur mentis, latro rationis,
Volucris animæ ignis, vulnus inuisibile, Amor.
Mortalibus quidem liberatio est luctuum tuũ, inconsiderate, vinculum:
O constricte, surdis mitte preces ventis.
Quem verò mortalibus ineuitabilis accendisti in mentibus ignem,
Vide nunc à tuis extinctum lacrumis.

ΚΡΙΝΑΓΟΡΟΥ εἰς τὸν αὐτόν.

Καὶ κλαῖε καὶ στέναζε, συσφίγξας χεροῖν
Τένοντας, ὦ 'πίβουλε, τοῦτό σοι πρέπει.
Οὐκ ἔσθ' ὁ λύσων· μὴ 'λεεινὸν ὑπόβλεπε·
Αὐτὸς γὰρ ἄλλων, ἐκ μὲν ὀμμάτων, δάκρυ
Ἔθλιψας, ἐν δὲ πικρὰ καρδίᾳ βέλη
Πήξας, ἀφύκτων ἰὸν ἔσταξας πόθων
Ἔρως· τὰ θνητῶν δ' ἐστί σοι γέλως ἄχη.
Πέπονθας οἷ' ἔρεξας. ἐσθλὸν ἡ δίκη.

CRINAGORI in eundem. 48.

Ne fleto, ne ingemisce, constringens manibus
Guttur: ô insidiator, hæc tibi fas est.
Non est qui soluat: ne miser suspice:
Ipse enim aliorum, ex oculis quidem, lacrumas
Excussisti, in corde verò acerba tela
Figens, ineuitabilium sagittam stillasti amorum,
Amor: mortalium verò tibi sunt risus dolores.
Passus es quæ fecisti. Bonum est iudicium.

ΜΟΣΧΟΥ εἰς ἔρωτα ἀροτριῶντα.

Λαμπάδα θεὶς καὶ τόξα, βοηλάτιν εἵλετο ῥάβδον
Οὖλος ἔρως, πήρην δ' εἶχε κατωμαδίην·
Καὶ ζεύξας ταλαεργὸν ὑπὸ ζυγὸν αὐχένα ταύρων,
Ἔσπειρεν Δηοῦς αὔλακα πυροφόρον·
Εἶπε δ' ἄνω βλέψας αὐτῷ Διΐ, πλῆσον ἀρούρας,
Μή σε τὸν Εὐρώπης βοῦν ὑπ' ἄροτρα βάλω.

MOSCHI in amorem arantem. 49.

Lampadē deponens & arcus, boues agentē sumpsit baculum
Perniciosus amor, peram verò habuit in humeris.
Et coniungens laboriosum sub iugum dorsum taurorum,
Seminauit Cereris sulcum frugiferum:
Dixit verò suspiciens ipsi Ioui, Combure agros,
Ne & subdam Europæ te sub aratra bouem.

ΜΑΡΙΑΝΟΥ σχολαστικοῦ εἰς ἔρωτα ἐστεφανωμένον.

Ποῦ σοι τόξον ἐκεῖνο παλίντονον, οἵ τ' ἀπὸ σεῖο
Πηγνύμενοι μεσάτην ἐς κραδίην δόνακες;
Ποῦ πτερά; ποῦ λαμπὰς πολυώδυνος; ἐς τί δὲ τρισσὰ
Στέμματα χερσὶν ἔχεις, κρατὶ δ' ἔπ' ἄλλο φέρεις;
Οὐκ ἀπὸ πανδήμου ξένε Κύπριδος, οὐκ ἀπὸ γαίης
Εἰμί, καὶ ὑλαίης ἔκγονος εὐφροσύνης.
Ἀλλ' ἐγὼ ἐς καθαρὴν μερόπων φρένα πυρσὸν ἀνάπτω
Εὐμαθίης, ψυχὴν δ' οὐρανὸν εἰσανάγω.
Ἐκ δ' ἀρετῶν στεφάνους πισύρων πλέκω· ὧν ἀφ' ἑκάστης
Τούσδε φέρων, πρώτῳ τῷ σοφίης στέφομαι.

MARIANI Scholastici in amorem coronatum. 50

Vbi tibi arcus ille reflexus, & à te
Fabricatæ medium in cor sagittæ?
Vbi alæ, vbi fax lamentabilis? Quid autem triplices
Coronas manibus habes, & in capite aliam fers?
Non sum vulgatæ, hospes, Veneris filius. nec à terrâ
Sum, vel materialis filius lætitiæ,
Sed ego in puram hominum mentem facem accendo
Bonæ doctrinæ, animam verò in cœlum induco.
Ex virtutibus autē coronas quatuor necto: quarū ab vnaquaq;
Has fero, primâ autem sapientiæ coronor.

Ἄδηλον.

Μή με τὸν ἐκ Λιβάνοιο λέγε ξένε, τὸν φιλοκώμον

Τερπόμενον νυχίοις ἢ θεῶν ὀάρεσιν.
Βαιὸς ἐγὼ νύμφης ἀπὸ γείτονος ἀγρειώτης,
Μούνων ἐποπτεύων ἔργα φυτοσκαφίης.
Ἔνθεν ἀπ' εὐκάρπου με φίλης ἔστεψαν ἀλωῆς
Τέσσαρες ὡραίων ἐκ πισύρων στέφανοι.

Incerti. 51.

Ne me illum ex thure dicas, hospes, commessantium
Delectantem nocturnis iuuenum mulieribus.
Paruus ego vicinâ à virgine rusticus,
Solum vrgens opera plantationis fruticum.
Vnde ob frugiferam me amicam coronarunt aream,
Quatuor temporum ex quatuor coronæ.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων Αἰγυπτίου εἰς τὸν Πραξιτέλους ἔρωτα.

Κλίνας αὐχένα γαῦρον ὑφ' ἡμετέροισι πεδίλοις
Χερσί με λαϊνέαις ἔπλασε Πραξιτέλης.
Αὐτὸν γὰρ τὸν ἔρωτα τὸν ἔνδοθι κευθόμενόν με
Χαλκώσας, Φρύνῃ δῶκε γέρας φιλίης.
Ἡ δέ μιν αὖθις ἔρωτι προσήγαγε. καὶ γὰρ ἐρῶντας
Δῶρον ἔρωτι φέρειν αὐτὸν ἔρωτα θέμις.

IVLIANI è principibus Ægypti in Praxitelis amorem. 52.

Inclinans ceruicem elatam sub nostrum calceum
Manibus me lapideis formauit Praxiteles.
Ipsum enim amorem me intus inhærentem
Æreum faciens, Phrynæ dedit pretium amoris.
Ipsa verò ipsum rursus amori adduxit. Nam amatores
Munus amori ferre ipsum amorem decet.

ΣΙΜΩΝΙΔΟΥ εἰς τὸ αὐτό.

Πραξιτέλης ὃν ἔπασχε διηκρίβωσεν ἔρωτα,
Ἐξ ἰδίης ἕλκων ἀρχέτυπον κραδίης·
Φρύνῃ μισθὸν ἐμεῖο διδοὺς ἐμέ· φίλτρα δὲ τίκτω,

Οὐκ ἔτι τοξεύων, ἀλλ' ἀτενιζόμενος.

SIMONIDIS in idem. 53.

Praxiteles quem passus est acutè efformauit amorem,
Ex proprio trahens principalem imaginem corde:
Phrynæ mercedem mei dans me. Amatoria verò genero,
Non amplius sagittâ feriens, sed intentis oculis aspicior.

ΤΥΛΛΙΟΥ ΓΕΜΙΝΟΥ εἰς τὸν αὐτόν.

Αντί μ' ἔρωτος ἔρωτα βροτῷ θεὸν ὤπασε Φρύνῃ
Πραξιτέλης, μισθὸν καὶ θεὸν εὑρόμενος.
Η δ' οὐκ ἠρνήθη τὸν τέκτονα· δεῖσε γὰρ ἡ φρὴν
Μὴ θεὸς ἀντὶ τέχνης σύμμαχα τόξα λάβῃ.
Ταρβεῖ δ' οὐκ ἔτι τὸν Κύπριδος, ἀλλὰ τὸν ἐκ σοῦ
Πραξίτελες, τέχνην μητέρ' ἐπισταμένη.

TVLLII GEMINI in eundem. 54.

Pro amore amorem homini deum dedit Phrynæ
Praxiteles, mercedem & deum inueniens.
Hæc verò non recusabat fabrum: timuit enim eius mens
Ne deus pro arte auxiliaria arma sumeret.
Formidat autem non amplius Cypridis *amorem*, sed ex te
Praxiteles, artem matrem sciens.

ΛΕΩΝΙΔΟΥ εἰς τὸν αὐτόν.

Θεσπιέες τὸν ἔρωτα μόνον θεὸν ἐκ Κυθερείης
Αζοντ', οὐχ ἑτέρου γραπτὸν ἀπ' ἀρχετύπου,
Αλλ' ὃν Πραξιτέλης ἔγνω θεόν, ὃν παρὰ Φρύνῃ
Δερκόμενος, σφετέρων λύτρον ἔδωκε πόθων.

LEONIDÆ in eundem. 55.

Thespienses amorem solum Deum ex Venere
Colunt, non altero depictum ex archetypo,
Sed quem Praxiteles nouit Deum. quem apud Phrynem
Vidit, sui pretium solutionis dedit amoris.

ΠΑΛΛΑΔΑ εἰς Ερωτα γυμνόν.

Γυμνὸς ἔρως διὰ τοῦτο γελᾷ καὶ μείλιχός ἐστιν·
Οὐ γὰρ ἔχει τόξον καὶ πυρόεντα βέλη.

Οὐδὲ μάτην παλάμαις κατέχει δελφῖνα καὶ ἄνθος·
Τῇ μὲν γὰρ γαῖαν, τῇ δὲ θάλασσαν ἔχει.

PALLADÆ in amorem nudum. 56.

Nudus amor, & ob hoc ridet, & gratiosus est:
Non enim habet arcum, & ignitas sagittas.
Nec frustra manibus cohibet Delphinem, & florem:
Hac etenim terram, illa verò mare habet.

ΓΑΒΡΙΗΛΙΟΥ ὑπάρχου εἰς Ἔρωτα καθεύδοντα ἐν πιπεραπάστῳ.

Οὐδὲ κατακνώσσων, οὐδ' ἄπνοος, οὐδ' ἐνὶ δαιτί,
Νόσφι πυρισπάρτου δήγματός ἐστιν Ἔρως.

GABRIELII principis in amorem dormientem in libo pipere insparso. 57.

Neque profundo dormiens, neq; sine spiritu, neq; in cõuiuio,
Sine calidissimo morsu est amor.

Εἰς τὸν αὐτόν.

Οὗτος ὁ τὸν δαλὸν φυσῶν, ἵνα λύχνον ἀνάψῃς,
Δεῦρ' ἀπ' ἐμᾶς ψυχᾶς ἅψον· ὅλος φλέγομαι.

In eundem. 58.

Hic ignem spirans, vt lychnum accendas,
Huc ab animâ meâ incende: totus ardeo.

ΠΛΑΤΩΝΟΣ εἰς Ἔρωτα ἐν ἄλσει κοιμώμενον· εὑρέθη δὲ ὑπὸ ὑδάτων.

Ἄλσος δ' ὡς ἱκόμεσθα βαθύσκιον, εὕρομεν ἔνδον
Πορφυρέοις μήλοισιν ἐοικότα παῖδα Κυθήρης.
Οὐδ' ἔχεν ἰοδόκον φαρέτρην, οὐ καμπύλα τόξα·
Ἀλλὰ τὰ μὲν δένδρεσσιν ὑπ' εὐπετάλοισι κρέμαντο,
Αὐτὸς δ' ἐν καλύκεσσι ῥόδων πεπεδημένος ὕπνῳ,
Εὗδε μειδιόων, ξουθαὶ δ' ἐφύπερθε μέλισσαι
Κηροχύτοις ἐν τοῖς λαγαροῖς ἐπὶ χείλεσι βαῖνον.

PLATONIS in Amorem in nemore recubantem: inuentus verò est sub aquis. 59.

Vbi verò in nemus venimus profũdis vmbris, inuenimus intus

Purpureis malis similem filium Cytheræ.
Nec habebat capientem sagittas pharetram, neque flexibiles arcus:
Sed illa arboribus bene frondentibus suspensa,
Ipse in calicibus rosarum vinctus somno,
Dormit subridens, leues verò supernè apes
Ceram fundentes intus vacua ad labra veniebant.

ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ εἰς Ἔρωτα κοιμώμενον.

Εὕδεις ἀγρύπνους ἐπάγων θνητοῖσι μερίμνας,
Εὕδεις ἀτηρὲς, ὦ, τέκος Ἀφρογενοῦς,
Οὐ πεύκην πυρόεσσαν ἐπηρμένος, οὐδ᾽ ἀφύλακτον
Ἐκ κέρεος ψάλλων αὐτοτόνοιο βέλος.
Ἄλλοι θαρσείτωσαν· ἐγὼ δ᾽ ἀγέρωχε δέδοικα
Μή μοι καὶ κνώσσων πικρὸν ὄνειρον ἴδῃς.

STATYLLII FLACCI in amorem dormientem. 59.

Dormis peruigiles inducens mortalibus curas,
Dormis noxius, ô, fili Veneris spumâ nate,
Non facem ignitam attollens, non ineuitabilem
Ex arcu tangens renitente sagittam.
Alij audeant: ego verò, superbe, extimui
Ne mihi vel dormiens acerbum somnium videas.

ΑΛΦΕΙΟΥ εἰς τὸ αὐτό.

Ἁρπάσομαι πυρόεσσαν Ἔρως χερὸς ἐκ σέο πεύκην,
Συλήσω δ᾽ ὤμων ἀμφικρεμῆ φαρέτρην,
Εἴγ᾽ ἐτύμως εὕδεις πυρὸς ἔγγονε, καὶ σέο φῶτες
Πρὸς βαιὸν τόξων εὐνομίην ἄγομεν.
Ἀλλὰ καὶ ὥς σε δέδοικα δολοπλόκε, μή τινα κεύθῃς
Εἰς ἐμὲ, κἢν ὕπνῳ πικρὸν ὄνειρον ἴδῃς.

ALPHEI in idem. 59.

Rapiam ignitam, ô amor, tua ex manu facem,
Spoliabo verò ex tuis humeris vtrinque dependentem pharetram,

Si verò verè dormis, ô ex igne nate, & tui viri
 Breuem arcuum concordiam ducimus.
Sed & vt te formido dolose, ne quem abscondas
 In me, & etiam in somno acerbum somnium videas.

ΜΕΛΕΑΓΡΟΥ, ὡς δὲ, ΣΤΡΑΤΩΝΟΣ,
εἰς Ἔρωτα.

Εἰ καί σοι πτέρυγες ταχιναὶ περὶ νῶτα πέπτανται,
 Καὶ Σκυθικῶν τόξων ἀκροβολοῦς ἀκίδες,
Φεύξομ' ἔρως ὑπὸ γᾶν σε. τί γὰρ πλέον; οὐδὲ γὰρ αὐτὸς
 Σὰν ἔφυγεν ῥώμαν πολυδαμάτωρ Ἀΐδας.

MELEAGRI vt alij STRATONIS
in amorem. 62.

Quamuis tibi alæ veloces in tergo expansæ sunt,
 Et Scythicarum arcuum iacularis acumina,
Fugiam amor in terrâ te. Quid enim postea? neque enim ipse
 Tuum effugit robur cuncta domans infernus.

ΣΕΚΟΥΝΔΟΥ εἰς ἀγάλματα ἐρώτων.

Σκυλοφόρους ἴδ' ἔρωτας, ἴδ' ὡς βελαροῖσιν ἐπ' ὤμοις
 Ὅπλα φέρουσι θεῶν νήπι' ἀγαλλόμενα,
Τύμπανα καὶ θύρσον Βρομίου, Ζηνὸς δὲ κεραυνόν,
 Ἀσπίδα δ' Ἐνυαλίου καὶ κόρυν ἠΰκομον,
Φοίβου δ' εὔτοξον φαρέτρην, Ἁλίου δὲ τρίαιναν,
 Καὶ σθεναρῶν χειρῶν Ἡρακλέους ῥόπαλον.
Τί πλέον ἀνθρώποισιν, ἔρως ὅτε καὶ πόλον εἷλε,
 Τεύχεα δ' ἀθανάτων Κύπρις ἐληΐσατο;

SECVNDI in simulacra amorum. 63.

Spoliis gaudentes vide amores, vide quomodo validis in humeris
 Arma ferunt deorum pueri exornati,
Tympana & thyrsum Bacchi, & Iouis fulmen,
 Scutum Martis & cassidem plumis bene ornatam,
Phœbi verò bene iaculantem pharetram, Neptuni tridentem,
 Et validarum manuum Herculis clauam.
Quid reliquum est hominibus, amor cùm & cœlum cepit,
 Arma verò immortalium Cypris spoliauit?

ΦΙΛΙΠΠΟΥ εἰς τὸ αὐτό.

Συλήσαντες ὄλυμπον ἴδ᾽ ὡς ὅπλοισιν ἔρωτες
  Κοσμοῦντ᾽ ἀθανάτων σκῦλα φρυασσόμενοι.
Φοίβου τόξα φέρουσι, Διὸς δὲ κεραυνὸν, Ἄρηος
  Ὅπλον καὶ κυνέην, Ἡρακλέους ῥόπαλον,
Εἰναλίου τε θεοῦ τριβελὲς δόρυ, θύρσα τε Βάκχου,
  Πτηνὰ πέδιλ᾽ Ἑρμοῦ, λαμπάδα Ἀρτέμιδος.
Οὐκ ἄχθος θνητοῖς εἴκειν βελέεσσιν ἐρώτων,
  Δαίμονες οἷς ὅπλων κόσμον ἔδωκαν ἔχειν.

PHILIPPI in idem. 64.

Spoliantes cœlum vide quomodo armis amores
  Ornantur immortalium ſpolia frementes.
Phœbi arcus ferunt, Iouis fulmen, Martis
  Arma & galeam, Herculis clauam,
Marini verò Dei tridentem haſtam, thyrſum Bacchi,
  Volucres calceos Mercurij, facem Artemidis.
Non moleſtum ſit hominibus cedere ſagittis amorum,
  Dij quibus armorum ornatum habere dederunt.

ΠΑΡΜΕΝΙΩΝΟΣ εἰς ἄγαλμα Ἥρας.

Ὠργεῖος Πολύκλειτος, ὁ καὶ μόνος ὄμμασιν Ἥρην
  Ἀθρήσας, καὶ ὅσην εἶδε τυπωσάμενος,
Θνητοῖς κάλλος ἔδειξεν ὅσον θέμις· αἱ δ᾽ ὑπὸ κόλποις
  Ἄγνωστοι μορφαὶ Ζηνὶ φυλασσόμεθα.

PARMENIONIS in ſtatuam Iunonis. 65.

Argiuus Polycletus, & qui ſolus oculis Iunonem
  Vidit, & qualem vidit ipſam efformauit,
Hominibus pulchritudinem demõſtrauit quantum fas eſt, verùm in ſinu
  Incognitæ formæ Ioui reſeruantur.

Εἰς ἄγαλμα Ἥρας θηλαζούσης Ἡρακλέα.

Αὐτὴν μητρυιὴν τεχνήσατο· τοὔνεκα μαζὸν

Εἰς νόθον ὁ πλάσης οὐ προσέθηκε γάλα.

In statuam Iunonis lactantis Herculem. 66.

Ipsam nouercam fabricauit: propterea mamillam
In nouercalem faber non addidit lac.

Εἰς ἄγαλμα Καλλιόπης.

Καλλιόπη μὲν ἐγὼ, Κύρῳ δ' ἐμὸν ὤπασα μαζὸν,
Ὃς τρέφε θεῖον Ὅμηρον, ὅθεν πίε νήδυμος Ὀρφεύς.

In simulacrum Calliopes. 67.

Calliope quidem ego, Cyro verò meam exhibui mammam,
Quæ nutriit diuinum Homerum, vnde bibit profundus Orpheus.

ΙΩΑΝΝΟΥ ποιητοῦ τοῦ Βαρβουκάλλου εἰς εἰκόνα τῆς αὐτῆς.

Ἤθελε Μελπομένην ὁ ζωγράφος εἰκόνι γράψαι·
Ἀλλ' ἀπολειπομένης, ἔγραφε Καλλιόπην.

IOANNIS Poëtæ Barbucalli in imaginem eiusdem. 68.

Voluit Melpomenem pictor in imagine pingere:
Sed hac relicta, pinxit Calliopem.

ΑΝΤΙΠΑΤΡΟΥ εἰς εἰκόνα Μουσῶν.

Τρίζυγες αἱ Μοῦσαι τᾷδ' ἕσταμεν· ἁ μία λωτούς.
Ἁ δὲ φέρει παλάμαις βάρβιτον· ἁ δὲ χέλυν.
Ἁ μὲν Ἀριστοκλῆος, ἔχει χέλυν· ἁ δ' Ἀγελάδα,
Βάρβιτον· ἁ Καναχᾶ δ' ὑμνοπόλους δόνακας.
Ἀλλ' ἁ μὲν, κραίντειρα τόνου πέλει· ἁ δὲ, μελῳδὸς
Χρώματος· ἁ δὲ, σοφᾶς εὑρέτις ἁρμονίας.

ANTIPATRI in imaginem Musarum. 69.

Triga Musarum hic stamus: vna quidem, tibias:
Hæc verò fert manibus barbiton: illa, chelyn.
Illa verò Aristoclei habet chelyn: altera verò Ageladæ,
Barbiton: hæc resonat canentes fistulas.
Sed hæc quidem effectrix toni est: illa verò, cantrix

Chroma-

Chromatis: ista verò sapientis inuentrix harmoniæ.

ΘΕΑΙΤΗΤΟΥ σχολαστικοῦ εἰς τὴν Ἀθηναίων νέμεσιν.

Χιονέην με λίθον παλιναυξέος ἐκ σκοπιῆς
Λαοτύπος τμήξας πελεκοτόμοις ἀκίσι
Μῆδος ἐπεὶ ναῦν πόρθησεν, ὅπως αἰδρείκελα τεύξῃ
Τῆς κατ' Ἀθηναίων σύμβολα χαρμονίης.
Ὡς δὲ δαϊζομένοις Μαραθὼν ἀντέκτυπε Πέρσαις,
Καὶ νέες ὑγροπόρον χεύμασιν αἱμαλέοις,
Ἔξεσάν Ἀδρήστειαν ἀριστώδινες Ἀθῆναι,
Δαίμον' ὑπερφιάλοις ἀντίπαλον μερόπων.
Ἀντιταλαντεύω ταῖς ἐλπίδας· εἰμὶ δὲ καὶ νῦν
Νίκη Ἐρεχθείδαις, Ἀσσυρίοις νέμεσις.

THEÆTETI Scholastici in Atheniensium nemesin. 70.

Niueum me lapidem renascentem ex altâ speculâ
Lapicida secans lapidem incidentibus cuspidibus
Medus nauim ascendit, vt victoriæ faciat
Contra Athenienses symbola singularis certaminis.
Cùm verò occisis Marathon obstrepebat Persis,
Et naues in humido pergebant per fluctus cruentos,
Sculpserunt Nemesin optimos parientes Athenæ,
Deam superbis hostem hominibus.
In æquilibrio teneo spes: sum verò nunc & iam
Victoria Atheniensibus, Assyriis Nemesis.

ΠΑΡΜΕΝΙΩΝΟΣ εἰς τὸ αὐτό.

Μήδοις ἐλπισθεῖσα τροπαιοφόρος λίθος εἶναι,
Ἠλλάχθην μορφὴν καίριον εἰς νέμεσιν.
Ἔνδικος ἱδρυνθεῖσα θεὰ, Ῥαμνοῦντος ἐπ' ὄχθαις,
Νίκης καὶ σοφίης Ἀτθίδι μαρτύριον.

PARMENIONIS in idem. 71.

Medis quæ sperabar tropæa ferens lapis futura,
Mutata sum formâ tempestiuam in Nemesin.

Iusta constituta dea, Rhamnuntis ad vndas
Victoriæ & sapientiæ Atticæ regioni testimonium.

Εἰς στήλην Νεμέσεως.

Ἡ Νέμεσις προλέγει τῷ πήχει τῷ τε χαλινῷ,
Μήτ' ἄμετρόν τι ποιεῖν, μήτ' ἀχάλινα λέγειν.

In columnam Nemeseos. 72.

Nemesis prædicit hac norma, & hoc freno,
Neq; immensuratū aliquid facere, neque infrenata dicere.

Εἰς τὸ αὐτό.

Ἡ Νέμεσις πῆχυν κατέχω. τίνος οὕνεκα; λέξεις·
Πᾶσι παραγγέλλω, μηδὲν ὑπὲρ τὸ μέτρον.

In idem. 73.

Nemesis normam habeo. Cuius causâ? Dices:
Omnibus annuncio, nihil super modum.

ΠΛΑΤΩΝΟΣ εἰς ἄγαλμα Πανὸς συρίζον.

Σιγάτω λάσιον δρυάδων λέπας, οἵ τ' ἀπὸ πέτρας
Κρουνοί, καὶ βληχὰ πουλυμιγὴς τοκάδων,
Αὐτὸς ἐπεὶ σύριγγι μελίσδεται εὐκελάδῳ Πάν,
Ὑγρὸν ἱεὶς ζευκτῶν χεῖλος ὑπὲρ καλάμων.
Αἱ δὲ πέριξ θαλεροῖσι χορὸν ποσὶν ἐστήσαντο
Ὑδριάδες νύμφαι, νύμφαι ἁμαδρυάδες.

PLATONIS in simulacrum Panis cantillans. 74.

Taceat densum quercuum promontorium, & sub petris
Fontes, & balatus permixtus fœtarum ouium,
Ipse cum fistulâ canit bene sonante Pan,
Vdum mittens cera compactas labium super fistulas,
Circum verò teneris solum pedibus percutiunt
Hydriades Nymphæ, Nymphæ & Hamadryades.

ΑΡΑΒΙΟΥ σχολαστικοῦ εἰς τὸ αὐτό.

Ἢν τάχα συρίζοντος ἐναργέα Πανὸς ἀκούσῃ·
Πνεῦμα γὰρ ὁ πλάστης ἐγκατέμιξε τύπῳ.

Ἀλλ' ὀρέων φεύγουσαν ἀμήχανος ἄστατον ἠχὼ,
    Πηκτίδος ἠρνήθη φθόγγον ἀνωφελέα.

ARABII Scholaſtici in idem. 75.

Licebat penè tibiâ canentem perſpicuè Pana audire:
    Spiritum enim formator immiſcuit imagini.
Sed videns fugientem fruſtratus inſtabilem Echo,
    Fiſtulæ recuſauit ſonitum inutilem.

ΑΛΚΑΙΟΥ εἰς τὸ αὐτό.

Ἔμπνει Πὰν λιγυρὸν ὀρειβάτα χείλεσι μοῦσαν,
    Ἔμπνει, ποιμενίῳ τερπόμενος δόνακι,
Εὐκελάδῳ σύριγγι χέων μέλος· ἐκ δὲ συνῳδοῦ
    Κλάζε κατὰ θυμῶν ῥήματος ἁρμονίην.
Ἀμφὶ σοὶ ῥυθμοῖο κατὰ κρότον εὔθετον ἴχνος
    Ῥησσέσθω νύμφαις ταῖσδε μεθυδριάσιν.

ALCÆI in idem. 76.

Spirat Pan gratis in montibus incedentem labris muſam,
    Spirat, paſtorali delectatus fiſtulâ,
Ex bene ſonante fiſtulâ fundens carmen: ex concentu autem
    Clangebat modulans ſermonis harmoniam.
Circa tuum cantum iuxta ſonitú furore incitatum veſtigium
    Vehementer feriatur hiſce aqueis nymphis.

Εἰς ἄγαλμα Πανὸς ἱστάμενον ἐπὶ ὁλκῷ ὕδατος ἀψοφητὶ ῥέοντος.

Πᾶνά με τὸν δυσέρωτα καὶ ἐξ ὑδάτων φύγεν ἠχώ.

In imaginem Panis ſtantem in deflexu aquæ ſine ſtrepitu fluentis. 77.

Pana me in amore infelicem & ex aquis fugit Echo.

Εἰς τὸ αὐτό.

Τᾷδε κατὰ χλοεροῖο ῥιφεὶς λειμῶνος ἰδοῖσα,
    Ἄμπαυσον μογεροῦ μαλθακὰ γυῖα μόθου·
Ἦχί σε καὶ ζεφύροιο τινασσομένη πίτυς αὔραις
    Θέλξει, τεττίγων εἰσαΐοντα μέλος·
Χὠ ποιμὴν ἐν ὄρεσσι μεσαμβρινὸν ἄγχοθι παγᾶς.

Συείσδων, λασίας θάμνῳ ὑπὸ πλατάνου,
Καύματ' ὀπωρινοῖο φυγὼν κυνός. ἄλμα δ' ἀμείψῃς
Αὔριον. εὖ τόδε σοι Πανὶ λέγοντι πίθου.

In idem. 78.

Illic in viridi prato proſtratus viator,
Quieſcere fac à laborioſo mollia membra labore:
Vbi te & zephyri leuiter mota pinus ventis
Delectabit, cicadarum inaudientem cantilenam.
Et paſtor quidem in montibus in meridie prope fontem
Fiſtulans, denſo ſub ramo platani,
Calores autumnales fugiens canis. Iter verò perges
Cras. Bene hoc tibi dicenti Pani obedi.

ΑΝΥΤΗΣ εἰς τὸ αὐτό.

Ξεῖν', ὑπὸ τὴν πέτραν τετρυμένα γυῖ' ἀνάπαυσον·
Ἁδύ τοι ἐν χλωροῖς πνεῦμα θροεῖ πετάλοις.
Πίδακά τ' ἐκ παγᾶς ψυχρὸν πίε. δὴ γὰρ ὁδίταις
Ἄμπαυμ' ἐν θερμῷ καύματι τοῦτο φίλον.

Anytes in idem. 79.

Hoſpes ſub petra attrita membra refocilla:
Suauis tibi ex viridibus ſpiritus murmurat foliis.
Aquam ſalientem ex fonte frigidam bibe. Viatoribus enim
Requies in calido æſtu hæc grata.

Εἰς τὸ αὐτό.

Ἐξ αὐτοῦ Διός ἐστιν ὁ φίλτατος ἔκγονος οὗτος.
Μαρτυρίην δὲ φέρει τὴν ἐπιθύμιον νεφέλην.
Ἑρμείαν γὰρ ἄνακτα τίκεν νεφεληγερέτα Ζεύς·
Αὐτὰρ ὅγ' Ἑρμείας Πᾶνα τὸν αἰγιβάτην.

In idem. 80.

Ex ipſo Ioue eſt cariſſimus oriundus hic.
Teſtimonium verò habet ſupernè appictam nubem.
Mercurialem enim regẽ nutriit in nubibus gubernans Iupiter:
Verùm hic Mercurius Pana capellas agentem.

ΛΕΩΝΙΔΟΥ εἰς ἕτερον Πᾶνα.

Μὴ σύγ' ἐπ' οἰονόμοιο περιπλέον ἰλύος ὧδε
  Τοῦτο χαραδραίης θερμὸν ὁδῖτα πίῃς·
Ἀλλὰ μολὼν μάλα τυτθὸν ὑπὲρ δαμαλίβοτον ἄκρην,
  Κεῖσέ γε πὰρ κείνᾳ ποιμενίᾳ πίτυϊ.
Εὑρήσεις κελαρίζον εὐκρήνου διὰ πέτρης
  Νᾶμα, βορειαίης ψυχρότερον νιφάδος.

LEONIDÆ in alium Pana. 81.

Ne tu in pascuo boum multum limi hîc
  Ex luti torrente calidum, viator, bibas,
Sed progressus parum super vbi capræ pascuntur summitatem,
  Illic apud ipsam pastoralem pinum
Inuenies lubricantem boni fontis ex petra
  Aquam, boreali frigidiorem niue.

ΑΝΥΤΗΣ εἰς ἕτερον Πᾶνα.

[a]Τίπτε κατ' οἰόβατον Πὰν ἀγρότα δάσκιον ὕλαν
  Ἥμενος, ἁδυβόᾳ τῷδε κρέκεις δόνακι;
[b]Ὄφρα μοι ἑρσήεντα κατ' οὔρεα ταῦτα νέμοιντο
  Πόρτιες, ἠϋκόμων δρεπτόμεναι σταχύων.

ANYTÆ in alterum Pana. 82.

[a]Quid apud vbi oues pascuntur, Pan rustice, densam syluam
  Sedens, suauiter resonante sic sonas fistulâ?
[b]Vt mihi roscidos iuxta montes hæ pascantur
  Iuuencæ, bene frondentes carpentes spicas.

ΕΡΥΚΙΟΥ εἰς ἕτερον Πᾶνα.

Εὔστοχα θηροβολεῖτε κυναγέται, εἰ ποτὶ τήνδε
  Πανὸς ὀρειβάτεω νεισόμενοι σκοπιάν,
Οἵ τε λίνοις βαίνοιτε πεποιθότες, οἵ τε σιδάρῳ,
  Οἵ τε καὶ ἰξευτᾷ λαθροβόλῳ δόνακι.
Κἀμέ τις ὑμείων ἐπιβωσάτω· οἶδα ποτ' ἄγραν
  Κοσμεῖν, καὶ λόγχην, καὶ λίνα, καὶ καλάμους.

ERYCII in alterum Pana. 83.

Scitè venamini feras venatores, qui ad hanc
  Panis per montes ambulantis inceditis speculam,

Quíque linis confidentes inceditis, quíque ferro,
Et qui viſcatore aucupatorio calamo.
Et me quis veſtrum clamet: noui enim olim venationem
Ornare, & haſtam, & lina, & calamos.

ΣΙΜΩΝΙΔΟΥ εἰς ἕτερον Πᾶνα.

Τὸν τραγόπουν ἐμὲ Πᾶνα, τὸν Ἀρκάδα, τὸν κατὰ Μήδων
Τὸν μετ' Ἀθηναίων, στήσατο Μιλτιάδης.

SIMONIDÆ in alterum Pana. 84.

Hircinis pedibus me Pana Arcadem, contra Medos
Poſt Athenienſes, poſuit Miltiades.

ΘΕΑΙΤΗΤΟΥ εἰς τὸν αὐτόν.

Ὑλοβάτας, φιλόδενδρος, ὀρεσαύλου πόσις ἀχοῦς,
Παίσκοπος, εὐκεράου μαλοφύλαξ ἀγέλας,
Πὰν ὁ δασυκνάμων, ὁ πολύσπορος, ὃς μετὰ μαστὰς
Ἔδραμον αἰχματὰν ἐς δάϊν Ἀσυρίων,
Μιλτιάδου στήσαντος ὁμάσπιδα περσοδιώκτην·
Ἵσταμαι, ἀκλήτου ξείνια συμμαχίης.
Ἄλλοις ἀκροπόληες· ὁ μηδοφόνος δὲ δέδασται
Ξυνὸς ἐμὶν Μαραθὼν καὶ Μαραθωνομάχοις.

THEÆTETI in eundem. 85.

In ſyluis ambulans, arboribus gaudens, in monte tibiâ canentis maritus Echus,
Cuncta videns, bene cornuti cuſtos gregis,
Pan hirſutis pellibus, ſemine abundans, qui auxiliator
Cucurri bellicoſorum in pugnam Aſſyriorum,
Miltiade ſtatuente commilitonum Perſarum ſectatorem:
Sto, vltronei munera auxilij.
Aliis ſummæ arces: qui verò Perſas interemit, diuiſus eſt
Socius mihi Marathô, & illis qui ad Marathonẽ pugnarunt.

ΦΙΛΟΔΗΜΟΥ εἰς ἕτερον ἄγαλμα Πανός.

Τρισσοὺς ἀθανάτοις χωρεῖ λίθος. ἁ κεφαλὰ γὰρ
Μανύει τρανῶς Πᾶνα τὸν αἰγόκερων·
Στέρνα δὲ καὶ νηδὺς, Ἡρακλέα· λοιπὰ δὲ μηρῶν

Καὶ κνήμης Ἑρμῆς ὁ πτερόπους ἔλαχεν.
Θύειν ἀρνήσῃ ξένε μηκέτι. τοῦ γὰρ ἑνός σοι
Θύματος οἱ τρισσοὶ δαίμονες ἁπτόμεθα.

PHILODEMI in aliud ſimulacrum Panis. 86.

Ternos Deos includit lapis. Caput enim
Indicat manifeſtè Pana capricornum:
Pectus verò & aluus, Herculem: Reliqua verò femorum
Et tibiæ Hermes alatus ſortitus eſt.
Sacrificare verò recuſa hoſpes non amplius. Vnius enim tibi
Sacrificij tres dij coaptamur.

ΑΠΟΛΛΩΝΙΔΟΥ Σμυρναίου εἰς ἕτερον ἄγαλμα Πανός.

Ἀγροτέρων θεός εἰμι· τί μοι χρυσέοις δεπάεσσι
Σπένδετε; ποῦ δ' Ἰταλοῦ χεῖτε μέθυ Βρομίου;
Καὶ γυρούς ταύρων πέτρῃ προσδεῖτε τένοντας;
Φείσασθ'· οὐ τούτοις θύμασι τερπόμεθα.
Πὰν ὁ περιωρείτης, αὐτόξυλος, ἀρνεοθοίνης
Εἰμί, καὶ ἐγχθονίου γλευκοπότης κύλικος.

APOLLONII Smyrnæi in aliud ſimulacrum
Panis. 87.

Ruſticorum Deus ſum: quid mihi aureis vaſis
Sacrificatis? Quid autem Itali funditis vinum Bacchi?
Et rotundos taurorum aræ alligatis muſculos?
Parcite: non talibus ſacrificiis delectamur.
Pan montis latera incolens, ligneus, agnos in ſacrificium adhibens
Sum, & patrij muſtibiba calycis.

ΛΕΩΝΙΔΟΥ, οἱ δὲ ΠΕΡΙΤΟΥ εἰς ἄγαλμα Πριήπου.

Αὐτοῦ ἐφ' αἱμασιαῖσι τὸν ἀγρυπνοῦντα Πρίηπον
Ἔστησε λαχάνων Δινομένης φύλακα.
Ἀλλ' ὡς ἐντέταμαι, φὼρ ἔμβλεπε. τοῦτο δ' ἐρωτᾷς
Τῶν ὀλίγων λαχάνων εἵνεκα; τῶν ὀλίγων.

LEONIDÆ, vt alij PERITI in ſimulacrum
Priapi. 88.

Suum ad ſepem vigilantem Priapum
Statuit olerum Dinomenes cuſtodem.

Sed vt erigar, fur intuêre: hoc verò quæris
Paucorum olerum causa? Paucorum.

ΤΥΜΝΕΩ εἰς τὸν αὐτόν.

Γαίπα περιπτίζω· κἂν ᾖ Κρόνος, οὐ διακρίνω
Οὐδένα φὼρ οὕτω ταῖσδε περὶ πρασιαῖς.
Ἔπρεπε μὴ λαχάνων ἕνεκεν τάδε καὶ κολοκυνθῶν
(Φήσει τις) με λέγειν ἔπρεπεν· ἀλλὰ λέγω.

TYMNEI in eundem. 89.

Omnia subigam: si etiam sit Iupiter, non discerno
Vllum. Fur sic *tractatur* in hoc horto.
Non oportebat hoc olerum & colocynthi causa
(Dicet aliquis) me dicere. Oportebat: sed dico.

ΛΟΥΚΙΑΝΟΥ εἰς ἕτερον Πείηπον.

Εἰς τὸ κενόν με τέθεικε νόμου χάριν ὧδε Πείηπον
Εὐτυχίδης, ξηρῶν κλημάτιδων φύλακα.
Καὶ περιβέβλημαι κρημνὸν βαθύν. ὅς δ' ἂν ἐπέλθῃ,
Οὐδὲν ἔχει κλέψαι πλὴν ἐμὲ τὸν φύλακα.

LVCIANI in alium Priapum. 90.

Frustra me posuit legis gratia huc Priapum
Eutychides, aridorum palmitum custodem.
Et amplector præcipitium profundum. Qui verò accesserit,
Nihil habeat quod furetur præter me custodem.

ΑΠΟΛΛΩΝΙΔΟΥ εἰς ἕτερον.

Ἄνθετ' Ἀναξαγόρης με τὸν οὐκ ἐπὶ ποσσὶ Πείηπον,
Ἐν χθονὶ δ' ἀμφοτέρῳ γουνάτι κεκλιμένον.
Τεῦξε δὲ Φυρόμαχος· χαρίτων δέ μοι ἄγχι καλὴν
Ἀθρήσας, δίζου μηκέτι πῶς ἔπεσον.

APOLLONIDÆ in alium. 91.

Posuit Anaxagoras me non erectum pedibus Priapum.
In terrâ vtroque genu inclinantem.
Fecit verò Phyromachus. è gratiis verò prope me pulchram
Intuens, ne quæras amplius quomodo ceciderim.

ΦΙΛΙΠΠΟΥ εἰς ἕτερον.

αὩραίας γ' ἐσορῶ τὰς ἰσχάδας. εἴγε λάβοιμι
Συγχωρεῖς ὀλίγας; βθίγε δὲ μηδεμιᾶς.
Ὀργίλος ὡς ὁ Πρίηπος ἐρεῖς, ἔτι καὶ κενὸς ἥξεις.
αΝαὶ λίτομαι δός μοι· καὶ γὰρ ἐγὼ δέομαι.
βΧρήζεις γὰρ (λέγε μοι) παρ' ἐμοῦ τινός; ἔστι νόμος που,
Δός, λάβε. ακαὶ θεὸς ὢν ἀργυρίου σὺ γλίχῃ;
βἌλλο τι χρῆμα φιλῶ. αποῖον τόδε; βτὰ μὰ κατέσθων
Σῦκα, δὸς εὐθύμως ἰσχάδα τὴν ὀπίσω.

PHILIPPI in alium. 92.

αTempestiuas video caricas nuces An accipere mihi
Concedis paucas? βTange nullam.
Iracundus quomodo Priapus dices, adhuc & vacuus venies.
αCertè precor da mihi. Nam ego indigeo.
βConsequeris enim (dic mihi) apud me quandã? Est lex vsquam,
Da, accipe. αEt Deus existens argentum tu appetis.
βAliam rem amo. αquale hoc? βMeas comedens
Ficus, da promptè podicem posterius.

ΑΡΓΕΝΤΑΡΙΟΥ εἰς τὸ αὐτό.

αὩραῖος. βοἶδα καὶ αὐτός, ὁδοιπόρε. μηκέτ' ἐπαίνει
Ἰσχάδα, μηδ' ἐσόρα τὸν πέλας ἀκρέμονα.
Καὶ λίην ὁ Πρίηπος ἐφίσταμαι ὀξὺ δεδορκώς,
Καὶ φυλακὴν σύκων ἣν ἐπέοικεν ἔχων.
Ἢν δὲ μόνον σὺ θίγῃς τῆς ἰσχάδος, ἰσχάδα δώσεις.
Ὡς ἰσότης πάντων ἐστὶ δικαιοτάτη.

ARGENTARII in idem. 93.

αTempestiuus. βScio hoc & ipse, viator. Ne amplius lauda
Caricas nuces, neque intuere vicinum ramum.
Et valde Priapus asto acutè videns,
Et custodiam ficuum vt fas est habens.
Si verò tantummodo tu tangens caricem, podicem dabis.
Velut æqualitas omnium est iustissima.

ΕΡΥΚΙΟΥ εἰς τὸν αὐτόν.

Ὡς βαρὺ τοῦτο Πρίηπε καὶ εὖ τετυλωμένον ὅπλον,

Μουνὴ θεσπεσίως πνεῦμα βαλοῦσα λίθῳ.
Εἰμὶ δὲ ταῖς νύμφαισιν ὁμέστιος· ἀντὶ δὲ τοῦ πρὶν
Πορφυρέου μέθυος, λαρὸν ὕδωρ προχέω.
Εὔκηλον δ' ἴθυνε φέρων πόδα, μὴ τάχα κοῦρον
Κινήσῃς ἁπαλῷ κώματι θελγόμενον.

PLATONIS in simulacrum Satyri in fonte stans, & in amorem dormientem. 96.

Bromij Satyrum fabrefecit ingeniosa manus,
Sola diuinitus spiritum immittens lapidi.
Sum verò Nymphis contubernalis: pro verò priore
Purpureo vino; gratam aquam profundo.
Quietus verò perge ferens pedem ne fortè amorem
Excites molli veterno delectatum.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Εἰμὶ μὲν βουκεράοιο φίλος θεράπων Διονύσου,
Λείβω δ' ἀργυρέων ὕδατα ναϊάδων.
Θέλγω δ' ἠρεμέοντα νέον περὶ κώματι παῖδα.

Eiusdem in idem. 97.

Sum quidem bene cornuti amicus seruus Bacchi,
Libo verò argentearum aquas Naiadum.
Delecto verò quiescentem iuuenem veterno puerum.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ, εἰς εἰκόνα σατύρου πρὸς τῇ ἀκοῇ τὸν αὐλὸν ἔχοντος, καὶ ὥσπερ ἀκροωμένου.

Αὐτομάτως Σατυρίσκε δόναξ πρὸς ἦχον ἰάλλει.
Ἢ τί παρακλίνας οὖας ἄγαν κάλαμῳ;
Ὃς δὲ γελῶν σίγησεν· ἴσως δ' ἂν φθέγξατο μῦθον,
Ἀλλ' ὑπὸ τερπωλῆς εἴχετο ληθεδόνι.
Οὐ γὰρ κηρὸς ἔρυκεν· ἑκὼν δ' ἠσπάζετο σιγήν,
Θυμὸν ὅλον τρέψας πηκτίδος ἀμφὶ λίην.

AGATHII Scholastici in Imaginem Satyri propè aurem tibiam habentis, & tanquam audientis. 98.

Spontè Satyrisce fistula tua sonitum emittit.
Aut cur inclinans aures admoues calamo?
Qui verò ridens tacuit, fortasse dicet sermonem,
Sed præ dulcedine impeditur obliuione.
Non enim cera effudisset: spontè verò adamauit silentium,
Omnem animum aduertens fistulæ occupationi.

ΛΕΟΝΤΙΟΥ σχολαστικοῦ εἰς ἕτερον σάτυρον.

Τὸν σάτυρον Διόνυσος ἰδὼν πόσον ἄλγος ἔχοντα,
Καί μιν ἐποικτείρας, θήκατο λάϊνεον.
Ἀλλ' οὐδ' ὣς ἀπέληξε βαρυτλήτων ὀδυνάων·
Εἰσέτι γὰρ μογέει καὶ λίθος ὢν ὁ τάλας.

LEONTII Scholastici in alium Satyrum. 99.

Satyrum Bacchus videns tantum dolorem habentem,
Ipsum miseratus, fecit lapideum,
Sed ne sic quidem remisit aliquid à grauissimis doloribus:
Adhuc enim luget & lapis existens, miser.

Εἰς ἕτερον σάτυρον.

Ἢ σάτυρος τὸν χαλκὸν ὑπέδραμεν, ἢ διὰ τέχνης
Χαλκὸς ἀναγκασθεὶς ἀμφεχύθη σατύρῳ.

In alium Satyrum. 100.

Aut Satyrus æs subiit, aut ob artem
Æs coactum circumfusum est ipsi satyro.

ΝΕΙΛΟΥ σχολαστικοῦ, εἰς εἰκόνα σατύρου ἀπὸ ψηφῖδος,
ἐν Ἀντιοχείᾳ.

"Πάντες μὲν σάτυροι, φιλοκέρτομοι· εἰπὲ δὲ καὶ σὺ
Τί πρὸς ἕκαστον ὁρῶν τόνδε γέλωτα χέεις;
"Θάμβος ἔχων, γελόω, πῶς ἐκ λίθου ἄλλοθεν ἄλλης
Συμφερτός, γενόμην ἐξαπίνης σάτυρος.

NILI Scholastici in imaginem Satyri ex lapillo
in Antiochia. 101.

"Omnes quidem Satyri conuiciatores: dic verò & tu
Quid ad quemque videns hunc risum profundis?
"Stuporem habens admiror, quomodo ex lapide aliunde alio
Collatus, factus sum repentè Satyrus.

ΠΛΑΤΩΝΟΣ εἰς ἕτερον σάτυρον.

Τὸν σάτυρον Διόδωρος ἐκοίμισεν, οὐκ ἐτόρευσεν.
  Ἢν νύξῃς, ἐγερεῖς· ἄργυρος ὕπνον ἔχει.

PLATONIS in alium Satyrum. 102.

Satyrum Diodorus in soporem dedit, non tornauit.
  Si pungas, excitabis: aurum hoc somnum habet.

ΑΝΥΤΗΣ.

Κύπριδος οὗτος ὁ χῶρος, ἐπεὶ φίλον ἔπλετο τήνᾳ
  Αἰὲν ἀπ' ἠπείρου λαμπρὸν ὁρᾶν πέλαγος,
Ὄφρα φίλον ναύταισι τελῇ πλόον, ἀμφὶ δὲ πόντος
  Δειμαίνῃ, λιπαρὸν δερκόμενος ξόανον.

ANYTES. 103.

Cypridos hæc regio, cùm gratum fuit illi
  Semper à continenti splendidum videre pelagus,
Vt gratam nautis perficiat nauigationem, circum verò pontus
  Formidat, nitidum videns simulacrum.

Εἰς τὸ αὐτό.

Τίπτε μόθων ἄτλητος Ἐνυαλίοιο λέλογχας
  Κύπρι; τίς ὁ ψεύσας ζυγὰ καθάψε μάτην;
Ἔντεά σοι γὰρ ἔρωτες ἐφίμεροι, αἵ τε κατ' εὐνὰς
  Τέρψιες, καὶ κροτάλων θηλυμανεῖς ὄτοβοι·
Δούρατα δ' αἱματόεντα μέθες Τριτωνίδι δίᾳ
  Ταῦτα· σὺ δ' εὐχαίτην εἰς Ὑμέναιον ἴθι.

In idem. 104.

Quid bellorum intolerabilis Martis consecuta es *arma*
  Venus? Quis mendax arma adaptauit frustra?
Arma enim tibi amores sunt desiderabiles, & ad concubitum
  Voluptates, & crepitaculorum mulierum insani strepitus.
Hastas verò sanguineas relinque Tritonidi diuæ
  Has: tu verò bene comatum ad Hymenęum vade.

Εἰς τὸ αὐτό.

Δερκόμενος ξόανον καλὸν τόδε, τὴν Ἀφροδίτην

Ὤνθρωφ' ἱλάσκευ, πλατίον ἑζόμενος.
Αἴνει δὲ Γλυκέραν Διονυσίου, ἅ μ' ἀνέθηκε
Πορφυρέας ἁπαλὸν κῦμα παρ' ἠϊόνος.

In idem. 105.

Videns simulacrum pulcrum hoc, Venerem
O homo, supplica, prope assistens.
Lauda verò Glyceram Bacchi, quæ me deposuit
Purpurei mollem fluctum ad littoris.

Εἰς τὸ αὐτό.

Ἔλθοιμεν ποτὶ ναὸν, ἰδοίμεθα τᾶς Ἀφροδίτας
Τὸ βρέτας, ὡς χρυσῷ δαιδάλεον τελέθει.
Εἵσατό μιν Πολίαρχις, ἐπαυρομένα μάλα πολλὰν
Κτῆσιν ἀπ' οἰκείου σώματος ἀγλαΐας.

In idem. 106.

Veniamus ad templum, videamus Veneris
Simulacrum, quomodo auro variatum sit.
Posuit illud Ptoliarchis. percipiens valde multam
Possessionem à proprij corporis pulchritudine.

Εἰς τὸ αὐτό.

Στῶμεν ἁλιρράντοιο παρὰ χθαμαλὰν χθόνα πόντου,
Δερκόμενοι τέμενος Κύπριδος εἰναλίας·
Κρήναν τ' αἰγείροισι κατάσκιον, ἇς ἄπο, νᾶμα
Ξουθαὶ ἀφύσσονται χείλεσιν ἀλκυόνες.

In idem. 107.

Stamus sale aspersi ad humilem terram ponti,
Videntes templum Veneris marinæ,
Fontémque populis vmbrosum: è quo, aquam
Leues hauriunt labiis halcyones aues.

Εἰς ἔρωτα.

Ὁ πτανὸς τὸν πτανὸν ἰδὼν, ἄγνυσι κεραυνὸν,
Δεικνὺς ὡς κρεῖσσον πῦρ πυρός ἐστιν ἔρως.

In amorem. 108.

Alatus alatum videns, fregit fulmen,

Demonstrans quòd fortior ignis igne sit amor.

Εἰς τὸν αὐτόν.

Πτανῷ πτανὸν ἔρωτα τὸν αἴτιον ἔπλασ' ἔρωτι
  Ἁ νέμεσις, τόξῳ τόξον ἀμυνομένα,
Ὡς κε πάθῃ τά κ' ἔρεξεν. ὁ δ' ὁ θρασὺς, ὁ πρὶν ἀταρβὴς
  Δακρύει, πικρῶν γευσάμενος βελέων.
Ἐς δὲ βαθὺν τρὶς κόλπον ἀπέπτυσεν. ἆ, μέγα θαῦμα,
  Φλέξει τις πυρὶ πῦρ; ἥψατ' ἔρωτος ἔρως.

In eundem. 109.

Alato alatum amorem contra formauit amori
  Nemesis, arcu arcum vlciscens,
Vt patiatur quæ fecit. Qui verò audax, & priùs imperterritus
  Lacrumatur, acerba sentiens spicula.
In profundum verò ter sinum inspuit. Hei, magnũ miraculum,
  Comburet quis igni ignem? Tetigit amorem amor.

Εἰς τὸν αὐτόν.

Κἀγὼ Κύπριδος αἷμα· κασιγνήτῳ δέ με μήτηρ
  Ηιεσε τόξα φέρειν ἀντία καὶ πτέρυγας.

In eundem. 110.

Et ego Veneris sum sanguis: fratrem verò me mater
  Voluit arcus ferre contra, & alas.

Εἰς Ἄρτεμιν.

Ἄρτεμι, ποῦ σοι τόξα, παραυχενίη τε φαρέτρη,
  Ποῦ δὲ λυκαστείων ἐνδρομὶς ἀρβυλίδων;
Πόρπη τε χρυσοῖο τετυγμένη, ἠδὲ παρ' ἐς ἄκρην
  Ἰγνῦν φοῖνιξ πέπλος ἑλισσόμενος;
Κεῖνα μὲν εἰς ἄγρην ὁπλίζομαι, ἐς δὲ θυηλὰς
  Εἶμ' αὔτως, ἱρῶν αἰτομένη θυέων.

In Artemin. 111.

Artemi, vbi tibi est arcus, & in humero pharetra,
  Vbi verò Cretensium endromis calciamentorum?
Et fibula auro facta, & ad summum
  Poplitem ruber peplus tractus?

Iusta constituta dea, Rhamnuntis ad vndas
Victoriæ & sapientiæ Atticæ regioni testimonium.

Εἰς στήλην Νεμέσεως.

Ἡ Νέμεσις προλέγει τῷ πήχεϊ τῷ τε χαλινῷ,
Μήτ' ἄμετρόν τι ποιεῖν, μήτ' ἀχάλινα λέγειν.

In columnam Nemeseos. 72.

Nemesis prædicit hac norma, & hoc freno,
Neq; immensuratū aliquid facere, neque infrenata dicere.

Εἰς τὸ αὐτό.

Ἡ Νέμεσις πῆχυν κατέχω. τίνος οὕνεκα; λέξεις·
Πᾶσι παραγγέλλω, μηδὲν ὑπὲρ τὸ μέτρον.

In idem. 73.

Nemesis normam habeo. Cuius causâ? Dices:
Omnibus annuncio, nihil super modum.

ΠΛΑΤΩΝΟΣ εἰς ἄγαλμα Πανὸς συρίζον.

Σιγάτω λάσιον δρυάδων λέπας, οἵ τ' ἀπὸ πέτρας
Κρουνοί, καὶ βληχὰ πουλυμιγὴς τοκάδων,
Αὐτὸς ἐπεὶ σύριγγι μελίσδεται εὐκελάδῳ Πάν,
Ὑγρὸν ἱεὶς ζευκτῶν χεῖλος ὑπὲρ καλάμων.
Αἱ δὲ πέριξ θαλεροῖσι χορὸν ποσὶν ἐστήσαντο
Ὑδριάδες νύμφαι, νύμφαι ἁμαδρυάδες.

PLATONIS in simulacrum Panis cantillans. 74.

Taceat densum quercuum promontorium, & sub petris
Fontes, & balatus permixtus fœtarum ouium,
Ipse cum fistulâ canit bene sonante Pan,
Vdum mittens cera compactas labium super fistulas,
Circum verò teneris solum pedibus percutiunt
Hydriades Nymphæ, Nymphæ & Hamadryades.

ΑΡΑΒΙΟΥ σχολαστικοῦ εἰς τὸ αὐτό.

Ἦν τάχα συρίζοντος ἐναργέα Πανὸς ἀκούειν·
Πνεῦμα γὰρ ὁ πλάστης ἐγκατέμιξε τύπῳ.

Ἀλλ' ὁρόων φεύγουσαν ἀμήχανος ἄστατον ἠχώ,
    Πηκτίδος ἠρνήθη φθόγγον ἀνωφελέα.

ARABII Scholastici in idem. 75.

Licebat penè tibiâ canentem perspicuè Pana audire:
    Spiritum enim formator immiscuit imagini.
Sed videns fugientem frustratus instabilem Echo,
    Fistulæ recusauit sonitum inutilem.

ΑΛΚΑΙΟΥ εἰς τὸ αὐτό.

Ἔμπνει Πὰν λαροῖσιν ὀρειβάτα χείλεσι μοῦσαν,
    Ἔμπνει, ποιμενίῳ τερπόμενος δόνακι,
Εὐκελάδῳ σύριγγι χέων μέλος· ἐκ δὲ συνῳδοῦ
    Κλάζε κατιθύνων ῥήματος ἁρμονίην.
Ἀμφὶ σὲ ῥυθμοῖο κατὰ κρότον ἔνθεον ἴχνος
    Ῥησσέσθω νύμφαις ταῖσδε μεθυδριάσιν.

ALCÆI in idem. 76.

Spirat Pan gratis in montibus incedentem labris musam,
    Spirat, pastorali delectatus fistulâ,
Ex bene sonante fistulâ fundens carmen: ex concentu autem
    Clangebat modulans sermonis harmoniam.
Circa tuum cantum iuxta sonitũ furore incitatum vestigium
    Vehementer feriatur hisce aqueis nymphis.

Εἰς ἄγαλμα Πανὸς ἱστάμενον ἐπὶ ὁλκῷ ὕδατος ἀψοφητὶ ῥέοντος.

Πᾶνά με τὸν δυσέρωτα καὶ ἐξ ὑδάτων φύγεν ἠχώ.

In imaginem Panis stantem in deflexu aquæ sine strepitu fluentis. 77.

Pana me in amore infelicem & ex aquis fugit Echo.

Εἰς τὸ αὐτό.

Τᾷδε κατὰ χλοεροῖο ῥιφεὶς λειμῶνος ὁδῖτα,
    Ἄμπαυσον μογεροῦ μαλθακὰ γυῖα μόθου·
Ἡχί σε καὶ ζεφύροιο τινασσομένη πίτυς αὔραις
    Θέλξει, τεττίγων εἰσαΐοντα μέλος·
Χὠ ποιμὴν ἐν ὄρεσι μεσαμβρινὸν ἀγχόθι παγᾶς.

Συείσδων, λασίας θάμνῳ ὑπὸ πλατάνου,
Καύματ᾽ ὀπωρινοῖο φυγὼν κυνός. ἄλμα δ᾽ ἀμείψεις
Αὔριον. εὖ τόδε σοι Πανὶ λέγοντι πίθου.

In idem. 78.

Illic in viridi prato prostratus viator,
Quiescere fac à laborioso mollia membra labore:
Vbi te & zephyri leuiter mota pinus ventis
Delectabit, cicadarum inaudientem cantilenam.
Et pastor quidem in montibus in meridie prope fontem
Fistulans, denso sub ramo platani,
Calores autumnales fugiens canis. Iter verò perges
Cras. Bene hoc tibi dicenti Pani obedi.

ΑΝΥΤΗΣ εἰς τὸ αὐτό.

Ξεῖν᾽, ὑπὸ τὴν πέτραν τετρυμένα γυῖ᾽ ἀνάπαυσον·
Ἁδύ τοι ἐν χλωροῖς πνεῦμα θροεῖ πετάλοις.
Πίδακά τ᾽ ἐκ παγᾶς ψυχρὸν πίε. δὴ γὰρ ὁδίταις
Ἀμπαυμ᾽ ἐν θερμῷ καύματι τοῦτο φίλον.

ANYTES in idem. 79.

Hospes sub petra attrita membra refocilla:
Suauis tibi ex viridibus spiritus murmurat foliis.
Aquam salientem ex fonte frigidam bibe. Viatoribus enim
Requies in calido æstu hæc grata.

Εἰς τὸ αὐτό.

Ἐξ αὐτοῦ Διός ἐστιν ὁ φίλτατος ἔκγονος οὗτος.
Μαρτυρίην δὲ φέρει τὴν ἐπιδήμιον νεφέλην.
Ἑρμείας γὰρ ἄνακτα τέκεν νεφεληγερέτα Ζεύς·
Αὐτὰρ ὅγ᾽ Ἑρμείας Πᾶνα τὸν αἰγινόμον.

In idem. 80.

Ex ipso Ioue est carissimus oriundus hic.
Testimonium verò habet supernè appictam nubem.
Mercurialem enim regẽ nutriit in nubibus gubernans Iupiter:
Verùm hic Mercurius Pana capellas agentem.

ΛΕΩΝΙΔΟΥ εἰς ἕτερον Πᾶνα.

Μὴ σύ γ' ἐπ' οἰονόμοιο παρεὶς πλαδόεν ἰλύος ὧδε
Τοῦτο χαραδραίης θερμὸν ὕδωρ τι πίῃς·
Ἀλλὰ μολὼν μάλα τυτθὸν ὑπὲρ δαμαλίβοτον ἄκρην,
Κεῖσέ γε πὰρ κείνᾳ ποιμενίᾳ πίτυϊ.
Εὑρήσεις κελαρίζον ἐΰκρηνου διὰ πέτρης
Νᾶμα, βορειαίης ψυχρότερον νιφάδος.

LEONIDÆ in alium Pana. 81.

Ne tu in pascuo boum multum limi hîc
Ex luti torrente calidum, viator, bibas,
Sed progressus parum super vbi capræ pascuntur summitatem,
Illic apud ipsam pastoralem pinum
Inuenies lubricantem boni fontis ex petra
Aquam, boreali frigidiorem niue.

ΑΝΥΤΗΣ εἰς ἕτερον Πᾶνα.

a Τίπτε κατ' οἰόβατον Πὰν ἀγρότα δάσκιον ὕλαν
Ἥμενος, ἁδυβόᾳ τῷδε κρέκεις δόνακι;
b Ὄφρά μοι ἑρσήεντα κατ' οὔρεα ταῦτα νέμοιντο
Πόρτιες, ἠϋκόμων δρεπτόμεναι σταχύων.

ANYTÆ in alterum Pana. 82.

a Quid apud vbi oues pascuntur, Pan rustice, densam syluam
Sedens, suauiter resonante sic sonas fistulâ?
b Vt mihi roscidos iuxta montes hæ pascantur
Iuuencæ, bene frondentes carpentes spicas.

ΕΡΥΚΙΟΥ εἰς ἕτερον Πᾶνα.

Εὔστοχα θηροβολεῖτε κυναγέται, ἤν ποτὶ τοῦτον
Πανὸς ὀρειβάταο νεισόμενοι σκοπιὰν,
Οἵ τε λίνοις βαίνοιτε πεποιθότες, οἵ τε σιδάρῳ,
Οἵ τε καὶ ἰξευτᾷ λαθροβόλῳ δόνακι.
Κἀμέ τις ὑμείων ἐπιβωσάτω· οἶδα ποτ' ἄγρας
Κοσμεῖν, καὶ λόγχαν, καὶ λίνα, καὶ καλάμους.

ERYCII in alterum Pana. 83.

Scitè venamini feras venatores, qui ad hanc
Panis per montes ambulantis inceditis speculam,

Quíque linis confidentes inceditis, quíque ferro,
 Et qui viſcatore aucupatorio calamo.
Et me quis veſtrum clamet: noui enim olim venationem
 Ornare, & haſtam, & lina, & calamos.

ΣΙΜΩΝΙΔΟΥ εἰς ἕτερον Πᾶνα.

Τὸν τραγόπουν ἐμὲ Πᾶνα, τὸν Ἀρκάδα, τὸν κατὰ Μήδων
 Τὸν μετ' Ἀθηναίων, στήσατο Μιλτιάδης.

SIMONIDÆ in alterum Pana. 84.

Hircinis pedibus me Pana Arcadem, contra Medos
 Poſt Athenienſes, poſuit Miltiades.

ΘΕΑΙΤΗΤΟΥ εἰς τὸν αὐτόν.

Ὑλοβάτας, φιλόδενδρος, ὀρεσαύλου πόσις ἀχοῦς,
 Παίσκοπος, βουκεράου μαλοφύλαξ ἀγέλας,
Παὶ ὁ δασυκνάμων, ὁ πολύσπορος, ὃς μετὰ μαστάς
 Ἔδραμον αἰχματᾶν ἐς δάϊν Ἀσσυρίων,
Μιλτιάδου στήσαντος ὁμάσπιδα περσοδιώκταν·
 Ἵσταμαι, ἀκλήτου ξείνια συμμαχίης.
Ἄλλοις ἀκροπόληες· ὁ μηδοφόνος δὲ δίδασι
 Ξυνὸς ἐμὶν Μαραθὼν καὶ Μαραθωνομάχοις.

THEÆTETI in eundem. 85.

In ſyluis ambulans, arboribus gaudens, in monte tibiâ canentis maritus Echus,
 Cuncta videns, bene cornuti cuſtos gregis,
Pan hirſutis pellibus, ſemine abundans, qui auxiliator
 Cucurri bellicoſorum in pugnam Aſſyriorum,
Miltiade ſtatuente commilitonum Perſarum ſectatorem:
 Sto, vltronei munera auxilij.
Aliis ſummæ arces: qui verò Perſas interemit, diuiſus eſt
 Socius mihi Marathō, & illis qui ad Marathonē pugnarunt.

ΦΙΛΟΔΗΜΟΥ εἰς ἕτερον ἄγαλμα Πανός.

Τρισσοὺς ἀθανάτους χωρεῖ λίθος. ἁ κεφαλὰ γὰρ
 Μανύει τραγόπουν Πᾶνα τὸν αἰγόκερων·
Στέρνα δὲ καὶ νηδὺς, Ἡρακλέα· λοιπὰ δὲ μηρῶν

Καὶ κνήμης Ἑρμῆς ὁ πτερόπους ἔλαχεν.
Θύειν δ' ἀρνήσῃ ξεῖνε μηκέτι. τοῦ γὰρ ἑνός σοι
Θύματος ἡ τρισσοὶ δαίμονες ἁπτόμεθα.

PHILODEMI in aliud simulacrum Panis. 86.

Ternos Deos includit lapis. Caput enim
Indicat manifestè Pana capricornum:
Pectus verò & aluus, Herculem: Reliqua verò femorum
Et tibiæ Hermes alatus sortitus est.
Sacrificare verò recusa hospes non amplius. Vnius enim tibi
Sacrificij tres dij coaptamur.

ΑΠΟΛΛΩΝΙΔΟΥ Σμυρναίου εἰς ἕτερον ἄγαλμα Πανός.

Ἀγροτέρων θεός εἰμι· τί μοι χρυσέοις δεπάεσσι
Σπένδετε; ποῦ δ' Ἰταλοῦ χεῖτε μέθυ Βρομίου;
Καὶ γυρούς ταύρων πέτρῃ προσδεῖτε τένοντας;
Φείσασθ'· οὐ τούτοις θύμασι τερπόμεθα.
Πὰν ὁ περιωρείτης, αὐτόξυλος, ἀρνεοθοίνης
Εἰμί, καὶ ἐγχθονίου γλευκοπότης κύλικος.

APOLLONII Smyrnæi in aliud simulacrum Panis. 87.

Rusticorum Deus sum: quid mihi aureis vasis
Sacrificatis? Quid autem Itali funditis vinum Bacchi?
Et rotundos taurorum aræ alligatis musculos?
Parcite: non talibus sacrificiis delectamur.
Pan montis latera incolens, ligneus, agnos in sacrificium adhibens
Sum, & patrij mustibiba calycis.

ΛΕΩΝΙΔΟΥ, οἱ δὲ ΠΕΡΙΤΟΥ εἰς ἄγαλμα Πριήπου.

Αὐτοῦ ἐφ' αἱμασιαῖσι ὁ ἀγρυπνοῦντα Πρίηπον
Ἔστησεν λαχάνων Δεινομένης φύλακα.
Ἀλλ' ὡς ἐντέταμαι, φὼρ ἔμβλεπε. τοῦτο δ' ἐρωτᾷς
Τῶν ὀλίγων λαχάνων εἵνεκα. τῶν ὀλίγων.

LEONIDÆ, vt alij PERITI in simulacrum Priapi. 88.

Suum ad sepem vigilantem Priapum
Statuit olerum Dinomenes custodem.

Sed vt erigat, fur intuêre: hoc verò quæris
Paucorum olerum causa? Paucorum.

ΤΥΜΝΕΩ εἰς τὸν αὐτόν.

Πάντα περιπτίζω κἂν ᾖ Κρόνος, οὐ διακρίνω
Οὐδένα φὼρ οὕτω ταῖσδε περὶ πρασιαῖς.
Ἔπρεπε μὴ λαχάνων ἕνεκεν τάδε καὶ κολοκυνθῶν
(Φήσει τις) με λέγειν ἔπρεπεν· ἀλλὰ λέγω.

ΤΥΜΝΕΙ in eundem. 89.

Omnia subigam: si etiam sit Iupiter, non discerno
Vllum. Fur sic *tractatur* in hoc horto.
Non oportebat hoc olerum & colocynthi causa
(Dicet aliquis) me dicere. Oportebat: sed dico.

ΛΟΥΚΙΑΝΟΥ εἰς ἕτερον Πρίηπον.

Εἰς κενόν με τέθεικε νόμου χάριν ὧδε Πρίηπον
Εὐτυχίδης, ξηρῶν κληματίδων φύλακα.
Καὶ περιβέβλημαι κρημνὸν βαθύν. ὃς δ' ἂν ἐπέλθῃ,
Οὐδὲν ἔχει κλέψαι πλὴν ἐμὲ τὸν φύλακα.

LVCIANI in alium Priapum. 90.

Frustra me posuit legis gratia huc Priapum
Eutychides, aridorum palmitum custodem.
Et amplector præcipitium profundum. Qui verò accesserit,
Nihil habeat quod furetur præter me custodem.

ΑΠΟΛΛΩΝΙΔΟΥ εἰς ἕτερον.

Ἄνθετ' Ἀναξαγόρης με τὸν οὐκ ἐπὶ ποσσὶ Πρίηπον,
Ἐν χθονὶ δ' ἀμφοτέρῳ γουνάτι κεκλιμένον.
Τεῦξε δὲ Φυρόμαχος· χαρίτων δέ μοι ἄγχοθι καλὴν
Ἀθρήσας, δίζευ μηκέτι πῶς ἔπεσον.

APOLLONIDÆ in alium. 91.

Posuit Anaxagoras me non erectum pedibus Priapum.
In terrâ vtroque genu inclinantem.
Fecit verò Phyromachus. è gratiis verò prope me pulchram
Intuens, ne quæras amplius quomodo ceciderim.

ΦΙΛΙΠΠΟΥ εἰς ἕτερον.

Ὡραίας

α Ὡραίας γ' ἐσορῶ τὰς ἰσχάδας. εἶτα λαβεῖν μοι
 Συγχωρεῖς ὀλίγας; β θίγῃς μηδεμιᾶς.
Ὀργίλος ὡς ὁ Πρίηπος ἐρεῖς, ἔτι καὶ κενὸς ἥξεις.
 α Ναὶ λίτομαι δός μοι· καὶ γὰρ ἐγὼ δέομαι.
β Χρήζεις γὰρ (λέγε μοι) παρ' ἐμοῦ τινός; ἔστι νόμος που,
 Δός, λάβε. α καὶ θεὸς ὢν ἀργυρίου σὺ γλίχῃ;
β Ἄλλου τι χρῆμα φιλῶ. α ποῖον τόδε; β τὰ μὰ κατέσθων
 Σῦκα, δὸς εὐθύμως ἰσχάδα τὴν ὄπισθεν.

PHILIPPI in alium. 92.

αTempestiuas video caricas nuces An accipere mihi
 Concedis paucas? βTange nullam.
Iracundus quomodo Priapus dices, adhuc & vacuus venies.
 αCertè precor da mihi. Nam ego indigeo.
βConsequeris enim (dic mihi) apud me quandã? Est lex vsquam,
 Da, accipe. αEt Deus existens argentum tu appetis.
βAliam rem amo. αquale hoc? βMeas comedens
 Ficus, da promptè podicem posterius.

ΑΡΓΕΝΤΑΡΙΟΥ εἰς τὸ αὐτό.

α Ὥριμος. β οἶδα καὶ αὐτὸς, ὁδοιπόρε. μηκέτ' ἐπαίνει
 Ἰσχάδα, μηδ' ἐσόρα τὸν πέλας ἀκρέμονα.
Καὶ λίην ὁ Πρίηπος ἐφίσταμαι ὀξὺ δεδορκὼς,
 Καὶ φυλακὴν σύκων τὴν ἐπέοικεν ἔχων.
Ἢν δὲ μόνον σὺ θίγῃς τῆς ἰσχάδος, ἰσχάδα δώσεις.
 Ὡς ἰσότης πάντων ἐστὶ δικαιοτάτη.

ARGENTARII in idem. 93.

αTempestiuus. βScio hoc & ipse, viator. Ne amplius lauda
 Caricas nuces, neque intuere vicinum ramum.
Et valde Priapus asto acutè videns,
 Et custodiam ficuum vt fas est habens.
Si verò tantummodo tu tangens caricem, podicem dabis.
 Velut æqualitas omnium est iustissima.

ΕΡΥΚΙΟΥ εἰς τὸν αὐτόν.

Ὡς βαρὺ τοῦτο Πρίηπε καὶ εὖ τετυλωμένον ὅπλον,

Μουνὴ θεσπεσίως πνεῦμα βαλοῦσα λίθῳ.
Εἰμὶ δὲ ταῖς νύμφαισιν ὁμέστιος· ἀντὶ δὲ τοῦ πρὶν
Πορφυρέου μέθυος, λαρὸν ὕδωρ προχέω.
Εὔκηλον δ' ἴθυνε φέρων πόδα, μὴ τάχα κοῦρον
Κινήσῃς ἁπαλῷ κώματι θελγόμενον.

PLATONIS in simulacrum Satyri in fonte stans, & in amorem dormientem. 96.

Bromij Satyrum fabrefecit ingeniosa manus,
Sola diuinitus spiritum immittens lapidi.
Sum verò Nymphis contubernalis: pro verò priore
Purpureo vino; gratam aquam profundo.
Quietus verò perge ferens pedem ne fortè amorem
Excites molli veterno delectatum.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Εἰμὶ μὲν εὐκεράοιο φίλος θεράπων Διονύσου,
Λείβω δ' ἀργυρέων ὕδατα ναϊάδων.
Θέλγω δ' ἠρεμέοντα νέον περὶ κώματι παῖδα.

Eiusdem in idem. 97.

Sum quidem bene cornuti amicus seruus Bacchi,
Libo verò argentearum aquas Naiadum.
Delecto verò quiescentem iuuenem veterno puerum.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ, εἰς εἰκόνα σατύρου πρὸς τῇ ἀκοῇ τὸν αὐλὸν ἔχοντος, καὶ ὥσπερ ἀκροωμένου.

Αὐτομάτως Σατυρίσκε δόναξ πῶς ἦχον ἰάλλει.
Ἢ τί παρακλίνας οὖας ἄγαν καλάμῳ;
Ὃς δὲ γελῶν σίγησεν· ἴσως δ' ἂν φθέγξατο μῦθον,
Ἀλλ' ὑπὸ τερπωλῆς εἴχετο ληθεδόνι.
Οὐ γὰρ κηρὸς ἔρυκεν· ἑκὼν δ' ἠσπάζετο σιγὴν,
Θυμὸν ὅλον τρέψας πηκτίδος ἀμφολίῃ.

AGATHII Scholastici in Imaginem Satyri propè aurem tibiam habentis, & tanquam audientis. 98.

Spontè Satyrisce fistula tua sonitum emittit.
Aut cur inclinans aures admoues calamo?
Qui verò ridens tacuit, fortasse dicet sermonem,
Sed præ dulcedine impeditur obliuione.
Non enim cera effudisset: spontè verò adamauit silentium,
Omnem animum aduertens fistulæ occupationi.

ΛΕΟΝΤΙΟΥ σχολαστικοῦ εἰς ἕτερον σάτυρον.

Τὸν σάτυρον Διόνυσος ἰδὼν τόσον ἄλγος ἔχοντα,
Καί μιν ἐποικτείρας, θήκατο λαΐνεον.
Ἀλλ' οὐδ' ὣς ἀπέληξε βαρυτλήτων ὀδυνάων·
Εἰσέτι γὰρ μύρεται καὶ λίθος ὢν ὁ τάλας.

LEONTII Scholastici in alium Satyrum. 99.

Satyrum Bacchus videns tantum dolorem habentem,
Ipsum miseratus, fecit lapideum,
Sed ne sic quidem remisit aliquid à grauissimis doloribus:
Adhuc enim luget & lapis existens, miser.

Εἰς ἕτερον σάτυρον.

Ἢ σάτυρος τὸν χαλκὸν ὑπέδραμεν, ἢ διὰ τέχνης
Χαλκὸς ἀναγκασθεὶς ἀμφεχύθη σατύρῳ.

In alium Satyrum. 100.

Aut Satyrus æs subiit, aut ob artem
Æs coactum circumfusum est ipsi satyro.

ΝΕΙΛΟΥ σχολαστικοῦ, εἰς εἰκόνα σατύρου ἀπὸ ψηφίδος, ἐν Ἀντιοχείᾳ.

"Πάντες μὲν σάτυροι, φιλοκέρτομοι· εἰπὲ δὲ καὶ σὺ
Τί πρὸς ἕκαστον ὁρῶν τόνδε γέλωτα χέεις;
"Θάμβος ἔχων, γελόω, πῶς ἐκ λίθου ἄλλοθεν ἄλλης
Συμφερτὸς, γενόμην ἐξαπίνης σάτυρος.

NILI Scholastici in imaginem Satyri ex lapillo in Antiochia. 101.

"Omnes quidem Satyri conuiciatores: dic verò & tu
Quid ad quemque videns hunc risum profundis?
"Stuporem habens admiror, quomodo ex lapide aliunde alio
Collatus, factus sum repentè Satyrus.

ΠΛΑΤΩΝΟΣ εἰς ἕτερον σάτυρον.

Τὸν σάτυρον Διόδωρος ἐκοίμισεν, οὐκ ἐτόρνευσεν.
  Ἢν νύξῃς, ἐγερεῖς· ἄργυρος ὕπνον ἔχει.

PLATONIS in alium Satyrum. 102.

Satyrum Diodorus in soporem dedit, non tornauit.
  Si pungas, excitabis: aurum hoc somnum habet.

ΑΝΥΤΗΣ.

Κύπριδος οὗτος ὁ χῶρος, ἐπεὶ φίλον ἔπλετο τήνα
  Αἰὲν ἀπ' ἠπείρου λαμπρὸν ὁρᾶν πέλαγος,
Ὄφρα φίλον ναύταισι τελῇ πλόον, ἀμφὶ δὲ πόντος
  Δειμαίνῃ, λιπαρὸν δερκόμενος ξόανον.

ANYTES. 103.

Cypridos hæc regio, cùm gratum fuit illi
  Semper à continenti splendidum videre pelagus,
Vt gratam nautis perficiat nauigationem, circum verò pontus
  Formidat, nitidum videns simulacrum.

Εἰς τὸ αὐτό.

Τίπτε μόθων ἄτλητος Ἐνυαλίοιο λέλογχας
  Κύπρι; τίς ὁ ψεύσας ζυγὰ καθῆψε μάτην;
Ἔντεά σοι γὰρ ἔρωτες ἐφίμεροι, αἵ τε κατ' εὐνὰς
  Τέρψιες, καὶ κροτάλων θηλυμανεῖς ὄτοβοι·
Δούρατα δ' αἱματόεντα μέθες Τριτωνίδι δίᾳ
  Ταῦτα· σὺ δ' εὐχαίτην εἰς Ὑμέναιον ἴθι.

In idem. 104.

Quid bellorum intolerabilis Martis consecuta es *arma*
  Venus? Quis mendax arma adaptauit frustra?
Arma enim tibi amores sunt desiderabiles, & ad concubitum
  Voluptates, & crepitaculorum mulierum insani strepitus.
Hastas verò sanguineas relinque Tritonidi diuæ
  Has: tu verò bene comatum ad Hymenęum vade.

Εἰς τὸ αὐτό.

Δερκόμενος ξόανον καλὸν τόδε, τὴν Ἀφροδίτην

Demonstrans quòd fortior ignis igne sit amor.

Εἰς τὸν αὐτόν.

Πτολμᾷ πλασὸν ἔρωτα τὸν αἴτιον ἔπλασ' ἔρωτι
 Α νέμεσις, τόξῳ τόξον ἀμειβομένα,
Ὡς κε πάθῃ τά κ' ἔρεξεν. ὁ δ' ὁ θρασὺς, ὁ πρὶν ἀταρβὴς
 Δακρύει, πικρῶν γευσάμενος βελέων.
Ες δ' βαθὺν τρὶς κόλπον ἀπέπτυσεν. ἆ, μέγα θαῦμα,
 Φλέξει τὶς πυρὶ πῦρ; ἥψατ' ἔρωτος ἔρως.

In eundem. 109.

Alato alatum amorem contra formauit amori
 Nemesis, arcu arcum vlciscens,
Vt patiatur quæ fecit. Qui verò audax, & priùs imperterritus
 Lacrumatur, acerba sentiens spicula.
In profundum verò ter sinum inspuit. Hei, magnũ miraculum,
 Comburet quis igni ignem? Tetigit amorem amor.

Εἰς τὸν αὐτόν.

Κἀγὼ Κύπριδός αἷμα· κασιγνήτῳ δέ με μήτηρ
 Ηἶεσε τόξα φέρειν ἀντία καὶ πτέρυγας.

In eundem. 110.

Et ego Veneris sum sanguis: fratrem verò me mater
 Voluit arcus ferre contra, & alas.

Εἰς Ἄρτεμιν.

Ἄρτεμι, ποῦ σοι τόξα, παραυχενίη τε φαρέτρη,
 Ποῦ δὲ λυκαστείων ἐνδρομὶς ἀρβυλίδων;
Πόρπη τε χρυσοῖο τετυγμένη, ἠδὲ πρὸς ἄκρην
 Ιγνὺν φοίνιξ πέπλος ἑλισσόμενος;
Κεῖνα μὲν εἰς ἄγρην ὁπλίζομαι, ἐς δὲ θυηλὰς
 Εἶμ' αὔτως, ἱρῶν ἀντιμένων θυέων.

In Artemin. 111.

Artemi, vbi tibi est arcus, & in humero pharetra,
 Vbi verò Cretensium endromis calciamentorum?
Et fibula auro facta, & ad summum
 Poplitem ruber peplus tractus?

b Illis quidem in venatione armor: ceterùm in sacra
Sum hoc modo, sacris occurrens sacrificiis.

Εἰς τὴν αὐτήν.

Ἄρτεμις, ἣ Γόργοιο φύλαξ κτεάνων τε καὶ ἀγροῦ,
Τόξῳ μὲν κλῶπας βάλλε, σάω δὲ φίλους·
Καί σοι ἐπιρρέξει Γόργος χιμάροιο νομαίης
Αἷμα, καὶ ὡραίους ἄρνας ἐπὶ προθύροις.

In eandem. 112.

Artemi, Gorgi custos opum & agri,
Arcu quidem fures percute, serua verò amicos:
Et tibi in sacrificium dabit Gorgus capræ pascentis
Sanguinem, & tempestiuos masculos in vestibulo tuo.

ΑΝΥΤΗΣ εἰς Ἑρμῆν.

Ἑρμᾶς τᾷδ' ἕστακα παρ' ὄρχατον ἠνεμόεντα
Ἐν τριόδοις, πολιᾶς ἐγγύθεν ἀϊόνος,
Ἀνδράσι κεκμηῶσιν ἔχων ἄμπαυσιν ὁδοῖο·
Ψυχρὸν δ' ἀκραεῖ κράνα ὑποϊάχει.

ANYTÆ in Mercurium. 113.

Hermes hîc sto ad hortum ventosum
In triuiis, canum prope littus,
Viris laborantibus habens requiem viæ:
Frigida à bene temperato fonte subterstrepit.

Εἰς τὸν αὐτόν.

Ἱερὸν Ἑρμείῃ με παραστείχοντες ἔχευαν
Ἄνθρωποι λίθινον σωρόν. ὁ δ' ἀντ' ὀλίγης
Οὐ μεγάλην αὐτοῖς ἔγνων χάριν, ἀλλ' ὅτι λοιπὰ
Αἰγὸς ἐπὶ κρήνην ἑπτὰ λέγω στάδια.

In eundem. 114.

Sacrum Mercurio me prætereuntes fuderunt
Homines lapidum congeriem. Hic verò pro pauca
Non magnam ipsis habuit gratiam: sed quòd reliqua
Ad Capræ fontem septem dico stadia.

Εἰς τὸν αὐτόν.

Οὗτα

Ὁδῖτα, μὴ προσέρπε πρὸς τὰ κλήματα,
Μηδ' αὖ τὰ μῆλα, μηδ' ὅπη τὰ μέσπιλα
Τηνίδε πρὸς τὴν χοῖνον ἐξαμείβεο,
Ὡς μή τι θράξῃς τῶνδε, μηδ' ἀποθρίσῃς,
Ἃ σὺν πόνῳ φυτουργὸς ἔκτηται Μίδων,
Ὅς κἀμὲ θῆκεν. ἢν δὲ μου παρακλύῃς,
Γνώσῃ τὸν Ἑρμῆν, ὡς κακοὺς ἀμείβομαι.

In eundem. 115.

Viator ne accedas ad palmites,
Neque rurſus poma, neque vbi ſunt meſpila
Ad illam terræ menſuram exi,
Ne quid moleſtes horum, neque conteras,
Quæ cum labore hortulanus poſſidet Midon,
Qui & me poſuit. Si verò mihi non obedis
Cognoſces Mercurium, quomodo malos vlciſcar.

Εἰς τὸν αὐτόν.

Ὀρθινεὸν τὸν χῶρον ἔχω καὶ ἔρημον ὁδῖτα·
Οὐκ ἐγὼ, ὁ στάσας δ' αἴτιος Ἀρχέλοχος.
Οὐ γὰρ ὀρειοχαρὴς ὦ 'ρμᾶς, οὐδ' ἀκρολοφίτας,
Τὸ πλεῦν δ' ἀτραπιτοῖς ὥνερ ἀρεσκόμενος·
Ἀρχέλοχος δ', ὡς αὐτὸς ἐρημοφίλας καὶ ἀγείτων,
Ὦ παριὼν, τοῖον κἀμὲ παρῳκίσατο.

In eundem. 116.

Cliuoſam regionem habeo & deſertam, viator:
Non ego, ſed qui me poſuit huius cauſa eſt, Archelochus.
Non enim montibus gaudeo Hermes, nec in collibus verſor ſummis,
Sed vt plurimum itineribus delector.
Archelochus verò vt ipſe ſolitudine delectatur ſine vicinis,
O preteriens, talem & me habitare fecit.

Εἰς Διόνυσον.

Ἐκ πυρὸς ὦ Διόνυσε τοδοῦ τέγος, ἡνίκα χαλκῷ
Ἐξεφαίνης, ἀγρείην εὗρε Μύρων ἑτέρην.

In Bacchum. 117.

Ex igne Bacche iterum, quando ex ære
Apparuisti, generationem inuenit Myron aliam.

Εἰς Πᾶνα.

Κρημνοβάτην, δίκερων, νυμφῶν ἡγήτορα Πᾶνα
Αζόμεθ', ὃς πέτρινον τόνδε κέκευθε δόμον,
Ιλαον ἔμμεναι ἄμμιν, ὅσοι λίβα τήνδε μολόντες
Αενάου πόματος δίψαν ἀπωσάμεθα.

In Pana. 118.

Præcipitia ſcandentem, bicornem, Nympharum ductoré Pana
Veneramur, qui petrinam hanc inhabitat domum,
Benignum eſſe nobis qui ſalientem aquam hanc prætereuntes
Perennis potus ſitim auferimus.

ΜΑΙΚΙΟΥ εἰς τὸν αὐτόν.

Εὐπέταλον γλαυκὰν ἀναδενδράδα τήνδε παρ' ἄκραις
Ιδρυνθεὶς λοφιαῖς Πὰν ὅδ' ἐπισκοπέω.
Εἰ δέ σε πορφύροντος ἔχει πόθος, ὦ παροδῖτα,
Βότρυος, οὐ φθονέω γαστρὶ χαριζομένῳ·
Ην δὲ χερὶ ψαύσῃς κλοπίῃ μόνον, αὐτίκα δέξῃ
Αζαλέην βάκτρου τήνδε καρηβαρίην.

MÆCII in eundem. 119.

Frondoſum glaucum arbuſtum hunc prope ſummas
Collocatus eminentias Pan ego intueor.
Si verò te purpureæ habet deſiderium, ô viator,
Vuæ, non inuideo ventri gratificanti:
Sin verò manu tangas furtiua ſolum, ſtatim accipies
Siccam baculi perturbationem capitis.

Εἰς τὸν αὐτόν.

Δικτυνῖνης τοῖόν με καθ' ἱερὸν ἔμπυρον ὁ Κρὴς
Χάλκεον ἔστησεν Πᾶνα τὸν αἰγόνυχα.
Δέρμα δ' ἔχω διπλοῦν τι λαγωβόλον· ἐκ δέ γε πέτρας
Σπήλυγγος τείνω βλέμμα διπλοῦν πρὸς ὄρος.

In eundem. 120.

Dictynnæ talem me iuxta templum ignitum Cretensis
Æreum statuit Pana caprinas vngulas habentem.
Pellem verò habeo,& duplex lignum quo lepores peto: ex petrę verò
Spelunca intendo oculos duos ad montem.

Εἰς τὸν αὐτόν.

Γλύπτης ἐκ Παρίης με πόλιν κατὰ Παλλάδος ἄκρην
Στῆσαν Ἀθηναῖοι Πᾶνα τροπαιοφόρον.

In eundem. 121.

Ex lapide Pario me vrbem ad Palladis summam
Constituerunt Athenienses Pana triumphantem.

Εἰς τὸν αὐτόν.

Ἢν λαχάνων σ' ὁ Πρίηπος ἴδω σχεδὸν ἴχνια θέντα,
Αὐτῇ γυμνώσω φῶρ σε ποτὶ πρασιῇ.
Αἰσχρὸν ἔχειν τοῦτ' ἔργον ἐρεῖς θεόν; οἶδα καὶ αὐτὸς
Αἰσχρόν· ἀφιδρυώθην δ' ἴσθ' ὅτι τοῦδε χάριν.

In eundem. 122.

Cùm ad olera te Priapus video propius vestigia figentem,
Hanc denudabo fur te ad aream.
Turpe habere hoc opus dicis deum:scio & ipse
Turpe:positus autem quòd sim scias hac causâ.

ΛΕΩΝΙΔΟΥ εἰς τὸν αὐτόν.

Ἀμφοτέραις παρ' ὁδοῖσι φύλαξ ἕστηκα Πρίηπος,
Ἰθυτενὲς μηρῶν ὀρθιάσας ῥόπαλον.
Εἵσατο γὰρ πιστόν με Θεόκριτος· ἀλλ' ἀποτηλοῦ
Φὼρ ἴθι, μὴ κλαύσῃς τὴν φλέβα δεξάμενος.

LEONIDÆ in eundem. 123.

Vtraque in via custos steti Priapus,
Fortiter femorum extendens veretrum.
Posuit enim me fidelem Theocritus: sed procul
Fur abito,ne clames hac venâ acceptâ.

Ἄδηλον.

Ὁ τραγόπους, ὁ τὸν ἀσκὸν ἐπηρμένος, αἵ τι γλῶσσαι

Νύμφαι Πραξιτέλους, ἥ τε καλὴ Δανάη,
Λύγδινα πάντα καὶ ἄκρα, σοφαὶ χέρες. αὐτὸς ὁ μῶμος
Φθέγξεται, ἄκρητος Ζεῦ πάτερ ἡ σοφίη.

Incerti. 124.

Hircinis pedibus ventrem attollens, & ridentes
Nymphæ Praxitelis & pulchra Danaë,
E lygdino lapide omnia & sũma, sapiẽtes manus: ipse momus
Dicet, irreprehensibilis Iupiter pater hæc sapientia.

Εἰς Νέμεσιν.

Καί με λίθον Πέρσαι δεῦρ' ἤγαγον, ὄφρα τρόπαιον
Στήσωνται νίκας· εἰμὶ δὲ νῦν Νέμεσις.
Ἀμφοτέροις δ' ἕστηκα, καὶ Ἕλλησιν τρόπαιον
Νίκας, καὶ Πέρσαις τοῦ πολέμου νέμεσις.

In Nemesin. 125.

Et me lapidem Persæ huc tulerunt, vt tropæum
Statuerent victoriæ: sum verò nunc Nemesis.
Vtrisque autem positus sum, & Græcis tropæum
Victoriæ, & Persis belli Nemesis.

Ἄδηλον.

Ἴσιδι καρποτόκῳ, ταχυμήτορι, μυριομόρφῳ,
Λαϊνέῳ ταλάρῳ, μόχθων ἀπάνευθεν ἀρότρων,
Αὐτόματοι στείχουσιν ἑὴν πρὸς μητέρα καρποί.

Incerti. 126.

Isidi fructiferæ, citæ matri, variæ formæ,
Cum lapideo calatho, laboriosis sine aratris,
Spontè accedunt suam ad matrem fructus.

Εἰς ἄγαλμα νυμφῶν.

Ταῖς νύμφαις τόδ' ἄγαλμα· μέλοι δ' αὐταῖσιν ὁ χῶρος·
Ναὶ μέλοι, ὡς κρήναις ἄφθιτα ῥεῖθρα ῥέοι.

In simulacrum Nympharum. 127.

Nympharum hoc est simulacrum. Curæ verò est illis regio:
Certè curæ, vt fontibus perennia flumina fluant.

Εἰς τὸν Μῶμον.

Τίς τὸν ἐν ἐσθλοῖσι πάντα πανταπιθῆα καὶ πειθάλαστον

Μῶμον ἀμωμήτοις χερσὶν ἀπεπλάσατο;
Ὡς ὁ γέρων ἐπὶ γᾶς βεβλημένος, οἷά τις ἔμπνους,
Ἀμπαύει λύπας, γυῖα βαρυνόμενος.
Μανύει δίστιχος ὀλέτειρος ὄγμος ὀδόντων,
Πειομένων ἐπὶ ταῖς τῶν πέλας εὐτυχίαις.

In Momum. 128.

Quis in bonis valde dolentem & insigniter dolore adfectum
Momum irreprehensibilibus manibus formauit?
Vt senex in terram proiectus, vt quispiam mortuus,
Requiescere facit dolores, membra grauatus.
Indicat duorum ordinum perdita series dentium,
Constrictorum vicinorum felicitates.

Εἰς τὸν αὐτόν.

Τίς τὸν ἐν ἐσθλοῖσιν πολυπενθέα καὶ περισάλγετιν
Μῶμον ἀμωμήτοις χερσὶν ἀπεπλάσατο;
Καὶ τὸ κατεσκληκὸς κείνου βάρος; ᾇ μὲν ἐρείδει
Ψιλὸν γηραιᾷ χειρὶ βαλὼν κρόταφον·
Ἃ δὲ, σεσηρὼς βάκτρον ἀποσπείζεται ἐς γᾶν,
Κωφὰ πρὸς ἄψυχον πέτρον ἀπεχθόμενος.

In eundem. 129.

Quis in bonis valde dolentem & insigni dolore adfectum
Reprehensorem, irreprehensibilibus formauit manibus?
Et hoc aridum eius corpus? Alterâ quidem fulcit
Depilatum senili manu coniiciens caput:
Altera dentibus frendens baculum proiecit in terram,
Mutum inanimatum lapidem odio habens.

Ἄδηλον.

Τάκεο δυστάνων ὀνύχων ἄπο παμφάγε Μῶμε,
Τάκεο σὺ πρίων ἰοβόλους γένυας.
Νεῦρά σε μανύει τετολυσμένα, καὶ φλέβες ἄρθρων,
Καὶ κενεὰ σαρκῶν ψυχολιπὴς δύναμις.
Καὶ ῥικνοῖς φρίσσουσα περὶ κροτάφοισιν ἔθειρα.

Ὥστε, τίς ἔμψυχον ἀνδρόσπινιν αὖνσε τέχνα,
Οὐδὲ τόπον δήκτα σοῖο λιπὼν στόματι;

Incerti. 130.

Contabesce vsque ab infelicib. vnguibus, omnia vorans mome,
Contabesce stridens venenales maxillas.
Nerui te indicant intensi, & venæ neruorum,
Et vana carnis vitam relinquens potentia.
Et rugosis horrentes in temporibus capilli.

Vt, quæ viuum hominibus nocentem absoluit ars,
Neque locum tuo mordenti reliquit ori.

ΠΕΡΣΟΥ.

Κἀμὲ τὸν ἐν σμικροῖς ὀλίγον θεὸν ἢν ἐπιβώσῃ,
Εὐκαίρως τεύξῃ· μὴ μεγάλων δὲ γλίχου.
Ὡς ὅτι δημογέρων δύναται θεὸς ἀνδρὶ πένητι
Δωρήσασθαι, τούτων κύριός εἰμι τυχόν.

PERSÆ. 131.

Et me in paruis magnum deum si accedas,
Tempestiuè consequeris: ne verò magna appetas.
Nam qui in populo honoratus potest Deus viro pauperi
Largiri, horum dominus sum fortè.

ΛΕΩΝΙΔΟΥ.

Ὑλοφόρου τόδ' ἄγαλμα ὁδοιπόρε Μικαλίωνος·
Ἑρμῆς δ' ἀλλ' ἴδε τὸν χρήγυον ὑλοφόρον,
Ὡς ἐξ οἰζυρῆς ἠπίστατο δωροδοκῆσαι
Ἐργασίης. αἰεὶ δ' ὠγαθὸς, ἐς τ' ἀγαθός.

LEONIDÆ. 132.

Calonis hoc simulacrum, viator, Mycalionis:
Mercurius verò vidit bonum calonem,
Quomodo ex laboriosa credidit munera consequi *à diis*
Operatione. Semper verò bonus, est bonus.

ΕΙΣ ΙΑΤΡΩΝ ΕΙΚΟΝΑΣ, κεφ. ιγ´

ΣΥΝΕΣΙΟΥ σχολαστικοῦ εἰς εἰκόνα Ἱπποκράτους.

[a]Ὁππόθεν ὁ στήσας; [b]Βυζάντιος. [a]οὔνομα δὴ τίς;
[b]Εὐσέβιος. [a]σὺ δὲ, τίς; [b]Κῷος Ἱπποκράτης.
[a]Τοῦ δὴ ἕνεκεν γέγραφέν σε; [b]λόγων χάριν ἡ πόλις αὐτῷ
Τῶν ἐς ἐμὲ γραφίδων ἀντιδέδωκε γέρας.
[a]Καὶ τί μὴ αὐτὸς ἐὸν τύπον ἔγραφεν; [b]ὅττι γεραίρων
Ἡμέας ἀνθ᾽ αὑτοῦ, κρέσσονα δόξαν ἔχει.

IN MEDICORVM IMAGINES, Cap. XIII.

SYNESII scholastici in imaginem Hippocratis.. 1.

[a]Cuias qui statuit? [b]Byzantius. [a]Nomine quisnam?
[b]Eusebius. [a]Tu qui es? [b]Coïus Hippocrates.
[a]Cuius te pinxit causâ? [b]Ob sermones hæc vrbs ipsi
Huius meæ picturæ retribuit præmium.
[a]At quid non ipse suam imaginem depinxit? [b]Quòd recolens
Nos præ se maiorem gloriam habet.

Ἄδηλον εἰς τὸν αὐτόν.

Ἢ τεὴν φωνὴν Ἱπποκράτης ἔγραφε Παιάν,
Ἢ σὺ τῆς κείνου μάρτυς ἀκεστορίης.

Incerti in eundem. 2.

Vel tuam vocem Hippocrates pinxit Pæan,
Vel tu illius testis es medicinæ.

Εἰς τὸν αὐτόν.

Οὗτος ἀκεστορίης κρυφίας ὤϊξε κελεύθους
Παιήων μερόπων Κῷος Ἱπποκράτης.

In eundem. 3.

Hic medicinæ absconditas aperuit vias
Pęeûm hominum Coïus Hippocrates.

ΜΑΓΝΟΥ ἰατροῦ εἰς εἰκόνα Γαληνοῦ.

Ἦν χρόνος ἡνίκα γαῖα βροτοὺς διὰ σεῖο Γαληνὲ
Δέξατο μὲν θνητοὺς, ἔτρεφε δ' ἀθανάτους·
Χήρευεν δὲ μέλαθρα πολυκλαύτου Ἀχέροντος,
Σῇ παιωνίῃ χειρὶ βιαζόμενα.

MAGNI Medici in imaginem Galeni. 4.

Erat tempus cùm terra mortales ob te, Galene,
Demonstrauit quidem mortales, nutriuit verò immortales.
Viduatæ verò sunt domus valde deflendi Acherontis,
Tua pæoniâ manu coactæ.

Ἀδέσποτον εἰς Σώσανδρον ἱππίατρον.

Ἰητὴρ μερόπων Ἱπποκράτης, ἀλλὰ καὶ ἵππων
Σώσανδρε κρυφίης ἴστορ ἀκεστορίης·
Ἢ τέχνην μετάμειψον, ἢ οὔνομα· μηδὲ καλείσθω
Ἄτερος ἐκ τέχνης ἧς ἕτερος κρατέει.

Incerti in Sosandrum equorum medicum. 5.

Medicus hominum Hippocrates, verùm equorum
Sosander obscuræ perite medicinæ.
Vel artem permuta, vel nomen: neque vocetur
Alius ex arte quam alter exercet.

ΛΕΟΝΤΙΟΥ σχολαστικοῦ εἰς εἰκόνα Ἰαμβλίχου ἰατροῦ.

Ὁ γλυκὺς ἐν πάντεσσιν Ἰάμβλιχος, ὃς ποτὶ γῆρας
Ἤλυθεν ἁγνὸς ἐὼν Κυπριδίων ὀάρων·
Ἔργα δ' ἀκεστορίης ἐφέπων, σοφίην τε διδάσκων,
Κέρδεσιν οὐδ' ὁσίοις χεῖρας ὑπεστόρεσεν.

LEONTII scholastici in imaginem Iamblichi medici. 6.

Suauis in omnibus Iamblichus, qui ad senectutem
Venit purus existens à concubitu Venereo:
Opus verò medicinæ persequens, & sapientiam docens,
Lucro ne sancto quidem manum supposuit.

ΚΡΙΝΑΓΟΡΟΥ εἰς εἰκόνα Πραξαγόρου ἰατροῦ.

Αὐτός σοι Φοίβοιο πάϊς ληθηκηδέα τέχνης

Ἰδμοσύνην

Ἰδμοσύνην, παλάμῃ χεῖρα λιπηνάμενος,
Πρηξαγόρη, στέρνοις ἐνεμάξατο· τοιγὰρ ἀνίαι
Ὄρνυνται δολιχῶν ὁππόσαι ἐκ πυρετῶν,
Καὶ ὁπόσα τμηθέντος ἐπὶ χροὸς ἄρκια θεῖναι
Φάρμακα, πρηείης οἶδας παρ' Ἠπιόνης.
Θνητοῖσιν δ' εἰ τοῖοι ἐπήρκεον ἰητῆρες,
Οὐκ ἂν ἐπορθμεύθη νεκροβαρὴς ἄκατος

CRINAGORÆ in imaginem Praxagoræ Medici. 7.

Ipſe tibi Phœbi filius curarum obliuionem inducentem artis
Scientiam panacæ manibus inungens,
Praxagora, pectori intinxit: cui enim dolores
Concitantur longis quicunque ex febribus,
Et quæcunque vulnerato in corpore ſufficit imponere
Remedia, à leni didiciſti Epionâ.
Mortalibus verò ſi tales ſuppeterent medici,
Non traiiceret mortuis grauis nauis.

Εἰς Ὀρειβάσιον ἰατρόν.

Ἰητὴρ μέγας οὗτος Ἰουλιανοῦ βασιλῆος
Ἄξιος εὐσεβίης δῖος Ὀρειβάσιος.
Εἶχε γὰρ οἷα μέλισσα σοφὸν νόον, ἄλλοθεν ἄλλα
Ἰητρῶν προτέρων ἄνθεα δρεψάμενος.

In Oribaſium medicum. 8.

Medicus magnus hic Iuliani regis
Dignus pietate diuinus Oribaſius.
Habuit enim vt apes ſapientem mentem, aliunde alias
Medicorum priorum flores decerpens.

ΕΙΣ ΤΟΝ ΚΑΙΡΟΝ κεφ. ιδʹ

ΠΟΣΕΙΔΙΠΠΟΥ εἰς ἄγαλμα τοῦ καιροῦ.

α Τίς, πόθεν ὁ πλάστης; β Σικυώνιος. α οὔνομα δὴ τίς;
β Λύσιππος. α σὺ δὲ, τίς; β καιρὸς ὁ πανδαμάτωρ.

Τίπτε δ' ἐπ' ἄκρα βέβηκας; ἀεὶ τροχάω. τί δὲ ταρσοὺς
 Ποσσὶν ἔχεις διφυεῖς; ἵπταμ' ὑπηνέμιος.
Χειρὶ δὲ δεξιτερῇ τί φέρεις ξυρόν; ἀνδράσι δεῖγμα
 Ὡς ἀκμῆς πάσης ὀξύτερος τελέθω.
Ἡ δὲ κόμη, τί κατ' ὄψιν, ὑπαντιάσαντι λαβέσθαι.
 Νὴ Δία τἀξόπιθεν πρὸς τί φαλακρὰ πέλει;
Τὸν γὰρ ἅπαξ πτηνοῖσι παραθρέξαντά με ποσσὶν,
 Οὔτις ἔθ' ἱμείρων δράξεται ἐξόπιθεν.
Τοῖον ὁ τεχνίτης με διέπλασεν εἵνεκεν ὑμέων
 Ξεῖνε, καὶ ἐν προθύροις θῆκε διδασκαλίην.

IN OCCASIONEM, Cap. XII.

Posidippi in imaginem occasionis. I.

α Vnde & quis fictor? β Sicyonæ. α At nomine quisnam?
 β Lysippus. α Tu quæ? β occasio cuncta domans.
α Quid summo insistis pede. β Curro vsque. α At duo plantis
 Cur talaria habes. β Vt leuis aura volo.
α At quid dextra nouaculum habet? β Mortalibus index
 Vel quâuis acie sim quòd acuta magis.
α Quid demissa à fronte coma? β Obuius vt capiat me.
 α Per Iouem: at à tergo quid sibi caluities?
β Nempe simul pedibus quem prætercurro citatis
 Nemo volens me à tergo amplius arripiet.
Ob vos me talem sculptor formauerat, hospes,
 Vtque alios doctam vestibulo imposuit.

ΕΙΣ ΚΗΠΟΥΣ, κεφ. ιε.

ΠΑΥΛΟΥ σιλεντιαρίου εἰς κῆπον παράλιον.

Πόντος ὑποκλύζει χθονὸς ἕδραν· ἄπλωτα δὲ χέρσου
 Νῶτα θαλασσαίοις ἄλσεσι τηλεθάει.
Ὡς σοφὸς ὅστις ἔμιξε βυθὸν χθονὶ, φύκια κήποις,

Νηϊάδων παρὰ χοαῖς χεύματα νηρεΐδων.

IN HORTOS, Cap. XV.

PAVLI silentiarij in hortum prope mare. 1.

Pontus inundat terræ fundamentum. Innauigabilia v. littoris
Dorsa marinis nemoribus florent.
Quàm sapiens quisquis commiscuit mare terræ, algam hortis,
Naïadum profusionibus fluctus Nereidum.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ενθάδ' ἐριδμαίνουσι τίνος πλέον ἔπλετο χῶρος
Νύμφαι Νηϊάδες, Νηρεΐδες, Ἀδρυάδες.
Ταῖσδε θέμιστ' οὐ μέσσατη χάρις· οὐδὲ δικάζειν
Οἶδεν, ἐπεὶ ξυνὴν τέρψιν ὁ χῶρος ἔχει.

Eiusdem in idem. 2.

Hîc contendunt quarum potissimum sit hic locus
Nymphæ Naïades, Nereïdes, Dryades.
His verò ius dicit media gratia: neque iudicare
Nouit, cùm communem delectationem hic locus habeat.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ εἰς τὸ αὐτό.

Εἶξον ἐμοὶ δάφνης ἱερὸν κλέτας, ἔκτοθι πόντου
Κείμενον, ἀγραύλου κάλλος ἐρημοσύνας.
Ενθάδε γὰρ νύμφαι δενδρίτιδες, αἵ τ' ἐνὶ πόντῳ
Νηρεΐδες, ξυνὸν θέντο συνηλυσίην.
Αμφ' ἐμὲ γὰρ μάρναντο· δίκασσε δὲ κυανοχαίτης,
Καί με παρ' ἀμφοτέραις μέσσον ἔθηκεν ὅρον.

AGATHII scholastici in idem. 3.

Communis mihi lauri sacra montis summitas, extra mare
Iacens, agrestis pulchritudo deserti:
Hîc Nymphæ arboreæ, & quæ in ponto
Nereïdes, communem posuerunt conuentum.
Ob me enim pugnant: indicat verò ceruleos crines habens,
Et me vtriusque medium posuit terminum.

Εἰς κῆπον ἔρωτα περισταγρευόμενον.

Οὐ μέγας οὐδ' ὁ Ἔρως, ἀλλ' εὔχαρις· ὡς καὶ ἐγώ τοι
　Οὐ μέγας ἐν κήποις, ἀλλὰ γέμω χαρίτων.

In hortum amorem compellantem. 4.

Non magnus, neque ipse Cupido sed gratiosus: vt & ego sanè
　Nan magnus in hortis, sed abundo gratiis.

Εἰς κῆπον παρὰ θάλατταν, ἐν ᾧ ἦν καὶ λουτρὸν, ἐν Ἀντιοχείᾳ.

Τὰς τρεῖς μοι λεύσσεις Χάριτας ξένε. Ποντομέδων γὰρ
　Γείτονος ἐκ πόντου τὴν μίαν εἰργάσατο·
Τὴν δ' ἑτέρην ἐτέλεσσε φυτῶν εὔκαρπος ἀλωή·
　Τὴν δ' ὑπολειπομένην τοῦτο τὸ λουτρὸν ἔχει.

In hortum propè mare, in quo erat & lauacrum in Antiochiâ. 5.

Tres vides Charites hospes, Neptunus enim
　Vicino ex ponto vnam absoluit:
Aliam perfecit arborum fructuosa area:
　Et reliquam hoc lauacrum habet.

ΕΙΣ ΚΙΘΑΡΩΔΟΥΣ, κεφ. ιϛ.

Εἰς ἄγαλμα Εὐνομίου τοῦ κιθαριστοῦ ἑστῶτος ἐν Δελφοῖς.

Εὔνομον ὦ 'Πολλον σὺ μὲν οἶσθά με πῶς ποτ' ἐνίκων·
　Σπάρτιν ὁ Λοκρὸς ἐγὼ παρθεμένοις δ' ἐρέω.
Αἰόλον ἐν κιθάρᾳ νόμον ἔκρεκον· ἐν δὲ μεσεύσᾳ
　Ὠδᾷ μοι χορδὴν πλᾶκτρον ἀπεκρέμασεν·
Καί μοι φθόγγον ἑτοῖμον ἐπιμύκοντος ἐς ἀπήτει.
　Εἰς ἀκοὰς ῥυθμῶν τοὐντρεχὲς οὐκ ἔμενεν·
Καί τις ἀπ' αὐτομάτου κιθάρας ἐπὶ πῆχυν ἀΐξας
　Τέττιξ ἐπλήρου τοὐντρεχὲς ἁρμονίης.
Νεῦρα γὰρ ἐξετίνασσεν ἐπ' ἑβδομάτας δὲ μενοίμαν
　Χορδᾶς, καὶ τοῦτο γῆρυν ἐκιχράμεθα.
Πρὸς γὰρ ἐμὰν μετέβη ὁ μεσαμβρινὸς οὔρεσιν ᾠδὸς
　Τὴν ὁ τὸ ποιμενικὸν φθέγμα μεθηρμόσατο.

Καὶ μὲν ἔκα φθέγξοιτο, σὺν ἀψύχοις τόκα νευραῖς,
Τῷ μεταβαλλομένῳ συμμετέπιπτε θεῷ.
Τοὔνεκα συμφώνων μὲν ἐγὼ χάριν· ὃς δ' ὁ τυπωθεὶς
Χάλκεος ἀμετέρας ἕζεθ' ὑπὲρ κιθάρας.

IN CITHAROEDOS, Cap. XVI.

In Imaginem Eunomij Citharœdi ſtantis in Delphis. 1.

Eunòmon, ô Apollo, tu quidem noſti me, quomodo olim vici
Spartin, Locrus ego: interrogans verò dico.
Variam in cithara legem plectro pulſaui: in medio verò
Cantu mihi chordam plectrum fregit:
Et mihi ſonum paratum qualem tempus poſtulabat
Auribus rhythmorum reuera non exſpectauit:
Nam fortuitò quædam citharæ ad verticillos aſtans
Cicada impleuit veritatem concentus.
Neruum enim excuſſerat: cùm autem ſeptimam vellem
Chordam, tum etiam voce vtebamur.
Ad meam enim meditatam cantionem meridianus cantor in montibus
Illum paſtoralem ſonitum ſuum applicabat.
Et quidem quando ſonabat cum inanimatis tunc neruis,
Conuerſo concordabat ſono.
Propterea concordantiæ quidem ego gratiâ: itaque formatus
Æreus veſtra ſedeo ſuper citharâ.

ΒΙΑΝΟΡΟΣ εἰς εἰκόνα Ἀρίονος τοῦ κιθαρῳδοῦ.

Ἔστησεν Περίανδρος Ἀρίονος εἰκόνα ταύτην,
Καὶ τὸν ἀπολλυμένῳ σύνδρομον ἐξάμενον
Εἰνάλιον δελφῖνα. λέγει δ' ὁ ἐπ' Ἀρίονι μῦθος,
Κτεινόμεθ' ἀνθρώποις, ἰχθύσι σωζόμεθα.

BIANORIS in Imaginem Arionis Citharœdi. 2.

Statuit Periander Arionis imaginem hanc,

Et quæ cum pereunte vnà currenter natabat
Marinum delphinem. Dicit verò hic super Arione sermo,
Ab hominibus occisi suumus, piscibus autem seruamur,

ΠΑΥΛΟΥ σιλεντιαρίου εἰς εἰκόνα κιθαριστρίδος ἐν Βυζαντίῳ.

Σὸν μὲν κάλλος ἔδειξε μόλις γραφίς· αἴθε δὲ τεύχειν
Ἔσθενε καὶ λιγυρῶν ἡδὺ μέλος στομάτων,
Ὥς κεν ἐπ' ὀφθαλμοῖσι καὶ οὔασιν, ἔκ τε προσώπου,
Ἔκ τε λυροκτυπίης, ἶσον ἐθελγόμεθα.

PAVLI Silentiarij in Imaginem cithariſtriæ in Byzantio. 3.

Tuam quidem pulchritudinem vix demonſtrauit pictura: vtinam verò abſoluere
Potuiſſet & ſuauis dulcem cantilenam oris,
Vt quidem in oculis & auribus, & ex facie,
Et lyræ pulſu, æqualiter exhilararemur.

Τοῦ αὐτοῦ εἰς εἰκόνα Μαρίας τῆς κιθαρῳδοῦ.

Πλῆκτρον ἔχει φόρμιγγος, ἔχει καὶ πλῆκτρον ἔρωτος,
Κρούει δ' ἀμφοτέροις καὶ φρένα καὶ κιθάρην.
Τλήμονες οἷσιν ἄγναμπτον ἔχει νόον· ᾧ δ' ἐπινεύσει,
Ἄλλος ὅδ' Ἀγχίσης, ἄλλος Ἄδωνις ὅδε.
Εἰ δ' ἐθέλεις ὦ ξεῖνε, καὶ ἀμφιβόητον ἀκοῦσαι
Οὔνομα, καὶ πάτρην, ἐκ Φαρίης Μαρίη.

Eiuſdem in Imaginem Mariæ cithariſtriæ. 4.

Plectrum habet citharæ, habet & plectron amoris,
Pulſat verò vtroque & mentem & citharam.
Miſeri quibus duriorem habet mentem: cui verò annuit,
Alter hic Anchiſes, alter Adonis hic eſt.
Si verò vis, ô hoſpes, & celebre audire
Nomen & patriam. Ex Phariâ eſt Maria.

ΕΙΣ ΚΙΟΝΑΣ, κεφ. ιζ.

Εἰς τὸν ἐν ἱπποδρόμῳ τετράπλευρον κίονα.

Κίονα τετράπλευρον, ἀεὶ χθονὶ κείμενον ἄχθος,
Μοῦνος ἀναστῆσαι Θευδόσιος βασιλεὺς
Τολμήσας, Πρόκλῳ ἐπεκέκλετο· καὶ τόσος ἔστη
Κίων ἠελίοις ἐν τριάκοντα δύο.

IN COLVMNAS, Cap. XVII.

In illam quæ in Hippodromo quadrilateram columnam. 1.

Columnam quadrilateram, semper terræ positum onus,
Solus erigere Theodosius rex
Ausus, Proclo imperauit, & tanta stetit
Columna diebus triginta duobus.

Εἰς τὰς ἐν Μέμφι πυραμίδας.

Ὄσσαν ἐπ' Ὀλύμπῳ καὶ Πήλιον ὕψι τεθέντα
Ψευδὴς ἱστορίης ῥῆσις ἀνεπλάσατο·
Πυραμίδες δ' ἔτι νῦν Νειλωΐδες, ἄκρα μέτωπα,
Κυρῦσι χρυσέοις ἄστρασι πληϊάδων.

In Pyramides in Memphi. 2.

Ossam Olympo, & Pelion altè impositum
Mendax historiæ sermo finxit:
Pyramides verò etiam nunc ad Nilum, summæ frontes,
Contingunt aureis stellis pleiadum.

ΕΙΣ ΛΙΘΟΥΣ, κεφ. ιη.

Εἰς λίθον ἀχείτωνον.

Ὁρᾷς τὸ κάλλος ὅσσον ἐστὶ τῆς λίθου
Ἐν ταῖς ἀτάκτοις τῶν φλεβῶν εὐταξίαις;

IN LAPIDES, Cap. XVIII.

In lapidem sine sedimento. 1.

Vides pulchritudo quanta sit huius lapidis.

Et quæ cum pereunte vnà currenter natabat
Marinum delphinem. Dicit verò hic super Arione sermo,
Ab hominibus occisi suumus, piscibus autem seruamur,

ΠΑΥΛΟΥ σιλεντιαρίου εἰς εἰκόνα κιθαριστρίδος ἐν Βυζαντίῳ.

Σὸν μὲν κάλλος ἔδειξε μόλις γραφίς· αἴθε δὲ τεύχειν
Ἔσθενε καὶ λιγυρὸν ἡδὺ μέλος στόματος,
Ὥς κεν ἐπ' ὀφθαλμοῖσι καὶ οὔασιν, ἔκ τε προσώπου,
Ἐκ τε λυροκτυπίης, ἶσον ἐθελγόμεθα.

PAVLI Silentiarij in Imaginem citharistriæ in Byzantio. 3.

Tuam quidem pulchritudinem vix demonstrauit pictura: vtinam verò absoluere
Potuisset & suauis dulcem cantilenam oris,
Vt quidem in oculis & auribus, & ex facie,
Et lyræ pulsu, æqualiter exhilararemur.

Τοῦ αὐτοῦ εἰς εἰκόνα Μαρίας τῆς κιθαρῳδοῦ.

Πλῆκτρον ἔχει φόρμιγγος, ἔχει καὶ πλῆκτρον ἔρωτος,
Κρούει δ' ἀμφοτέροις καὶ φρένα καὶ κιθάρην.
Τλήμονες οἷσιν ἄγναμπτον ἔχει νόον· ᾧ δ' ἐπινεύσει,
Ἄλλος ὅδ' Ἀγχίσης, ἄλλος Ἄδωνις ὅδε.
Εἰ δ' ἐθέλεις ὦ ξεῖνε, καὶ ἀμφιβόητον ἀκοῦσαι
Οὔνομα, καὶ πάτρην, ἐκ Φαρίης Μαρίη.

Eiusdem in Imaginem Mariæ citharistriæ. 4.

Plectrum habet citharæ, habet & plectron amoris,
Pulsat verò vtroque & mentem & citharam.
Miseri quibus duriorem habet mentem: cui verò annuit,
Alter hic Anchises, alter Adonis hic est.
Si verò vis, ô hospes, & celebre audire
Nomen & patriam. Ex Phariâ est Maria.

ΕΙΣ ΚΙΟΝΑΣ, κεφ. ιζ

Εἰς τὸν ἐν ἱπποδρόμῳ τετραπλεύρῳ κίονα.

Κίονα τετράπλευρον, ἀεὶ χθονὶ κείμενον ἄχθος,
Μοῦνος ἀναστῆσαι Θευδόσιος βασιλεὺς
Τολμήσας, Πρόκλῳ ἐπεκέκλετο· καὶ τόσος ἔστη
Κίων ἠελίοις ἐν τριάκοντα δύο.

IN COLVMNAS, Cap. XVII.

In illam quæ in Hippodromo quadrilateram columnam. 1.

Columnam quadrilateram, ſemper terræ poſitum onus,
Solus erigere Theodoſius rex
Auſus, Proclo imperauit, & tanta ſtetit
Columna diebus triginta duobus.

Εἰς τὰς ἐν Μέμφι πυραμίδας.

Ὀσσὰν ἐπ' Ὀλύμπῳ καὶ Πήλιον ὕψι τεθέντα
Ψευδὴς ἱστορίης ῥῆσις ἀνεπλάσατο·
Πυραμίδες δ' ἔτι νῦν Νειλωΐδες, ἄκρα μέτωπα,
Κυροῦσι χρυσέοις ἄστρασι πληϊάδων.

In Pyramides in Memphi. 2.

Oſſam Olympo, & Pelion altè impoſitum
Mendax hiſtoriæ ſermo finxit:
Pyramides verò etiam nunc ad Nilum, ſummæ frontes,
Contingunt aureis ſtellis pleiadum.

ΕΙΣ ΛΙΘΟΥΣ, κεφ. ιη.

Εἰς λίθον ἀχίτωνον.

Ὁρᾷς τὸ κάλλος ὅσον ἐστὶ τῆς λίθου
Ἐν ταῖς ἀτάκτοις τῶν φλεβῶν εὐταξίαις;

IN LAPIDES, Cap. XVIII.

In lapidem ſine ſedimento. 1.

Vides pulchritudo quanta ſit huius lapidis.

In inordinato venarum ordine?

ΚΛΑΥΔΙΑΝΟΥ εἰς κρύσταλλον ἐντὸς ὕδωρ ἔχουσαν.

Χιονέη κρύσταλλος ὑπ' ἀνέρος ἀσκηθεῖσα,
Δεῖξεν ἀκηρασίοιο πολυαίολον εἰκόνα κόσμου,
Οὐρανὸν ἀγκὰς ἔχοντα βαρύκτυπον ἔνδοθι πόντον.

CLAVDIANI in crystallum intus aquam habentem. 2.

Niueus crystallus à viro politus,
Demonstrauit immixti valde variam imaginem mundi,
Cælum in vlmis habentem graue sonantem intus pontum.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

aΕἴπ' ἄγε μοι κρύσταλλε, λίθῳ πεπυκασμένον ὕδωρ,
Τίς πῆξεν; bβορέης. aἢ τίς ἔλυσε; bΝότος.

Eiusdem in idem. 3.

aDic age mihi Crystalle, lapide condensata aqua,
Quis formauit? bBoreas aSed quis soluit? bNotus.

ΔΙΟΔΩΡΟΥ εἰς κρύσταλλον γεγλυμμένην.

Ζεύξιδος ἡ χροιή τε καὶ ἡ χάρις, ἐν δέ με μικρῇ
Κρυστάλλῳ, τὸ καλὸν δαίδαλον Ἀρσινόη
Γράψας τοῦτ' ἔπορεν Σατυρήϊος· εἰμὶ δ' ἀνάσσης
Εἰκών, καὶ μεγάλης λείπομαι οὐδ' ὀλίγον.

DIODORI in crystallum sculptum. 4.

Zeuxidis color & gratia, in paruo autem
Crystallo, pulchrum varium arsinoë
Cùm pinxisset hoc prębuit Satyrius: sum verò reginæ
Imago, & magnæ imaginis relinquor non parum.

ΠΟΛΕΜΩΝΟΣ βασιλέως εἰς ἕτερον.

Ἑπτὰ βοῶν σφρηγῖδα βραχὺς λίθος εἶχεν ἴασπις,
Ὡς μίαν, ὡς πάσας ἔμπνοα δερκομένας.
Καὶ τάχα κἂν ἀπέπλαγξε τὰ βοΐδια· νῦν δὲ κέκλεισται
Τῇ χρυσῇ μάνδρῃ τὸ βραχὺ βουκόλιον.

POLEMONIS règis in aliud. 5.

Septem boum sigillum breuis lapis habet iaspes,

Vt vnam

Vt vnam, vt omnes viuas visas
Et fortè aufugissent hæ buculæ: iam verò includitur
Aureo stabulo hoc paruum armentum.

ΠΛΑΤΩΝΟΣ ὅμοιον.

Εἰκόνα πέντε βοῶν μικρὴ λίθος εἶχεν ἴασπις,
Ὡς ἤδη πάσας ἔμπνοα βοσκομένας.
Καὶ τάχα κἂν ἀπέφευγε τὰ βοΐδια· νῦν δὲ κρατεῖται
Τῇ χρυσῇ μάνδρῃ τὸ βραχὺ βουκόλιον.

PLATONIS simile. 6.

Imaginem quinque boum paruus lapis habuit iaspis,
Vt iam omnes viuas pascentes.
Et pæne aufugissent hæ buculæ: iam verò cohibetur
Aureo stabulo hoc paruum armentum.

ΑΡΧΙΟΥ ὅμοιον εἰς δακτύλιον.

Τὰς βοῦς καὶ τὸν ἴασπιν ἰδὼν ἐπὶ χειρὶ, δοκήσεις
Τὰς μὲν ἀναπνείειν, τὸν δὲ χλοηκομέειν.

ARCHII simile in anulum. 7.

Boues & iaspidem videns in manu, arbitraberis
Has quidem spirare, illum verò herbam virenté producere.

ΠΛΑΤΩΝΟΣ νεωτέρου εἰς Διόνυσον γεγλυμμένον ἐν ἀμεθύστῳ.

Ἁ λίθος ἔστ᾽ ἀμέθυστος· ἐγὼ δ᾽ ὁ πότας Διόνυσος.
Ἢ πειθέτω νήφειν, ἢ μαθέτω μεθύειν.

PLATONIS Iunioris in Bacchum sculptum in amethysto. 8.

Lapis est amethystus: ego verò potor Bacchus.
Aut persuadeat sobriam vitam, aut discat bibere.

ΑΣΚΛΗΠΙΑΔΟΥ εἰς τὸ αὐτό.

Εἰμὶ μέθη τὸ γλύμμα σοφῆς χερὸς, ἐν δ᾽ ἀμεθύστῳ
Γέγλυμμαι. τέχνης δ᾽ ἡ λίθος ἀλλοτρίη.
Ἀλλὰ Κλεοπάτρης ἱερὸν κτέαρ. ἐν γὰρ ἀνάσσης
Χειρὶ θεὸν νήφειν καὶ μεθύουσαν ἔδει.

ASCLEPIADIS in idem. 9.

Sum methus sculptura sapientis manus, in amethysto autem

Sculpor. Ab arte verò hic lapis alienus.
Sed Cleopatræ sacra possessio. In reginæ enim
Manu deum sobrium esse vel ebrium oportebat.

ΟΙΝΟΜΑΟΥ εἰς Ἔρωτα γεγλυμμένον ἐν καυκίῳ.

Ἐν κυάθῳ τὸν Ἔρωτα; τίνος χάριν; ἀρκετὸν οἴνῳ
Αἴθεσθαι κραδίην. μὴ πυρὶ πῦρ ἔπαγε.

OENOMAI in amorem sculptum in caucio. 10.

In cyatho amorem. cuius causâ: Sufficit vino
Comburere cor. Non ignem ad ignem.

Εἰς τὸν ἐν Μεγάροις κιθαριστὴν λίθον.

Τόν με λίθον μέμνησο τὸν ἠχήεντα, παρέρπων
Νισαίην ὅτε γὰρ τύρσιν ἐτειχοδόμει
Ἀλκάθοος, τότε Φοῖβος ἐπωμαδὸν ἦρε δομαῖον
Λᾶα, λυκωρείην ἐνθέμενος κιθάρην.
Ἔνθεν ἐγὼ λυραοιδός. ἀποκρούσας δέ με λεπτῇ
Χερμάδι, τοῦ κόμπου μαρτυρίην κόμισαι.

In fidicinantem in Megaris lapidem. 11.

Me lapidem memento bene sonantem, transiens
Nisæam. Cùm enim murum erigeret
Alcathous, tunc Phœbus in humero tulit ad structuram pertinentem
Lapidem, lycoream ipsi indens citharam.
Vnde ego lyra canens Impellens verò me exiguo
Lapide, strepitus testimonium auferes.

ΠΛΑΤΩΝΟΣ.

Εἷς λίθος, ἅρμ', ἐλατήρ, ἵπποι, ζυγὸν, ἡνία, μάστιξ.

PLATONIS. 12

Vnus lapis, currus, auriga, equi, iugum, fræna, flagellum.

Τοῦ αὐτοῦ.

Ἁ σφραγὶς, ὑάκινθος, Ἀπόλλων δ' ἐστὶν ἐν αὐτῇ,
Καὶ δάφνη. ποτέρου μᾶλλον ὁ Λητοΐδας;

Eiusdem. 13.

Signum, Hyacinthus. Apollo verò est in illâ,
Et Daphne. cuius rei magis Apollo *amore tenetur?*

Εἰς λουτρόν.

Ἣν τοπάρος φιλέεσκες Ἄρες σκοπίαζε Κυθήρην
  Ἐνθάδε λουομένην νάμασι φαιδροτάτοις.
Δέρκεο νηχομένην· μὴ δείδιθι· οὐ γὰρ Ἀθήνην
  Παρθένον εἰσορέας, οἷά τε Τειρεσίας.

In Lauacrum. 14.

Quam prius amabas Mars contemplare Venerem
  Hic lauantem fontibus splendidissimis.
Vide natantem: ne timeas. Non enim Palladem
  Intueris, & qualia Tiresias.

Εἰς τὸ αὐτό.

Αἱ Χάριτες λούοντο, ἀμειβόμεναι δὲ λοετρὸν,
  Δῶκαν ἑῶν ῥεθέων ὕδασιν ἀγλαΐην.

In idem. 15.

Gratiæ lauabantur, retribuentes pro lauacro,
  Dederunt suorum fluctuum aquis pulchritudinem.

Εἰς τὸ αὐτό.

Η τοῖον Κυθέρειαν ὕδωρ τέκεν, ἢ Κυθέρεια
  Τοῖον ἔτευξεν ὕδωρ, ὃν χρόα λουσαμένη.

In idem. 16.

Aut talis Venerem aqua genuit, vel Venus
  Talem fecit aquam, suam cutem lauans.

Εἰς τὸ αὐτό.

Τᾶν Χαρίτων τόδε λουτρὸν ἀθύρματα. καὶ γὰρ ἐκείνας
  Μοῦνον ἔσω παίζειν ταὶ Χάριτας δέχεται.

In idem. 17.

Gratiarum hoc lauacrum tripudium. Illas enim
  Solum intus ludere charitas admittit.

Εἰς τὸ αὐτό.

Οντως δὴ Χαρίτων λουτρὸν τόδε· οὐδὲ γὰρ ἄλλους
  Πλείους χωρῆσαι τοῦτο τελοῦν δύναται.

In idem. 18.

Reuera gratiarum lauacrum hoc: neque enim alios

Plures capere hoc quàm tres potest.

Εἰς τὸ αὐτό.

Μικρὰ μὲν ἔργα τάδ' ἐστὶν, ἔχει δ' ἡδεῖαν ὀπωπὴν,
Ὡς ῥόδον ἐν κήποις, ὡς ἴον ἐν ταλάροις.

In idem. 19.

Parua quidem opera sunt hæc, verùm habét dulcem aspectum,
Vt rosam in hortis, vt violam in corbibus.

Εἰς τὸ αὐτό.

Ἐν μικρῷ μεγάλη λουτρῷ χάρις· ἐν δ' ἐλαχίστῳ
Νάματι λουομένοις ἡδὺς ἔπεστιν ἔρως.

In idem. 20.

In paruo magna est lauacro gratia: in minimo autem
Fonte lauantibus suauis inest amor.

Εἰς τὸ αὐτό.

Ὡς δένδρον βραχύφυλλον, ἔχει δ' ἡδεῖαν ὀπωπὴν,
Οὕτως λουτρὰ τάδε σμικρὰ μὲν, ἀλλὰ φίλα.

In idem. 21.

Vt arbor paucis frondibus, habet verò suauem speciem,
Sic lauacra quidem hæc parua, sed grata.

Εἰς τὸ λουτρὸν Μαρίας.

Τῆς Μαρίης τὸ λοετρὸν ἰδὼν ἀπεδάκρυε Μῶμος,
Εἰπὼν, ὡς Μαρίην, καὶ σὲ παρερχόμεθα.

In lauacrum Mariæ. 22.

Mariæ lauacrum intuens fleuit Momus,
Dicens, vt Mariam, & nos te præterimus.

ΛΕΟΝΤΙΟΥ σχολαστικοῦ εἰς λουτρὸν μικρὸν παρακείμενον τῷ τοῦ Ζευξίππου.

Μὴ νεμέσα Ζεύξιππε παρὰ σοὶ τέλλοντι λοετρῷ·
Καὶ μεγάλην παρ' ἄμαξαν ἐρωτύλος ἡδὺ φαείνει.

LEONTII scholastici in lauacrum paruum adiacens Zeuxippi *lauacro magno.* 23.

Ne indignere Zeuxippe ob iuxta exoriens lauacrum:
Et magno in curru puer suauis apparet.

Εἰς ἕτερον ἐν Σμύρνῃ.

Ἐνθάδε λουσαμένων Χαρίτων ποτὲ, θέσκελα πέπλα
Βαιὸς Ἔρως ἔκλεψε, καὶ ᾤχετο· τὰς δ' ἔλιπ' αὐτοῦ
Γυμνάς, αἰδομένας θυρέων ἔκτοσθε φανῆναι.

In aliud in Smyrna. 24.

Hîc lauantibus Gratiis quondam, ſacra veſtimenta
Paruus amor furatus eſt, & abiit: illas verò reliquit hîc
Nudas, erubeſcentes extra ianuam prodire.

Εἰς βαλανεῖον ψυχρόν.

Τὸν ποταμὸν βαλανεῦ τίς ἐτείχισε; τίς βαλανεῖον
Τὴν κρήνην ψευδῶς τήνδε μετωνόμασεν;
Αἴολος Ἱπποτάδης φίλος ἀθανάτοισι θεοῖσιν
Ὧδε μετοικήσας, ἤγαγε τοὺς ἀνέμους.
Πρὸς τί δὲ καὶ σανίδες δύο τοῖς ποσὶν αἵδ' ὑπόκεινται;
Οὐ διὰ τὴν θέρμην, τῆς χιόνος δ' ἕνεκα.
Φρίξου καὶ Νάρκης οὗτος τόπος. ἀλλ' ἐπίγραφον,
Τῷ μεσορὶ λοῦσαι. πνεῖ γὰρ ἔσω Βορέας.

In balneum frigidum. 25.

αAquam ô balneator quis fecit? quis balneum
Fontem falsò hunc nominauit?
βÆolus Hippotades amicus immortalibus diis
Huc mutatâ ſede, duxit ventos.
αQuid verò tabulæ duę pedibus hæ ſubiiciuntur?
αβ Non propter calidam. ſed niuis cauſâ.
αRigoris, & torpedinis hic locus. Sed inſcribe,
Vt menſe Auguſto lauent. Flat enim intus Boreas.

Εἰς ἕτερον ἐν Βυζαντίῳ.

Λωτὸν ἐρεπτομένοις, προτέρων οὐ ψεύσατο μῦθος.
Πίστιν ἀληθείης τοῦτο τὸ λουτρὸν ἔχει.
Εἰ γὰρ ἅπαξ καθαροῖσι λοέσσεται ὕδασιν ἀνήρ,
Οὐ ποθέει πάτρην, οὐκ ἐθέλει γενέτας.

In aliud in Byzantio. 26.

Lotum comedentes, veterum non mentitus eſt ſermo.

Fidem veritatis hoc balneum habet.
Si enim semel puris lauabitur aquis vir,
Non desiderat patriam, neque cupit parentes.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ εἰς ἕτερον ἐν Βυζαντίῳ ἔχον Ἀφροδίτην λουομένην.

Νῦν ἔγνων Κυθέρεια πόθεν νίκησας ἀγῶνα,
Τὴν πρὶν Ἀλεξάνδρου ψῆφον ὑφαρπαμένη.
Ἐνθάδε γὰρ τέγγουσα τεὸν δέμας, εὗρες ἐλέγξαι
Ἥρην ἰναχίοις χεύμασι λουσαμένην.
Νίκησεν τὸ λοετρὸν· ἔοικε δὲ τοῦτο βοώσῃ
Παλλὰς, ἐνικήθην ὕδασιν, οὐ Παφίῃ.

AGATHII scholastici in aliud in Byzantio habens Venerem lauantem. 27.

Iam noui Venus vnde viceris certamen,
Prius Alexandri calculum auferens,
Hîc dum madefacis tuum corpus, inuenisti vt coarguas
Iunonem Inachiis fluctibus se abluentem.
Vicit verò balneum: videtur verò hoc clamabit
Pallas, victa est aquis, non Venere.

ΠΑΥΛΟΥ σιλεντιαρίου εἰς ἕτερον δίδυμον, ἐν ᾧ λούονται γυναῖκες καὶ ἄνδρες.

Ἀγχι μὲν ἐλπὶς ἔρωτος· ἑλεῖν δ' οὐκ ἔστι γυναῖκας·
Εἴργει πυλὶς Παφίην τὴν μεγάλην ὀλίγη.
Ἀλλ' ἔμπης γλυκὺ τοῦτο. ποθοβλήτοις γὰρ ἐπ' ἔργοις
Ἐλπὶς ἀληθείης ἐστὶ μελιχροτέρη.

PAVLI Silentiarij in aliud geminum, in quo lauant viri & mulieres. 28.

Prope quidem spes amoris. Abducere verò non licet mulieres:
Prohibet portula Paphiam magnam parua.
Sed tamen suaue hoc. Amore ictis enim operibus
Spes veritate est suauior.

Ἀδέσποτον εἰς ἕτερον.

Ὅσσαις θηλυτέραις ἐστὶν πόθος, (ἔστι δὲ πάσαις)

Δεῦρ' ἴτε φαιδροτέρης τευξόμεναι χάριτος.
Χὴ μὲν ἔχουσα πόσιν, τέρψει πόσιν· ἡ δ' ἔτι κούρη,
Ὀτρυνέει πλείστους ἕδνα πορεῖν λεχέων.
Ἡ δὲ φέρουσα πόρους ἀπὸ σώματος, ἑσμὸν ἐραστῶν
Ἕξει ἐπὶ προθύροις, ἐνθάδε λουσαμένη.

Incerti in aliud. 29.

Quot mulieribus est cupido,(est verò omnibus)
Huc ite splendidiorem consequentes gratiam.
Et hæc quidem habens maritum, delectabit maritum: quæ verò adhuc puella,
Cogit multos dotem dare ob concubitum.
Quæ verò fert quæstum à corpore, multitudinem amatorum
Habebit in vestibulo, hîc lauans.

Εἰς τὸ αὐτό.

Εἴ τί σε κουριδίης ἀλόχου γλυκὺς ἵμερος ἴσχει,
Λούεο, φαιδρότερος τῇδε φανησόμενος·
Εἴ τέ σε μισθοφόρους ἐπὶ μαχλάδας οἶστρος ὀρίνει,
Λήψῃ, κοὐ δώσεις, ἐνθάδε λουσάμενος.

In idem. 30.

Siquidem te puellæ coniugis suauis cupido habet,
Laua, splendidior huic appariturus:
Si verò te precium ferentes ad meretrices furor impellit,
Accipies, non dabis, hic lauans.

ΚΥΡΟΥ ποιητοῦ εἰς ἕτερον.

Κύπρις σὺν Χαρίτεσσι καὶ υἱέϊ χρυσοβελέμνῳ
Ἐνθάδε λουσαμένη μισθὸν ἔδωκε χάριν.

CYRI Poëtæ in aliud. 31.

Cypris cum Gratiis & filio aurea tela habente
Hic lauans, precium dedit Gratiam.

ΛΕΟΝΤΙΟΥ σχολαστικοῦ εἰς ἕτερον παρακείμενον τῷ δημοσίῳ ἐν Βυζαντίῳ.

Δείματό με ξυνοῖο παραὶ προθύροισι λοετροῦ
Λαὸς ἀνήρ, ἀρετῆς οὕνεκεν, οὐχ εἵδεος.

Κεῖνο μέλοι πλεόνεσσιν· ἐγὼ δ' ὀλίγοισί τε φίλοις τε
    Ἐντύνω προχοάς, καὶ μύρα, καὶ χάριτας.

LEONTII scholastici in aliud positum publicè in Byzantio. 32

Ædificauit me communis in vestibulo lauacri
    Ciuis vir, virtutis causa, non contentionis.
Illud curæ sit multis: ego verò paucisque & amicis
    Exhibeo lauacra, & vnguentum, & gratias.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου εἰς ἕτερον ἐν λυκίῳ.

Πιστότατος μερόπων τίς ἔοι πυλαωρὸς ἐμεῖο,
    Κείνων λουομένων καιρὸν ἐσηλεοίης.
Μή τινα νηϊάδων τὶς ἐμοῖς ἐπὶ χεύμασι γυμνὴν,
    Ἢ μετὰ καλλικόμων Κύπριν ἴδῃ χαρίτων,
Οὐκ ἐθέλων. χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς.
    Τίς γὰρ ὁμηρείοις ἀντιφέροιτο λόγοις;

MACEDONII Consulis in aliud in Gymnasio. 33.

Fidelissimus hominum aliquis sit ianitor meus,
    Qui iudicet tempus quo lauantes sublato quopiam abiêre.
Ne quam Naïadum quis meis in aquis nudam,
    Vel cum pulchricomis Cypridem videat Gratiis,
Non volens. Graues verò deæ si conspiciantur nudæ.
    Quis enim Homericis contradicat sermonibus?

ΜΑΡΙΑΝΟΥ σχολαστικοῦ εἰς ἕτερον ὀνομαζόμενον Ἔρωτα.

Μητέρα Κύπριν ἔλουσεν Ἔρως ποτὲ τῷδε λοετρῷ,
    Αὐτὸς ὑποφλέξας λαμπάδι καλὸν ὕδωρ.
Ἱδρὼς δ' ἀμβροσίοιο χυθεὶς χροός, ἄμμιγα λευκοῖς
    Ὕδασι, φεῦ, πνοιῆς ὅσσον ἀνῆψεν ἔαρ.
Ἔνθεν ἀεὶ ῥοδόεσσαν ἀναζείουσιν ἀϋτμὴν,
    Ὡς ἔτι τῆς χρυσῆς λουομένης Παφίης.

MARIANI scholastici in aliud qui dicebatur amor. 34.

Matrem Venerem lauit amor quondam hoc lauacro,

Ipse

Ipse comburens lampade pulchram aquam.
Sudor ex ambrosia cute decidens, commixtus candidis
Aquis. Hei fragrantiæ quantam tetigit suauitatem:
Vnde semper roseum emittunt odorem,
Tanquam adhuc aureâ lauante Venere.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Τᾷδ' ὑπὸ ταῖς πλατάνοις ἁπαλῷ πεπεδημένος ὕπνῳ
Εὗδεν ἔρως, νύμφαις λαμπάδα παρθέμενος.
Νύμφαι δ' ἀλλήλῃσι, τί μένομεν; αἴθε δὲ τούτῳ
Σβέσαιμεν (εἶπον) ὁμοῦ πῦρ κραδίης μερόπων.
Λαμπὰς δ' ὡς ἔφλεξε καὶ ὕδατα, θερμὸν ἐκεῖθεν
Νύμφαι ἐρωτιάδες λουτροχοοῦσιν ὕδωρ.

Eiusdem in idem. 35.

Sub his platanis suaui domitus somno
Dormiuit amor, nymphis facem apponens.
Nymphæ verò ad inuicem: Quid volumus? Simul cum hac
Exstinguamus (dixerunt) simul ignem cordis hominum.
Lampas verò vt combussit & aquas, calidam exinde
Nymphæ amatoriæ, inter lauandum fundunt aquam.

ΙΩΑΝΝΟΥ γραμματικοῦ εἰς ἕτερον ἔχον Πίνδαρον.

Αἴθε σε Πίνδαρε μᾶλλον ἐμοῖς ἐκάθηρα ῥεέθροις,
Καί κεν ἄριστον ὕδωρ τοὐμὸν ἔφησθα μόνον.

IOANNIS Grammatici in aliud habens
Pindarum. 36.

Vtinam te Pindare magis meis abluissës aquis,
Et optimam aquam meam dixisses solùm.

ΔΑΜΟΧΑΡΙΔΟΣ γραμματικοῦ εἰς ἕτερον.

Ἥρῃ καὶ Παφίῃ καὶ Παλλάδι τοῦτο τὸ λουτρόν,
Ὡς ποτε τὸ χρυσοῦν ἤρεσε μῆλον ἔχειν.
Καὶ τάχα τῆς μορφῆς κρίσις ἔσεται οὐ Πάρις αὐταῖς,
Εἰκὼν δ' ἀργυρέοις νάμασι δεικνυμένη.

DEMOCHARIDIS Grammatici in aliud. 37.

Iunoni & Paphiæ, & Palladi hoc lauacrum,

Vt quondam aureum placuit pomum habere.
Et fortè formæ iudicium erit non Paris ipsis,
Sed imago argenteis in aquis ostensa.

Εἰς τὸ αὐτό.

Ὤμοσαν αἱ Χάριτες φερεαυγέα κοίρανον αἴγλης
Ἐνθάδε ναιετάειν, ἢ παρὰ τῇ Παφίῃ.

In idem. 38.

Iurarunt Charites ferentem splendorem dominum lucis.
Hîc habitare, aut apud Venerem.

Εἰς τὸ αὐτό.

Τοῦτο ἰδὼν τὸ λοετρὸν ὁ πολύσοφος εἶπεν Ὅμηρος
Νηπενθές, ἄχολόν τε, κακῶν ἐπίληθες ἁπάντων.

In idem. 39.

Hoc videns lauacrum sapientissimus dixit Homerus
Nepenthes, sine felle, malorum obliuio cunctorum.

Εἰς τὸ αὐτό.

Αἱ τρεῖς Ὀρχομενοῦ Χάριτες τὸ λοετρὸν ἔτευξαν·
Τοὔνεκα χωρῆσαι τέσσαρας οὐ δύναται.

In idem. 40.

Tres Orchomeni Charites hoc lauacrum fabricarunt:
Propterea capere quatuor non potest.

Εἰς τὸ αὐτό.

Ἐνθάδε λουσαμένη δέμας ἄμβροτον αὐτίκα Κύπρις
Δεῖξεν Ἀλεξάνδρῳ, καὶ ἄεθλιον ἥρπασε μῆλον.

In idem. 41.

Hîc lauans corpus immortale statim Venus
Demonstrauit Paridi, & præmium rapuit pomum.

Εἰς τὸ αὐτό.

Κύπρις, ἔρως, χάριτες, νύμφαι, Διόνυσος, Ἀπόλλων,
Ὤμοσαν ἀλλήλοις ἐνθάδε ναιετάειν.

In idem. 42.

Cypris, amor, Charites, Nymphæ, Dionysus, Apollo,
Coniurarunt inuicem hîc habitare.

Εἰς τὸ αὐτό.

Ἀθάνατοι λούονται ἀνοιγομένου βαλανείου,
Πέμπτῃ δ' ἡμίθεοι, μετέπειτα δὲ ἤματα πάντα.

In idem. 43.

Immortales lauantur aperto balneo,
Hora quinta semidei, Postea verò omnes dies *nos reliqui.*

Εἰς ἕτερον λουτρὸν μικρόν.

Μὴ νεμέσα βαιοῖσι· χάρις βαιοῖσιν ὀπηδεῖ·
Βαιὸς καὶ Παφίης ἔπλετο κοῦρος Ἔρως.

In aliud lauacrum paruum. 44.

Ne indignare paruis: Gratia parua comitatur:
Paruus & Paphiæ fuit puer amor.

ΛΕΟΝΤΙΟΥ σχολαστικοῦ εἰς τὰ θερμὰ τὰ βασιλικά.

Θερμὰ τάδ' ἀτρεκέως βασιλήϊα· τοῦτο γὰρ αὐτοῖς
Οἱ πρὶν ἀγασσάμενοι θῆκαν ἐπωνυμίην.
Οὐ γὰρ ὑπὸ βροτέῳ πυρὶ θάλπεται ἀγλαὸν ὕδωρ,
Αὐτομάτη δὲ λιβὰς τίκτεται αἰθομένη.
Οὐδὲ ῥόου ψυχροῦ ποτιδεύεται ἀμφὶ λοετρά,
Ἀλλ' οἷον ποθέεις, τοῖον ὕδωρ ἐκφέρεται.

LEONTII scholastici in thermas Regias. 45.

Thermæ hæ verè regiæ: hoc enim ipsis
Prius demirantes posuerunt cognomen.
Non enim mortali igne incalescit eximia aqua.
Sponte verò aqua gignitur calida.
Neque aqua frigida indiget circa lauacrum,
Sed qualem desideras, talem affert.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ εἰς τὰ θερμὰ τὰ Ἀγαμεμνόνεια ἐν Σμύρνῃ.

Χῶρος ἐγὼ Δαναοῖς μεμελημένος, ἔνθα μολόντες
Τῆς Ποδαλειρίης ἐξελάθοντο τέχνης.
Ἕλκεα γὰρ μετὰ δῆριν ἐμοῖς ἀκέσαντο ῥεέθροις,
Βαρβαρικῆς λόγχης ἰὸν ἀπωσάμενοι.
Ἔνθεν ἀεξίθαλον ἐρσηφόροι· ἀντὶ δὲ τιμῆς,

Τὴν Ἀγαμεμνονέην δ' ἔσχον ἐπωνυμίην.

AGATHII ſcholaſtici in thermas Agamemnonias in Smyrnâ. 46.

Locus ego Danais curæ fui, vbi, eúntes
 Podalirij abſconderunt artem.
Vulnera enim poſt pugnam meis ſanarunt fluxibus,
 Barbaricæ haſtæ ſpiculum auferentes.
Vnde auecta ſum tectum habens: pro honore autem,
 Agamemnoniam inueni denominationem.

Ἄδηλον εἰς ἕτερα θερμά.

Χθὼν μυχάτων γυάλων κοιλώμασιν ἀέναον πῦρ
Εὖτ' αἰὲν ἔχῃ, φλοξὶν δ' ὑποζείῃ κρυφίῃσιν,
Ἀτμὸς ἄνω βαίνων εἰς αἰθέρα θερμὸς, ἔνερθεν
Θλιβόμενος, πνειθαλπὲς ἐρβύζεται ἰκμάσιν ὕδωρ.

Incerti in alias thermas. 47.

Terra ſpeluncarum cauernoſarum cauitatibus perenné ignem
Cùm habet, & flammis conferbuit occultis,
Halitus ſurſum aſcendens ad æthera calidus, inferius
Expreſſus, tepidam emittit vapore aquam.

Ἄδηλον.

Χρήμασι τοῖς Ἀγάθωνος ἐδείματο τῆδε λοετρὸν
 Δῆμος ὁ τῆς Τεγέης, θαῦμα καὶ ἐσσομένοις.

Incerti. 48.

Opibus Agathonis conſtructum eſt hîc lauacrum:
 Populus Tegeæ, miraculum poſteris.

Εἰς λουτρὸν ἐν Πραινέτῳ.

Οὐ βαλανεῖον ἔην τὸ πάροιθε τὸ νῦν βαλανεῖον,
 Ἀλλὰ τόπος σκυβάλων, χῶρος ἀποκρίσιος·
Νῦν δὲ τὰ τερπνὰ τὰ πᾶσι βοώμενα καὶ χαρίεντα,
 Ἀγλαΐην προφέρει· καὶ γὰρ Ἀλέξανδρος
Νικαέων ἱερεὺς, σοφίης ἐρικυδέος ἀστήρ,
 Τεῦξέ μιν οἰκείοις χρήμασι καὶ δαπάναις.

In lauacrum in Præneto. 49.

Non balneum eram prius nunc balneum,
Sed locus sordium, & locus excretionis:
Iam verò iucunda omnibus laudata & gratiosa,
Splendore profert. Nam Alexanoris
Nicæensium rex, sophiæ gloriosæ stella;
Fecit illud propriis opibus & sumtibus.

ΕΙΣ ΝΑΟΥΣ κεφ. κ.

Εἰς ναὸν τοῦ Διὸς κτισθέντα παρὰ Κεκροπιδῶν.

Αὐτοῦ Ζηνὸς ὅδ' οἶκος ἐπάξιος· οὐδέ γ' ὄλυμπος
Μέμψεται οὐρανόθεν Ζῆνα κατερχόμενον.

IN TEMPLA, Cap. XX.

In templum Iouis extructum apud Cecropidas. 1.

Ipsius Iouis hæc domus condigna: neque olympus
Reprehendet è cœlo Iouem descendentem.

Εἰς τὸ αὐτό.

Κεκροπίδαι Διὶ τόνδ' ἔθεσαν δόμον, ὡς ἀπ' ὀλύμπου
Νισσόμενος ποτὶ γῆν, ἄλλον ὄλυμπον ἔχῃ.

In idem. 2.

Cecropidæ Ioui hanc fabricarunt domum, vt ab Olympo
Pergens ad terram, aliud cœlum habeat.

Ἄδηλον.

Ἱεροὶ νηοὶ ἀγαθοῖς ἀναπέπτανται, οὐδὲ καθαρμῶν
Χρειώ· τῆς ἀρετῆς ἥψατο οὐδὲν ἄγος·
Ὅστις δ' οὐλοὸν ἦτορ, ἀπόστιχε· οὔποτε γὰρ σὴν
Ψυχὴν ἐκνίψει σῶμα μαινόμενον.

Incerti. 3.

Templa Deum bonis aperiuntur, nullis purgationibus
Opus est: virtutem tangit ne piaculum quidem:
Qui verò malum cor habet, abeat: non enim tuam
Animam abluet corpus fœdatum.

Ἄδηλον.

Τίς ποτ' ἀπ' οὐλύμποιο μετάγαγε τὸν Ἑλικῶνα,

Τὸν πάρος οὐρανίοις ἐμβεβαῶτα δόμοις,
Ἐς πόλιν Ἀνδρόκλοιο, θοῶν βασιλῆα Ἰώνων,
Ταῖ δοϊ καὶ μούσαις αἰπυτάτην Ἔφεσον;
Ἦ ῥά σύ φιλαμένα Τιτυοκτόνε μέζον ὀλύμπου
Ταῖ τροφὸν, ἐν ταύτῃ τόν ἔθευ θάλαμον.

Incerti. 4.

Quis è cœlo quondam deduxit ædẽ Dianæ virginibus dicatã,
Prius cœli adſcendentem domos,
In vrbem Androcli velocium regnum Ionum,
Arboribus & Muſis excelſiſſimam Epheſum?
Sanè tu amata Tityi interemptrix maior Olympo
Nutricem, huc tuum poſuiſti thalamum.

ΕΙΣ ΝΙΚΗΣ ΑΓΑΛΜΑΤΑ, κεφ. κα.

ΠΑΛΛΑΔΑ.

Νίκαι πάρεσμεν αἱ γελῶσαι παρθένοι,
Νίκας φέρουσαι τῇ φιλοχρήστῳ πόλει.
Ἔγραψαν ἡμᾶς οἱ φιλοῦντες τὴν πόλιν,
Πρέποντα νίκαις ἐντυποῦντες σχήματα.

IN VICTORIÆ ſimulacra, Cap. XXI.

PALLADÆ. 1.

Victoriæ adſumus ridentes virgines,
Victorias ferentes, bonorum amatrici vrbi.
Pinxerunt nos qui amant hanc ciuitatem,
Decoras victoriis inſculpentes figuras.

ΠΟΜΠΗΙΟΥ εἰς ἄγαλμα νίκης ἄπτερον ἐν Ῥώμῃ, ἧς τὰ πτερὰ κεραυνῷ κατεφλέχθη.

Ῥώμη παμβασίλεια, τεὸν κλέος οὔποτ' ὀλεῖται.
Νίκη γάρ σε φυγεῖν ἄπτερος οὐ δύναται.

POMPEII in ſimulacrum Victoriæ ſine alis in Romã, cuius alæ fulmine combuſtæ. 2.

Roma omnium regina, tuum decus nunquam peribit:
Victoria enim te effugere ſine pennis non poteſt.

ΕΙΣ ΞΕΝΟΔΟΧΕΙΑ χε' κϛ'

ΣΩΦΡΟΝΙΟΥ πατριάρχου.

Ὁ πρὶν ἀλώμενος, καὶ ἀνέστιον ἴχνος ἐλαύνων,
  Εἴτ' ἀφ' ὁδοιπορίης, εἴτ' ἀπὸ ναυτιλίης,
Ἐνθάδε νῦν προσιὼν στῆσον ξένε τὸν σέο πόδα,
  Ναιετάειν ἐθέλων, οἶκον ἕτοιμον ἔχων.
Εἰ δέ με καὶ τίς ἔτευξεν ἀνακρίνεις πολιήτης,
  Εὐλόγιος, Φαρίης ἀρχιερεὺς ἀγαθός.

IN HOSPITALIA, Cap. XXII.

SOPHRONII Patriarchæ. 1.

Prius errans & lare carens vestigium capessens,
  Siue à nauigatione, siue à terrestri itinere,
Huc nunc accedens statue hospes tuum pedem,
  Habitare volens, domum paratam habes.
Si verò me etiam quis fabricauit percunctaris ciuis,
  Eulogius, Phariæ archisacerdos bonus.

Εἰς τὸ αὐτό.

Ἀστὸς ἐμοὶ, καὶ ξεῖνος, ἀεὶ φίλος. οὐ γὰρ ἐρευνᾶν
  Τίς, πόθεν, ἢ τίνων, ἐστὶ φιλοξενίης.

In idem. 2.

Ciuis mihi & hospes semper amicus. Non enim inquirere,
  Quis, vnde, & quorum est amatoris hospitum.

ΕΙΣ ΟΙΚΟΥΣ, χζ' κγ'

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου εἰς οἶκον ἐν Κιβύρᾳ.

Εὐσεβίῃ τὸ μέλαθρον ἀπὸ προτέροιο θεμέθλου
  Ἀγείρει καὶ ὑψηλοὺς ἤγαγεν εἰς ὀρόφους.
Οὐ γὰρ ἀπ' ἀλλοτρίων κτεάνων ληΐστορι χαλκῷ
  Ὄλβον ἀολλίζων τεῦξε Μακηδόνιος·
Οὐδὲ λιπερνήτης χειρῶν καὶ ἀκερδέϊ μόχθῳ
  Κλαῦσε, δικαιοτάτου μισθοῦ ἀτιμβόμενος.

Ὡς δὲ πόνων ἄμπαυμα φυλάσσεται ἀνδρὶ δικαίῳ,
 Ὧδε καὶ εὐσεβέων ἔργα μένοι μερόπων.

IN DOMOS, Cap. XXIII.

MACEDONII Consulis in domum in Cibyrâ. 1.

Pietas domum ex primo fundamento
 Vsque ad summa eduxit culmina.
Non enim alienorum bonorum prædatorio nummo
 Diuitias cumulans fecit Macedonius:
Neque inops mercenarius vano & mitus lucroso labore
 Fleuit, iustissimo precio priuatus.
Vt laborum requies custoditur viro iusto,
 Sic etiam iustorum opera maneant hominum.

ΛΕΟΝΤΙΟΥ εἰς οἶκον κείμενον μέσον τοῦ Ζευξίππου καὶ τοῦ ἱππικοῦ.

Ἐν μὲν τῇ, ζεύξιππον ἔχω πέλας, ἡδὺ λοετρόν·
 Ἐκ δ' ἑτέρης, ἵππων χῶρον ἀεθλοφόρων.
Τοὺς ῥα θεησάμενος, καὶ τῷδ' ἐνὶ χρῶτα λοέσσας,
 Δεῦρο καὶ ἀμπνεύσων δαιτὶ παρ' ἡμετέρῃ.
Καί κε πάλιν σταδίοις ποτὶ δείελον ὥριος ἔλθοις,
 Ἐγγύθεν ἐγγὺς ἰὼν γείτονος ἐκ θανάτου.

LEONTII in domum positam in medio vbi equi alligantur, & equitant. 2.

Hac parte locum alligandis equis habeo prope, suaue lauacrũ:
 In altera, equorum locum victorias ferentium.
Hos vbi contemplatus es, & in hoc corpus abluisti,
 Hucce refice epulas apud nostras.
Et rursus è stadio ad merendam tempestiuè venias,
 Proximè proximus accedens vicina ex morte.

ΠΑΥΛΟΥ σιλεντιαρίου εἰς οἶκον ὑψηλὸν ἐν Βυζαντίῳ.

Τετραόθεν εἰσορόω πολυτερπέα νῶτα θαλάσσης,
 Πάντοθεν ἠματίῳ φέγγει βαλλόμενος.
Εἰς ἐμὲ γὰρ κροκόπεπλος ὅταν περικίδναται ἠώς
 Τερπομένη, στείχειν πρὸς δύσιν οὐκ ἐθέλει.

PAVLI

PAVLI Silentiarij in domum excelsam in Byzantio. 3.

E tribus locis prospicio valide delectantia dorsa maris,
Vndique diurna luce circumdata.
In me enim croceis peplis cùm spargitur aurora
Delectata, procedere ad occasum non vult.

ΙΟΥΛΙΑΝΟΥ Αἰγυπτίου εἰς οἶκον ἐπίπεδον.

Ὥρῃ ἀναψύχω θέρεος, καὶ χείματι θάλπω,
Τοὐλιπὲς ὡράων ἐξ ἐμέθεν προφέρων.

IVLIANI Ægyptij in domum planam. 4.

Tempore frigefacio æstiuo, & hyeme calefacio,
Defectum temporis ex me exhibens.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ εἰς οἶκον ἐν ὕψει κείμενον ἐν Βυζαντίῳ.

Τῆς ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν,
Ἔννεπεν Ἀσκραῖος, δῶμα τόδε προλέγων.
Κλίμακα γὰρ ταναὴν προσιὼν κεκαφηότι ταρσῷ,
Ἱδρῶτι πλαδαρὴν ἀμφεδίηνα κόμην·
Ὑψόθι δ' εἰσενόησα θαλασσαίην περιωπήν.
Ναὶ τάχα τῆς ἀρετῆς πιστότατος θάλαμος.

AGATHII scholastici in domum in culmine positam in Byzantio. 5.

Virtutem sudorem dij ante posuerunt,
Dixit Ascræus, domum hanc prædicens.
Scalam extensam ascendens defesso pede,
Sudore laxum madefeci crinem:
In sublimi verò cognoui marinam speculam.
Certè virtutis fidelissimus thorus.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων Αἰγυπτίου εἰς ἀφύλακτον οἶκον παιγνιωδῶς.

Κερδαλέους δίζεσθε δόμους ληίστορες ἄλλους·
Τοῖσδε γὰρ ἐστὶ φύλαξ ἔμπεδος, ἡ πενίη.

IVLIANI ex imperatoribus Ægypti in incustoditam domum scopticè. 6.

Lucrosas quærite domos prædatores alias:

Hiſce enim eſt cuſtos firmus, paupertas.

Εἰς τὸ τρίκλινον τῆς μαγναύρας.

Ὀτραλέως τελέσαντο δόμον τόνδε βασιλῆες,
Αἰχμὴν ὀλβοδότειραν ἀπὸ σταυροῖο λαχόντες
Αὐτὸς ἄναξ Ἡρακλῆς, σὺν Κωνσταντίνῳ υἱῷ.

In triclinium magnæ auræ. 7.

Celeriter confecere hanc domum reges,
Bellum diuitias largiens à cruce conſecuti
Ipſe rex Heracles, & cum Conſtantino filio.

Εἰς οἶκον τὸν ἐπιλεγόμενον χαλκῆ ἐν τῷ παλατίῳ.

Οἶκος Ἀναστασίοιο τυραννοφόνου βασιλῆος
Μοῦνος ὑπερτέλλω πολυπείροσιν ἄστεσι γαίης,
Θαῦμα φέρων πάντεσσιν· ἐπεὶ κοσμήτορες ἔργων
Ὕψος ὁμοῦ μῆκός τε καὶ ἄπλετον εὖρος ἰδόντες,
Ἀσκεπὲς ἰφράσαντο πελώριον ἔργον ἐᾶσαι.
Ἀλλὰ πολυμήτιο λαχὼν πρεσβήια τέχνης
Αἰθέριος πολύϊδρις ἐμὴν τεχνήσατο μορφὴν,
Ἀρχαίῳ βασιλῆι φέρων προτάγεια μόχθων.
Ἔνθεν ἀπειρέσιον μέγεθος περὶ πάντη τιταίνων,
Αὐσονίων νίκησα βοώμενα θαύματα γαίης.
Εἶξον ἀρειοτέροισι χάρις Καπετωλίδος αὐλῆς.
Εἰ καὶ χαλκείων ὀρόφων ἀμαρύγματα πέμπεις,
Κρύψον ἀμετρήτων μεγάρων στεινούμενον αὐλαῖς
Πέργαμε, φαιδρὸν ἄγαλμα τεὸν ῥουφίνιον ἄλσος.
Μηδὲ τεὸν πολυπληθέεσσιν ἀρηρεότα Κύζικε πέτροις
Ἀδριανοῦ βασιλῆος ἀμεμφέα νηὸν ἀείσῃς.
Οὔ μοι πυραμίδων ἰκέλη κρίσις, οὐδὲ κολοσσοῦ,
Οὐδὲ Φάρου· μεγάλην μοῦνος δ' ὑπερέδραμον αἴγλην.
Αὐτὸς ἐμὸς σκηπτοῦχος ἰσαυροφόνον μετὰ νίκην,
Χρυσοφαές μ' ἐτέλεσσεν ἐδέθλιον ἠεληλυείης,
Πάντη τετραπόρων ἀνέμων πεπετασμένον αὔραις.

In domum dictam ferream in Palatio. 8.

Domus Anastasij tyrannicidæ regis
Sola excello, valde altæ ciuibus terræ,
Miraculum adferens omnibus: postquam exornatores operum
Altitudinē simul & cuspidē, & inexplebilē altitudinē videntes,
Sine tecto voluerunt immensum opus relinquere.
Sed multùm elaboratæ consecutus honoraria artis
Ætherius multiscius meam fabricauit formam,
Indelibato regi ferens venationis quidem primitias laborum.
Vnde infinitam magnitudinem circa omne extendens,
Ausoniorum superaui famigerata miracula terræ.
Cede melioribus gratia Capitolinæ aulæ.
Licèt æneis tegulis splendores mittis,
Absconde immensarum domuum in angustiam redactū aulis
Pergame, lætum ornamentum tuum Rufinium nemus.
Neq; longè extéra latera habentibus compactū Cyzice petris,
Adriani regis inculpandum templum canes.
Non mihi Pyramidum simile iudicium, neque colossi,
Neque Phari. magnum sola superaui splendorem.
Ipse meus rex Isauricos occidentem post victoriam,
Auro resplendentem me absoluit sedem auroræ,
Vndiq; è quatuor orbis partib. spirátiū vētorū expansam auris.

ΜΑΡΙΑΝΟΥ σχολαστικοῦ εἰς τὰ παλάτια Σοφιανῶν.

Ὁππόθι τμηομένης χθονὸς αὔλακα πόντον ἀνοίγει
    Πλαγκτὸς ἁλικλύστων πορθμὸς ἐπ' ἠϊόνων,
Χρύσεα συλλέκτρῳ τάδ' ἀνάκτορα θῆκεν ἀνάσσῃ
    Τῇ πολυκυδίστῃ θεῖος ἄναξ Σοφίῃ.
Ἄξιον ὦ Ῥώμη μεγαλοκρατὲς ἀντία σεῖο
    Κάλλος ἀπ' Εὐρώπης δέρκεαι εἰς Ἀσίην.

MARIANI scholastici in Palatia Sophianorum. 9.

Vbi secta terra, diuisim Pontum aperit
    Vagum à mari ablutum fretum ad litus,
Aurea coniugi hæc palatia posuit reginæ
    Multum venerandæ diuinus rex sophiæ.
Dignus ô Roma valde potens è regione tui
    Ornatus ex Europa vides in Asiam.

Ιστάμενοι, λιγυρῇσιν ἐτρεφόμην ἀνέμοις
Ορνίθων ἐπίβαθρον εὔθροον· ἀλλὰ σιδήρῳ
Ετμήθην, κλήρου κρείσσονος εὐτυχίης.
Αντὶ γὰρ ὀρνίθων, Κρατεροῦ κρατεροῖς ὑπὸ μύθοις
Αρδομένη, εὐμούσοις χεύμασι τηλεθάον.

IVLIANI ex Imperatoribus Ægypti in pulpitum
Sophistæ Crateri. 13.

Arbor ego feliciſſima, poſtquam quondam in medio ſyluæ
Stans, ſuauibus nutriebar ventis,
Auium ſedes bene reſonans: ſed ferro
Diſſecta ſorte melioris fortunæ.
Nam pro auibus, Crateri robuſtis ſermonibus
Irrigor, muſicis fontibus bene florens.

Εἰς οἶκον Ἀγαθίου σχολαστικοῦ ἐν Βυζαντίῳ.

Τεῦξέ με πολλὰ καμὼν Μουσώνιος οἶκον ἀγητὸν
Τηλίκον, ἀρκτῴοις ἄσθμασι βαλλόμενον.
Εμπης οὐκ ἀπέλειπεν ἀφεγγέα δώματα μοίρης,
Αλλά με καλλείψας, ἐν χθονὶ ναιετάει.
Καὶ ῥ' ὁ μὲν εἰς ὀλίγην κεῖται κόνιν· ἡ δὲ περισσὴ
Τέρψις ἐπὶ ξείνοις ἀνδράσιν ἐκκέχυμαι.

In domum Agathij ſcholaſtici in Byzantio. 14.

Fecit me multa laborans Muſonius domum amabilem
Tantam, arctois ventis petitam.
Tamen non reliquit tenebricoſam domum ſortis,
Sed me relinquens in terra *ſepultus* habitat.
Et hic quidem in paruo iacet puluere: hæc verò abundans
Delectatio hoſpitibus viris effundor.

ΣΙΜΩΝΙΔΟΥ εἰς θύρας.

Κίμων ἔγραψε τὴν θύραν τὴν δεξιάν.
Τὴν δ' ἐξιόντων δεξιὰν Διονύσιος.

SIMONIDÆ in ianuas. 15.

Cimon pinxit ianuam dexteram.
Verum exeuntium dexteram Dionyſius.

ΚΥΡΟΥ ἀπὸ ὑπάτων εἰς τὴν Μαξιμίνου οἰκίαν.

Δείματο Μαξιμῖνος νεοπηγέος ἔνδοθι Ῥώμης,
Αὐταῖς ἠιόνεσσι θεμείλια καρτερὰ πήξας.
Ἀγλαΐη δέ μοι ἀμφὶς ἀπειρεσίη τετάνυσται
Τῇ καὶ τῇ, καὶ ὄπισθεν ἔχω πόλιν. ἀλλὰ καὶ αὐτὴν
Παῖθ' ὁρόω γαίης Βιθυνίδος ἀγλαὰ ἔργα.
Ἡμετέροις δ' ὑπένερθεν ἐρειδομένοισι θεμέθλοις
Πόντος ἁλὸς προχοῇσι κυλίνδεται εἰς ἅλα δῖαν,
Τόσσον ἐπιψαύων ὁπόσον χθονὸς ἄκρα διῆναι.
Πολλάκι δ' ἐξ ἐμέθεν τις ἑὸν μέγα θυμὸν ἰαίνει
Βαιὸν ὑποσκύψας, ἐπεὶ εἴσιδεν ἄλλοθεν ἄλλα,
Δένδρεα, δώματα, νῆας, ἅλα, πτόλιν, ἠέρα, γαῖαν.

CYRI è consulibus in Maximini domum. 16.

Extruxit Maximinus nuper factâ in Româ,
Ipsis littoribus fundamina robusta figens.
Splendor verò mihi circum infinitus extenditur
Ibi & ibi, & à tergo habeo ciuitatem. Sed & à fronte
Omnia video terræ Bithyniæ eximia opera.
Nostris verò infra robustis fundamentis
Pontus maris fluctibus voluitur in mare sacrum,
Tantû tangês, quantû littoris summitates madefacere possunt.
Sæpius ex me quis suum animum valde oblectat,
Parum prospiciens, cùm intuitus est alibi alias,
Arbores, domos, naues, mare, vrbem, aëra, terram.

Ἀδέσποτον.

Φαιδρόν Ἰουστινιανὸς ἄναξ ἐμὲ χῶρον ἐγείρει,
Ἠελίῳ προφέρων θάμβος ἀερχομένῳ.
Οὔποτε γὰρ τοιοῦτον ἐπὶ χθονὸς ἔδρακε κάλλος,
Ὑψόθεν οὐρανίην οἶμον ἐπερχόμενος.

Incerti. 17.

Splendidum me Iustinianus rex locum excitat,
Soli præbens miraculum ascendenti.
Non enim tantam in terra vidit pulchritudinem,

Ex alto cœlestem tramitem conficiens.

ΑΓΑΘΙΟΥ.

Χῶρος ἐγὼ τὸ πρὶν μὲν ἔην στυγνωπὸς ἰδέσθαι,
Πηλοδόμοις τοίχοις ἀμφιμεριζόμενος·
Ἐνθάδε ξείνων τε καὶ ἐνδαπίων καὶ ἀγροίκων
Νηδὺς ἐπεσδούπει λύματα χευομένη·
Ἀλλὰ πατὴρ με πόληος ἐναλλάξας Ἀγαθίας,
Θῆκεν ἀρίζηλον, τὸν πρὶν ἀτιμότατον.

AGATHII. 18

Locus prius quidem ego eram fœdus aspectu,
E limo constructis muris vndique diuisus:
Hic hospitum & indigenarum & rusticorum
Venter resonabat purgamenta profundens:
Sed pater me ciuitatis permutans Agathias,
Fecit honorandum, prius in honoratissimum.

ΕΙΣ ΟΠΛΑ, κεφ. κδ΄.

Εἰς ἀσπίδα ἔχουσαν τοῦ Χριστοῦ τὴν γέννησιν.

Ὦ πόσον εὐήθης ὁ ζωγράφος, ὅτι χαράσσει
Κοίρανον εἰρήνης ἀσπίδι τικτόμενον.

IN ARMA, Cap. XXIIII.

In scutum habens Christi generationem. 1.

O quàm bonus pictor, quòd exarat
Dominum pacis in scuto nasci pictum.

ΑΝΤΙΠΑΤΡΟΥ εἰς κράνος.

Ἡ κόρυς ἀμφοτέρων ἔλαχον χάριν· εἰμὶ δ' ὁρᾶσθαι
Καὶ τερπνὴ φιλίοις, καὶ φόβος ἀντιπάλοις.
Ἐκ δὲ Πυλαιμένεος Πείσων μ' ἔχει. ἔπρεπε δ' ἄλλαις
Οὔτε κόρυς χαίταις, οὔτε κόμη κόρυθι.

ANTIPATRI in galeam. 2.

Galea vtramque sortitur gratiam: sum enim videre

Et gratiosa amicis, & metus hostibus.
Ex Palæmone Pison me habet. Decebat verò alias
Neque galea iubas, neque cæsaries galeam.

ΕΙΣ ΟΡΧΗΣΤΡΙΔΑΣ, κεφ. κε.

ΛΕΟΝΤΙΟΥ σχολαστικοῦ εἰς εἰκόνα ὀρχηστρίδος.

Μουσάων δεκάτη, Χαρίτων Καράμαλλε τετάρτη,
Τερπωλὴ μερόπων, ἄστεος ἀγλαΐη,
Ὄμματά σοι, καὶ ταρσά, ποδηνέμα, καὶ σοφὰ χειρῶν
Δάκτυλα, καὶ Μουσῶν κρείσσονα καὶ Χαρίτων.

IN SALTATRICES, Cap. XXV.

LEONTII scholastici in imaginem saltatricis. 1.

Musarum decima, Gratiarum Caramalle quarta,
Delectatio hominum, vrbis serenitas,
Oculi tibi, & pedes instar venti, & prudentes manuum
Digiti, & musis meliora & Gratiis.

Τοῦ αὐτοῦ εἰς εἰκόνα ἑτέρας ὀρχηστρίδος ἱσταμένης ἐν τῷ Σωσθενίῳ.

Εἰμὶ μὲν Ἑλλαδίη Βυζαντιάς, ἐνθάδε δ' ἔστην
Ἧχι χοροστασίην εἴαρι δῆμος ἄγει,
Ὁππόθι πορθμῷ γαῖα μερίζεται. ἀμφότεραι γὰρ
Ἄντυγες ὀρχηθμοὺς ᾔνεσαν ἡμετέρους.

Eiusdem in imaginem alterius saltatricis stantis in Sosthenio. 2.

Sum Græca Byzantias; hic verò posita sum
Vbi saltationem verè populus habet,
Vbi vado terra diuiditur. ambi enim
Ambitus saltationes laudarunt nostras.

Τοῦ αὐτοῦ εἰς εἰκόνα ὀρχηστρίδος διὰ χρυσοῦ ἐν Βυζαντίῳ.

Οὔτις ἐπ' Ἀνθούσῃ χρυσὸν βάλεν, ἀλλὰ καὶ αὐτῇ
Ἀμφεχύθη Χρυσίδης, ὡς τὸ πάρος Δανάῃ.
Σώματι δ' οὐκ ἐπέλασσεν, ἐπεὶ νόον ἔλλαβεν αἰδώς

Μή τι

Μή τινι Μουσάων μίσγεται οὐκ ἐθέλων.

Eiuſdem in imaginem Saltatricis aureæ in Byzantio. 3.

Nemo Anthuſæ aurum adfudit, verùm & ipſi
Circumfuſus Iupiter, vt prius Danaæ.
Corpore quidẽ nõ formauit, poſtquã mentẽ ſortitus eſt pudor
Numquid cui muſæ commiſcetur nolens.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Θῆλυς ἐν ὀρχηθμοῖς κρατέει φύσις. εἴξατε κοῦροι.
Μοῦσα καὶ Ἑλλαδίη τοῦτον ἔθεντο νόμον·
Ἡ μὲν, ὅτι πρώτη κινήσιος εὕρετο ῥυθμούς·
Ἡ δ', ὅτι τῆς τέχνης ἦλθεν ἐς ἀκρότατον.

Ejuſdem in idem. 4.

Feminea in choreis antecellit natura. Cedite iuuenes.
Muſa & Helladia hanc poſuere legem.
Hæc quidem, quòd prima motus inuenit rhythmos,
Hæc verò quòd artis venit in ſummitatem.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ἕκτορα μέν τις ἄεισε νέον μέλος· Ἑλλαδίη δὲ
Ἑσσαμένη χλαῖναν, πρὸς μέλος ἠντίασεν.
Ἦν δὲ πόθος καὶ δεῖμα παρ' ὀρχηθμοῖσιν Ἐνυοῦς.
Ἄρσενι γὰρ Ῥώμη θῆλυν ἔμιξε χάριν.

Eiuſdem in idem. 5.

Hectora quidem aliquis cecinit, nouũ carmen. Helladia verò
Induens lænam, ad cantilenam proceſſit.
Erat verò & deſiderium & metus in ſaltatione Enyus.
Virili enim Romæ femineam commiſcuit gratiam.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Οὔνομ' ἔχεις λιβανοῦ, Χαρίτων δέμας, ἤθεα Πειθοῦς,
Παρθένε, καὶ Παφίης κεστὸν ὑπὸ κλαγόνων.
Αὐτὰρ ἐν ὀρχηθμοῖσιν, ἔρως ἅτε κοῦφος ἀθύρεις,
Κάλλει καὶ τέχνῃ πάντας ἐφελκομένη.

Eiuſdem in idem. 6.

Nomen habes thuris, Gratiarum corpus, mores Suadelæ,
Virgo, & Veneris cestum infra ilia.
Sed in saltatione Amor vt leuis saltas,
Pulchritudine & arte omnes rapiens.

Εἰς Ξενοφῶντος Σμυρναίου εἰκόνα.

Αὐτὸν ὁρᾶν Ἰόβακχον ἐδόξαμεν, ἡνίκα λῃνοῖς
Ὁ πρέσβυς νεαρῆς ἦρχε χοροιμανίης·
Καὶ Κάδμου τὰ πάνηβα χορεύματα, καὶ τὸν ἀφ' ὕλης
Ἄγγελον, εὐιακῶν ἰχνελάτην θιάσων,
Καὶ τὴν εὐάζουσαν ἐν αἵματι παιδὸς Ἀγαύην
Λυσσάδα. φεῦ θείης ἀνδρὸς ὑποκρισίης.

In Xenophontis Smyrnæi imaginem. 7.

Ipsum videre Bacchum videmur, cùm Bacchis
Senex iuuenilem incepit Choreæ insaniam:
Et Cadmi plus quàm iuueniles saltationes, & à monte
Nunciũ, Bacchicorũ vestigia lustrantiũ tripudiantiũ choro-(rum,
Et gaudentem in sanguine filij Agauem
Insanam. Hèi diuinam viri repræsentationem!

ΑΝΤΙΠΑΤΡΟΥ εἰς στήλην Πυλάδου ὀρχηστοῦ.

Αὐτὸν βακχευτὴν ἐνέδυ θεόν, ἡνίκα βάκχας
Ἐκ Θηβῶν Ἰταλὴν ἤγαγε πρὸς θυμέλην
Ἀνθρώποις Πυλάδης· τερπνὸν δέος, οἷα χορεύων
Δαίμονος ἀκρήτου πᾶσαν ἔπλησε πόλιν.
Θῆβαι γιγνώσκουσι τὸν ἐκ πυρός· οὐράνιος δὲ
Οὗτος ὁ παμφώνοις χερσὶ λοχευόμενος.

ANTIPATRI in columnam Pyladæ saltatoris. 8.

Ipsum Bacchatorem induit deum, cùm Bacchas
Ex Thebis Italicum duxit ad sacrificium
Hominibus Pylades: suauis timor, qualia saltans
Ipsius Dei impermixti omnem impleret ciuitatem.
Thebæ cognoscunt illum ex igne: celestis verò
Hic nihil non gestu exprimentibus manibus editus.

ΕΙΣ ΠΗΓΑΣ, κτλ.

Ἀδέσποτον εἰς πηγὴν ἐν τῷ Ὀλύμπῳ ὄρει.

Ταῖς Προύσης νύμφαις ὑποείκομεν· ἀλλὰ καὶ αὐταὶ
  Κρείσσονες ἡμείων χαίρετε Πυθιάδες.
Αἱ δ' ἄλλαι πᾶσαι μετὰ Πύθια, καὶ μετὰ Προῦσαν·
  Ἡμετέραις νύμφαις εἴξατε νηϊάδες.

IN FONTES, Cap. XXVI.

Incerti in fontem in Olympo monte. 1.

Prusæ fontibus cedimus: sed & ipsæ
  Meliores nobis gaudete Pythiades.
Aliæ verò omnes post Pythia, & post Prusam,
  Nostris fontibus cedite Naïades.

Εἰς Καμάριναν ἐν Σικελίᾳ παροιμιῶδες.

Μὴ κίνει Καμάριναν· ἀκίνητος γὰρ ἀμείνων.
Μήποτε κινήσας τὴν μείονα, μείζονα θείης.

In Camerinam in Siciliâ prouerbiale. 2.

Ne moueas Camarinam: immota enim est melior.
Ne quando mouens minorem, maiora facias.

Ἀδέσποτον.

Ἀέναον καθαρὴν τε παρερχομένοισιν ὁδίταις
  Πηγὴν ἀμβλύζει γειτονέουσα νάπη.
Πάντη δ' αὖ πλατάνοισι καὶ ἠμερθαλέσι δάφναις
  Ἔστεμμαι, σκιερῇ ψυχομένη κλισίῃ.
Τοὔνεκα μή με θέρευς παραμείβεο· δίψαν ἀλαλκὼν
  Ἄμπαυσον παρ' ἐμοὶ καὶ πόνον ἡσυχίῃ.

Incerti. 3.

Perennem purúmque prætereuntibus viatoribus
  Fontem sursum scaturiendo producit vicinus saltus.
Vndique rursus platanis, & suauiter florentibus lauris
  Coronatus sum, vmbrosa refrigeratus sede.
Ob id ne me sub æstatem transi: sitim restinguens
  Requiescere facias apud me etiam laborem quiete.

ΑΝΥΤΗΣ.

Φριξοκόμᾳ τόδε Πανὶ καὶ αὐλιάσιν θέτο νύμφαις
Δῶρον ὑπὸ σκοπιᾶς Θεύδοτος οἰονόμος.
Οὕνεχ' ὑπ' ἀζαλέου θέρεος μέγα κεκμηῶτα
Παῦσεν, ὀρέξασαι χερσὶ μελιχρὸν ὕδωρ.

ANYTES. 4.

Horricomo hoc Pani & ſtabularibus poſuit nymphis
Munus è ſpecula, Theodotus paſtor.
Eo quòd in ſicca æſtate valde defatigatum
Saturarunt, præbentes manibus ſuauem aquam.

ΝΙΚΙΟΥ.

Ἵζευ ὑπ' αἰγείροισιν (ἐπεὶ κάμες) ἐνθάδ' ὁδῖτα,
Καὶ πίε θᾶσσον ἰὼν πίδακος ἁμετέρας.
Μνᾶσαι δὲ κράνας καὶ ἀπόπροθεν, ἃν ἐπὶ Γίλλῳ
Σιμὸς ἀποφθιμένῳ παιδὶ παρειδρύεται.

NICII. 5.

Sede ſub populo (poſtquam laboraſti) hîc viator,
Et bibe citò vadens è latice noſtro.
Recordare verò fontis, etiam procul abhinc, quem Gillo
Simus mortuo puero conſtituit.

Ἀδήλου.

Ὠκεανοῦ θυγάτηρ καὶ Τηθύος εἰμὶ Νύχεια
Κρήνη· Τηλεβόαι γάρ με τόδ' ὠνόμασαν.
Νύμφαις μὲν προχέω λουτρὸν, θνητοῖσι δ' ὑγείην.
Θῆκε δέ με Πτερέλας υἱὸς Ἐνυαλίου.

Incerti. 6.

Oceani filia, & Tethyos ſum Nycheia
Fons: Teleboæ enim ita me nominarunt.
Nymphis quidē profundo lauacrum: mortalibus v. ſanitatem.
Fecit v. me Pterelas filius Martis.

Ἀδέσποτον.

Ἔνθεν Ἀλέξανδρος Μακεδὼν πίεν ἀγλαὸν ὕδωρ,
Μυθεῦς δ' εἶπε γάλακτι ποτιμείκελα ῥεύματα πηγῆς,

Ἡ καὶ Ὀλυμπιάδος πόρεν οὔνομα μητέρος ἐσθλῆς.

Incerti. 7.

Hinc Alexander Macedo bibit inclytam aquam,
Matris verò dixit lacti persimiles fluctus fontis,
Vnde & Olympiadis dedit nomen matris bonæ.

ΕΙΣ ΠΟΙΗΤΑΣ, κεφ. κζ.

Εἰς εἰκόνα Ὁμήρου.

Υἱὲ Μέλητος Ὅμηρε, σὺ γὰρ κλέος Ἑλλάδι πάσῃ
 Καὶ Κολοφῶνι πάτρῃ θῆκας ἐς ἀΐδιον.
Καὶ τάσδ' ἀντιθέῳ ψυχῇ γεινήσαο κούρας,
 Δισσὰς ἐκ στηθέων γραψάμενος σελίδας·
Ὑμνεῖ δ' ἡ μὲν νόστον Ὀδυσσῆος πολύπλαγκτον,
 Ἡ δὲ τὸν Ἰλιακὸν Δαρδανίων πόλεμον.

IN POETAS, Cap. XXVII.

In imaginem Homeri. 1.

Fili Mileti Homere, tu enim gloriam Greciæ vniuersæ
 Et Colophoni patriæ fecisti perpetuam.
Et has diuino animo generasti puellas,
 Duas ex præcordiis inscribens paginas:
Canit hæc quidem reditum Vlyssis valde errantem,
 Hæc verò Iliacum Græcorum bellum.

Εἰς τὸν αὐτόν.

Τίς ποθ' ὁ τὸν Τροίης πόλεμον σελίδεσσι χαράξας,
 Ἢ τίς ὁ τὴν δολιχὴν Λαρτιάδαο πλάνην;
Οὐκ ὄνομ' εὑρίσκω σαφὲς, οὐ πόλιν, οὐράνιε Ζεῦ,
 Μήποτε σῶν ἐπέων δόξαν Ὅμηρος ἔχει;

In eundem. 2.

Quis ille qui olim Troiæ bellum libris exarauit,
 Aut quis ille qui longum Laërtiadæ errorem?
Non nomen inuenio manifestè, non vrbem, cælestis Iupiter,
 Nunquid tuorum carminum gloriam Homerus habet?

Εἰς τὸν αὐτόν.

Ὁπποίας σε Ὅμηρον ἀναγραψώμεθα πάτρης,
  Κεῖνον ἐφ' ᾧ πᾶσαι χεῖρ' ὀρέγουσι πόλεις;
Ἢ τὸ μὲν ἔστιν ἄγνωστον· ὁ δ' ἀθανάτοις ἴσος ἥρως
  Ταῖς μούσαις ἔλιπεν πατρίδα καὶ γενεήν;

In eundem. 3.

Cuius Homerum ſcribemus eſſe patriæ,
  Illum cui omnes manum iniiciunt ciuitates?
Quòd ſi hoc fortè incognitum eſt: verùm diis æqualis Heros
  Muſis reliquit patriam & genus?

Εἰς τὸν αὐτόν.

Οὐχὶ πέδον Σμύρνης ἐλοχεύσατο θεῖον Ὅμηρον,
  Οὐ Κολοφὼν τραφερῆς ἄστρον Ἰωνίης,
Οὐ Χίος, οὐκ Αἴγυπτος εὔσπορος, οὐ Κύπρος ἁγνή,
  Οὐ νῆσος κραναὴ Λαρτιάδαο πάτρη,
Οὐκ Ἄργος Δαναοῖο, Κυκλωπείη τε Μυκήνη,
  Οὐδὲ τὸ Κεκροπίων ἄστυ παλαιογόνων.
Οὐ γὰρ ἔφυ χθονὸς ἔργον· ἀπ' αἰθέρος ἀλλά ἑ μοῦσαι
  Πέμψαν, ἵν' ἡμερίοις δῶρα ποθητὰ φέρῃ.

In eundem. 4.

Non ſolum Smyrnæ diuum generauit Homerum,
  Non Colophon aridæ ſydus Ioniæ,
Non Chius, non Ægyptus bene ſeminata, non Cyprus ſancta,
  Non inſula aſpera Laërtiadæ patria,
Non Argus Danai, Cyclopeiáque Mycena,
  Neque Cecropiorum vrbs Paphlagonum,
Non enim fuit terræ opus: ab æthere ſed illum muſæ
  Miſerunt, vt hominibus dona deſiderabilia adferret.

ΑΝΤΙΠΑΤΡΟΥ εἰς τὸν αὐτόν.

Οἱ μὲν σευ Κολοφῶνα τιθηνήτειραν Ὅμηρε,
  Οἱ δὲ καλὴν Σμύρναν, οἱ δ' ἐνέπουσι Χίον.
Οἱ δ' Ἴον, οἱ δ' ἐβόασαν εὔκλαρον Σαλαμῖνα,
  Οἱ δέ νυ τὴν Λαπιθῶν μητέρα Θεσσαλίην.

Ἄλλοι δ᾽ ἄλλην γαῖαν ἀυτίαχον· εἰ δέ με Φοίβου
Χρὴ λέξαι πινυτὰς ἄνδιχα μαντοσύνας,
Πάτρα σοι πέλεθ᾽ μέγας οὐρανός, ἐκ δὲ τεκούσης
Οὐ θνατᾶς, ματρὸς δ᾽ ἔπλεο Καλλιόπας.

ANTIPATRI in eundem. 5.

Hi quidem te Colophonem nutricem; Homere,
Hi verò pulchram Smyrnam, hi verò dicunt Chium,
Hi verò Ium, alij verò clamarunt pinguem Salaminem,
Alij verò Lapitharum matrem Thessaliam.
Alij verò aliam terram iactant: si verò me Phœbi
Fas est dicere varia contra vaticinia,
Patria tibi fuit magnum cœlum, ex verò matre
Non mortali, matre verò fuisti Calliope.

Εἰς τὸν αὐτόν.

Ἑπτὰ ἐριδμαίνουσι πόλεις διὰ ῥίζαν Ὁμήρου,
Κύμη, Σμύρνα, Χίος, Κολοφών, Πύλος, Ἄργος, Ἀθῆναι.

In eundem. 6.

Septem vrbes certant ob stirpem *insignis* Homeri,
Cuma, Smyrna, Chius, Colophon, Pylus, Argus, Athenæ.

Εἰς τὸν αὐτόν.

Ἑπτὰ πόλεις μάρναντο σοφὴν διὰ ῥίζαν Ὁμήρου,
Σμύρνα, Χίος, Κολοφών, Ἰθάκη, Πύλος, Ἄργος, Ἀθῆναι.

In eundem. 7.

Septem vrbes pugnant genus ob sapientis Homeri,
Smyrna, Chios, Colophon, Ithaca, Pylus, Argus, Athenæ.

Εἰς τὸν αὐτόν.

Χῖος ἔφυς; οὐ φημί. τί δαί, Σμυρναῖος; ἀπαυδῶ.
Κύμη δ᾽ ἢ Κολοφὼν πατρὶς Ὅμηρε σέθεν;
Οὐδετέρη. Σαλαμὶς δ᾽ ἡ σὴ πόλις; οὐδ᾽ ἀπὸ ταύτης
Ἐξέφυν. ἀλλ᾽ αὐτὸς λέξον ὅπη γέγονας.
Οὐκ ἐρέω. τίνος ἦρα; πέπεισμ᾽ ὅτι τἀτρεκὲς εἰπὼν,
Ἕξω τὰς ἄλλας ἄμμιν ἀπεχθομένας.

In eundem. 8.

Τίς ποθ' Ὁμηρείης μεγάλης ὀπὸς ἐστὶν ἀπυστής;
Τίς χθὼν, τίς δὲ θάλασσα μάχην οὐκ οἶδεν Ἀχαιῶν;
Δῆμος ὁ Κιμμερίων πανδερκέος ἄμμορος αἴγλης
Ἠελίου, Τροίης ὄνομ' ἔκλυεν· ἔκλυεν Ἄτλας,
Οὐρανὸν εὐρύστερνον ἔχων ἐπικείμενον ὤμοις.

In eundem. 11.

Quis vnquam Homericæ magnæ ſuccus eſt fando nõ auditus?
Quæ terra, quod mare pugnam non nouit Argiuorum?
Populus Cimmeriorũ omnia cernentis nõ particeps ſplẽdoris
Solis, Troiæ nomen audiuit: audiuit Atlas,
Cælum latum habens impoſitum humeris.

Εἰς τὸν αὐτόν.

Διεξιὼν Ὅμηρε τὴν κεκαυμένην,
Φθόνον ἀφῆκας ταῖς ἀπορθήτοις πόλεις.

In eundem. 12.

Recenſens, Homere, exuſtam,
Inuidere feciſti ipſi non deletas ciuitates.

ΑΝΤΙΠΑΤΡΟΥ Εἰς εἰκόνα Πινδάρου.

Νεβρείων ὁπόσον σάλπιγξ ὑπερίαχεν αὐλῶν,
Τόσσον ὑπὲρ πάσας ἔκλαγε σεῖο χέλυς.
Οὐδὲ μάτην ἁπαλὸς ξουθὸς περὶ χείλεσιν ἑσμὸς
Ἔπλασε κηρόδετον Πίνδαρε σεῖο μέλι.
Μάρτυς ὁ Μαινάλιος κεροεὶς θεὸς, ὕμνον ἀείσας
Τὸν σέο, καὶ νομίων λησάμενος δονάκων.

ANTIPATRI in imaginem Pindari. 13.

Oſſeas quantum tuba ſuperat tibias,
Tantum ſuper omnes inſonuit tua teſtudo.
Neque fruſtra mollis tenuis circa labra multitudo
Formauit cera reuinctum Pindare tuum mel.
Teſtis Mænalius cornutus Deus, hymnum canens
Tuum, & paſtoralium oblitus fiſtularum.

ΚΥΡΟΥ ἀπὸ ὑπάτων εἰς τὸν αὐτόν.

Πίνδαρον ἱμερόεντα παρ' ὕδασι Κύρος ἐγείρει

Οὕνεκα φορμίζων εἶπεν ἄριστον ὕδωρ.

CYRI è consulibus in eundem. 14.

Pindarum amabilem prope aquas Cyrus excitat
Eo quòd fidibus canens dixit, optima aqua.

ΛΕΩΝΙΔΟΥ Ταραντίνου Εἰς Ανακρέοντα.

Πρέσβυν Ανακρείοντα χύδην σεσαλαγμένον οἴνῳ
Θάεο, δινωτοῦ στρεπτὸν ὕπερθε λίθου,
Ως ὁ γέρων λίχνοισιν ἐπ' ὄμμασιν ὑγρὰ δεδορκὼς,
Αχρι καὶ ἀστραγάλων ἕλκεται ἀμπεχόναν.
Διασῶν δ' ἀρβυλίδων τὴν μὲν μίαν, οἷα μεθυπλὴξ,
Ωλεσεν· ἐν δ' ἑτέρᾳ ῥικνὸν ἄραρε πόδα.
Μέλπει δ' ἠὲ Βάθυλλον ἐφίμερον, ἠὲ Μεγιστὰν,
Αἰωρῶν παλάμᾳ τὴν δυσέρωτα χέλυν.
Αλλὰ πάτερ Διόνυσε φύλασσέ μιν· οὐ γὰρ ἔοικεν
Ἐκ Βάκχου πίπτειν βακχιακὸν θέραπα.

LEONIDAE Tarentini in Anacreontem. 15.

Senem Anacreontem affatim fluctuantem vino
Aspice rotundo conuersum super lapide,
Quomodo senex delitiosis in oculis lasciuè intuitus,
Vel vsque ad talos trahit vestimentum.
Duorum verò calceorum vnum quidem tanquam vino amés,
Perdidit. In altero verò rugosum collocauit pedem.
Canit verò aut Bathyllum amabilem aut Megistam,
Excitans dextra infelicem in amore testudinem.
Verùm pater Bacche serua ipsum: non enim fas est
A Baccho cadere Bacchiacum ministrum.

ΛΕΩΝΙΔΟΥ.

Ιδ' ὡς ὁ πρέσβυς ἐκ μέθης Ανακρέων
Υποσκέλισται, καὶ τὸ λώπος ἕλκεται
Ες ἄχρι γυίων. τῶν δὲ βλαυτίων τὸ μὲν
Ομῶς φυλάσσει, θάτερον δ' ἀπώλεσεν.
Μελίσδεται δὲ τὴν χέλυν διακρέκων
Ητοι Βάθυλλον ἢ καλὸν Μεγιστέα.

φύλασσε Βάκχε τὸν γέροντα μὴ πέσῃ.

LEONIDAE. 16.

Vide quomodo ſenex ex ebrietate Anacreon
In terram deiectus eſt, & veſtem trahit
Vſque ad membra. Crepidarum verò hanc quidem
Adhuc ſeruat, alteram verò perdidit.
Canit verò teſtitudinem pulſans
Vel Bathyllum, vel pulcrum Megiſtam.
Cuſtodi Bacche ſenem ne cadat.

ΕΥΓΕΝΟΥΣ.

Τὸν τοῖς μελιχροῖς ἱμέροισι σύντροφον
Λυαῖος Ἀνακρέοντα, Τήϊον κύκνον,
Ἔσφηλας ὑγρῇ νέκταρος μελιηδόνι.
Λοξὸν γὰρ αὐτοῦ βλέμμα, καὶ περὶ σφυροῖς
Ῥιφθεῖσα λώπευς πέζα, καὶ μονοζυγὶς
Μέθην ἐλέγχει σάνδαλον· χέλυς δ' ὅμως
Τὸν εἰς ἔρωτας ὕμνον ἀνθερίζεται.
Ἄπταιστα τήρει τὸν γεραιὸν Εὔιε.

EVGENIS. 17.

Dulcibus cupidinibus connutritum
Bacchus Anacreontem, Teïum cygnum,
Decepiſti humida nectaris dulcedine.
Obliquos enim eius oculos, & circa malleolum
Proiectus veſtis limbus, & vniiugus
Ebrietatem arguit calceus: teſtudo tamen
In amoris hymnum colligitur.
Non cadentem ſerua ſenem, Bacche.

Ἀδέσποτον εἰς τὸν αὐτόν.

Τήϊον ἀμφοτέρων με βλέπεις ἀκόρεστον ἐρώτων
Πρέσβυν, ἴσον κούροις, ἴσον ἀδόντα κόραις.
Ὄμμα δέ μου βρομίῳ βεβαρημένον, ἤδη ἀπὸ κώμων
Τερπνὰ φιλαγρύπνων σήματα παννυχίδων.

Incerti in eundem. 18.

Teïum vtriusque me cernis insatiabilem amoris
  Senem, æqualem iuuenibus, idem canentem cum puellis.
Oculus verò meus vino grauatus, & comessationum
  Iucunda insomnium signa per totam noctem.

ΔΗΜΟΧΑΡΙΔΟΣ εἰς εἰκόνα Σαπφοῦς.

Αὐτή σοι πλάσεσθαι φύσις παρέδωκε τυπῶσαι
  Τὴν Μιτυληναίαν ζωγράφε πιερίδα.
Πηγάζει δὲ διαυγὲς ἐν ὄμμασι· τοῦτο δ' ἐναργῶς
  Δηλοῖ φαντασίην ἔμπλεον εὐστοχίης·
Αὐτομάτως δ' ὁμαλή τε καὶ οὐ περίεργα κολάσσα
  Σὰρξ ὑποδεικνυμένην τὴν ἀφέλειαν ἔχει.
Ἄμμιγα δ' ἐξ ἱλαροῖο καὶ ἐκ νοτεροῖο προσώπου
  Μοῦσαν ἀπαγγέλλει Κύπριδι μισγομένην.

DEMOCHARIDIS in imaginem Sapphus. 19.

Ipsa tibi formatrix natura dedit efformare
  Mitylinæam pictor pieridem.
Scatet pellucidum in oculis: hoc verò perspicuè
  Repræsentat phantasiam plenam solertiæ.
Sponte verò simpléxque, & non aliena amputans
  Caro ostensam simplicitatem habet.
Mixtim verò ex hilara & humida facie
  Musam indicat cum Venere commixtam.

ΖΗΝΟΒΙΟΥ γραμματικοῦ εἰς εἰκόνα γραμματικοῦ.

Αὐτὴν γραμματικὴν ὁ ζωγράφος ἤθελε γράψαι·
  Βίκτορα δ' οὖν γράψας, τὸν σκοπὸν, εἶπεν, ἔχω.

ZENOBII Grammatici in imaginem *Victoris* Grammatici. 20.

Ipsam Grammaticam pictor voluit pingere:
  Victorem verò pingens, scopum, inquit, habeo.

ΑΣΚΛΗΠΙΑΔΟΥ εἰς εἰκόνα Ἡσιόδου.

Αὐταί ποιμαίνοντα μεσημβρινὰ μῆλά σε μοῦσαι
  Ἔδρακον ἐν κραναοῖς οὔρεσιν Ἡσίοδε·
Καί σοι καλλιπέτηλον ἐρυσάμεναι περὶ πᾶσαι

Ὤρεξαν δάφνης ἱερὸν ἀκρέμονα·
Δῶκαν δὲ κρήνης Ἑλικωνίδος ἔνθεον ὕδωρ,
Τὸ πτανοῦ πώλου πρόσθεν ἔκοψεν ὄνυξ.
Οὗ σὺ κορεσσάμενος, μακάρων γένος, ἔργα τε μολπαῖς
Καὶ γένος ἀρχαίων ἔγραφες ἡμιθέων.

ASCLEPIADAE in imaginem Hesiodi. 21.

Ipsæ pascentem in meridie oues te Musæ
Viderunt asperis in montibus, Hesiode:
Et tibi pulchra folia habentem decerpentes omnes
Porrexerunt lauri sacrum ramum:
Dederunt verò fontis Heliconis diuinam aquam,
Quod prius alati vngula rupit equi.
Quo tu satiatus, diuorum genus, & opera cantibus
Et genus priscorum descripsisti iuuenum.

Ἄδηλον ὡς ἀπὸ τῆς βίβλου Λυκόφρονος.

Οὐκ αὖ ἐν ἡμετέροισι, τὰ ἑξῆς ζήτει ἐν τῷ ἐ κεφαλαίῳ τῆς πρώτης βίβλου.

Εἰς Ὀππιανόν.

Ὀππιανὸς σελίδεσσιν ἁλίπλοα φῦλα συνάψας,
Θήκατο πᾶσι νέοις ὄψον ἀπειρέσιον.

In Oppianum. 22.

Oppianus libris in mari spirantes generationes coniungens,
Posuit omnibus posteris obsonium infinitum.

Ἄδηλον.

Καλλιόπη βασίλεια Γεώργιον εἶπεν ἰδοῦσα,
Οὗτος ἐμὸς γενέτης γνήσιος, οὐ Κρονίδης.

Incerti 23.

Calliope regina Georgium dixit intuita
Hic meus est pater genuinus, non Iupiter.

Ἄδηλον.

Ἔλθετε πρὸς τέμενος γλαυκώπιδος ἀγλαὸν Ἥρης
Λεσβίδες ἁβρὰ ποδῶν βήματ' ἐρεισάμεναι,
Ἔνθα χορὸν καλὸν στήσασθ', ὕμμιν δ' ἀπάρξει
Σαπφὼ χρυσείην χερσὶν ἔχουσα λύρην.

Ὄλβιαι ὀρχηθμοῖο πολυγηθέος· ἢ γλυκὺν ὕμνον
Εἰσαΐειν αὐτῆς δόξετε Καλλιόπης.

Incerti. 24.

Venite ad nemus cæsios oculos habentis inclytum Iunonis
Lesbides, mollia pedum vestigia figentes.
Vbi choream pulchram statueritis, vobis autem incipiet
Sappho auream manu habens lyram.
Beatæ ob saltationem valde iucundam. Certè suauem hymnũ
Audire ipsius videmini Calliopes.

ΕΙΣ ΠΟΛΕΙΣ, κεφ. κη.

Ἀδέσποτον εἰς Ἡράκλειαν τὴν Πόντου.

Εἰ πόλιν Ἡρακλῆος ὁμώνυμον οἶσθα καὶ ἄλλην,
Ἴσθι με τὴν Πόντου μηδὲν ἀτιμοτέρην.

IN VRBES. CAP. XXVIII.

Incerti in Heracleam Ponti 1.

Si ciuitatem Herculis cognominem nouisti & aliam,
Scito me Ponti esse nihilo inhonoratiorem.

Ἀδέσποτον εἰς μῶλον ἐν Σμύρνῃ τῇ θαλάττῃ ἐπικείμενον, ἐν ᾧ καὶ ὕδρειον.

Τίς βυθὸν ἠπείρωσε; τίς ἐν ῥοθίοισιν ἔτευξεν
Ἀκτὴν ἀμφιρύτην λάεσι μαρμαρέοις;
Τίς δ' ἐνὶ κύμασι τεῦξε ποτὸν πλωτῆρας ἀφύσσειν
Αὐτῶν ἐκ νηῶν χερσὶν ἀρυομένους;
Οὗτος ὁ ποικιλόμητις ἀνὴρ Βενέτιος ἀμύμων,
Κτίσμασι νικήσας Θησέα καὶ Πέλοπα.

Incerti in munitionem in Smyrna, mari suppositam, in quam & hydria. 2.

Quis profundũ in continentẽ redegit? quis in mari cõstruxit
Litus circumfluum marmoreo lapide?
Quis verò in fluctibus fecit potum, vt nauigantes hauriant,
Ipsis ex nauibus manu haurientes?

a Hic variis consiliis vir Venetius inculpatus,
Constructionibus superans Thesea & Pelopem.

Εἰς φάρον ἐν τῇ αὐτῇ.

a Τίς τόσον ἔργον ἔτευξε; τίς ἡ πόλις; ἢ δὲ γέρας τί;
b Ἀμβρόσιος, Μυλασεύς, τὸν φάρον, ἀνθύπατος.

In Pharon in eâdem. 3.

a Quis tantum opus fecit? quæ hæc vrbs? Hoc munus quod?
b Ambrosius, Mylasensis, pharon, proconsul.

Ἀδέσποτον εἰς φάρον Ἀλεξανδρείας.

Πύργος ἐγὼ ναύτῃσιν ἀλωομένοισιν ἀρήγων
Εἰμί, Ποσειδάωνος ἀπενθέα πυρσὸν ἀνάπτων.
Καί με πεσεῖν μέλλοντα βαρυγδούποισιν ἀήταις,
Στῆσεν ἑοῖς καμάτοις Ἀμμώνιος, ὃς βασιλῆος
Ἐστὶ πατήρ. κείνῳ δὲ μετ᾽ ἄγρια κύματα ναῦται
Χεῖρας ἀερτάζουσιν, ἅτε κλυτῷ Ἐννοσιγαίῳ.

Incerti in pharon Alexandriæ. 4.

Turris ego nautis errantibus subueniens
Sum, Neptuni non lugendum lychnum accendens.
Et me cadere volentem grauiter flantibus ventis,
Statuit suis laboribus Ammonius, qui regis
Est pater. ipsi post horridos fluctus nautæ
Manus eleuant tanquam inclyto Neptuno.

Εἰς τὸν αὐτὸν, ἐν Σμύρνῃ.

Μηκέτι δειμαίνοντες ἀμεμφέα νυκτὸς ὁμίχλην,
Εἰς ἐμὲ θαρσαλέως πλώετε ποντοπόροι.
Πᾶσιν ἀλωομένοις τηλαυγέα δαλὸν ἀνάπτω,
Τῶν Ἀσκληπιαδῶν μνημοσύνην καμάτων.

In eundem in Smyrnâ. 5.

Non amplius timentes irreprehensibilem noctis caliginem,
Ad me confidenter nauigate nautæ.
Omnibus errantibus latè splendentem lychnum accendo,
Asclepiadum recordationem laborum.

Ἀδέσποτον ἐν Ἄσσῳ.

Γᾶσα μὲν Ἀξιόχῳ πόλις εὔχεται· (ἄλλο γὰρ ἄλλης
Πῆμα παραστείχων, ὡς θεὸς, ἠκέσατο)
Ἔξοχα δὲ κραναῇ ῥόον ὕδατος ὤπασεν Ἄσσῳ,
Πολλῶν πετράων σκληρὰ μέτωπα τεμών.
Μηκέτι φεύγετε πάντες ἀποπροθέοντες ὁδῖται,
Πλημμύρω ψυχροῖς ὕδασιν Ἀξιόχου.

Incertum in Asso. 6.

Omnis quidem Axiocho precatur vrbs(aliud enim alius
Malum accedens, vt Deus, sanauit)
Potissimum verò aspero ductum aquæ præbuit Asso,
Multorum lapidum dura sincipitia secans.
Non amplius fugite omnes præcurrentes viatores,
Æstu inundo frigidis aquis Axiochi.

Εἰς τὴν Εὐγενίου πύλην ἐν Βυζαντίῳ.

Οὗτος Ἰουλιανὸς λαοσσόα τείχεα πήξας,
Στῆσε τρόπαιον, ἑῆς σύμβολον ἀγρυπνίης,
Σφάζειν ἀντιβίους ἐχθροὺς ἀπόθεν τε μενοινῶν,
Ἢ προπάροιθε κροτεῖν τῆς πόλεως πολέμους.

In Eugenij columnam in Byzantio. 7.

Hic Iulianus populos seruantes muros ponens,
Constituit trophæum suæ symbolum sedulitatis,
Mactare contrarios hostes vel procul cogitans,
Vel ante sonare ciuitatis bella.

Εἰς τὴν ἀψῖδα ἐν τῇ βασιλικῇ, ἐν Βυζαντίῳ.

Τετραπόροις ἀψῖσι πόλιν Θεόδωρος ἐγείρας,
Ἄξιός ἐστι πόλιν καὶ τέτρατον ἡνιοχεύειν.

In fornicem in Basilica in Byzantio. 8.

Quatuor meatus habentis fornicis vrbem Theodorus excitás,
Dignus est vrbem & quartùm equitare.

Εἰς τὸ ἕτερον μέρος τῆς αὐτῆς ἀψῖδος.

Ἐπρεπέ σοι Θεόδωρε τύχης εὐκίονα νηὸν
Ἔργου κοσμῆσαι θαύμασι παντοίου,

Δωρεά τε κυδήεντα πορὲν χρυσάσπιδι Ῥώμῃ,
Ἡ σ' ὕπατον τεῦξεν, καὶ τρισέπαρχον ὁρᾷ.

In aliam partem eiusdem fornicis. 9.

Decebat te, Diodore, fortunæ bene columnatum templum
Operis ornare miraculis tanti,
Et dona gloriosa præbere aureum scutum habenti Romæ,
Quæ te consulem fecit, & ter maximum prætorem videt.

Εἰς τὴν Μόψου ἑστίαν.

Μόψου τήνδ' ἐσορᾷς κλεινὴν πόλιν, ἥν ποτε μάντις
Δείματο τῷ ποταμῷ κάλλος ὑπερκρεμάσας.

In Mopsi focum. 9.

Mopsi hanc intueris inclytam ciuitatem, quam olim vates
Ædificauit flumini pulchritudinem supra suspendens.

Ἄδηλον.

Τήκει καὶ πέτρην ὁ πολὺς χρόνος· ἀλλ' ἀρετάων
Ἀσκληπιοδότου τὸ κλέος, ἀθάνατον.
Ὅσσα καὶ οἷα πόρεν γέρα πατρίδι· τοῖς ἐπὶ πᾶσι
Καὶ τόδε μετρείσθω κοῖλον ἔρεισμα θόλου. Incerti. 10.

Tabefacit & petram multum tempus: sed virtutum
Asclepiodoti gloria est immortalis:
Quanta & qualia tribuit munera patriæ: his in omnibus
Et hoc metiatur concauũ ædificiũ in acutũ fastigiũ desinens.

Εἰς τὴν πύλην Ξυλοκρίκου ἐν Βυζαντίῳ.

Θευδόσιος τόδε τεῖχος ἄναξ καὶ ὕπαρχος ἑῴας
Κωνσταντῖνος ἔτευξαν ἐν ἤμασιν ἑξήκοντα.

In columnam Xylocryci in Byzantio. 11.

Theodosius hunc murum rex, & prætor orientis
Constantinus fecit in diebus sexaginta.

Εἰς τὴν πύλην τοῦ ῥηγίου ἐν Βυζαντίῳ.

Ἤμασιν ἑξήκοντα φιλοσκήπτρῳ βασιλῆϊ
Κωνσταντῖνος ὕπαρχος ἐδείματο τεῖχεϊ τεῖχος.

In columnam arcis in Byzantio. 12.

Diebus quinquaginta sceptrum amanti regi
Constantinus prætor construxit muro murum.

Εἰς τὴν πύλην τοῦ Ἄργους.

Τήνδε πύλην λάεσσιν εὐξέστοις ἀραρυῖαν,
Ἀμφότερον, κόσμον τε πάτρῃ καὶ θάμβος ὁδίταις,
Τεῦξε Κλέης, Κλεάδης ἀγαυῆς πόσις ἐκ πατερείης,
Λερναίων ἀδύτων ζαθεώτατος ἀρχεοφαντής,
Τερπόμενος δώροισιν ἀγασθενέων βασιλήων.

In columnam in Argis. 13.

Hanc columnam lapidibus bene politis excitatam.
Vtrumque, & ornamentum patriæ, & miraculum viatoribus,
Fecit Cleis, Cleadis placidæ coniux bonâ patriâ ortæ,
Lernam ſpectantium portarum ſanctiſſimus apparitor,
Delectatus muneribus validorum regum.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ εἰς σωτήρια ἐν Σμύρνῃ.

Πᾶν τὸ βροτῶν ἀπατήλημα, καὶ ἡ πολύολβος ἐδωδή,
  Ἐνθάδε κρινομένη, τὴν πρὶν ὄλεσσε χάριν.
Οἱ γὰρ φασιανοί τε καὶ ἰχθύες, αἵ θ' ὑπὲρ ἴγδιν
  Τρίψιες, ἥ τε πέση βρώματος ἐξαπάτη,
Γίνεται ἐνθάδε κόπρος. ἀποσμύχει δ' ἄρα γαστὴρ
  Ὁππόσα πεινήεις δέξατο λαυκανίη.
Ὀψὲ δὲ γιγνώσκει τις ὅτ' ἄφρονα μῆτιν ἀείρων,
  Χρυσοῦ τοσσατίου τὴν κόνιν ἐπρίατο.

AGATHII Scholaſtici in ſoteria in Smyrnâ. 14.

Omnes mortalium deliciæ, & precioſæ epulæ
  Huc collatæ priorem deperdidere gratiam.
Nam phaſiani & piſces, & in mortario
  Pulmentaria intrita, & tantum ciborum lenocinium,
Fit hîc fimus. Eiicit ſanè venter
  Quæcunque eſuriens accepit guttur:
Serò verò cognoſcet aliquis quòd ſtultum cōſilium intendēs,
  Auro tanto puluerem emerit.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Τί στενάχεις κεφαλὴν κεκακωμένος; ἐς τί δὲ πικρὰ
  Οἰμώζεις, μελέων πάγχυ βαρυνομένων;

Ἐς τί δὲ γαστέρα σεῖο ῥαπίσμασιν ἀμφιπατάσσεις,
Ἐκθλίψαι δοκέων μάσταχος ἐργασίην;
Μόχθων τοσσατίων οὔ σοι χρέος, εἰ παρὰ δαιτὶ
Μὴ τὸ ἀναγκαῖον πουλὺ παρεξετάθης.
Ἀλλ' ἐπὶ μὲν στιβάδος φρονέεις μέγα, καὶ στόμα τέρπεις
Βρώμασιν, εὐτυχίην κεῖνα λογιζόμενος·
Ἐνθάδε δ' ἀσχάλλεις. μούνη δ' ἀλιτήματα λαιμοῦ
Ἡ γαστὴρ τίνει πολλάκι τυπτομένη.

Eiusdem in idem. 15.

Quid gemis capite laborans. Et ad quid acerbè
Eiulas, membris omnino grauatis?
Quid autem ventrem tuum ictibus circum vndique pulsas,
Exonerare volens gulæ opus?
Tot laboribus tibi nihil opus, si in conuiuio
Vltra necessitatem non multum quæras.
Sed in lecto quidem discumbens superbis, & os delectas
Cibis. Felicitatem illud ratus:
In hàc latrinâ doles. Solus verò stultitiam ingluuiei
Venter punit sæpius pulsatus.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Εὖγε μάκαρ τλήθυμε γεωπόνε, σοὶ βίος αἰεὶ
Μίμνει, καὶ σκαπάνης ἄλγεα καὶ πενίης.
Λιτὰ δέ σοι καὶ δεῖπνα, καὶ ἐν ξυλόχοισι καθεύδεις,
Ὕδατος ἐμπλήσας λαιμὸν ἀμετρόποτον.
Ἔμπης δ' ἀρτίπος ἐσσί, καὶ ἐνθάδε βαιὰ καθεσθεὶς,
Αὐτίκα γαστέρα σὴν θῆκας ἐλαφροτάτην.
Οὐδὲ καταψήχεις ἱερὴν ῥάχιν, οὐδέ τι μηροὺς
Τύπτεις, αὐτομάτως φόρτον ἀπωσάμενος.
Τλήμονες οἱ πλουτοῦσι, καὶ οἱ κείνοισι συνόντες,
Οἷς πλέον ἀρτεμίης ἥνδανεν εἰλαπίνη.

Eiusdem in idem. 16.

Vtinam felix laboriose rustice tibi vita semper

Maneret, & fossionis labores & paupertatis.
Tenuia verò tibi & conuiuia, & in ligneis lectis dormis,
Aqua impletus guttur insatiabile.
Tamen integris pedibus es, & hîc cùm parum comederis,
Statim ventrem tuum facis leuiorem.
Neque exsiccas os sacrum, neque femora quid
Pulsas, sponte onus oleti abigens.
Miseri diuites, qui cum illis viuentes
Quibus magis quàm sanitas placuere deliciæ.

ΑΝΤΙΠΑΤΡΟΥ.

Τίς τόδε μουνόγληνος ἄπαν δωμήσατο κύκλωψ
Λάϊνον Ἀσσυρίης χῶμα Σεμιράμιος;
Ἢ ποῖοι χθονὸς υἷες ἀνυψώσαντο Γίγαντες
Κείμενον ἑπτὰ πόρων ἄγχοθι πληϊάδων;
Ἀκλινές, ἀστυφέλικτον, Ἀθωΐου ἶσον ἐρίπνᾳ
Φυρηθὲν γαίης εὐρυπέδοιο βάρος.

ANTIPATRI. 17.

Quis hunc vnoculus omnem ædificauit Cyclops
Lapideum Assyriæ tumulum Semiramidis?
Vel quales terræ filij erexere Gigantes
Iacentem septem gressus habentes prope pleiadas?
Non inclinatum, immotum, Athoeos instar rupis,
Comprimens terræ latæ pondus.

Εἰς σωτήρια ἐν Σμύρνῃ.

Εἰ τραφερῆς πάσης ἁλιτέρμονα κύκλον ὁδεύσῃς,
Οὔποτέ μοι τινὰ χῶρον ἀρείονα τοῦδε νοήσῃς,
Θέσκελον οἷον ἔτευξεν ἀγακλειτὸς Ἰωάννης,
Κυδαίνων βασίλειαν ὅλης χθονός. ἐκ ῥοθίων γὰρ
Τερπωλὴν ἀκόρητον ἐν ἄστει θῆκεν Σμύρνῃ.

In soteria in Smyrnâ. 18.

Si terræ alentis omnis mari finitimum circulum pergas,
Nunquàm mihi meliorem aliquem locum hoc cognosces,
Inclytum qualem fecit generosus Iohannes,
Gloriosum reddens regnum totius terræ. E fluctibus enim

Delectationem insatiabilem in vrbe fecit Homeri.

ΜΑΚΗΔΟΝΙΟΥ.

Τμώλῳ ὑπ' ἠνεμόεντι ῥοῆς παρὰ γείτονος Ἕρμου
  Σαρδαλέη Λυδῶν ἔξοχός εἰμι πόλις.
Μάρτυς ἐγὼ πρώτη γενόμην Διός· οὐ γὰρ ἐλέγχειν
  Λάθριον υἷα Ῥέης ἤθελον ἡμετέρης.
Αὐτὴ καὶ Βρομίῳ γενόμην τροφός· ἐν δὲ κεραυνῷ
  Ἔδρακον εὐρυτέρῳ φωτὶ φαεινόμενον.
Πρώταις δ' ἡμετέρῃσιν ἐν ὀργάσιν οἰνὰς ὀπώρη
  Οὔθατος ἐκ βοτρύων ξανθὸν ἄμελξε γάνος.
Πάντα με κοσμήσαντο· πολὺς δέ με πολλάκις αἰὼν
  Ἄστεσιν ὀλβίστοις εὗρε μεγαιρομένην.

MACEDONII. 19.

Tmolum ad ventosum, fluxum ad vicinum Hermi
  Sardalia Lydorum excellens sum ciuitas.
Testis ego prima facta sum Iouis. Non enim reprehendere
  Occultum filium Rheæ voluit nostræ.
Ipsa & Baccho facta sum nutrix. In fulmine verò
  Vidi latiore lumine apparentem.
Primis autem nostris in pineis vinea auctumni
  Ex vbere vuarum flauum emulsit gaudium.
Omnia me exornarunt. Multum verò me sæpe sæculum
  Vrbibus felicissimis inuenerunt cui inuideretur.

Εἰς τὸν πορφυροῦν κίονα εἰς τὸ Φιλαδέλφιον.

Εὔνοος μὲν βασιλῆι Μουσήλιος, ἔργα βοῶσι
  Δημόσια. στερρὴν πράγματα πίστιν ἔχει.
Μουσεῖον Ῥώμῃ δ' ἐχαρίσατο, καὶ βασιλῆος
  Εἰκόνα θεσπεσίην ἐντὸς ἔγραψε δόμων.

In purpuream columnam in Philadelphium. 20.

Beniuolus quidem regi Muselius. Opera id clamant
  Publica. Robustam opera fidem habent.
Museium Romæ concessit, & regis
  Imaginem diuinam, intus in domum scripsit.

Εἰς τὸ αὐτό.

Τιμὴν μουσοπόλοις, πόλεως χάριν, ἐλπίδα κούρων,
Ὅπλα δὲ ταῖς ἀρεταῖς, χρήματα τοῖς ἀγαθοῖς.

In idem. 21.

Honorem Musarum cultoribus, vrbis Gratiam, spem puerorũ,
Arma virtutibus, opes bonis.

Εἰς τὸ αὐτό.

Ταῦτα λόγοις ἀνέθηκεν ἑκὼν Μυσήλιος ἔργα,
Πιστεύων καθαρῶς ὡς θεός ἐστι λόγος.

In idem. 22.

Hæc sermonibus posuit spontè Muselius opera
Credens purè quòd Deus est verbum.

ΕΙΣ ΠΟΤΑΜΟΥΣ, κεφ. κθ.

ΣΙΜΩΝΙΔΟΥ.

Ὦ ἴτε Δήμητρος πρὸς ἀνάκτορον, ὦ ἴτε μύσται·
Μηδ' ὕδατος προχοὰς δείδετε χειμερίους.
Τοῖον Ξενοκλῆς γὰρ ὁ Λίνδιος ἀσφαλὲς ὔμμιν
Ζεῦγμα διὰ πλατέος τοῦδ' ἔβαλεν ποταμοῦ.

IN FLVVIOS. Cap. XXIX.

SIMONIDIS. I.

O ite Cereris ad regiam. ô ite sacerdotes.
Neque aquæ fluxus reformidate hyemales.
Talem Xenocles enim Lindius stabilem vobis
Pontem per latum hunc construxit fluuium.

Εἰς Ἀλφειὸν καὶ Ἀρέθουσαν.

Ἀλφεὸς ἄρσεν ὕδωρ, Ἀρεθούσιον ἐστὶ τὸ θῆλυ·
Καὶ ποτὸν εὗρεν ἔρως, κιρναμένων ὑδάτων.

In Alpheum & Arethusam.

Alpheus mascula aqua. Arethusea est feminea:
Et potum inuenit amor, mixtarum aquarum.

ΤΥΛΛΙΟΥ ΓΕΜΙΝΟΥ εἰς Στρυμόνα.

Εἰμὶ μὲν ἐν ποταμοῖς, πελάγει δ' ἴσα μέτρα διώκω,
Στρυμὼν, Ἠμαθίης τὸ γλυκερὸν πέλαγος·
Βένθος ἐμοῦ καὶ ἄρουρα δι' ὕδατος. ἦ γὰρ ἐγείρω
Ὀμπνίας Δηοῦς χαρίτων ἡδύτερον τρίβολον.
Ἔστι καὶ Ἠμαθίης γόνιμος ῥοῦς· ἄμμι δὲ Νεῖλε,
Κρείσσων ἔσθ' ὁ φέρων τὴν στάχυν, οὐχ ὁ τρέφων.

Tvllii gemini in Strymonem. 3.

Sum quidē inter fluuios: pelago verò ęqualia ſpacia perſequor,
Strymon, Æmathiæ dulce pelagus.
Fluctus ſimul & ager per aquam. Certè enim excito
Cerealium gratiarum ſuauiorem tribulum.
Eſt etiam Emathiæ genitale flumen: nobis verò, Nile,
Melior eſt, qui fert ſpicam, non alit, *vt tu inundans.*

ΑΓΑΘΙΟΥ σχολαστικοῦ εἰς γέφυραν τοῦ Σαγγαρίου.

Καὶ σὺ μεθ' Ἑσπερίην ὑψαύχενα, καὶ μετὰ Μήδων
Ἔθνεα, καὶ πᾶσαν βαρβαρικὴν ἀγέλην,
Σαγγάριε, κρατερῇσι ῥοὰς ἁψῖσι πεδηθεὶς,
Αὐτὸς ἐδουλώθης κοιρανικῇ παλάμῃ.
Ὁ πρὶν δὲ σκαφέεσσιν ἀνέμβατος, ὁ πρὶν ἀπειρὴς,
Κεῖσαι λαϊνέῃ σφιγκτὸς ἀλυκτοπέδῃ.

Agathii ſcholaſtici in Pontem Sangarij.

Et tu poſt Italiam ſuperbam, & poſt Medorum
Gentes & omnem barbaricum gregem,
Sangarie, validis fluxus vinculis legatus,
Ipſe domitus es regali manu.
Qui prius nauibus inacceſſus, qui prius non vexatus,
Iaces lapidea vinctus compede.

ΕΙΣ ΠΡΟΑΣΤΕΙΑ, κεφ. λζ.

ΚΩΜΗΤΑ χαρτουλαρίου.

Εἰπὲ νομεῦ, τίνος εἰσὶ φυτῶν στίχες. αἱ μὲν ἐλαῖαι,
Παλλάδος· αἱ δὲ πέριξ ἡμερίδες, Βρομίου.

"Καὶ τίνος αἱ στάχυες; "Δημήτερος. "αὖθε α ποίων
Εἰσὶ θεῶν, "Ἥρης, καὶ ῥοδέης Παφίης.
"Παῖ φίλε, πηκτίδα μίμνε τεοῖς ἐπὶ χείλεσι σύρων.
Ἠχὼ γὰρ δήεις τοῖσδ' ἐνὶ ϑηλεπέδοις.

IN SVBVRBIA. Cap. XXX.

COMETÆ Chartularij. I.

«Dic pastor cuius sunt plantarum ordines?«Oleæ quidem
Palladis. Verùm quæ circa vites sunt, Bacchi.
«At cuius hæ spicæ?«Cereris. «Flores quorum
Sunt Deûm?«Iunonis & roseę Veneris.
«Pan amice, fistulam mane tuis labiis canens.
Echo enim inuenies in hac florente planicie.

ΑΡΑΒΙΟΥ σχολαστικοῦ.

Ὕδασι καὶ κήποισι καὶ ἄλσεσι καὶ Διονύσῳ,
Καὶ πόντου πλήθω γείτονος εὐφροσύνῃ.
Τερπνὰ δέ μοι γαίης τε καὶ ἐξ ἁλὸς ἄλλοθεν ἄλλος,
Καὶ γριπεὺς ὀρέγει δῶρα καὶ ἀγρονόμος.
Τοὺς δ' ἐν ἐμοὶ μίμνοντας, ἢ ὀρνίθων τις ἀείδων,
Ἢ γλυκὺ πορθμήων φθέγμα προσηγορέει.

ARABII scholastici. 2,

Aquis & hortis, & siluis, & Baccho,
Et ponti plena sum vicini lætitia,
Iucunda verò mihi ex terrâ & aquâ, aliunde alius
Et piscator præbet munera, & pastor.
In me verò manentes, vel auium quæ canens
Vel dulcem portitorum vocem compellat.

ΜΑΡΙΑΝΟΥ σχολαστικοῦ εἰς ἕτερον προάστειον ὀνομαζόμενον ἔρωτα ἐν Ἀμασείᾳ.

Ἡ καλὸν ἄλσος ἔρωτος, ὅπου καλὰ δένδρεα ταῦτα
Πρηεῖς ἐπιπνείων ἀμφιδονεῖ ζέφυρος.
Ἠχι καὶ ἐρσήεις ἀβρύνεται ἄνθεσι λειμών,
Πουλὺν ἰοστεφάνων κόσμον ἀεὶς καλύκων.

Καὶ γλυ-

Καὶ γλυκερῆς τρίστοιχος ἐπεμβάδδι ἄλλος ἐπ' ἄλλῳ
    Μαζὸς ἀναθλίβει χεύματα νηϊάδος,
Ὁππόθι δενδρήεντα γέρων ἐπικλύζεται Ἶρις
    Χῶρον ἁμαδρυάδων ἔνδιον ἁβροκόμων.
Καὶ λιπαρῆς εὔβοτρυν ἀν' ὀργάδα καρπὸς ἐλαίης
    Θάλλει, ἐρειςαφύλων πλησίον ἠλιπέδων.
Αἱ δὲ πέριξ λαλαγεῦσιν ἀηδόνες. ὃς δὲ μινυρίζει
    Ἀντῳδὸν τέττιξ φθέγματος ἁρμονίην.
Ἀλλὰ σὺ ἀκλήϊστον ὅπως ξένε μή με παρέλθῃς
    Τόνδε δόμον, λιτῆς δ' ἀντίασον ξενίης.

MARIANI ſcholaſtici in aliud ſuburbium quod dicebatur Amor in Amaſciâ. 3.

Certè pulchrum nemus amoris, vbi pulchras arbores has
    Placidus aſpirans circumſuſurrat Zephyrus.
Vbi roſcidum relucet floribus pratum,
    Multum violis florentibus ornatum emittens è folliculis:
Et dulcis triplex aſcendendo vna ſuper aliam,
    Mamma exprimit fluctus fontium,
Vbi arboreum ſenex alluit Iris
    Locum Hamadryadũ in meridie molles capillos habẽtium.
Et pinguis vuis fertilem ad vineam fructus oliuæ
    Floret, magnas vuas ferentium vndique ſoli expoſitorum.
Circum autem modulantur philomelæ. Quæ verò modulatur
    Contra ſonantem cicada vocis harmoniam.
Sed non clauſam vide ne hoſpes me prætereas
    Hanc domum, preces verò audi hoſpitales.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Δεῦρ' ἴθι, βαιὸν ὁδῖτα πεσὼν ὑπὸ δάσκιον ἄλσος,
    Ἀμπαῦσον καμάτου γυῖα πολυπλανέος,
Χῶρον ὅπου πλατάνων αὐτόρρυτον ἐς μέσον ὕδωρ
    Κὰγ πολυχρώμων ἐκ τεσσαρέων στομάτων.
Ὁππόθι πορφυρέης ὑπὸ αὔλακος εἴαρι θάλλει
    Ὑγρὸν ἴον, ῥοδέῃ κιρνάμενον κάλυκι.

Ηνὶ δὲ πῶς δροσεροῖο πέδον λειμῶνος ἔρεψεν,
　Ἔκχυτον εὐχαίτης κισσὸς ἔπλεξε κόμην.
Ἐνθάδε καὶ ποταμὸς λασίην παραμείβεται ὄχθην,
　Πέζαν ὑποξύων αὐτοφύτοιο νάπης.
Οὗτος ἔρως. τί γὰρ ἄλλο καὶ ἔπρεπεν οὔνομα χώρῳ
　Πάντοθεν ἱμερτῶν πληθομένῳ χαρίτων;

Eiuſdem in idem. 4.

Huc ito parum viator cadens ſub vmbroſam ſyluam,
　Refice a labore membra circum vndique ambulante,
Locum vbi platanorum ſponte ſaliens in medium aqua
　Pulchrè è multis effluit tubulis.
Vbi purpureo in ſulco veris tempore florent
　Molles violæ, roſeo temperatæ folliculo.
Vide quomodo roſcidi planities prati propendeat,
　Effuſam bene comata hedera concinnauit comam.
Hîc & fluuius herbeam præterit ripam,
　Marginem ſtringens per ſe plantatæ vallis nemoroſæ,
Hic amor dicitur. Quod enim aliud vel decuit nomen loco
　Vndique deſiderabilibus pleno Gratiis?

ΕΙΣ ΕΙΚΟΝΑΣ ΡΗΤΟΡΩΝ, κεφ. λα.

Ἀδέσποτον εἰς εἰκόνα Πτολεμαίου ἐν Ἀντιοχείᾳ.

α Εἰκών, τίς σ' ἀνέθηκε; β λόγοι. α τίνος εἶ; β Πτολεμαίου.
　α Ποίου; β τοῦ Κρητός. α τεῦ χάριν; β αὐτ' ἀρετῆς.
α Τῆς ποδαπῆς; β πάσης. α τῆς ἐς τίνας; β ἐς δικολέκτας.
　α Καὶ ξύλον ἀρκεῖ; β ναί. χρύσεον οὐ δέχεται.

IN IMAGINES RHETORVM. Cap. XXXI.

Incerti in imaginem Ptolemæi in Antiochiâ. 1.

α Imago, quis te poſuit? β Sermones. α Cuius es? β Ptolemæi.
　α Cuius? β Cretenſis. α Cuius cauſſâ, β Pro virtute.
α Cuius virtutis? β Omnis. α Cuius in quos? β In aduocatos.
　α Et lapis illi ſufficit? β Certè Aurum non accipit.

ΑΡΑΒΙΟΥ σχολαστικοῦ.

Εἰκόνα Λογγίνῳ χρυσέην πόλις εἶχεν ὀπάσσαι,
Εἰ μὴ πότνια δίκη χρυσὸν ἀπεστρέφετο.

ARABII Scholastici. 2.

Imaginem Longino auream ciuitas potuit dare,
Nisi sancta iustitia aurum recusaret.

ΘΩΜΑ σχολαστικοῦ.

Ῥητορικῆς φιλέω τρεῖς ἀστέρας, οὕνεκα μοῦνοι
Πάντων ῥητήρων εἰσὶν ἀρειότεροι.
Σὸν πόνον φιλέω Δημόσθενες· εἰμὶ δὲ λίην
Καὶ φιλαριστείδης καὶ φιλοθουκυδίδης.

THOMAE Scholastici. 3.

Rhetorices adamo tria sydera, eo quòd sola
Omnibus rhetoribus sint meliora.
Tuos labores amo Demosthenes: sum verò valde
Et amans Aristidem, & amans Thucydidem.

ΜΙΧΑΗΛΙΟΥ γραμματικοῦ.

Ἡ πόλις Ἀγαθίαν τὸν ῥήτορα τὸν τε ἀοιδὸν,
Δίζυγος εὐεπίης ῥυθμὸν ἀγασσαμένη,
Ὡς μήτηρ ἐτέλεσσεν ἐφ' υἱεῖ, καὶ πόρε τήνδε
Εἰκόνα καὶ στοργῆς μάρτυρα καὶ σοφίης.
Μεμνόνιον δὲ τοκῆα, κασίγνητόν τε σὺν αὐτῷ
Ἔστησε, γνώμης σύμβολα σεμνοτάτης.

MICHAELII Grammatici. 4.

Ciuitas Agathiam Rhetorem & Poëtam,
Duplicis eloquentiæ ob concinnitatem admirata,
Vt mater perfecit in filio, & præbuit hanc
Imaginem, & amoris testimonium, & sapientiæ.
Memnonium verò patrem, & fratrem cum ipso
Statuit, familię symbola sanctissimę.

ΠΑΛΛΑΔΑ.

Κωφὸν ἄναυδον ὁρῶν τὸν Γέσσιον, εἰ λίθος ἐστὶ
Δήλιε μάντευσαι, τίς τίνος ἐστὶ λίθος.

PALLADAE. 5.

Surdum mutum videns Gessium, si lapis est
 Delie vaticinare, quis & cuius est lapis?

Εἰς εἰκόνα ῥήτορος ἀφυοῦς.

Τίς σε τὸν οὐ λαλέοντα τύπῳ ῥήτορος ἔγραψε;
 Σιγᾷς; οὐ λαλέεις; οὐδὲν ὁμοιότερον.

In imaginem Rhetoris timidi. 6.

Quis te non loquentem in imagine Rhetoris pinxit?
 Taces: Non loqueris? Nihil similius *quàm lapis lapidi.*

Εἰς τὸν αὐτόν.

Εἰκόνες ἀνθρώποισι φίλον γέρας· ἀλλὰ Μαρίνῳ
 Ὕβρις, ἐλεγχομένης εἴδεος ἀπρεπίης.

In idem. 7.

Imagines hominibus gratum munus: sed Marino
 Iniuria, cùm redarguat faciei deformitatem.

Εἰς ἄγαλμα Ἀριστείδου τοῦ ῥήτορος.

Νεῖκος Ἀριστείδης Ἰάδων κατέπαυσε πολήων,
 Τὸ πρὶν Ὁμηρείης εἶχον ὑπὲρ γενεῆς.
Φασὶ γὰρ πᾶσαι, Σμύρνη τέκε θεῖον Ὅμηρον,
 Ἣ καὶ Ἀριστείδην ῥήτορα γειναμένη.

In imaginem Aristidæ Rhetoris. 8.

Contentionem Aristides Iadorum sopiuit vrbium,
 Quam prius Homericam habuerunt super patriam.
Dicunt enim omnes, Smyrna genuit diuinum Homerum,
 Quæ & Aristidem Rhetorem genuit.

Ἄδηλον.

Εἰκὼν Καλλίστου τοῦ ῥήτορος· οἱ δὲ παρ' αὐτὴν
 Ἐρχόμενοι, Ἑρμῇ σπένδετε τῷ λογίῳ.

Incerti. 9.

Imago Callisti Rhetoris: qui verò ad ipsam
 Acceditis Mercurio sacrificate docto.

Ἄδηλον.

Φύρμος με φύρμον, πυρφόρος ὁ πυρφόρον,

Ὁ παῖς ὁ ῥήτωρ, τὸν πατέρα τὸν ῥήτορα.

Incerti. 10.

Inquinatio me inquinationem, ignifer me igniferum,
Puer Rhetor, patrem Rhetora.

ΕΙΣ ΣΚΕΥΗ. κεφ. λβ.

ΠΑΥΛΟΥ σιλεντιαρίου εἰς κωνωπεῖον.

Οὐ βελαερόν τινα θῆρα, καὶ οὔ τινα πόντιον ἰχθύν,
Οὐ πτερὸν ἀγρεύω πλέγμασιν ἡμετέροις,
Ἀλλὰ βροτοὺς ἐθέλοντας. ἀπεξύπτει δὲ τέχνη
Ἀνέρα μυιάων κέντρον ἀλευόμενον,
Ἐκ θαλίης ἀβρῶτα μεσημβριάοντα φυλάσσει,
Οὐδὲ ἀφαυροτέρη τείχεος ἀστυόχου.
Ὕπνου δ' ἀστυφέλικτον ἄγω χάριν. ἀλλὰ καὶ αὐτοὺς
Δμῶας μυιοσόβου ῥύομαι ἀτρυμίης.

IN VASA. Cap. XXXII.

PAVLI silentiarij in Conopœum. 1.

Non immensam aliquam feram, non aliquem marinũ piscem,
Non auem venor retibus nostris,
Sed homines volentes. Prohibens verò ars
Virum muscarum aculeum euitantem,
Ex conuiuio non morsum in meridie dormientem custodit:
Nihil vilius illo qui vrbem custodit.
Somni verò solidam adduco gratiam. Sed & ipsos
Seruos à muscaria libero seruitute.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Καλλιγάμοις λέκτροισι περικίδναμαι· εἰμὶ δὲ κεδνῆς
Δίκτυον οὐ Φοίβης, ἀλλ' ἁπαλῆς Παφίης.
Ἀνέρα δ' ὑπνώοντα μίτῳ πολυωπι καλύπτω,
Ζωοφόρων ἀνέμων οὐδὲν ἀτεμβόμενον.

Eiusdem in idem. 2.

Pulchris nubentibus lectulis circumspargor. Sum verò castæ
  Rete non Phœbæ, sed teneræ Veneris.
Virum autem dormientem filo multiforamine tego,
  Vitam ferentibus ventis neminem priuans.

Ἄδηλον.

Πλέγμασι μὲν σκοπός ἐστι περισφίγξαι πετεηνῶν
  Ἔθνεα, καὶ ταχινοὺς ἔνδοθεν ὀρταλίχους·
Αὐτὰρ ἐγὼ σεύειν ἐπιτέρπομαι, οὐδὲ καλύπτω
  Ἔνδοθεν, ἀλλ' εἴργω μᾶλλον ἐπειγομένους.
Οὐδέ με τις λήσειε (καὶ εἰ βραχὺς ἔπλετο) κώνωψ,
  Ἡμετέρης διαδὺς πλέγμα λινοστασίης.
Ὀρνεά που σώζω· μερόπεσσι δὲ λέκτρα φυλάσσω.
  Ἦ ῥά τις ἡμείων ἐστὶ δικαιότερος;

Incerti. 3.

Aliis retibus propositum est implicare auium
  Genera, & celeres intus gallinas.
Sed ego fugare desidero, neque tego
  Intus, sed prohibeo potius accedentes.
Neque me quis fallet (licet tenuis sit) culex
  Nostram pertransiens retis collocationem.
Muscas seruo, & hominibus somnum custodio.
  An quis nobis est iustior?

Τοῦ αὐτοῦ εἰς τάβλαν.

Ἑζόμενος μὲν τῇδε παρ' εὐλαΐγγι τραπέζῃ,
  Παίγνια κινήσεις τερπνὰ βολοκτυπίης.
Μήτε δὲ νικήσας μεγαλίζεο, μήτ' ἀπολειφθεὶς
  Ἄχνυσο, τὴν ὀλίγην μεμφόμενος βολίδα.
Καὶ γὰρ ἐπὶ σμικροῖσι νόος διαφαίνεται ἀνδρός·
  Καὶ κύβος ἀγγέλλει βένθος ἐχεφροσύνης.

Eiusdem in tabulam. 4.

Sedens hîc apud pulchris lapidibus structam mensam
  Ludicra mouebis iucunda strepitus cùm tesseris.
Ne verò vincens efferre, neque victus

Dole, paruum reprehendens iaculum.
Etenim in paruis animus apparet viri:
Et cubus indicat fundamentum sapientiæ.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Παίγνια μὲν τάδε πάντα· τύχης δ' ἑτερόζυγος ὁρμὴ
Ταῖς ἀλόγοις ταύταις ἐμφέρεται βολίσιν.
Καὶ βροτέου βιότου σφαλερὸν μίμημα νοήσεις,
Νῦν μὲν ὑπερβάλλων, νῦν δ' ἀπολειπόμενος.
Αἰνέομεν δὴ κεῖνον ὃς ἐν βιότῳ τε κύβῳ τε,
Χάρματι καὶ λύπῃ μέτρον ἐφηρμόσατο.

Eiusdem in idem. 5.

Ludicra quidem omnia hæc. Fortunæ autem diuersus impetus
Irrationalibus his fertur in iactibus.
Et mortalis vitæ lubricam imitationem cognosces,
Nunc quidem vincens, nunc verò victus.
Laudamus autem ipsum qui & in vita & in cubo
Lætitiæ & dolori modum constituit.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Τοῖς μὲν σωφρονόμοις τάδε παίγνια· τοῖς δ' ἀκολάστοις,
Λύσσα καὶ ἀμπλακίη καὶ πόνος αὐτόματος.
Ἀλλὰ σὺ μὴ λέξῃς τι δυσμάχον ὕστατος ἕρπων.
Μηδ' ἀναρριβδήσῃς ῥινοβόλῳ πατάγῳ.
Δεῖ γὰρ μήτε πονεῖν ἐν ἀθύρμασι, μήτε τι παίζειν
Ἐν σπουδῇ· καιρῷ δ' ἴσθι νέμειν τὸ πρέπον.

Eiusdem in idem. 6.

Placidis quidem hæc ludicra, sed immoderatis
Rabies, & peccatum, & labor sponte attractus.
Sed tu ne dixeris aliquam blasphemiam vltimo loco repens,
Neque latrabis naribus impulso sono.
Oportet enim neque laborare in ludis, neque aliquid ludere
In seriis. Tempori verò scito tribuere suum decorum.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων εἰς φιάλην ἔχουσαν κινουμένους ἰχθύας.

Οὕτω Βάκχον ἔδεκτο Θέτις· νέον μῦθος Ὁμήρου
    Ὀψὲ μὲν, ἀλλ' εὗρεν πίστιν ἐτητυμίης.

IVLIANI Principis in phialam habentem commotos pisces. 7.

Sic Bacchum excepit Thetis: iam fabula Homeri
    Serò quidem, sed inuenit fidem veritatis.

Τοῦ αὐτοῦ εἰς ἀρχοντικὸν πέλεκυν.

Ἢν μὲν ἀλιτραίνῃς, πέλεκυν βλεφάροισι δοκεύεις·
    Ἢν δὲ σαοφρονέῃς, ἄργυρός εἰμι μόνον.

Eiusdem in consularem securim. 8.

Siquidem scelerate agas, securim oculis vides,
    Si verò rectè viuas, argentum solummodo sum.

Εἰς κάγκελλον οἰκίας.

Ἢν κλείσῃς μ', ἀνέῳγμαι· καὶ ἢν οἴξῃς, κέκλεισμαι·
    Τοῖος ἐών, τηρεῖν σὸν δόμον οὐ δύναμαι.

In cancellos domus. 9.

Si claudas nos, aperti sumus. Si verò aperias, clausi sumus.
    Tales cùm simus custodire tibi domum non possumus.

Εἰς μινσώριον ἔχον τὰ δώδεκα ζώδια, καὶ ἕτερα.

Ἀργύρεος πόλος οὗτος, ὅπη Φαέθοντα σελήνη
    Δέρκεται, ἀντιτύπων πιμπλαμένη φαέων.
Ἀπλανέες δ' ἑκάτερθε, καὶ ἀντιθέοντες ἀλῆται
    Ἀνδρομέης γενεῆς πᾶσαν ἄγουσι τύχην.

In mensam habentem duodecim signa & reliqua. 10.

Aureus currus hic vbi Phaëthontem luna
    Videt, è contrario coniectis plena luminibus.
Inerrantes verò vtrinque, vt ex aduerso currentes errones
    Humani generis omnem ducunt fortunam.

ΜΕΣΟΜΗΔΟΥ.

Τὰν ὕελον ἐκόμιζε κόψας ἐργάτας ἀνήρ,
Ἐς δ' πῦρ ἔθηκε βῶλον, ὡς σίδηρον ὀαθεινῆ·
Ἁ δ' ὕελος οἷα κηρὸς ἐξεχεῖτο παμφάγοισι

Φλοξὶν

Φλοξὶν ἐκ πυρουμένοισι· θαῦμα δ' ἦν ἰδεῖν βροτοῖς
Ὁλκὸν ἐκ πυρὸς ῥέοντα, καὶ τὸν ἐργάτην
Τρέμοντα, μὴ πεσὼν διαῤῥαγῇ.
Ἐς δὲ διπλύχων ἀκμαῖς χηλέων ἔθηκε βῶλον.

MESOMEDI. 11.

Silicem pellucidum tulit contundens operarius vir,
In ignem verò posuit massam, vt ferrum solidum:
Vitrum verò vt cera effluebat omnia vorantibus
Flámis incandescentibus: miraculũ verò erat videre hominib.
Tractum ex igni fluentem, & operarium
Trepidantem, ne cadens effringatur.
In duplicium verò acies forcipum posuit massam.

ΑΣΚΛΗΠΙΑΔΟΥ εἰς δίσκον.

Ἥφαιστός μ' ἐτέλεσσε καμὼν χρόνῳ· ἀλλὰ Κυθήρη
  Ἀνδρὸς ἑοῦ θαλάμων εἵλετο λανθριδίως·
Ἀγχίσῃ δ' ἔπορε κρυφίης μνημήϊον εὐνῆς.
  Καί μ' Ἀσκληπιάδης εὗρε παρ' Αἰνεάδαις.

ASCLEPIADIS in discum. 12.

Vulcanus me absoluit elaborans tempore: sed Venus
  E viri sui thalamis abstulit clanculum:
Anchisæ verò tradidit occulti monumentum concubitus.
  Et me Asclepiades inuenit apud Æneadas.

Ἀδήλου.

Ἡ γραφὶς, ἀργυρέη μὲν ὅτ' ἐκ πυρὸς ἦλθον, ἐτύχθην·
  Σαῖσι δὲ καὶ χρυσέη γίνομαι ἐν παλάμαις.
Ὧ δέ σοι ὦ χαρίεσσα Λεόντιον, εὖ μὲν Ἀθήνη
  Τέχνης, εὖ δ' εἴδους ἄκρα δέδωκε Κύπρις.

Incerti. 13.

Stylus, argenteus cùm ex igne venirem, eram:
  Tuis verò aureus fio in manibus.
Hoc pacto tibi ô gratiosa Leontium, bene quidem Pallas
  Artis, bene verò formæ excellentiam dedit Venus.

ΣΑΜΜΙΟΥ.

Πρόσθε μὲν ἀγραύλοιο διὰ τριχὸς ἰξάλου αἰγὸς
    Δοιὼ ἐπὶ χλωροῖς ἐστεφόμην πετάλοις·
Νῦν δέ με Νικομάχῳ κεραοξόος ἥρμοσε τέκτων
    Ἐντανύσας ἕλικος καρτερὰ νεῦρα βοός.

SAMMII. 14.

Prius quidem agreſtis per pilos ſalacis capræ
    Duo viridibus coronabar foliis:
Iam verò me Nicomacho cornua præparans coniunxit faber
    Extendens crura flexa habentis robuſtos neruos bouis.

Εἰς μινσώριον ἔχον Ἀφροδίτην καὶ ἔρωτας.

Τέσσαρές εἰσιν ἔρωτες· ὁ μὲν, στέφος ἀμφικαλύπτει
Μητρός· ὁ δὲ, χεῖλος ἔχει ποτὶ πίδακι μαζοῦ·
Οἱ δὲ δύω παίζουσι παρ' ἴχνεσιν. εἷμα δὲ κρύπτει
Μηρῷ γείτονα χῶρον ὅλης γυμνῆς Ἀφροδίτης.

In Menſorium habens Venerem & amores. 15.

Quatuor ſunt amores,hic quidē coronā circumundique tegit
Matris ſuæ. Hic verò labra habet ad fontem mammæ:
Duo verò ludunt ad veſtigia. Veſtis verò tegit
Femori vicina loca totius nudæ Veneris.

Ἀδέσποτον.

Βάκχῳ καὶ νύμφαις μέσος ἵσταμαι· ἐν δὲ κυπέλλοις
    Αἰεὶ τόνδε χέω τὸν παραλειπόμενον.

Incerti. 16.

Inter Bacchum & Nymphas medius ſto:in verò poculis
    Semper hunc infundo relictum.

Ἀδέσποτον.

Χαλκοτύπος τὸν ἔρωτα μεταλλάξας, ἐποίησε
    Τήγανον· οὐκ ἀλόγως, ὅττι καὶ αὐτὸ φλέγει.

Incerti. 17.

Faber ærarius amorem permutans,fecit
    Sartaginem:non abſurdè,nam & illud vrit.

ΦΙΛΙΠΠΟΥ.

Ἀδριακοῖο κύτους λαιμὸς τὸ πάλαι μελίγηρυς,

Ἀνίκ' ἐγαστροφόρουν Βακχιακὰς χάριτας,
Νῦν κλασθεὶς, κεῖμαι νεοθηλεῖ καρτερὸν ἕρκος
Κλήματι, πρὸς τρυφερὴν τεινομένῳ καλύβην.
Αἰεὶ τῷ Βρομίῳ λατρεύομεν. ἢ γραῖον γὰρ
Φρουροῦμεν πιστῶς, ἢ νέον ἐκτρέφομεν.

PHILIPPI. 18.

Adriani vasis guttur olim suauisonum,
Cum ventre portabat Bacchicas gratias.
Nunc fractus, iaceo nuper plantato forte munimentum
Surculo, ad voluptuarium inclinato tugurium.
Semper aliquid Baccho sacrificamus. Aut senem enim
Custodimus fideliter, aut iuuenem nutrimus.

ΕΙΣ ΦΙΛΟΣΟΦΟΥΣ. κεφ. λγ.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων εἰς ἀνδριάντα Πυθαγόρου.

Οὐ τὸν ἀναπτύσσοντα φύσιν πολύμητιν ἀριθμῶν
Ἤθελεν ὁ πλάστης Πυθαγόρην τελέσαι,
Ἀλλὰ τὸν ἐν σιγῇ πινυτόφρονα. καὶ τάχα φωνὴν
Ἔνδον ἀποκρύπτει, καὶ τόδ' ἔχων ὀπάσαι.

IN PHILOSOPHOS. Cap. XXXIII.

IVLIANI Principis in statuam Pythagoræ. 1.

Non explicantem naturam sapientem numerorum,
Voluit formator Pythagoram perficere,
Sed tacentem prudenti mente. Et prope vocem
Hinc abscondit, quamuis illud posset exhibere.

Εἰς τὸ αὐτό.

Αὐτὸν Πυθαγόρην ὁ ζωγράφος· ὃν μετὰ φωνῆς
Εἶδες ἄν, εἴγε λαλεῖν ἤθελε Πυθαγόρης.

In idem. 2.

Semper Pythagoram pictor: quem vocalem
Vidisses, si loqui voluisset Pythagoras.

ΙΩΑΝΝΟΥ ποιητοῦ τοῦ Βαρβουκάλλου εἰς εἰκόνα Σωκράτους.

Ὡς σοφὸς ὁ γράψας, ζωὴν οὐκ ἔμβαλε κηρῷ,
Σωκράτεος ψυχῇ τοῦτο χαριζόμενος.

IOANNIS Poëtæ Barbucalli in imaginem Socratis. 3.

Quàm sapiens pictor, vitam non immisit ceræ,
Socratis animæ hoc attribuens.

Τοῦ αὐτοῦ εἰς εἰκόνα.

Ζωγράφε, τὴν μορφὰν ἀπομάξας, αἴθ' ἐνὶ κηρῷ
Καὶ ψυχὴν ἐδάης Σωκρατικὴν βαλέειν.

Eiusdem in imaginem. 4.

Pictor, formam exprimens, vtinam vni ceræ
Etiam animam didicisses Socraticam infundere.

Εἰς εἰκόνα Πλάτωνος.

Τὸν νοῦν διδάσκων αἰθερεμβατεῖν Πλάτων,
Τοὺς τῶν ὑπὲρ νοῦν ἐξερεύγεται λόγους.

In imaginem Platonis. 5.

Mentem docens in sublimi ambulare Plato,
Super mentem emittit sermones:

Εἰς εἰκόνα Ἀριστοτέλους.

Οὗτος Ἀριστοτέλης, μετρῶν χθόνα καὶ πόλον ἄστρων.

In imaginem Aristotelis. 6.

Hic Aristoteles, mensurans terram & verticem astrorum.

Εἰς τὸν αὐτόν.

Νοῦς καὶ Ἀριστοτέλους ψυχή, τύπος ἀμφοτέρων εἷς.

In eundem. 7.

Mens & Aristotelis anima, imago vtriusque vna.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ εἰς εἰκόνα Πλουτάρχου.

Σεῖο πολυκλήεντα τύπον στήσαντο Χαιρωνεῦ
Πλούταρχε, κρατερῶν υἷες Αὐσονίων.
Ὅττι παραλλήλοισι βίοις Ἕλληνας ἀρίστους
Ῥώμης εὐπολέμοις ἥρμοσας ἐνναέταις.
Ἀλλὰ τεοῦ βιότοιο παράλληλον βίον ἄλλον

Οὐδὲ σὺ γ' ἂν γράψαις· οὐ γὰρ ὅμοιον ἔχεις.

AGATHII scholastici in imaginem Plutarchi. 8.

Tuam nobilem imaginem statuerunt Chæronensis
  Plutarche, fortium liberi Ausoniorum:
Quòd respondentibus vitis Græcos optimos
  Romæ fortibus in bello coniunxisti cum inhabitatoribus.
Sed tuæ vitæ respondentem vitam aliam
  Non tu scriberes: non enim similem habes.

Τοῦ αὐτοῦ εἰς εἰκόνα Αἰσώπου.

Εὖγε ποιῶν Λύσιππε γέρον Σικυώνιε πλάστα,
  Δείκελον Αἰσώπου στήσαο τοῦ Σαμίου,
Ἑπτὰ σοφῶν ἔμπροσθεν. ἐπεὶ κεῖνοι μὲν ἀνάγκην
  Ἔμβαλον οὐ πειθὼ φθέγμασι τοῖς σφετέροις·
Ὃς δὲ, σοφοῖς μύθοις καὶ πλάσμασι καίρια λέξας,
  Παίζων, ἐν σπουδῇ πείθει ἐχεφρονέειν.
Φευκτὸν δ' ἡ τρηχεῖα παραίνεσις. ἡ Σαμίου δὲ
  Τὸ γλυκὺ τοῦ μύθου καλὸν ἔχει δέλεαρ.

Eiusdem in imaginem Æsopi. 9.

Bene faciens Lysippe senex Sicyonie pictor,
  Imaginem Æsopi posuisti Samij,
Ante septem sapientes. Postquam ipsi quidem necessitatem
  Iniecerunt, non persuasionem suis sermonibus:
Hic verò, sapientibus fabulis & figmentis seria dicens,
  Ludens, serio persuadet rectè sapere.
Fugienda verò aspera admonitio. Samij verò
  Dulcedo fabulæ pulchram habet escam.

ΑΝΤΙΦΙΛΟΥ Βυζαντίου εἰς Διογένην.

Ἡ πήρη καὶ χλαῖνα, καὶ ὕδατι πληθεῖσα
  Μάζα, καὶ ἡ πρὸ ποδῶν ῥάβδος ἐρειδομένη,
Καὶ δέπας ἐκ κεράμοιο, σοφῷ κυνὶ μέτρα βίοιο
  Ἄρκια. καὶ τούτοις ἦν τι περισσότερον·
Κοίλαις γὰρ πόμα χερσὶν ἰδὼν ἀρύοντα βοώτην,
  Εἶπε, τί καὶ σέ μάτην ὄστρακον ἠχθοφόρουν;

ANTIPHILI Byzantij in Diogenem. 10.

Pera & pallium,& aqua ſubacta
Placenta,& ante pedes baculus fixus,
Et poculum à figulo,ſapienti cani menſura vitæ
Sufficiens. & in his erat quid ſuperuacuum:
Cauis enim poculum manibus videns haurientem bubulcum,
Dixit, & quid te fruſtra teſtam tanquam onus tuli?

Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Γηράσκει καὶ χαλκὸς ὑπὸ χρόνου· ἀλλὰ σὸν οὔτι
Κῦδος ὁ πᾶς αἰὼν Διόγενες καθελεῖ.
Μοῦνος γὰρ βιοτῆς αὐταρκέα δόξαν ἔδειξας
Θνητοῖς, καὶ ζωῆς οἶμον ἐλαφροτάτην.

Eiuſdem in eundem. 11.

Seneſcit & æs à tempore. Sed tuam nunquam
Laudem omne æuum Diogenes rapiet.
Solus enim vitæ ſufficientem opinionem demonſtraſti
Hominibus,& vitæ viam faciliorem.

ΕΙΣ ΩΡΟΛΟΓΙΑ, κεφ. λδ.

Εἰς τὴν βάσιν τοῦ ὡρολογίου τοῦ εἰς τὴν ἀψῖδα τῆς εἰς τὴν βασιλικήν.

Δῶρον Ἰουστίνοιο τυραννοφόνου βασιλῆος,
Καὶ Σοφίης ἀλόχου, φέγγος ἐλευθερίης,
Ὡράων σκοπιάζε σοφὸν σημάντορα χαλκόν,
Αὐτῆς ἐκ μονάδος μέχρι δυωδεκάδος.
Ὅντινα συληθέντα, δίκης θρόνον ἡνιοχεύων
Εὗρεν Ἰουλιανὸς χερσὶν ἀδωροδόκοις.

IN HOROLOGIA, Cap. XXXIIII.

In baſin Horologij in arcu Baſilicæ.

Munus Iuſtini tyrannicidæ regis,
Et Sophiæ coniugis,lux libertatis,
Horarum intuere prudentem indicem æreum,
Ipſa ab vnitate vſque ad duodecimas.

Quemcunque spoliatum, iustitiæ thronum dirigens
    Inuenit Iulianus manibus munera non accipientibus.

Ἀδέσποτον εἰς ἕτερον.

Οὐρανὸν ἁ χωρεῦσα σοφὰ λίθος, ἁ διὰ τυτθοῦ
    Γνώμονος ἀελίῳ πάντα μερισδομένα.

Incerti in aliud. 2.

Cælum capiens sapiens lapis, hic per paruum
    Gnomonen sole omnia diuidens.

ΠΑΥΛΟΥ σιλεντιαρίου εἰς ἕτερον δι' ὕδατος.

Ἐνθάδε μιστύλλουσι δρόμον φαέθοντιδος αἴγλης
    Ἀνέρες, ὡράων ἀμφὶ δυωδεκάδι.
Ὕδασι δ' ἠελίοιο ταλαντεύουσι κελεύθους,
    Ἐς πόλον ἐκ γαίης μῆτιν ἐρεισάμενοι.

PAVLI silentiarij in aliud per aquam, 3.

Hîc secant in minutas partes cursum solaris splendoris
    Viri, horarum circa duodecimas,
Aqua verò solis librant vias,
    Ad cælum ex terra filum fulcientes.

Ἀδέσποτον εἰς ἕτερον.

Κῆπος ἔην ὅδε χῶρος· ἀπὸ σκιερῶν δὲ πετήλων
    Νυκτοφανὴς τελέθων ἔσκεπεν ἠέλιον·
Νῦν δὲ πάνυ αἰγλήεντα καὶ ἔνδιον εὗρε τελέσσαι
    Σέργιος αὐτόπτης μυστοπόλος τριάδος,
Ἔνθα λίθος στατὸς ὧδε ἀεὶ κινητὸν ἀνάγκην
    Ἑπτάκις ἀγγέλλει ἄντυγος οὐρανίης.

Incerti in aliud. 4.

Hortus erat locus hic: ab vmbrosis autem frondibus
    Nocte apparens volens contexit solem:
Iam verò omnino splẽdidum & meridianum inuenit perficere
    Sergius oculatus sacerdos trinitatis,
Vnde lapis positus hic semper commotam necessitatem
    Septies annunciat ambitus cælestis.

Ἀδήλου.

Μηχανικὴ Φαέθοντα βιάζεται ἁρμονικοῖσι
  Γνώμοσιν ἀγρεύειν τὸν δρόμον ἠελίου.
Βαιὸς δ' ἀμφιέπει λίθος ἄντυγας ἠεριγενείης,
  Ὡρονόμῳ σοφίῃ καὶ σκιόεντι τύπῳ.
Σεργίου ἀρχιερῆος ἐπουρανίῃσιν ἐφετμαῖς
  Τοῦτο συνειργάσθη ἔργον ἐπιχθονίων.

Incertum. 5.

Mechanica ſolem cogit harmonicis
  Gnomonibus indagare curſum ſolis.
Paruus verò circundat lapis ambitus auroræ,
  Horas regente prudentia, & vmbroſâ formâ.
Sergii principis ſacerdotum cæleſtibus conſiliis
  Hoc confectum eſt opus mortalium.

Ἄδηλον.

Σῆμα δυωδεκάμοιρον ἀφεγγέος ἠελίοιο
  Τρισσάκις ἀγλώσσῳ φθεγγόμενον στόματι,
Εὖτ' ἂν θλιβομένοιο ποτὶ στενὸν ὕδατος ἀνὴρ
  Αὐλὸν ἀποστείλῃ πνεῦμα διωλύγιον,
Θῆκεν Ἀθηναῖος δήμῳ χάριν, ὡς ἂν ἐναργὴς
  Εἴη καὶ φθονεραῖς ἠέλιος νεφέλαις.

Incerti. 6.

Signum in duodecim horas diuiſum luce carentis ſolis
  Ter elingui loquens ore,
Cùm preſſæ ad anguſtam aquæ vir
  Fiſtulam emittit vehementem ſpiritum,
Poſuit Athenienſis populo gratiam, vt obſcurus
  Eſſet etiam in inuidis ſol nubibus.

TA EN

ΤΑ ΕΝ ΤΩ ΠΕΜΠΤΩ ΤΜΗΜΑΤΙ ΠΕΡΙΕΧΟΜΕΝΑ.

Ἐν τῷδε τῷ πέμπτῳ τμήματι περιέχεται ἔκφρασις Χριστοδώρου ποιητοῦ Θηβαίου Κοπίτου, τῶν ἀγαλμάτων τῶν εἰς τὸ δημόσιον γυμνάσιον, τὸ ἐπικαλούμενον τοῦ Ζευξίππου· ἔτι δὲ καὶ τὰ ἐπιγράμματα τῶν ἐν τῷ ἱπποδρόμῳ Κωνσταντινουπόλεως ἡνιόχων.

IN QVINTA SECTIONE comprehensa.

In hâc quintâ ſectione comprehenduntur ecphraſis Chriſtodori Poëtæ Thebani Copitæ, illarum ſtatuarum, quæ in publico Gymnaſio ſunt, quod dicitur Zeuxippi: porrò etiam Epigrammata illorum qui in Hippodromo Conſtantinopolitano aurigarum.

ΑΝΘΟΛΟΓΙΑΣ ΔΙΑΦΟΡΩΝ ἐπιγραμμάτων, εἰς ἑπτὰ βιβλία διῃρημένης, τὸ πέμπτον.

Εἰς Δηίφοβον.

Δηίφοβος μὲν πρῶτος ἐυγλύπτῳ ἐπὶ βωμῷ
Ἵςατο τολμήεις, κεκορυθμένος, ὄβριμος ἥρως,
Τοῖος ἐὼν οἷός περ ἐπ' ὀρσιμάχῳ Μενελάῳ
Περθομένων ὤρουσεν ἑῶν προπάροιθε μελάθρων.
Ἵςατο δὲ προβιβῶντι πανείκελος· ἦν δ' ἐπὶ κόσμῳ
Δόχμιος ἦν, μανίη δὲ κεκυφότα νῶτα συνέλκων,
Δειμὸν μὲν ξυνάγειρεν· ἕλισσε δὲ φέγγος ὀπωπῆς
Οἷά τε δυσμενέων μετόπισθε πεφυλαγμένος ὁρμήν.
Λαιῇ μὲν σάκος εὐρὺ προΐσχετο· δεξιτερῇ δὲ

Φάσγανον ὑψόσ' ἄειρεν. ἔμελλε δὲ μαινομένη χεὶρ
Ἀνέρος ἀντιβίου κατὰ χροὸς ἄορ ἐλάσσειν·
Ἀλλ' οὐ χαλκὸν ἔθηκε φύσις πειθήμονα λύσσῃ.

FLORILEGII VARIORUM Epigrammatum, in ſeptem libros diuiſi, quintus.

In Deiphobum. 1.

Deiphobus quidem primus bene ſculpto in altari
Stabat animoſus, armatus, magnus heros.
Talis exiſtens, qualis ad irruentem Menelaum
Deſtructas proceſſit ante ædes ſuas.
Stabat verò procedenti ſimilis: bene verò in ornamento
Obliquus erat, ex inſania verò incuruata dorſa trahens,
Acie robur concitauit. voluebat verò lucem oculorum
Vt hoſtilium hominum cauens impetum.
Siniſtrâ quidem haſtam longam protendebat: dextrâ verò
Gladium altè extulit. Volebat verò inſana manus
Viri aduerſarij per corpus gladium impellere:
Sed non ferrum reddidit natura obediens furori.

Εἰς Αἰσχίνην ῥήτορα καὶ εἰς Ἀριστοτέλην.

Κεκροπίδης δ' ἤστραπτε νοήμονος ἄνθεα πειθοῦς
Αἰσχίνης· λασίης δὲ συνείρυε κύκλα παρειῆς,
Οἷα πολυτροχάλοισιν ἀεθλεύων ἀγορῇσι.
Στείνετο γὰρ πυκινῇσι μεληδόσιν. ἄγχι δ' ἐκείνου
Ἦεν Ἀριστοτέλης, σοφίης πρόμος. ἱστάμενος δὲ,
Χεῖρε περιπλέξας συνεέργαθεν. οὐδ' ἐνὶ χαλκῷ
Ἀφθόγγῳ φρένας εἶχεν ἀεργέας, ἀλλ' ἔτι βουλὴν
Σκεπτομένῳ μὲν ἔικτο· συνισταμέναι δὲ παρειαὶ
Ἀνέρος ἀμφιέλισσαν ἐμαντεύοντο μενοινὴν,
Καὶ τροχαλαὶ σήμαινον ἀολλέα μῆτιν ὀπωπαί.

In Æſchinem Rhetorem, & in Ariſtotelem. 2.

Cecropides verò fulminabat ſapientis decus Suadæ
Æſchines. Denſæ verò contraxit circulos maxillæ,
Vt volubilibus contendens in concionibus.
Ingemiſcebat autem variis curis. Prope verò apud ipſum
Erat Ariſtoteles, ſapientiæ princeps. Stans verò
Manus complicatim continebat. Neque in ære
Muto mentem habebat ocioſam, ſed adhuc conſilium
Quærenti adſimulabatur: compoſiti verò vultus
Viri vtrinque volutam coniiciebant ſententiam,
Et rotundi indicabant nunquam interituram ſentẽtiam oculi.

Εἰς Δημοσθένην.

Καὶ Παιανιέων δημηγόρος ἔπρεπε σάλπιγξ,
Ῥήτρης, εὐκελάδοιο, πατὴρ σοφὸς, ὁ πρὶν Ἀθήναις
Πειθοῦς θελξινόοιο νοήμονα πυρσὸν ἀνάψας,
Ἀλλ' οὐχ ἠρεμέων διεφαίνετο, πυκνὰ δὲ βουλὴν
Ἐστρώφα· πυκινὴν γὰρ ἐείδετο μῆτιν ἑλίσσειν,
Οἷα κατ' εὐόπλων τεθοωμένος Ἠμαθιήων.
Ἦ τάχα κεν κοτέων τροχαλὴν ἐφθέγξατο φωνὴν,
Ἄπνοον αὐδήεντα τιθεὶς τύπον· ἀλλά ἑ τέχνη
Χαλκείης ἐπέδησεν ὑπὸ σφρηγῖδι σιωπῆς.

In Demoſthenem. 3.

Et Pæanienſium concionator excelluit tuba eloquens,
Oratoriæ bene ſonantis, pater ſapiens, qui prius Athenis
Suadelæ mentem mulcentis intellectualem facem accendens,
Sed non quietus apparebat. crebrò verò conſilium
Verſabat: varium verò videbatur conſilium voluere,
Vt contra bene armatos incitatus Macedonas.
Certè prope iratus volubile eloquebatur verbum,
Mortuam loquentem faciens imaginem: ſed ipſum ars
Ærei alligauit ſub ſigillo ſilentij.

Εἰς Εὐριπίδην.

Ἵστατο δ' Εὐρίποιο φερώνυμος· ὡς δὲ δοκεύω,
Λάθρη ὑπὸ κραδίην τραγικαῖς ὡμίλεε μούσαις,

Ἔργα σαοφροσύνης διαειδόμενος· ἦν γὰρ ἰδέσθαι
Οἷά τε που θυμέλῃσιν ἐν Ἀτθίσι θύρσα τινάσσων.

In Euripidem. 4.

Stabat & Euripi ferens nomen: vt verò videor,
Clanculum in corde Tragicis conuersabatur musis,
Opera prudentiæ innuens: erat enim videre
Vt olim in pulpitis Atheniensibus thyrsos vibrans.

Εἰς Παλαίφατον.

Δάφνῃ μὲν πλοκαμῖδα Παλαίφατος ἔστρεφε μάντις
Στεφόμενος· δόκεεν δὲ χέειν μαντώδεα φωνήν.

In Palæphatum. 5.

Lauro quidem comas Palæphatus eminebat vates
Coronatus: videbatur verò fundere fatidicam vocem.

Εἰς Ἡσίοδον, καὶ εἰς Πολύειδον μάντιν, καὶ εἰς Σιμωνίδην.

Ἡσίοδος δ' Ἀσκραῖος ὀρειάσιν εἴδετο μούσαις
Φθεγγόμενος, χαλκὸν δ' ἐβιάζετο θυιάδι λύσσῃ
Ἔνθεον ἱμείρων αἰάγχειν μέλος. ἐγγύθι δ' αὐτοῦ
Μαντιπόλος πάλιν ἄλλος ἔην φοιβηΐδι δάφνῃ
Κοσμηθεὶς Πολύειδος. ἀπὸ στομάτων δὲ τινάξαι
Ἤθελε μὲν κελάδημα θεοπρόπον· ἀλλά ἑ τέχνη
Δεσμῷ ἀφωνήτῳ κατερήτυεν. οὐδὲ σὺ μολπῆς
Εὔνασας ἁβρὸν ἔρωτα Σιμωνίδη, ἀλλ' ἔτι χορδῆς
Ἱμείρεις, ἱερὴν δὲ λύρην οὐ χερσὶν ἀράσσεις.
Ὤφελεν ὁ πλάσσας σε Σιμωνίδη, ὤφελε χαλκῷ
Συγκεράσαι μέλος ἡδύ· σὲ δ' ἂν καὶ χαλκὸς ἀναυδὴς
Αἰδόμενος ῥυθμοῖσι λύρης ἀντήχεε μολπήν.

In Hesiodum, & Polyidum vatem, & in Simonidem. 6.

Hesiodus quidem Ascræus montanis assimulabatur musis,
Dicens, æs verò cogebatur Bacchico furore
Diuinum desiderans inducere carmen. Prope verò illi
Sacerdos quidam alius erat Phœbeâ lauru
Ornatus Polydus. Ex ore verò vibrare

Volebat vocem diuinam. Sed ipſum ars
Vinculo muto impediit. Neque tu cantionis
Depoſuiſti mollem amorem Simonides, ſed adhuc chordas
Deſideras, ſacram verò lyram non manibus illidis.
Vtinam qui finxit te Simonides, vtinam ære
Commiſcuiſſes carmen ſuaue. Te verò etiam æs mutum
Reueritum rhythmis lyræ reſonabat cantionem.

Εἰς Ἀναξιμένην.

Ἦν μὲν Ἀναξιμένης νοερὸς σοφός, ἐν δὲ μενοινῇ
Δαιμονίης ἐλέλιζε νοήματα ποικίλα βουλῆς.

In Anaximenem. 7.

Erat quidẽ Anaximenes intelligens ſapiens, in ſententiâ autem
Diuini mouit intellectus varios conſilij.

Εἰς Κάλχαντα.

Θεστορίδης δ' ἄρα μάντις ἐΰσκοπος ἵστατο Κάλχας,
Οἷά τε θεσπίζων. ἐδόκει δέ τι θέσφατα κεύθειν,
Ἢ στρατὸν οἰκτείρων Ἑλλήνιον, ἢ ἔτι θυμῷ
Δειμαίνων βασιλῆα πολυχρύσοιο Μυκήνης.

In Calchantem. 8.

Theſtorides ſanè vates prouidus ſtabat Calchas,
Vt vaticinans. Videbatur verò oracula abſcondere,
Aut exercitum miſerans Græcorum, aut adhuc animo
Formidans regem aureæ multùm Mycenæ.

Εἰς Πύῤῥον, τὸν καὶ Νεοπτόλεμον.

Δέρκεό μοι σκύμνον πολιπόρθιον Αἰακιδάων
Πύῤῥον Ἀχιλλείδην, ὅσον ἤθελε χερσὶν ἑλίσσειν
Τεύχεα χαλκήεντα, τὰ μὴ οἱ ὤπασε τέχνη·
Γυμνὸν γάρ μιν ἔτευξεν. ὁ δ' ὑψόσε φαίνετο λεύσσων,
Οἷά περ ἠνεμόεσσαν ἐς Ἴλιον ὄμμα τιταίνων.

In Pyrrhum, qui & Neoptolemus. 9.

Vide mihi catulum vrbium euerſorem Æacidarum,
Pyrrhum Achilleidem, quantum voluit manibus vibrare,
Arma ærea, quæ ipſi non præbuit ars.
Nudum enim ipſum fecit. Hic verò altè videbatur videre,

Tanquam ventosum in Ilium oculum intendens.

Εἰς Ἀμυμώνην τοῦ Δαναοῦ θυγατέρα.

Ἧστο δ' Ἀμυμώνη ῥοδοδάκτυλος· εἰσοπίσω μὲν
Βόστρυχον ἀκρήδεμνον ἑῆς συνέεργεν ἐθείρης.
Γυμνὸν δ' εἶχε μέτωπον· ἀναςέλλουσα δ' ὀπωπὰς
Εἰνάλιον σκοπίαζε μελάγχαιτον παρακοίτην.

In Amymonem Danai filiam. 10.

Stabat verò Amymone roseis digitis. A tergo quidem
Cincinnum non velatum suorum coërcuit capillorum
Nudam verò habuit faciem: attollens verò oculos
Marinum vide nigris setis maritum.

Εἰς Ποσειδῶνα.

Ἐγγύθι δ' εὐρύστερνος ἐφαίνετο Κυανοχαίτης
Γυμνὸς ἐών· πλόκαμον δὲ καθειμένον εἶχεν ἐθείρης·
Καὶ διερὸν δελφῖνα προέσχετο, χειρὶ κομίζων
Δῶρα πολυζήλοιο γάμων μνηστήρια κούρης.

In Neptunum. 11.

Prope verò lato pectore apparebat nigris setis Neptunus
Nudus existens: crinem verò demissum habebat capillorum:
Et humidum Delphinem ante se habebat. manu ferens
Munera valde æmulantis nuptiarum recordantia puellæ.

Εἰς Σαπφώ.

Πιερικὴ δὲ μέλισσα λιγύθροος ἕζετο Σαπφὼ
Λεσβιὰς ἠρεμέουσα· μέλος δ' ἔνυμνον ὑφαίνειν
Σιγαλέαις δοκέεσκεν ἀναψαμένη φρένα μούσαις.

In Sappho. 12.

Pierica verò apis suauissima sedebat Sappho
Lesbias tacita. Cantum verò hymnalem texere
Taciturnis videbatur componens animum musis.

Εἰς Ἀπόλλωνα.

Φοῖβος δ' εἱστήκει τριποδηλάλος· ἣν δ' ἄρα χαίτης
Εἰσοπίσω σφίγξας ἄδετον πλόκον· ἀλλ' ἐνὶ χαλκῷ
Γυμνὸς ἔην, ὅτι πᾶσιν ἀψευδομύθοισιν Ἀπόλλων

Γυμνώσας δεδάηκεν ἀληθέα δήνεα μοίρης.
Ἢ ὅτι πᾶσιν ὁμῶς ἀναφαίνεται. ἠέλιος γὰρ
Φοῖβος ἄναξ, καθαρὴν δὲ φέρει τηλεσκόπον αἴγλην.

In Apollinem. 13.

Phœbus verò ſtabat è tripode loquens. Erat ſane capillus
A tergo conſtrictus non ligatum crinem. Verùm in ære
Nudus erat, qui omnibus interrogantibus Apollo
Nudare didicit, vera conſilia fati.
Aut qui omnibus ſimul demonſtrat. Sol enim
Phœbus rex, purum verò fert latè fulgentem ſplendorem.

Εἰς Ἀφροδίτην.

Ἄγχι δὲ Κύπρις ἔλαμπεν· ἔλειβε δὲ νώροπι χαλκῷ
Ἀγλαΐης ῥαθάμιγγας. ἀπὸ στέρνοιο δὲ γυμνὴ
Φαίνετο μὲν, φᾶρος δὲ συνήγαγεν ἄντυγι μηρῶν,
Χρυσείῃ πλοκαμῖδας ἀποσφίγξασα καλύπτρῃ.

In Venerem. 14.

Prope verò Venus lucebat. Defundebat verò ſplendido ære
Pulchritudinis guttas: à pectore verò nuda
Apparebat quidem, pallium verò contraxit circum femora,
Aureo comas conſtringens reticulo.

Εἰς Κλεινιάδην.

Κλεινιάδην δὲ τέθηπα, περιστίλβοντα νοήσας
Ἀγλαΐην· χαλκῷ γὰρ ἀνέπλεκε κάλλεος αἴγλην,
Τοῖος ἐὼν οἷόσπερ ἐν Ἀτθίδι μητέρι μύθων
Ἀνδράσι Κεκροπίδῃσι πολύφρονα μῆτιν ἀγείρων.

In Cliniadem. 15.

Cliniadem verò obſtupui fulgentem videns
Splendore: ære enim connectebat pulchritudinis fulgorem.
Talis exiſtens, qualis in Atticâ matre fabularum
Viris Athenienſibus multum ſapiens conſilium congregans.

Εἰς Χρύσην.

Χρύσης δ' αὖ ἱερεὺς πέλας ἵστατο, δεξιτερῇ μὲν
Σκῆπτρον ἀειράμενος Φοιβήιον· ἐν δὲ καρήνῳ

Στέμμα φέρων. μεγέθει δὲ κεκασμένος ἔπρεπε μορφῆς,
Οἷάπερ ἡρώων ἱερὸν γένος. ὡς δοκέω δὲ,
Ἀτρείδην ἱκέτευε· βαθὺς δέ οἱ ἤνθεε πώγων,
Καὶ πλοχμαῖς ἄπλατος ἐσύρετο βότρυς ἐθείρης.

In Chrysam. 16.

Chryſes verò ſacerdos propeſtabat, dextrâ quidem
Sceptrum tenens Phœbeum. In capite verò
Coronam ferens. magnitudine v. inſtructus excellebat formę,
Vt heroum ſanctum genus. Vt videtur verò,
Atridem ſupplex orabat. Profunda verò ipſi florebat barba,
Et extenſæ inacceſſa trahebatur vua comæ.

Εἰς Ἰούλιον Καίσαρα.

Καῖσαρ δ' ἐγγὺς ἔλαμπεν Ἰούλιος, ὅς ποτε Ῥώμην
Ἀντιβίων ἔστεψεν ἀμετρήτοισι βοείαις.
Αἰγίδα μὲν βλοσυρῶπιν ἐπωμαδὸν ἦεν ἀείρων,
Δεξιτερῇ δὲ κεραυνὸν ἀγάλλετο χειρὶ κομίζων,
Οἷα Ζεὺς νέος ἄλλος ἐν Αὐσονίοισιν ἀκούων.

In Iulium Cæſarem. 17.

Cæſar verò prope lucebat Iulius, qui olim Romam
Hoſtium coronabat immenſis clypeis.
Ægidem quidem terribilem aſpectu in humeris ibat tollens,
Dextra verò fulmen ornabat manu ferens,
Vt Iupiter nouus alius in Auſoniis audiens.

Εἰς Πλάτωνα.

Εἱστήκει δὲ Πλάτων θεοείκελος, ὃ πρὶν Ἀθήναις
Δείξας κρυπτὰ κέλευθα θεοκράντων ἀρετάων.

In Platonem. 18.

Stabat verò Plato Deo ſimilis, qui prius Athenis
Demonſtrauit occultas vias cum Deo mixtarum virtutum.

Εἰς Ἀφροδίτην.

Ἄλλην δ' ἀπαπίρξας ἴδον χρυσῆν Ἀφροδίτην,
Γυμνὴν παμφανόωσαν· ἐπὶ στέρνων δὲ θεαίνης
Αὐχένος ἐξ ὑπάτοιο χυθεὶς ἐλελίζετο κεστός.

In Vo-

In Venerem. 19.

Aliam verò claro patre natam vidi auream Venerem,
Nudam omnibus apparentem. In pectore verò deæ,
Ceruice ex summa fusus voluebatur cestus.

Εἰς Ἑρμαφρόδιτον.

Ἵστατο δ' Ἑρμαφρόδιτος ἐπήρατος, οὔθ' ὅλος ἀνήρ,
Οὔτε γυνή. μικτὸν γὰρ ἔην βρέτας. ἦ τάχα κοῦρον
Κύπριδος εὐκόλποιο καὶ Ἑρμάωνος ἐνίψεις.
Μαζοὺς μὲν σφριγόωντας ἐδείκνυεν οἷά τε κούρη·
Σχῆμα δὲ πᾶσιν ἔφαινε φυτοσπόρον ἄρσενος αἰδοῦς,
Ζωῆς ἀγλαΐης κεκερασμένα σήματα φαίνων.

In Hermaphroditum. 20.

Stabat Hermaphroditus amabilis, neque totus vir,
Neq; mulier. Mixtum verò erat simulacrũ. Certè propè puellũ
Veneris bene sinuosę & Mercurij dixeris.
Mamillas quidem turgentes demonstrabat vt puella:
Formam verò omnib. demonstrabat seminalē virilis pudēdi,
Communis pulchritudinis instructa signa monstrans.

Εἰς Ἤρινναν.

Παρθενικὴ δ' Ἤριννα λιγύθροος ἕζετο κούρη,
Οὐ μίτον ἀμφαφόωσα πολύπλοκον, ἀλλ' ἐνὶ σιγῇ
Πιερικῆς ῥαθάμιγγας ἀποσταλάουσα μελίσσης.

In Erinnam. 21.

Virgo Erinna suauisona sedebat puella,
Non filum tangens multis nexibus implicitum, sed in silentio
Pericæ guttas stillans apis.

Εἰς Τέρπανδρον.

Μήτε λίπῃς Τέρπανδρον εὔθροον· ὃν τάχα φαίης
Ἔμπνοον, οὐκ ἄφθογγον ἰδεῖν βρέτας. ὡς γὰρ ἐΐσω,
Κινυμέναις πραπίδεσσιν ἀνέπλεκε μύστιδα μολπήν,
Ὥς ποτε δινήεντος ἐπ' Εὐρώταο ῥοάων
Μυστιπόλῳ φόρμιγγι κατεπρήϋνεν ἀείδων
Ἀγχεμάχων κακότητας Ἀμυκλαίων ναετήρων.

In Terpandrum. 22.

Neq; relinquas Terpandrum suauiloquum, cuius propè dixeris
Viuum non mutum videre simulacrum. Vt enim censeo,
Commotâ mente componebat mysticam cantilenam,
Vt quondam fluentis Eurotæ fluctibus
Poëticâ lyrâ placauit canens
Vicinorum malitiam Amyclæorum habitatorum.

Εἰς Περικλῆν.

Ἠγασάμην δ' ὁρόων σε Περίκλεες, ὅττι καὶ αὐτῷ
Χαλκῷ ἀναυδήτῳ δημηγόρον ἦθος ἀείρεις,
Ὥς ἔτι Κεκροπίδῃσι θέμιστ' ἐθέων πολιήταις,
Οὐ μόθον ἐγρεμόων Πελοπήιον, ἱστάμενος δέ.

In Periclem. 23.

Lætabar verò intuens te Pericles, quòd & ipsi
Æri muto concionalem morem refers,
Vt adhuc Atheniensibus legem ferens ciuibus,
Non bellum excitans Peloponnesiacum, stans verò.

Εἰς Πυθαγόραν.

Ἔπρεπε Πυθαγόρης Σάμιος σοφός· ἀλλ' ἐν ὀλύμπῳ
Ἐνδιάειν ἐδόκευε, (φύσις δ' ἐβιάζετο χαλκοῦ)
Πλημμύρων νοερῇσι μεληδόσιν. ὡς γὰρ ὀΐω,
Οὐρανὸν ἀχράντοισιν ἐμέτρεε μούνοις ὀπωπαῖς:

In Pythagoram. 24.

Excellebat Pythagoras Samius, sapiens: sed in cœlo
Degere videbatur, (natura verò cogebatur æris)
Plenus rationabilibus curis. Vt enim censeo
Cœlum sanctis mensurabat solum oculis.

Εἰς Στησίχορον.

Στησίχορον δ' ἐνόησα λιγύθροον, ὅν ποτε γαῖα
Σικελίη μὲν ἔφερβε, λύρης δ' ἐδίδαξεν Ἀπόλλων
Ἁρμονίην, ἔτι μητρὸς ἐνὶ σπλάγχνοισιν ἐόντα.
Τοῦ γὰρ τικτομένοιο, καὶ ἐς φάος ἄρτι μολόντος,
Ἔκποθεν ἠερόφοιτος ἐπὶ στομάτεσσιν ἀηδών.

Λάθρη ἐφεζομένη λιγυρὴν αἰεβάλλετο μολπήν.

In Stesichorum. 25.

Stesichorum cognoui suauisonum, quem olim terra
Sicula nutriuit, lyræ verò docuit Apollo
Consonantiam, adhuc matris in visceribus existentem.
Quo & edito, & in lucem iam progrediente,
Alicunde per aëra vadens in ore alauda
Tacitè insidens dulcem emittebat vocem.

Εἰς Δημόκριτον.

Χαῖρέ μοι Ἀβδήρων Δημόκριτε κῦδος ἀρούρης,
Ὅττι σὺ καλλιτόκοιο φύσης ἐφράσσαο θεσμούς,
Λεπτὰ διακρίνων πολυΐδμονος ὄργια μούσης.
Αἰεὶ δὲ σφαλεροὺς ἐγέλας βιότοιο κελεύθους·
Εὖ εἰδὼς ὅτι πάντα χρόνων παραμείβεται αἰών.

In Democritum. 26.

Salue mihi Abderæ Democrite gloria terræ,
Quòd pulchrigenæ naturæ explicuisti leges,
Tenuia discernens multisciæ orgia musæ.
Semper verò fallaces vitæ risisti vias:
Bene sciens, quòd omnia senex permutat æuum.

Εἰς Ἡρακλέα, καὶ εἰς Αὔγην, καὶ εἰς Αἰνείαν.

Ἡρακλέης δ' ἀνίυλον ἐδείκνυε κύκλον ὑπὸ λίνης,
Μῆλα λεοντοφόνῳ παλάμῃ χρύσεια κομίζων,
Γαίης ὄλβια δῶρα λιβυστίδος. ἐγγύθι δ' αὐτοῦ
Παλλάδος ἀρήτειρα παρίστατο παρθένος Αὔγη,
Φᾶρος ἐπιστείλασα κατωμαδόν· οὐ γὰρ ἐθείρας
Κρηδέμνῳ συνέεργεν· ἑὰς δ' αἰετείνετο χεῖρας,
Οἷά τε κικλήσκουσα Διὸς γλαυκῶπιδα κούρην.
Ἀρκαδικῆς Τεγέης ὑπὸ δειράδας. ἵλαθι γαίης
Τρωϊάδος βλάστημα σακεσπάλου, ἵλαθι λάμπων
Αἰνεία, Τρώων βουληφόρε. σαῖς γὰρ ὀπωπαῖς
Ἀγλαΐης πνείουσα σοφὴ συνελείβεται αἰδώς,

Θέσκελον ἀγγέλλουσα γένος χρυσῆς Ἀφροδίτης.

In Herculem, & in Augem, & in Æneam. 27.

Hercules inberbem demonstrabat circulum barbæ,
Poma leones occidenti manu aurea ferens,
Terræ beata munera Libycæ. Prope v. apud ipsum
Palladis sacerdos stabat virgo Auge,
Vestimentum demittens à tergo: non enim comas
Capitis velamento contrahebat: suas v. sursum tēdebat manus,
Vt compellans Iouis cæsios oculos habentem puellam
Arcadicæ Tegeæ in iugo montis. Propitium esto terræ
Troicæ germen hastiferum, propicius esto lucens
Ænea Troianorum consiliarie. Tuis enim oculis
Pulchritudinem spirans, prudens distillat pudor,
Diuinum annuncians genus aureæ Veneris.

Εἰς Κρέουσαν.

Ἠγασάμην δὲ Κρέουσαν ἰδὼν πενθήμονι κόσμῳ,
Σύγγαμον Αἰνείαο κατάσκιον. ἀμφὶ γὰρ αὐταῖς
Ἀμφοτέραις κρήδεμνον ἐφελκύσασα παρειαῖς,
Πάντα περὶξ ἐκάλυψε ποδηνεκέι χρόα πέπλῳ,
Οἷά τε μυρομένη. τὰ δὲ χάλκεα δάκρυα νύμφης
Ἄρεϊ δουρικτητον ἐμαρτύροντο τιθήνην,
Ἴλιον, Ἀργείοισιν ἑελμένον ἀσπιδιώταις.

In Creusam. 28.

Venerabar Creusam videns luctuoso ornatu,
Coniugem Æneæ velatam. Circa enim ipsas
Ambas velamentum demittens genas,
Omnia circa abscōdit vsq; ad pedes depēdenti corpus peplo,
Vt lugens. Æreæ verò lacrumæ puellæ
Marte per hastam occupatam indicabant nutricem,
Ilium, Argiuis compulsum militibus.

Εἰς Ἕλενον.

Οὐδ' Ἕλενος χρησμῶν ἀπεπαύετο· πατρὶ δὲ μάντις
Φαίνετο, δινεύων ἔτι που χόλον. ἦν γὰρ ἀείρων
Δεξιτερῇ φιάλην ἐπιλοίβιον· ὡς δοκέω δέ,

Ἐσθλὰ μὲν Ἀργείοις μαντεύετο· καὶ δὲ ἑ πάτρης
Ἀθανάτοις ἠρᾶτο πανύστατα σήματα φαίνειν.

In Helenum. 29.

Neque Helenus irasci desinebat: patri verò crudelis
Apparebat, circumagens adhuc iram. Et attollebat quidem
Dextra phialam libatoriam: vt censeo verò,
Bona quidem Arginis vaticinabatur: contra verò patriam
Deos orabat extrema signa vt ostenderent.

Εἰς Ἀνδρομάχην.

Ἀνδρομάχη δ' ἕστηκε ῥοδόσφυρος Ἠετιώνη,
Οὔτι γόον σταλάουσα πολύστονον. ὡς γὰρ ὀΐω,
Οὔπω ἐν πολέμῳ κορυθαίολος ἤριπεν Ἕκτωρ,
Οὐδὲ φερεσσακέων ὑπερήνορες υἷες Ἀχαιῶν
Δαρδανίην ξύμπασαν ἐληΐσσαντο τιθήνην.

In Andromacham. 30.

Andromacha stabat roseo calcaneo Eetionis filia
Neque luctum mittens multigementem. Vt enim puto,
Nondum in bello vanam galeam habens ceciderat Hector,
Neque ferentes hastas superbi filij Achiuorum
Dardaniam omnem spoliati erant nutricem.

Εἰς Μενέλαον.

Ἦν δ' ἐσιδεῖν Μενέλαον ἀρήϊον, ἀλλ' ἐπὶ νίκῃ
Γηθόσυνον. σχεδόθεν γὰρ ἐθάλπετο χάρματι πολλῷ,
Δερκόμενος ῥοδόπηχυν ὁμόφρονα Τυνδαρεώνην.

In Menelaum. 31.

Erat videre Menelaum Martialem, sed in victoria
Lætum. Prope enim incalescebat gaudio multo,
Videns roseis digitis idem sentientem Tyndari filiam.

Εἰς Ἑλένην.

Ἠγασάμην δ' Ἑλένης ἐρατὸν τύπον, ὅττι καὶ αὐτῷ
Χαλκῷ κόσμον ἔδωκε πολυίμερον· ἀγλαΐη γὰρ
Ἔπνεε θερμὸν ἔρωτα καὶ ἀψύχῳ ἐνὶ τέχνῃ.

In Helenam. 32.

Venerabar verò Helenæ amabilem formam, quòd & ipsi
Æri ornamentum dabat, omnino desiderabile: splendor v.
Spirabat calidum amorem etiam mortua in arte.

Εἰς Ὀδυσσέα, καὶ εἰς Ἑκάβην.

Πυκναῖς δὲ πραπίδεσσιν ἀγάλλετο δῖος Ὀδυσσεύς,
Οὐ γὰρ ἔην ἀπάνευθε πολυστρέπτοιο μενοινῆς,
Ἀλλ' ἔτι κόσμον ἔφαινε σοφῆς φρενός. ἦν δ' ἐνὶ θυμῷ
Καγχαλόων· Τροίην γὰρ ἐγήθεε πᾶσαν ὀλέσσαι
Ἧσι δολοφροσύνῃσι. σὺ δ' Ἕκτορος ἔννεπε μῆτερ,
Τίς σε πολυτλήμων Ἑκάβη· πόσα δάκρυα λείβειν
Ἀθανάτων ἐδίδαξεν ἀφωνήτῳ ἐνὶ κόσμῳ;
Οὐδέ σε χαλκὸς ἔπαυσεν ὀιζύος, οὐδέ σε τέχνη
Ἄπνοος οἰκτείρασα δυσαλγέος ἔσχεθε λύσσης·
Ἀλλ' ἔτι δακρυχέουσα παρίστασαι· ὡς δὲ δοκεύω,
Οὐκ ἔτι δυστήνου μόρον Ἕκτορος οὐδὲ ταλαίνης
Ἀνδρομάχης βαρὺ πένθος ὀδύρεαι, ἀλλὰ πεσοῦσαν
Πατρίδα σήν. φᾶρος γὰρ ἐπικρεμὲς ἀμφὶ προσώπῳ
Ῥήματα μὲν δείκνυσιν· ἀπαγγέλλουσι δὲ πέπλοι
Πένθος ὑποβρύχιον, κεχαλασμένοι ἄχρι πεδίλων.
Ἀλγεῖ γὰρ πυμάτῳ δέδεται φρένα· καὶ δὲ παρειῆς
Δάκρυα μὲν σταλάεις· τὸ δὲ δάκρυον ἔσβεσε τέχνη,
Ἄπλετον ἀγγέλλουσα δυσαλγέος αὐχμὸν ἀνίης.

In Vlyssem & in Hecubam. 33.

Crebris verò pectoribus ornabatur diuinus Vlysses.
Non enim erat sine variabili consilio,
Sed adhuc ornatum demonstrabat sapientis mentis. Erat verò in animo
Ridens effuse: Troiam v. gaudebat quòd omnem perdidisset
Suis dolis. Tu verò Hectoris dic mater,
Quis te miserrima Hecuba tot lacrumas libare
Deorum docuit in muto ornatu?
Neque te æs quiescere facit à luctu, neque te ars
Mortua miserata à calamitosa cohibuit rabie:

Sed adhuc lacrumans stetisti. vt verò videtur,
Non amplius infelicis mortem Hectoris neque miseræ
Andromaches grauem luctum defles, sed cadentem
Patriam tuam. Vestimẽtum verò supra suspensum ante faciem
Dolores quidem indicat: nunciant verò vestes
Luctum frendentem, demissæ vsque ad calceos.
Dolore enim extremo vincta es animum: per genas verò
Lacrumas demittebat: lacrumam autem extinxit ars,
Inexplebilem indicans insanabilis siccitatem doloris.

Εἰς Κασσάνδραν.

Κασσάνδρην δ' ἐνόησα θεοπρόπον· ἀλλ' ἐνὶ σιγῇ
Μεμφομένη γενετῆρα, σοφῆς ἐνεπίμπλατο λύσσης;
Οἷά τε θεσπίζουσα πανύστατα πήματα πάτρης.

In Cassandram. 34.

Cassandram verò cognoui fatidicam: sed in silentio
Reprehendens patrem, prudenti implebatur insania.
Vt diuinans extremam noxam patriæ.

Εἰς Πύῤῥον.

Πύῤῥος δ' ἄλλος ἔην πτολιπόρθιος, οὐκ ἐπὶ χαίτης
Ἱπποκόμου τρυφάλειαν ἔχων, οὐκ ἔγχος ἑλίσσων·
Ἀλλ' ἄρα γυμνὸς ἔλαμπε, καὶ ἄχνοον εἶχεν ὑπήνην.
Δεξιτερὴν δ' ἀνέτεινεν ἑὴν ἐπιμάρτυρα νίκης,
Λοξὰ Πολυξείνην βαρυδάκρυον ὄμμασι λεύσσων.

In Pyrrhum. 35.

Pyrrhus verò alius erat vrbium euersor, non in coma
Equos ornantem galeam habens, non hastam vibrans:
Sed sanè nudus lucebat, & sine lanugine habebat barbam.
Dexteram verò intendebat suæ testem victoriæ,
Obliquè Polyxenam multum deflendam oculis intuens.

Εἰς Πολυξένην.

Εἰπὲ Πολυξείνη δυσπάρθενε, τίς σ' ἠνάγκη
Χαλκῷ ἐν ἀφθόγγῳ κεκρυμμένα δάκρυα λείβειν;
Πῶς δὲ τεῷ κρήδεμνον ἐπειρύσασα προσώπῳ,
Ἵστασαι αἰδομένῃ μὲν ἀλίγκιος, ἀλλ' ἐνὶ θυμῷ

Πένθος ἔχεις· μὴ δή σε τεὴν πτολίεθρον ὀλέσσας
Ληΐδα Πύρρος ἔχει Φθιώτιος; οὐδέ σε μορφὴ
Ρύσατο, θελξινόοισα Νεοπτολέμοιο μενοινὴν,
Η ποτε θηρεύσασα τεοῦ γενετῆρα φονῆος,
Εἰς λίνον αὐτοκέλευστον ἀελπέος ἦγεν ὀλέθρου.
Ναὶ μὰ τὸν ἐν χαλκῷ νοερὸν τύπον, εἴ κέ σε τοίην
Εδρακε Πύρρος ἄναξ, τάχα κεν ξυνήονα λέκτρων
Ηγετο, πατρῴης προλιπὼν μνημήια μοίρης.

In Polyxenam. 36.

Dic Polyxena bis virgo, quæ tibi necessitas
Muto in ære occultatas lacrumas libare?
Quomodo verò tuum velamentum attrahens ante faciem,
Stas pudenti similis, sed in animo
Luctum habes? ne te tuam qui ciuitatem perdidit
Prædam Pyrrhus habeat Phthiotis? Nec te forma
Liberauit, percutiens Neoptolemi iram;
Quæ quondam venata tui parentem occisoris,
In laqueum spontaneum insperatæ duxit mortis?
Certè per intellectualem formam in ære, si te talem
Vidisset Pyrrhus rex, propè coniugem lecti
Duxisset, paterni relinquens monumenta fati.

Εἰς Αἴαντα τὸν Λοκρόν.

Ηγασάμην δ' Αἴαντα, τὸν ὀβριμόθυμος Οἰλεὺς
Λοκρίδος ἐσπέρμηνε πελώριος ἕρκος ἀρούρης.
Φαίνετο μὲν νεότητι κεκασμένος. οὐδὲ γὰρ ἦεν
Ανθει λαχνήεντι γενειάδος ἄκρα χαράξας.
Γυμνὸν δ' εἶχεν ἅπαν στιβαρὸν δέμας ἠνορέῃ δὲ
Βεβριθὼς, ἐλέλιζε μαχήμονος οἶστρον Ἐνυοῦς.

In Aiacem Locrum. 37.

Venerabar Aiacem, quem magnanimus Oileus
Locridis generauit immensum munimentum agri.
Apparebat quidem iuuentute instructus. Neque verò erat
Flore lanato menti summitatem aspersus.
Nudum verò habebat omne robustum corpus: pugna verò
Plenus

Plenus voluebat bellicosæ furorem Enyus.

Εἰς Πάριν.

Αἰδομένῳ μὲν ἔοικεν ὁ βουκόλος· εἶχε δ' ὀπωπὴν
Πλαζομένην ἑτέρωσε δυσίμερος. ᾔδετο γάρ που
Οἰνώνην βαρύδακρυν ἰδεῖν Κεβρηνίδα νύμφην.

In Paridem. 38.

Pudenti verò similis erat pastor: habebat verò faciem
Confusam in alteram partem amore infelix. Fastidiebat enim
Oenonem grauiter flentem videre Cebrynidem Nympham.

Εἰς Οἰνώνην.

Οἰνώνη δὲ χόλῳ φρένας ἔζεε, ἔζεε πικρῷ
Ζήλῳ θυμὸν ἔδουσα· Πάριν δ' ἐκέλευε λαθοῦσα
Ὄμματι μαινομένῳ, κρυφίην δ' ἤγγελλεν ἀπειλήν,
Δεξιτερῇ βαρύποτμον ἀναινομένη παρακοίτην.

In Oenonem 39.

Oenone verò ira animum feruebat, feruebat graui
Zelo, animum comedens: Paridem verò vocabat latens
Oculo insano, occultam verò annuntiabant minæ,
Dextera valdè infelicem recusantes coniugem.

Εἰς Μίλωνα.

Ἡ δὲ παλαισμοσύνην δεδαημένος ὄβριμος ἀνήρ.
Εἰ δὲ Φίλων ἤκουε, πελώριος· εἴτε Φιλάμμων,
Εἴτε Μίλων Σικελῆς ἔρυμα χθονός, οἶδεν Ἀπόλλων.
Οὐ γὰρ ἐγὼ δεδάηκα διακρῖναι, καὶ ἀεῖσαι
Οὔνομα θαρσαλέου κλυτὸν ἀνέρος· ἀλλὰ καὶ ἔμπης
Ἔπνεεν ἠνορέην. λάσιος δέ οἱ εἵλκετο πώγων;
Καὶ φόβον ἠκόντιζον ἀεθλητῆρα προσῶπα,
Καὶ κεφαλῆς ἔφρισσον ἐθειράδες. ἀμφὶ δὲ πυκνοῖς
Μυῶνες μεγέθεσσιν ἀνοιδαίνοντο ταθέντες
Τρηχαλέοι· δοιοὶ δὲ συνισταμένων παλαμάων
Εὐρέες ἐσφήκωντο βραχίονες, ἠύτε πέτραι,
Καὶ παχὺς αὐχήεντι τένων ἐπεμίσγατο νώτῳ,

Αὐχένος ἀγναμπτοιο περὶ πλατὺν αὐλὸν ἀνέρπων.

In Milonem. 40.

Erat & qui luctam didicerat immensus vir.
Siue verò Philon dictus sit, siue Philammon,
Siue Milon Siculæ custodia terrę, nouit Apollo.
Non enim ego noui discernere, & canere
Nomen confidentis inclytum viri: sed tamen
Spirabat certamen. Densa verò ipsi trahebatur barba.
Et metum iaculabantur pugnacem genæ,
Et capitis horrebant capilli. Circa verò densis
Musculi membris tumebant extensi
Asperi. Bina verò compositis manibus
Lata contrahebantur brachia, vt petræ,
Et pinguis robusto tendo insurgebat dorso,
Circa ceruicem bene incuruatā circa latā tibiā sursum repens.

Εἰς Δάρητα.

Αὐδαλέῳ δὲ Δάρης ἐζώννυτο χεῖρας ἱμάντι,
Πυγμαχίης κήρυκα φέρων χόλον· ὠσορέης δὲ
Ἔπνεε θερμὸν ἄημα πολυστρέπτοισιν ὀπωπαῖς.

In Daretem. 41.

Humido verò Dares cingebat manus cæsto
Pugilatus præconem ferens iram: pugnæ verò
Spirabat calidum spiritum retortis oculis.

Εἰς Ἔντελλον.

Ἔντελλος δὲ Δάρητος ἐναντίον ὄμμα τιταίνων,
Γυιοτόρους μύρμηκας ἐμαίνετο χερσὶν ἑλίσσων·
Πυγμαχίης δ᾽ ὤδινε φόνου διψῶσαν ἀπειλήν.

In Entellum. 42.

Entellus verò contra Daretem oculum intendens,
Membra transfigentes cæstos furebat manibus trahens:
Pugilatus verò parturiebat cædem sitientes minas.

Εἰς Χαρίδημον.

Δέρκεό μοι Χαρίδημον, ὃς Ἀτθίδος ἡγεμονεύων
Κεκροπίδην στρατὸν εἶχεν ἐῆς πειθήμονα βουλῆς.

In Charidemum. 43.

Vide mihi Charidemum, vt Atticæ princeps
Atheniensem exercitum habuit suo obedientem consilio.

Εἰς Μελάμποδα.

Ἧκεν ἰδὼν ἀγάσσαιο Μελάμποδα· μάντιπόλον μὲν
Ἱερὸν εἶδος ἔφαινεν. ἐοίκε δὲ θεσπιδόος ὀμφῆς
Σιγηλοῖς στομάτεσσι θεοπρόπον ἆσθμα τιταίνειν.

In Melampodem. 44.

Atqui videns venerare Melampodem: augurem quidem
Sacra forma demonstrabat. videbatur verò sanctæ vocis
Taciturno ore diuinum spiritum extendere.

Εἰς Πάνθουν.

Πάνθοος ἦν Τρώων βουληφόρος· ἀλλ' ἔτι δηλὴν
Οὔπω μῆτιν ἔπαυσε κατ' Ἀργείων στρατιάων.

In Panthum. 45.

Panthus erat Troianorum consiliarius, sed adhuc graue
Nondum consilium sedarat contra Græcos milites.

Εἰς Θυμοίτην.

Δημογέρων δὲ νόημα πολύπλοκον εἶχε Θυμοίτης,
Ἀμφασίης πελάγεσσιν ἐελμένος. ἦ γὰρ ἐῴκει
Σκεπτομένῳ τινὰ μῆτιν ἔτι Τρώεσσιν ὑφαίνειν.

In Thymœtem. 46.

A populo honoratus mētē multū implexā habebat Thymœtes,
Stupore in pelago obmutescens. Certè enim assimulabatur
Quærenti aliquod consilium adhuc Troianis demonstrare.

Εἰς Λάμπωνα.

Λάμπων δ' ἀχνυμένῳ ἐναλίγκιος ἦεν ἰδέσθαι.
Οὐ γὰρ ἔτι φρεσὶν εἶχε κυλινδομένοιο κυδοιμοῦ
Τειρομένοις Τρώεσσι τεκεῖν παιήονα βουλήν.

In Lamponem. 47.

Lampon dolenti similis erat visu.
Non enim adhuc animo habebat concitato tumultu
Trepidantibus Troianis generare salutare consilium.

Εἰς Κλύτιον.

Εἱστήκει Κλύτιος μὲν ἀμήχανος· εἶχε δὲ δοιὰς
Χεῖρας ὁμοπλεκέας, κρυφίης κήρυκας ἀνίης.

In Clytium. 48.

Stabat Clytius quidem ſine conſilio. Habebat verò duas
Manus complexas, occulti indices doloris.

Εἰς Ἰσοκράτην τὸν ῥήτορα.

Χαῖρε φάος ῥήτρης Ἰσόκρατες, ὅττι σὺ χαλκῷ
Κόσμον ἄγεις. δοκέεις γὰρ ἐπίφρονα μήδεα φαίνειν,
Εἰ καὶ ἀφωνήτῳ σε πόνῳ χάλκευσατο τέχνη.

In Iſocratem rhetorem, 49.

Salue lux oratoriæ, Iſocrates, quòd tu æri
Ornamentum adducis: Videris verò ſapiētia conſilia oſtēdere,
Quamuis muto labore te fabricauit ars.

Εἰς Ἀμφιάραον.

Ἔστενε δ' Ἀμφιάρηος ἔχων περιλαμπέα χαίτην
Στέμματι δαφναίῳ. κρυφίην δ' ἐλέλιζεν ἀνίην,
Θεσπίζων ὅτι πᾶσι λυρόκτιτος ἀνδράσι Θήβη
Ἀνδράσιν Ἀργείοισιν ἀνόστιμον ἦμαρ ὀλέσσει.

In Amphiaraum. 50.

Gemebat Amphiaraus habens illuſtrem comam
Coronâ laureâ. Occultum verò voluebat dolorem.
Vaticinans quòd omnibus à lyra conſtructæ viris Thebæ
Viris Argiuis redux dies perdet.

Εἰς Ἀγλαόν.

Ἀγλαὸς ἑστήκει χρησμολόγος, ὅν τινα φασὶ
Μαντιπόλου γενετῆρα θεοφραδέος Πολυΐδου.
Εὐπετάλῳ δὲ κόμας ἐστεμμένος ἔπρεπε δάφνῃ.

In Aglaum. 51.

Aglaus ſtabat vates, quem dicunt
Vatis patrem diuina prædicentis Polyidis.
Bene florenti verò comas coronatus eminebat lauro.

Εἰς Ἀπόλλωνα.

Εἶδον ἀκειρεκόμην ἑκατὸν θεόν, εἶδον ἀοιδῆς
Κοίρανον, ἀτμήτοισι κεκασμένον ἄνθεσι χαίτην.
Εἶχε γὰρ ἀμφοτέροισι κόμης μεμερισμένον ὤμοις
Βόστρυχον αὐτοέλικτον. ἕλιξε δὲ μαντιν ὀπωπὴν,
Οἷά τε μαντοσύνῃ μερόπων πήματα λύων.

In Apollinem. 52.

Vidit intonſum procul Deum, vidit cantilenæ
Dominum intonſis inſtructum floribus comam.
Habebat verò vtriuſque comæ diuiſum humeris
Cincinnum per ſe contortum. Torquebat v. fatidicam faciem,
Vt vaticinio mortales dolores ſoluens.

Εἰς Αἴαντα τὸν μέγαν.

Γυμνὸς δ' ὀβριμόθυμος ἔην Τελαμώνιος Αἴας,
Μήπω πρῶτον ἴουλον ἔχων. ἐκέκαστο δὲ μορφῆς
Ἄνθεσι πατρῴης· πλοκάμους δ' ἐσφίγγετο μίτρῃ.
Οὐ γὰρ ἔην τρυφάλειαν ἔχων, οὐκ ἔγχος ἑλίσσων,
Οὐ σάκος ἑπταβόειον ἐπ' ὤμασιν· ἀλλὰ τοκῆος
Θαρσαλέην ἀνέφαινεν ἀγηνορίην Τελαμῶνος.

In Aiacem magnum. 53.

Nudus verò immenſus animo erat Telamonius Aiax,
Nondum primam lanuginem habens. Ornabatur verò formæ
Floribus paternæ, crines verò contrahebat mitrâ.
Non enim erat galeam habens, non haſtam vibrans,
Non clypeum Septemplicem in humeris: ſed patris
Confidentem oſtendebat fortitudinem Telamonis.

Εἰς Σαρπηδόνα.

Ἵστατο Σαρπηδὼν Λυκίων πρόμος· ἰσορέπῃ μὲν,
Φρικτὸς ἔην· ἁπαλοῖς δὲ νεοστρεφέεσσιν ἰούλοις
Οἴνοπος ἄκρα χάρασσε γενειάδος· ἀμφὶ δὲ χαίταις
Εἶχε κόρυν. γυμνὸς μὲν ἔην δέμας, ἀλλ' ἐνὶ μορφῇ
Σπέρμα Διὸς σήμαινεν. ἀπ' ἀμφοτέρης γὰρ ὀπωπῆς
Μαρμαρυγὴν ἀνέπεμπεν ἐλευθερίου γενετῆρος.

Γνήσιον ἦθος ἔφαινον ἀρήϊον Αἰακιδάων.

In Achillem. 57.

Bellator intonſus lucebat diuinus Achilles,
Nudus exiſtens clypeo. Videbatur verò haſtam vibrare
Dextra, ſiniſtra verò clypeum æreum attollere
Forma artificiali. Belli verò emittebat minas,
Confidentia audaci incitatus. Oculi enim
Legitimum morem oſtendebant Martialem Æacidarum.

Εἰς Ερμῆν.

Ην δὲ καὶ Ερμείης χρυσόῤῥαπις· ἱστάμενος δὲ,
Δεξιτερῇ πτερόεντος ἀνείρυε δεσμὰ πεδίλου,
Εἰς ὁδὸν ἀΐξαι λελιημένος. εἶχε γὰρ ἤδη
Δεξιὸν ὀκλάζοντα θοὸν πόδα. τῷ ἔπι λαιὴν
Χεῖρα ταθεῖσαν, ἔπεμπεν ἐς αἰθέρα κύκλον ὀπωπῆς,
Οἷά τε πατρὸς ἄνακτος ἐπιτρέποντος ἀκούων.

In Mercurium. 58.

Erat verò & Mercurius aureos habens calceos: ſtans verò,
Dextrâ alati retrahebat vincula calcei,
In viam irruere volens. Habuit verò iam
Dextrum in genua procumbentem velocē pedē. Ipſi ſiniſtram
Manum extenſam, mittebat in æthera circulum oculorum,
Vt patrem regem imperantem auſcultans.

Εἰς Απυλήϊον τὸν μάγον.

Καὶ νοερῆς ἄφθεγκτα Λατινίδος ὄργια μούσης
Αζετο παπταίνων Απυλήϊος, ὅν τινα μύστην
Αὐσονὶς ἀῤῥήτου σοφίης ἀνεθρέψατο σειρήν.

In Apuleium magum. 59.

Et intellectualis taciturna Latinæ orgia muſæ
Colebat inquirens Apuleius, quem Sacerdotem
Auſonia arcanæ ſapientiæ nutriuit Siren.

Εἰς Αρτεμιν.

Φοίβου δ' οὐρεσίφοιτος ὁμόγνιος ἵστατο κούρη
Αρτεμις, ἀλλ' οὐ τόξον ἑκηβόλον οὐδὲ φαρέτρην

Ἰοδόκον κατέχουσα κατωμαδόν. ἦν δ' ἐπὶ γυίων
Παρθένιον λεγνωτὸν ἀναζωσθεῖσα χιτῶνα,
Καὶ τειχὸς ἀκρήδεμνον ἀνειμένη πλόκον αὔραις.

In Artemin. 60.

Phœbi verò in montibus ambulans cognata ſtabat puella
Artemis, ſed non arcum procul iaculantem, neque pharetram
Sagittas capientem habens. in humeris. Erat verò in genibus
Virginalem variegatam cincta tunicam,
Et capilli non velatum committens cirrum auris.

Εἰς Ὅμηρον.

Ἔμφρονα χαλκὸν Ὅμηρος ἐδείκνυεν, οὔτε μὲν ᾠδῆς
Ἄμμορον, οὔτε νόου κεχρημένον, ἀλλ' ἄρα μούνης
Φωνῆς ἀμβροσίης. ἀνέφαινε δὲ θυιάδα τέχνην.
Ἦ καὶ χαλκὸν ἔχευεν ὁμοῦ θεὸς εἴδεϊ μορφῆς.
Οὐ γὰρ ἐγὼ κατὰ θυμὸν ὀΐομαι ὅττι μιν ἀνὴρ
Ἐργοπόνος χάλκευσε παρ' ἐσχαρεῶνι θαάσσων,
Ἀλλ' αὐτὴ πολύμητις ἀνέπλασε χερσὶν Ἀθήνη,
Εἶδος ἐπισταμένη τό, τ' ἐώκεεν. ἐν γὰρ Ὁμήρῳ
Αὐτὴ ναιετάουσα σοφὴν ἐφθέγγετο μολπήν,
Συνώνομος Ἀπόλλωνι. πατὴρ δ' ἐμὸς, ἰσόθεος φὼς,
Ἵστατο θεῖος Ὅμηρος. ἔϊκτο μὲν ἀνδρὶ νοῆσαι:
Γηραλέῳ, τὸ δὲ γῆρας ἔην γλυκύ. τοῦτο γὰρ αὐτῷ
Γλειοτέρην ἔσταξε χάριν· κεκέραστο δὲ κόσμῳ
Αἰδοίῳ τε φίλῳ τε· σέβας δ' ἀπελάμπετο μορφῆς.
Αὐχένι μὲν κύπλοισι γέρων ἐπεσύρετο βότρυς,
Χαίτης εἰς ὀπίσω πεφορημένος· ἀμφὶ δ' ἀκουὰς
Πλαζόμενος κεχάλαστο. κάτω δ' εὐρύνετο πώγων
Ἀμφιταθεὶς, μαλακὸς δὲ καὶ εὔτροχος. οὐδὲ γὰρ ᾔει
Ὀξυτενὴς, ἀλλ' εὐρὺς ἐπαύετο, κάλλος ὑφαίνων
Στήθεϊ γυμνωθέντι, καὶ ἱμερόεντι προσώπῳ.
Γυμνὸν δ' εἶχε μέτωπον· ἐπ' ἀπλοκάμῳ δὲ μετώπῳ

Ἧστο

Ἧστο σαοφροσύνη χρυσέης τρόφος. ἀμφὶ δ' ἄρ' ὀφρῦς
Ἀμφοτέρας προβλῆτας εὔσκοπος ἔπλασε τέχνη.
Οὔτι μάτην· φαέων γὰρ ἐρημάδες ἦσαν ὀπωπαί.
Ἀλλ' οὐκ ἦν ἀλαῷ ἐναλίγκιος ἀνδρὶ νοῆσαι.
Ἕζετο γὰρ κενεοῖς χάρις ὄμμασιν· ὡς δ' ἐδόκευον,
Τέχνη τοῦτο τέλεσσεν, ὅπως πάντεσσι φανείη
Φέγγος ἀπὸ κραδίης σοφίης ἄσβεστον ἀείρων.
Δοιαὶ μὲν ποτὶ βαιὸν ἐκοιλαίνοντο παρειαὶ,
Γήραϊ ῥικνήεσσαι κατάσχετοι· ἀλλ' ἐν ἐκείναις
Αὐτογενὴς χαρίτεσσι συνέστιος ἵζανεν αἰδώς.
Πιερικὴ δὲ μέλισσα περὶ στόμα θεῖον ἀλᾶτο,
Κηρίον ὠδίνουσα μελισταγές. ἀμφοτέρας δὲ
Χεῖρας ἐπ' ἀλλήλῃσι τιθεὶς ἐπερείδετο ῥάβδῳ,
Οἷά περ ἐν ζωοῖσιν. ἑὴν δ' ἔκλινεν ἀκουὴν
Δεξιτερήν· δόκεεν δὲ καὶ Ἀπόλλωνος ἀκούειν,
Ἢ καὶ Πιερίδων τινὸς ἐγγύθεν. ἐν δ' ἄρα θυμῷ,
Σκεπτομένῳ μὲν ἔικτο· νόος δέ οἱ ἔνθα καὶ ἔνθα
Ἐξ ἀδύτων πεφόρητο πολυστρέπτοιο μενοινῆς,
Πιερικῆς σελίδος θηήσιον ἔργον ὑφαίνων.

In Homerum. 61.

Prudens æs Homerus ostendebat, neque sententiæ
Expertem, neque mente indigum, sed sola
Voce ambrosiâ. Demonstrabat verò solemnem artem,
Quòd & æs fundebat simul Deus cum imagine figurę.
Non enim ego ex animo sentio, quòd ipsum vir
Statuarius fabricauit ad focum sedens,
Sed ipsa multi consilij formauit manibus Pallas,
Formam sciens, quæ conueniret. In Homero enim
Ipsa inhabitans sapientem eloquebatur cantilenam,
Connutritus cum Apolline, pater verò meus, æqualis deo vir,
Stabat diuinus Homerus. Assimulabatur v. viro consideratione
Seni, senium verò erat dulce. Hoc enim ipsi

Pleniorem stillabat gratiam: temperabatur verò ornamento
Venerando & grato: veneratio verò effulgebat formæ.
Ceruice quidem demissâ senex trahebatur capillus,
Comæ à tergo latus. Circa verò aures
Vagabundus demittebatur. Deorsum dilatabatur barba
Vndiq; protensa. mollis verò & volubilis. Neq; enim erat
In acutum tendens, sed in latitudinem desinebat, pulchritudinem contexens
Pectori nudo, & amabili vultui.
Nudam verò habebat frontem: in caluâ verò fronte
Stabat prudentia iuuenes nutriens. Circa verò supercilia
Vtraque prominentia prouida formauit ars.
Neque frustra: luce enim orbati erant oculi.
Sed non erat cæco similis viro aspectu.
Sedebat verò in vacuis gratia oculis. vt verò censeo,
Ars hoc perfecit, vt omnibus ostenderet
Lucem sub corde sapientiæ inextinguibilem attollens.
Binæ quidem parum excauabantur genæ,
Senio rigoso detentæ: sed in illis
Per se natus, gratiis cohabitans sedebat pudor.
Pierica verò apis circa os diuinum oberrabat,
Ceram pariens mel stillantem. Ambas verò
Manus inuicem imponens innitebatur baculo,
Vt inter viuos. Suam verò arrigebat aurem
Dexteram: videbatur verò Apollinem audire,
Aut etiam Pieridum quandam prope. In animo sanè,
Inuestiganti erat similis: mens verò ipsi inde & inde
Ex recessu ferebatur varij desiderij,
Piericæ Sirenis Martiale opus texere.

Εἰς Φερεκύδην.

Καὶ Σύριος σελάγιζε σαοφροσύνῃ Φερεκύδης
Ἱστάμενος· σοφίης δὲ θεουδέα κέντρα νομεύων,
Οὐρανὸν ἐσκοπίαζε, μετάρσιον ὄμμα τιταίνων.

In Pherecyden. 62.

Et Syrius fulgebat prudentia Pherecydes
Stans: sapientiæ verò diuinos stimulos pascens,
Cœlum intuebatur, sublimes oculos intendens.

Εἰς Ηράκλειτον.

Καὶ σοφὸς Ηράκλειτος ἔην, θεοείκελος ἀνήρ,
Ενθεον ἀρχαίης Εφέσου κλέος· ὅς ποτε μοῦνος
Ανδρομέης ἔκλαιεν ἀνάλκιδος ἔργα γενέθλης.

In Heracletum. 63.

Et ſapiens Heracletus erat, deo ſimilis vir,
Diuina priſcæ Epheſi gloria: qui olim ſolus
Humani defleuit imbecillis opera generis.

Εἰς Κρατῖνον.

Καὶ τύπος ἁβρὸς ἔλαμπεν ἀριστονόοιο Κρατίνου,
Ος ποτε δημοβόροισι πολιασούχοισιν Ιώνων
Θυμοδακεῖς ἐθόωσεν ἀκοντιστῆρας ἰάμβους,
Κῶμον ἀεξήσας φιλοπαίγμονος ἔργον ἀοιδῆς.

In Cratinum. 64.

Et imago grauis lucebat optima ſentientis Cratini,
Qui quondam populum vorantibus præfectis vrbium Ionum
Animum mordentes exacuit ſagittales iambos,
Comœdiam augens iocoſi opus carminis.

Εἰς Μένανδρον.

Εστήκει δὲ Μένανδρος, ὃς εὐπύργοισιν Αθήναις
Οπλοτέρου κώμοιο σελασφόρος ἔπρεπεν ἀστήρ.
Πολλάων γὰρ ἔρωτας ἀνέπλασε παρθενικάων,
Καὶ χαρίτων θεράποντας ἐγείνατο παῖδας ἰάμβους
Αρπαγας οἰστρήεντας ἀεδνώτοιο κορείης,
Μίξας σεμνὸν ἔρωτι μελίφρονος ἄνθος ἀοιδῆς.

In Menandrum. 65.

Stabat Menander, qui bene turritis Athenis
Nouæ Comœdiæ lucem ferens eminebat ſtella.
Multarum enim amores confinxit virginum,
Et gratiarum famulos generauit filios Iambos
Rapaces, inſanos, furtiui concubitus,
Miſcens grauem amori dulcis florem cantilenæ.

Εἰς Ἀμφιτρύωνα.

Ἀμφιτρύων δ' ἤστραπτεν, ἀπ' ἐζγάμῳ τεῖχα δάφνῃ
Στεψάμενος· πᾶσιν μὲν εὔσκοπος εἴδετο μάντις·
Ἀλλ' οὐ μάντις ἔην· Ταφίης δ' ἐπὶ σήματι νίκης,
Στέμμα πολυστρέπτοισιν ἐπηωρημένον εἶχεν ἐθείραις
Ἀλκμήνης μενέχαρμος ἀριστοτόκου παρακοίτης.

In Amphitruonem. 66.

Amphitruo verò fulgurabat innubili capillos lauro
Coronatus: omnibus quidem prudens videbatur vates:
Sed non vates erat. Taphiæ verò in signum victoriç,
Coronam multiflexis sublatam habebat capillis
Alcmenæ bellicosus optimum generantis coniux.

Εἰς Θουκυδίδην.

Θουκυδίδης δ' ἐλέλιζεν ἑὸν νόον· ἦν δὲ νοῆσαι,
Οἷά περ ἱστορίης δημηγόρον ἦθος ὑφαίνων.
Δεξιτερὴν γὰρ ἀνέσχε μετάρσιον, ὡς πρὶν ἀείδων
Σπάρτης πικρὸν Ἄρηα καὶ αὐτῶν Κεκροπιδάων,
Ἑλλάδος ἀμητῆρα πολυθρέπτοιο τιθήνης.

In Thucydidem. 67.

Thucydides verò torquebat suam mẽtem. Poterat v. cognosci,
Vt historiæ oratorium morem contexens.
Dexteram v. tollebat in sublime, vt prius canens
Spartæ acerbum Martem, & ipsorum Atheniensium,
Græciæ deletorem multos pascentis nutricis.

Εἰς Ἡρόδοτον.

Οὐδ' Ἁλικαρνασσοῦ με παρέδραμε θέσπις ἀοιδὸς
Ἡρόδοτος πολυΐδρις, ὃς Ὠγυγίων κλέα φωτῶν
Ὅσσά περ ἠπείρων δυὰς ἤγαγεν, ὅσσά περ αἰὼν
Ἔδρακεν ἑρπύζων, ἐνάταις ἀνεθήκατο μούσαις,
Μίξας εὐεπίῃσιν Ἰωνίδος ἄνθεα φωνῆς.

In Herodotum. 68.

Neque Halicarnassi me pręcurrit diuinus Poëta
Herodotus multiscius, qui Ogygiorum glorias virorum
Quotquot continentium dualitas duxit, quotquot & æuum.

Vidit paulatim accedens, nouem apposuit musis,
Miscens cum facundia Ionicæ flores vocis.

Εἰς Πίνδαρον.

Θήβης δ' Ὠγυγίης Ἑλικώνιος ἵστατο κύκνος,
Πίνδαρος ἱμερόφωνος· ὃν ἀργυρότοξος Ἀπόλλων
Ἔτρεφε Βοιωτοῖο παραὶ σκοπιὴν Ἑλικῶνος,
Καὶ μέλος ἁρμονίης ἐδιδάξατο. τικτομένου γὰρ
Ἑζόμεναι λιγυροῖσιν ἐπὶ στομάτεσσι μέλισσαι
Κηρὸν ἀνεπλάσαντο σοφῆς ἐπιμάρτυρα μολπῆς.

In Pindarum. 69.

Thebarum verò Ogygiarum Heliconius stabat cygnus,
Pindarus amabile sonans: quem aureo arcu Apollo
Nutriuit Bœoti ad speculam Heliconis,
Et cantum Harmeniæ docuit. Nato enim
Sedentes suaui in ore apes
Ceram formabant sapientis indicem cantilenæ.

Εἰς Ξενοφῶντα.

Ξεινοφόων δ' ἤστραπτε φερασπίδος ἀστὸς Ἀθήνης,
Ὃς πρὶν Ἀχαιμενίδαο μένος Κύροιο λιγαίνων,
Εἵπετο φωνήεντι Πλατωνίδος ἤθεϊ μούσης,
Ἱστορίης φιλάεθλον ἀριστώδινος ὀπώρην
Συγκεράσας ῥαθάμιγξι φιλαγρύπνοιο μελίσσης.

In Xenophontem. 70.

Xenophon fulgurabat hastam ferentium ciuis Athenarum,
Qui prius Achæmenidę robur Cyri sonans,
Sequebatur vocali Platonicæ more Musæ,
Historiæ amantem certaminis optimos parientis fructum
Commiscens guttis insomnis apiculæ.

Εἰς Ἀλκμαίωνα.

Ἵστατο δ' Ἀλκμαίων κεκλημένος οὔνομα μάντις.
Ἀλλ' οὐ μάντις ἔην ὁ βοώμενος, οὐδ' ἐπὶ χαίτης
Δάφνης εἶχε κόρυμβον. ἐγὼ δ' Ἀλκμᾶνα δοκεύω
Ὃς πρὶν εὐφθόγγοιο λύρης ἠσκήσατο τέχνην,

Δώριον εὐκελάδοισι μέλος χορδῇσιν ὑφαίνων.

In Alcmæonem. 71.

Stabat & Alcmæon ſic dictus nomine vates.
Sed non vates erat nobilis, neque in capillis
Lauri habebat corymbum. Ego verò Alcmana cenſeo
Qui prius vocalis lyræ exercebat artem,
Dorium bene ſonantibus cantum chordis texens.

Εἰς Πομπήϊον.

Καὶ πρόμος εὐκαμάτων Πομπήϊος Αὐσονιήων,
Φαιδρὸν Ἰσαυροφόνων κειμήλιον ἠνορεάων,
Στειβομένας ὑπὸ ποσσὶν Ἰσαυρίδας εἶχε μαχαίρας·
Σημαίνων ὅτι δοῦλον ὑπὸ ζυγὸν αὐχένα ταύρου
Εἴρυσεν, ἀρρήκτῳ πεπεδημένον ἅμματι νίκης.
Κεῖνος ἀνήρ, ὃς πᾶσιν ἔην φάος, ὃς βασιλῆος
Ἠγαθέην ἐφύτευσεν Ἀναστασίοιο γενέθλην.
Τοῦτο δὲ πᾶσιν ἔδειξεν ἐμὸς σκηπτοῦχος ἀμύμων,
Δῃώσας σακέεσσιν Ἰσαυρίδος ἔθνεα γαίης.

In Pompeium. 72.

Et dux laborioſorum Pompeius Auſoniorum,
Splendidum Iſauricos occidentium theſaurus bellorum,
Calcatas ſub pedibus Iſauricas habens machæras:
Demonſtrans quòd ſeruile ſub iugum ceruicem bouis
Traxit infracto ligatum nexu victoriæ:
Ille vir qui omnibus erat lux, qui regis
Valde diuinam plantauit Anaſtaſij familiam.
Hoc v. omnibus demonſtrauit meus rex ſceptrifer inculpatus,
Populans clypeis Iſauricæ gentes terræ.

Εἰς Ὅμηρον.

Ἵστατο δ' ἄλλος Ὅμηρος, ὃν οὐ πρόμον εὐεπιάων
Θέσκελον υἷα Μέλητος ἐϋρρείοντος ὀΐω.
Ἀλλ' ὃν Θρηϊκίῃσι παρ' ἠόσι γείνατο μήτηρ
Μυρὼ κυδαλίμη, Βυζαντὶν· ἣν ἔτι παιδνὴν
Ἔτρεφον εὐεπίης ἡρωΐδος ἴδμονα μοῦσαι.

Κεῖνος γὰρ τραγικῆς πινυτὴν ἠσκήσατο τέχνην,
Κοσμήσας ἐπέεσιν ἑὴν Βυζαντίδα πάτρην.

In Homerum. 73.

Stabat verò alius Homerus, quem non præſidem carminum
Diuinum filium Melites bene fluentis cenſeo,
Sed quem Thracio in litore genuit mater
Myro honorata Byzantia: quam adhuc puellam
Nutriuerunt, diſertæ Heroicæ peritam Muſæ.
Ille enim Tragicæ frequentem exercebat artem,
Exornans carminibus ſuam Byzantiam patriam.

Εἰς Βιργίλλιον.

Καὶ φίλος Αὐσονίοισι λιγύθροος ἔπρεπε κύκνος,
Πνείων δ' εὐεπίης Βιργίλλιος, ὅν ποτε Ῥώμης
Θυμβριὰς ἄλλον Ὅμηρον ἀνέτρεφε πάτριος ἠχώ.

In Virgilium. 74.

Et amicus Auſoniis canorus excellebat cygnus,
Spirans facundiam Virgilius, quem quondam Romæ
Thymbrias alium Homerum nutriuit paterna lingua.

Εἰς τὰς ἐν τῷ ἱπποδρόμῳ Κωνσταντινουπόλεως στήλας τῶν ἀθλητῶν, ἐπιγράμματα.

In illas, quæ in Hippodromo Conſtantinopolis, columnas athletarum, Epigrammata.

Εἰς Πορφύριον.

Πορφύριον Κάλχαντος ἄναξ καὶ δῆμος ἐγείρει,
    Πολλοῖς εὐκαμάτοις βριθόμενον στεφάνοις,
Πᾶσι μεθ' ἡνιόχοισι νεώτατον, ὅσον ἄριστον,
    Ἀλλὰ τόσον νίκης κάρτος ἐνεγκάμενον.
Ἔπρεπέ μιν χρυσέῳ ἐν ἀγάλματι, μηδ' ἐνὶ χαλκῷ
    Τοῦτον τοῖς ἄλλοις εἴκελον ἑστάμεναι.

In Porphyrium. 75.

Porphyrium Calchantis rex & populus excitat,
    Multis bene elaboratis ſcatentem coronis,
Omnes poſt aurigas maximè iuuenem, quantum optimum,
    Sed tantum victoriæ robur inferentem.

Non laborans, socio solùm subsequente.

Εἰς τὸν αὐτόν.

Τοῦτό σοι ἠϊθέῳ Νίκη γέρας, ὃ γερόντεσσιν ἄλλοις
Ὀψὲ μόλις πολιοῖς ὤπασε Πορφύριε.
Καὶ γὰρ ἀριθμήσασα πολυστεφέας σέο μόχθους,
Εὕρετο γηραλέων κρέσσονας ἡνιόχων.
Τί πλέον; ὅττι καὶ αὐτὸς ἐπευφήμησεν ἀΰσας
Σὸν κλέος ἀντιπάλων δῆμος ἀγασσάμενος;
Ὀλβίη ἡ Βενέτων πάμπαν ἐλευθέρη ἐστὶ γενέθλη,
Ἧ σε μέγας βασιλεὺς δῶρον ἔνευσεν ἔχειν.

In eundem. 78.

Hoc tibi iuueni victoria præmium, quod tempus aliis
Serò vix canis tribuit Porphyri.
Etenim numerans frequenter coronatos tuos labores,
Inuenit senibus meliores aurigis.
Quid amplius? Nam & ipsa prædicauit clamans
Tuam laudem contraria factio venerata?
Felix Venetorum omnino liberalis est generatio,
Cui te magnus rex munus annuit habere.

Εἰς τὸν αὐτόν.

Ἄλκιμοι ἀλκήεντα, σοφοὶ σοφόν, υἷα νίκης,
Οἱ νίκης παῖδες Πορφύριον Βένετοι
Ἀνθέσαν. ἀμφοτέροις γὰρ ἀμειβομένοις ἐπὶ πώλοις
Κυδαίνει νίκαις, οἷς πόρεν, οἷς ἔλαβεν.

In eundem. 79.

Robustum robusti, sapientes sapientem, filium victoriæ,
Victoriæ filij Porphyrium Veneti
Posuerunt. Vtrisque enim transeuntibus in equis
Gloriatur victoriis, quibus dedit, à quibus accepit.

Εἰς τὸν αὐτόν.

Ἄλλοις παυσαμένοισιν, ἀεθλεύοντι δὲ μούνῳ
Πορφυρίῳ βασιλεὺς τοῦτο δέδωκε γέρας.
Πολλάκι νικήσας γὰρ, ἑοὺς πόρεν ἡνιόχοις ἵππους·

Ἀάζετο δ' ἀντιπάλων, καὶ πάλιν ἐστέφετο.
Ἔνθεν ἔην πρασίνοις ἔρις ἄσπετος, ἔνθεν ἀϋτή·
Ὃς Βενέτους τέρψεις κοίρανε καὶ πρασίνους.

In eundem. 80.

Aliis quiescentibus, concertante verò solo
Porphyrio rex hoc dedit munus.
Sæpe vincens enim suos dedit veloces equos.
Et cepit aduersariorum, & rursus coronabatur.
Vnde erat prasinis contentio ingens, vnde bellum:
Qui Venetos oblectat ô rex & prasinos.

Εἰς τὸν αὐτόν.

Αἱ πάντων ψῆφοί με καὶ εἰσέτι διφρεύοντα
Ἔστησαν νίκης ἐγγύθι Πορφύριον.
Δῆμος μὲν γὰρ ἐμὸν γέρας ἤνεσεν· οἱ δ' ἕτεροί με
Δίζοντ' αὖθις ἔχειν, νίκης ἀπειπάμενοι.
Μή τι δ' ἡνιόχων παρεγίγνομαι, οἷσι καὶ ἵππους
Κρείσσονας ἀντιπορῶν, δεῖξα χερειοτέρους.

In eundem. 81.

Omnium calculi me, & adhuc bigis vectum
Posuerunt prope victoriam Porphyrium.
Populus enim meum munus periit: alij verò me
Quærebant rursus habere, victoriam denegantes.
Nunquid ad agitatores accedam, quibus & equos
Meliores prætergressus monstraui deteriores.

Εἰς τὸν αὐτόν.

Αὐτὸν Πορφύριον μὲν ἀπηκριβώσατο χαλκῷ
Ὁ πλάστης, ἔμπνουν οἷα τυπωσάμενος.
Τίς δὲ χάριν, τίς ἄεθλα, τίς ἔνθεα δήνεα τέχνης
Τεύξει, καὶ νίκην οὔποτ' ἀμειβομένην;

In eundem. 82.

Ipsum Porphyrium quidem exactissimè formauit ære
Fictor, tanquam viuum efformans.
Quis verò gratiam, quis certamina, quis diuina consilia artis
Formabit, & victoriam nunquam recedentem?

Εἰς τὸν αὐτόν.

Εἰκόνι χαλκείῃ τὸν χάλκεον ἡνιοχῆα
  Ἄνθετο νικητὴς κοίρανος Αὐσονίων,
Ὡς σοφὸν, ὡς Βενέτοις πεφιλημένον· ἀλλ' ἐπὶ νίκαις
  Πορφυρίου πολλὰς εἰκόνας ὀψόμεθα.

In eundem. 83.

Imagine ærea æreum aurigam
  Posuit victor imperator Ausoniorum,
Quàm sapiens, vt Venetis fauens: sed in victoriis
  Porphyrij multas imagines videbimus.

Εἰς τὸν αὐτόν.

Πορφύριος Λίβυς οὗτος, ἀεθλοφόροις δ' ἐπὶ νίκαις
  Μοῦνος παντοίους ἀμφέθετο στεφάνους.
Νίκη γὰρ βασίλεια μεριζομένη κατὰ δήμων,
  Χρώμασι καὶ πέπλοις συμμετέβαλλε τύχας·
Ἥρμοσε δ' αὐτὸν ἔχειν Βενέτοις πλέον, ἔνθεν ἀνέστη
  Χρύσεος ἀντ' ἀρετῆς, χάλκεος ἀντὶ πόνων.

In eundem. 84.

Porphyrius Libys hic, certamina ferentibus verò in victoriis
  Solus varias circumposuit coronas.
Victoria enim regina diuisa ad populum,
  Coloribus & pannis simul commutauit fortunam:
Conueniebat verò ipsum habere Venetis plus, vnde surrexit,
  Aureus pro virtute, æreus pro labore.

Εἰς τὸν αὐτόν.

[a]Τίς πέλεθ' ἧς φίλε κοῦρε, γενειάδος ἄκρα χαράσσων;
  [b]Ὦ ξένε, Πορφύριος. [a]Τίς πατρίς; [b]Ἡ Λιβύη.
[a]Τίς δὲ σε νῦν τίμησεν; [b]Ἄναξ, χάριν ἱπποσυνάων.
  [a]Τίς μάρτυς τελέθει; [b]δῆμος ὁ τῶν Βενέτων.
[a]Ἔπρεπέ σοι Λύσιππον ἔχειν ἐπιμάρτυρα νίκης
  Τοσσατίης, πλάσσαι ἴδμονα, Πορφύριε.

In eundem. 85.

Quisnam es chare puer, menti summitatē lanuginem pingēs?
O hospes, Porphyrius. Quæ patria est? Libya.
Quis verò te nunc honorauit? Rex, ob equitatum.
Quis testis fuit? Populus Venetorum.
Oportebat te Lysippum habere testem victoriæ,
Tantæ, sculptorem peritum, Porphyri.

Εἰς τὸν αὐτόν.

Τοῦτο Πορφύριον Λιβύη τέκε, θρέψε δὲ Ῥώμη,
Νίκη δ' ἐστεφάνωσεν ἀμοιβαδὸν, ἄλλοτ' ἀπ' ἄλλου
Χρώματος, ἄκρα φέροντα καρήατι σύμβολα νίκης.
Πολλάκι γὰρ δήμους ἠλλάξατο, πολλάκι πώλους.
Καὶ νῦν μὲν πρῶτος, ποτὲ δ' ὕστατος, ἄλλοτε μέσσος,
Πάντας ὁμοῦ νίκησε καὶ ἀντιπάλους καὶ ἑταίρους.

In eundem. 86.

Hunc Porphyrium Libya genuit, nutriuit autem Roma,
Victoria verò coronauit vicissim, alias in alio
Colore, summa ferentem in capite symbola victoriæ.
Sæpius enim factionem mutauit, sæpius equos.
Et nunc quidem primus, tum verò vltimus, interdum medius,
Omnes tamen vicit & hostes & socios.

Εἰς τὸν αὐτόν.

Ἐγγύθι τῆς Νίκης καὶ Ἀλεξάνδρου βασιλῆος
Ἕστης, ἀμφοτέρων κύδεα δρεψάμενος.

In eundem. 87.

Prope Victoriam & Alexandrum regem
Positus es, vtriusque laudes decerpens.

Εἰς τὸν αὐτόν.

Πάντα τύχης ὀφθαλμὸς ἐπέρχεται· ἀλλ' ἐπὶ μούνοις
Πορφυρίου καμάτοις ἕλκεται ὄμμα Τύχης.

In eundem. 88.

Omnia Fortunæ oculus inuadit: sed in solis
Porphyriæ laboribus trahitur oculus fortunæ.

Εἰς τὸν αὐτόν.

Πορφύριον λήξαντα πόνων, λύσαντά τε μίτρην,
Καὶ πάρος αἰτ' ἀρετῆς χάλκεον ἑσταότα,
Τῇδε πάλιν χαλκοῦ τε καὶ ἀργύρου ἱδρύσαντο.
Πρέσβυ, σὺ δὲ ξείνων ἀντιάσας γεράων,
Δήμου μὲν βοόωντος ἔλες παλίνορσον ἱμάσθλην,
Ὡς δὲ δὶς ἡβήσας, μαίνεαι ἐν σταδίοις.

In eundem. 89.

Porphyrium cessantem à laboribus & soluentem mitram,
Et prius qui pro virtute æreus steterit,
Hîc rursus ex ære & argento fabricarunt.
Senex, tu verò nouis obuius muneribus,
Clamante quidẽ populo traxisti retrogressũ concitatũ flagellũ,
Et velut bis iuuenis factus insanis in stadiis.

Εἰς τὸν αὐτόν.

Σὴν ἐρχαλὴν μάστιγα καὶ ἀσπίδα δῆμος ἀγασθεὶς,
Ἤθελέ σε στῆσαι διπλόον, ὥσπερ ἔδει,
Ἡνίοχον κρατερὸν, καὶ ἀριστέα· διχθὰ δὲ χαλκὸς
Οὐκ ἐχύθη, ψυχὴν σεῖο τυπωσάμενος.

In eundem. 90.

Tuum curule flagellum, & scutum populus veneratus,
Voluit te statuere duplicem, vt oportebat,
Agitatorem equorum fortem, & militem: dupliciter verò æs
Non effusum est, animam tuam exprimens.

Εἰς τὸν αὐτόν.

Πορφύριον σταδίοισι τίνος χάριν ἡνιοχῆα
Δῆμος ὁ πρῶτα φέρων αἴνετο τῶν πρασίνων;
Αὐτὸς ἄναξ κήρυξε. τί γὰρ πλέον; ὅττι γεραίρει
Εἵνεκεν εὐνοίης, εἵνεκεν ἱπποσύνης.

In eundem. 91.

Porphyrium stadiis cuius gratia aurigam
Populus primas ferens posuit prasinorum?
Ipse rex clamauit. Quid enim amplius? Quòd veneratur
Propter humanitatem, propter equitatum.

Εἰς τὸν αὐτόν.

Πορφυρίῳ μετ' ἄεθλα γέρας πόρεν ἄξιον ἔργων
   Κοίρανος ὁ πρασίνοις τοῦτο χαριζόμενος.
Πολλάκι γὰρ δῆμος προφερέστατα ἔργα κομίζων,
   Ἤνεσε Καλλιόπην, καὶ πάλι Πορφύριον.
Διπλόον οὔνομα τοῦτο, τόπερ λάχε χάλκεος ἥρως
   Οὗτος, ὅ τε τεθρίπποις κῦδος ἑλὼν ἀρετῆς.

In eundem. 92.

Porphyrio poſt certamina munus præbuit excellens operum
   Rex praſinis illud indulgens.
Sæpius enim populus optima opera referens,
   Laudauit Calliopem, & iterum Porphyrium.
Duplex nomen hoc, quod conſecutus eſt æneus heros
   Hic, qui quatuor equis laudem abſtulit virtutis.

Εἰς τὸν αὐτόν.

Ὤφελες ὅπλα φέρειν, οὐ φάρεα ταῦτα κομίζειν,
   Ὡς ἐλατὴρ τελέθων, καὶ πολέμων πρόμαχος.
Εὖτε γὰρ ἤλυθεν ἄνακτος ὀλεσιτύραννος ἀκωκὴ,
   Καὶ σὺ συναιχμάζων ἥψαο ναυμαχίης.
Καὶ διδύμης πολύμητι σοφῆς ἐδράξαο Νίκης,
   Τῆς μὲν, πωλομάχου, τῆς δὲ, τυραννοφόνου.

In eundem 93.

Debebas arma ferre, non veſtimenta hæc portare,
   Vt agitator exiſtens, & bellorum anteſignanus.
Cùm enim venit regis tyrannum occidens mucro,
   Et tu vnà pugnans attigiſti nauale prælium:
Et duplicem prudens ſapientem conſecutus es victoriam:
   Hanc quidem Hippodromi, illam verò tyrannicidij.

Εἰς τὸ αὐτό.

Οὐ μόνον ἐν σταδίοις σε κατέστεφε πότνια Νίκη,
   Ἀλλὰ καὶ ἐν πολέμοις δεῖξεν ἀεθλοφόρον.
Εὖτ' αὖ ἄναξ πολέμιζεν ἔχων πρασίνους ἐπαρωγούς

Ἄγρια μαινομένῳ ἐχθρῷ ἀνακτορέῳ,
Καὶ πέσεν αὐτοτύραννος ἐπιφθιμένης τότε Ῥώμης,
Ἦμαρ δ' Αὐσονίης ἦλθεν ἐλευθερίης.
Τοὔνεκα τοῖς μὲν ἔδωκεν ἄναξ γέρας, ὡς πάρος εἶχον·
Σὸν δὲ τύπον τέχνη ἔξεσε Πορφύριε.

In eundem. 94.

Non solum in stadiis te coronauit diua victoria,
Sed etiam in bellis ostendit præmia gerentem.
Cùm rex pugnabat habens prasinos milites
Horribiliter cum insano hoste imperatorio,
Et cecidit importunus tyrannus perditæ tunc Romæ:
Dies verò Ausoniæ venit libertatis.
Ob id his quidem dedit rex munus, vt prius habuerunt:
Tuam verò imaginem ars exculpsit, Porphyri.

Εἰς τὸν αὐτόν.

Ὑμετέρων κήρυκες ἀμεμφέες εἰσὶν ἀγώνων,
Οἱ καὶ ἀπ' ἀντιβίων Πορφύριε στέφανοι.
Παίζεις γὰρ σταδίοισιν ἀμοιβαδὸν αἰὲν ἐλέγχων
Ἀντιτέχνους, τῆς σῆς παίγνιον ἱπποσύνης.
Τοὔνεκα καὶ ξεῖνον πρεσβήιον εὕρεο μοῦνος,
Εἰκόνα χαλκείην δήμῳ ἐν ἀμφοτέρῳ.

In eundem. 95.

Vestrorum precones irreprehensibiles sunt certaminum,
Etiam ab hostibus, Porphyri, coronæ.
Omnes enim in stadiis vicissim semper reprehendis
Aduersarios, tui ludibrium equitatus.
Ob id & nouum munus inuenisti solus,
Imaginem æream in vtraque factione.

Εἰς τὸν αὐτόν.

Γλάψης χαλκῷ ἔτευξεν ὁμοίιον ἡνιόχῳ,
Εἴθε δὲ καὶ τέχνης ὄγκον ἀπειργάσατο,
Ὄγκον ὁμοῦ καὶ κάλλος· ὅπερ φύσις ὤπασε τεκοῦσα,
Ὤμοσεν, ὠδίνειν δεύτερον οὐ δύναμαι.

Ωμοσεν εὐόρκοις ἐπὶ χείλεσι· Πορφυρίῳ γὰρ
Πρώτῳ καὶ μούνῳ πᾶσαν ἔδωκε χάριν.

In eundem. 96.

Formator æs fabricauit simile aurigæ.
Vtinam verò & artis eminentiam absoluisset,
Eminentiam simul & pulchritudiné, quam natura serò generás.
Iurauit, secundùm generare non possum.
Iurauit bene iurantibus labris. Porphyrio enim
Primo & soli omnem dedit gratiam.

Εἰς τὸν αὐτόν.

Εἰ φθόνος ἠρεμέοι, κρίνειν δ' ἐθέλοιεν ἀέθλοις,
Πάντες Πορφυρίου μάρτυρές εἰσι πόνων.
Ναὶ τάχα καὶ φήσουσιν ἀριθμήσαντες ἀγῶνας,
Βαιὸν τοῦτο γέρας τοσσατίων καμάτων.
Ὅσσα γὰρ ἡνίοχῆες ἀεὶ μεμερισμένα κοσμεῖς,
Εἰς ἓν ἀολλίσας, τηλίκος ἐξεφάνη.

In eundem. 97.

Si inuidia quiescat, & iudicare velint certatores,
Omnes Porphyrij testes sunt laborum.
Certè forte & dicent numerantes certaminá,
Paruum hoc munus tantorum laborum.
Quæcumque enim agitatores semper diuisá exornant,
In vnum qui congregauit, tantulus apparuit.

Εἰς τὸν αὐτόν.

Αἰδομένη χαλκῷ σε πόλις τρὶς τοῖον ἀγείρει.
Ἤθελε γὰρ χρυσῷ· ἀλλ' ἴδεν ἐς νέμεσιν.
Εἰ δὲ πεῖρω μήπω τοι παιήονι ἤθαδα νίκην
Εὐγνώμων δὴ ὡς Πορφύριε πάρεστιν,
Ἔμπνοά σοι ξύμπαντες ἀγάλματα πᾶς δ' ἄρ' ἑταῖρος
Καὶ χρυσὸς τούτοις εἰς ἓν ἐρχόμενος.

In eundem. 98.

Venerando ære te vrbs ter desiderabilis honorat,
Voluit autem auro, sed vidit in Nemesin.

Si verò

Si verò tuam canens non desinit consuetam victoriam
   Beneuolus populus Porphyrie Prasinorum,
Viua tibi omnes simulacra: omne enim superuacuum
   Et aurum his in contentionem veniens.

Εἰς τὸν αὐτόν.

Οὔπω σοι μογέοντι τύχη πόρεν ἄξια νίκης.
   Νῖκαι γὰρ τῆς σῆς μείζονες εὐτυχίης·
Ἀλλὰ μέρει πρώτῳ σταθερῷ καὶ ἀρείονι μίμνοις,
   Τὴν φθονερὴν τήκων δυσμενέων κραδίην.
Οἳ σέθεν εἰσορόωντες ἀεὶ νικῶσαν ἱμασθλὴν,
   Μέμφονται σφετέρην αἰὲν ἀτασθαλίην.

In eundem. 99.

Nondum tibi laboranti fortuna dedit digna victoria.
   Victoriæ enim tua maiores sunt felicitate:
Sed parti primæ stabili & meliori maneas,
   Inuidorum contabefaciens hostium cor:
Qui tuum intuentes semper vincens flagellum,
   Reprehendunt suam semper stultitiam.

Εἰς τὸν αὐτόν.

Ἄλλοις μὲν γεράων πρόφασις χρόνος. οἱ δ' ἐπὶ νίκαις
   Κρινόμενοι, πολιῆς οὐ χατέουσι κόμης,
Ἀλλ' ἀρετῆς, ὅθεν εὖχος ἀνάπτεται. εἷς ἀπὸ τοίων
   Πορφύριος δώρων δὶς λάχεν ἀγλαΐην,
Οὐκ ἐτέων δεκάδας, νίκης δ' ἑκατοντάδας αὐχῶν
   Πολλὰς, καὶ πάσας συγγενέας Χαρίτων.

In eundem. 100.

Aliis quidem munerum occasio est tẽpus, qui verò ob victoriã
   Iudicantur, canis non indigent capillis,
Sed virtute vnde honor sequitur. Vnus à talibus
   Porphyrius muneribus bis consecutus est splendorem,
Non annorum decades, sed victoriarum centenas iactans
   Multas, & omnes cognatas gratiarum.

ΛΕΟΝΤΙΟΥ σχολαστικοῦ εἰς τὸν αὐτόν.

Ἀγχίσην Κυθέρεια, καὶ Ἐνδυμίωνα Σελήνη

Φίλατο· μυθεῦνται τοῖα παλαιγενέες·
Νῦν δὲ νέος τις μῦθος ἀείσεται, ὡς τάχα Νίκη
Ὄμματα καὶ δίφρους φίλατο Πορφυρίου.

LEONTII Scholastici in eundem. 101.

Anchisen Venus,& Endymiona Luna
Amauit:fabulantur talia prisci:
Iam verò noua quædam fabula canetur,quòd propè victoria
Oculos & locum currus amauit Porphyrij.

Εἰς Καλλιόπην.

Πρεσβυτέρους κούρος μὲν ἐών, πρέσβυς δέ τε κούρους
Νικᾷς, τεθρίππων κέντορας ἀθλοφόρων.
Ἐξ δ᾽ ἐτέων αὐτὰς δεκάδας, στήλην ἐπὶ νίκαις
Εἷλες Καλλιόπα νεύματι κοιρανίης,
Ὄφρα μένοι καὶ ἔπειτα τεὸν κλέος. αἴθε τοι εἴη
Ὡς κλέος ἀθάνατον, καὶ δέμας ἀθάνατον.

In Calliopen. 102.

Seniores puer existens,& pueros senior
Vincis,quatuor equorum stimulatores victorias ferentium.
Ex annis perficiens decadas,columnam ex victoria
Consecutus es Calliopa,nutu imperatoris,
Vt maneat & postea tua laus. Vtinam verò sit
Vt laus immortalis,& corpus immortale.

Εἰς τὸν αὐτόν.

Σῆς τόδε διφρελάτειρα τὸ χάλκεον αὐτὴ Νίκα
Δείκηλον μορφᾶς Καλλιόπα ζαθέας,
Πρέσβυς ὅτι σφριγόωντας ἐν ἱπποδάμῳ πλέον ἀλκᾷ
Νίκησας, γηραιὸς δ᾽ ὢν νέος, ἐν σοφίῃ.
Ἔνθεν ἠδ᾽ ἑτέρωθι Βενέτων στέο πῆξατο δῆμος
Δοιά, τὰ μὲν, τέχνας ἆθλα, τὰ δέ, σθένεος.

In eundem. 103.

Tuæ hanc currum agitans æream posuit Victoria
Imaginem formæ, Calliopa, sanctæ,
Senex quòd robore valentes iuuenes in hippodromo plus robore

Vicisti, senes verò puer existens, in sapientiâ.
Vnde liber puer Venetorum tua fabricauit populus
Duplicia, hæc quidem, artis munera, hæc verò, sapientiæ.

Εἰς τὸν αὐτόν.

Σὸν γῆρας νεότητα τεὴν παρέδραμε νίκαις,
Καὶ πάντων κρατέεις πάντοτε Καλλιόπα.
Ενθεν ἄναξ καὶ δῆμος ἐλεύθερος αὖθις ἐγείρει
Τοῦτο γέρας, σοφίης μνῆμα καὶ ἠνορέης.

In eundem. 104.

Tuum senium iuuentutem tuam superauit victoriis,
Et omnes vincis vbique Calliopa.
Vnde rex & populus liber rursus excitat
Hoc munus, sapientiæ præmium & fortitudinis.

Εἰς τὸν αὐτόν.

Οὗτος ἐγρεσιθέατρε τεὸς τύπος, ὅν τοι ἐγείρει
Εσμὸς ἀριζήλων Καλλιόπα στεφάνων.
Οὔτε γὰρ ἡνίοχός σε παρήπαφεν, οὔτε χαλινοῖς
Δίστομος ἱππείη σοῖς ἀπίθησε γένυς.
Μοῦνος δὲ νίκης γέρας ἄρνυσαι, ᾗ παρὰ πᾶσι
Δόξαν ἔχεις ἀέθλων ἆθλα λιπὼν ἑτέροις.

In eundem. 105.

Hęc excitator theatri tua imago, quam tibi excitat
Grex præclararum Calliopa coronarum.
Neque enim auriga te decepit, neque frænis
Præfractum equinum tuis reluctatum est os.
Solus certè victoriæ munus recusas, quo apud omnes
Gloriam habes certaminum præmia relinquens aliis.

Εἰς τὸν αὐτόν.

Καλλιόπα κλυτόμοχθε, τί σοι πλέον ὅττι γεραίρει
Εἰκόνι χαλκοτύπῳ σοὺς βασιλεὺς καμάτους;
Δῆμος ὁ μυριόφωνος; ὅλη πόλις; οὔτε καὶ αὐτὴ
Δερμηνέων παλάμη σοῖς ἐπένευσε πόνοις.

In eundem, 106.

Calliopa inclyte ob labores, Quid tibi amplius, quod colit
Imagine ærea tuos rex labores?
Populus mille voces edens? omnis ciuitas? Neque enim ipsa
Aduersariorum manus tuos abnuit labores.

Εἰς Φαυστῖνον.

Μητέρες εὐάθλων γεράων, φρένες, οὐ κράτος ἥβης,
Οὐ τάχος ἱπποσύνης, οὐ χρόνος εὐτυχίης.
Ἵληκοι Φαυστῖνε τεὸς νόος· ᾧ τάδε πάντα
Ἕσπεται, ᾧ Νίκη σύντροφος ἀθάνατος.

In Faustinum. 107.

Matres bene pugnatorũ munerũ, mentes sunt, non robur iuuẽ-
Non celeritas equitatus, non tempus felicitatis. (tutis,
Propitia sit Faustine tua mens: quam hæc omnia
Sequuntur, cum qua Victoria connutrita immortalis.

Εἰς τὸν αὐτόν.

Πρίν σε νέον Φαυστῖνε νόος πεφόβητο γερόντων·
Νῦν δέ σε πρεσβυγενῆ κάρτος ἔφριξε νέων.
Δεύτερα δ' εὕρετο πάντα τεὸς πόνος, ὅς σε γεραίρει
Πρέσβυν ἐν ἠιθέοις, ἐν δὲ γέρουσι νέον.

In eundem. 108.

Prius quidem te iuuenem Faustine mens timebat senum:
Iam verò te senem robur horret iuuenum.
Cętera cuncta tuus reperit labor: qui te colit
Senem in iuuenibus, & iuuenem in senibus.

Εἰς Κωνσταντῖνον.

Ἐξότε Κωνσταντῖνος ἔδυ δόμον Ἄϊδος εἴσω,
Ὤχετο σὺν κείνῳ πᾶν κλέος ἡνιόχων.

In Constantinum. 109.

Ex quo Constantinus subiit domum inferni,
Periit cum ipso omnis laus aurigarum.

Εἰς τὸν αὐτόν.

Χάλκεος οὐκ ἔστης βιόων ἔτι Κωνσταντῖνε:

(Ἀντὶ γὰρ εὐκλείης ἤρκεσε βασκανίη)
Ὡς δ' ἔθανες, τότε δή σε πόλις ξύμπασα γεραίρει
Οἷς δύναται. τί δὲ σῆς ἄξιον ἱπποσύνης;

In eundem. 110.

Æreus non ſtabas adhuc viuens, Conſtantine:
Nam pro gloria ſufficiebat inuidia.
Cùm verò mortuus es, tum te ciuitas colit omnis
Quibus poteſt. quid verò tuo dignum equitatu?

Εἰς τὸν αὐτόν.

Ἐξότε Κωνσταντῖνος ἔδυ δόμον Ἄϊδος εἴσω,
Πλῆτο κατηφείης ἱπποσύνης στάδιον.
Τερπωλὴ δ' ἀπέλειπε θεήμονας· οὐδ' ἐν ἀγυιαῖς
Κείνας τὰς φιλίας ἔστιν ἰδεῖν ἔριδας.

In eundem. 111.

Ex quo Conſtantinus ſubiit domum inferni,
Implebatur pudore equitatus ſtadium.
Voluptas verò reliquit ſpectatores: neque in vicis
Illas amicas videre eſt contentiones.

Εἰς τὸν αὐτόν.

Χρύσεον ἀντ' ἀρετῆς γέρας ἔπρεπε Κωνσταντίνῳ,
Οὐδένα τῆς τέχνης τοῖον ἐνεγκαμένης.
Κουρίζων νίκησεν ἀειδομένους ἐλατῆρας·
Γηραλέος δὲ νέους δεῖξεν ἀφαυροτέρους.
Ὅντινα καὶ μετὰ πότμον ἀειμνήστῳ τινὶ θεσμῷ
Δῆμος καὶ βασιλεὺς ἵδρυσαν ἀζόμενοι.

In eundem. 112.

Aureum pro virtute munus decet Conſtantinum,
Cùm neminem talem ars inferat.
Adoleſcens ſuperauit laudatos aurigatores:
Senex verò iuuenes demonſtrauit inferiores.
Quem etiam poſt mortem ſemper recordandâ quadam lege
Populus & rex erexerunt in ſtatuâ venerantes.

Εἰς τὸν αὐτόν.

Εἰκόνα Κωνσταντῖνε τεὴν ἀνέθεντο πολῖται,
Μυρόμενοι ψυχῆς τέρψιν ἀποιχομένης,
Σοὶ κλέος ὁππότε δῆμος ἐπισφρήγιζε θανόντι,
Μνήσατο σῶν καμάτων καὶ μετὰ πότμον ἄναξ.
Οὕνεκεν ἱπποσύνης φιλοκέρτομος ὤλετο τέχνη,
Ἐν σοὶ παυσαμένη πᾶσα καὶ ἀρξαμένη.

In eundem. 113.

Imaginem Conſtantine tuam poſuerunt ciues,
Dolentes animæ oblectationem abeuntis,
Tibi laudem cum populus obſignauit mortuo,
Recordatus eſt tuorum laborum poſt mortem rex.
Ob id equitatus maledictis inceſſens perijt ars,
In te deſinens omnis & incipiens.

Εἰς τὸν αὐτόν.

Εἰσέτι μὲν ζώοντι πόλις ποτὲ Κωνσταντίνῳ
Εἰκόνα χαλκείην βαιὸν ἔκρινε γέρας.
Ἤδεε γὰρ πᾶς δῆμος ὅσους ἐπὶ κύδεϊ νίκης
Αἰὲν ἀεθλεύων ἀμφέθετο στεφάνους.
Ὡς δ' ἔθανεν, ποθέουσα, φίλον τύπον αἴθετο τῷδε,
Ὄφρα καὶ ἐσσομένοις μνῆστιν ἔχῃ καμάτων.

In eundem. 114.

Huc vſque quidem viuenti vrbs quondam Conſtantino
Imaginem æream paruum iudicauit munus.
Venerabatur enim omnis populus, quotquot in laude victoriæ
Semper concertans circumdabat coronas.
Vt verò mortuus eſt, deſiderans eũ, amicã imaginẽ poſuit hîc,
Vt & in ſequentibus recordationem habeat laborum.

Εἰς τὸν αὐτόν.

Οἱ Βένετοι Πρασίνοισιν ἐναντίοι αἰὲν ἐόντες,
Εἰς ἓν ὁμοφροσύνης ἐξεβόησαν ὄεσιν,
Ὥστε σε Κωνσταντῖνε λαβεῖν ἐπιτύμβιον εὖχος,
Πᾶσιν ἀειδόμενον, πᾶσιν ἀρεσκόμενον.

In eundem. 115.

Veneti Prasinis aduersarij semper existentes,
In vnum concordiæ conclamarunt terminum.
Vt tu Constantine, acciperes sepulcralem statuam
Omnibus cantatam, omnibus approbatam.

Εἰς τὸν αὐτόν.

Ἀντολίης, δύσιός τε, μεσημβρίης τε καὶ ἄρκτου
Σὸς δρόμος ὑψιφανὴς ἀμφιβέβηκεν ὅρους,
Ἄφθιτε Κωνσταντῖνε. θανεῖν δέ σε μή τις ἐνίσπῃ·
Τῶν γὰρ ἀνικήτων ἅπτεται οὐδ' Ἀΐδης.

In eundem. 116.

Ortus, occasus, meridiei, & septentrionis
Tuus cursus in alto apparens vndique ascendit terminos,
Immortalis Constantine: mori verò te nemo dicat.
Nam inuictos mors non tangit.

Εἰς τὸν αὐτόν.

Ἐγγύθι τῆς σφετέρης γενεῆς λάχεν εἰκόνα ταύτην.
Ἔπρεπε γὰρ τρισσοῖς εἰν ἑνὶ χώρῳ ἔχειν,
Οἳ καὶ ἐνὶ σταδίοις ἀρετῆς κλέος εἴκελον εὗρον,
Νηρίθμων στεφάνων ἑσμὸν ἑλόντες ἴσον.

In eundem. 117.

Prope apud suum genus consecutus est hanc imaginem.
Decebat enim tres in vno loco habere,
Qui etiam in stadiis virtutis decus simile inuenerunt,
Innumerabilium coronarũ multitudinẽ capientes æqualẽ.

Εἰς τὸν αὐτόν.

Τὸν Φαυστινιάδην πόλις εἵσατο Κωνσταντῖνον,
Γείτονα μὲν γενεῆς, κρέσσονα δ' ἡνιόχων.
Δὶς γὰρ ἀεθλεύσας, οὐκ ἔμβρεσεν· ἀλλ' ἐπὶ νίκῃ
Παύσατο σὺν νίκῃ καὶ πάρος ἀρξάμενος.
Ὃν καὶ κοῦρον ἐόντα παλαίτεροι ἡνιοχῆες
Στεψάμενοι σταδίοις, εἶσαν ἀγωνοθέτην.

In eundem. 118.

Faustiniadem ciuitas posuit Constantinum,
Vicinum quidẽ patri, meliorẽ verò inter equorũ agitatores.
Diu enim pugnans non peccauit: sed in victoriâ
Quieuit, cum victoria & prius incipiens.
Quem etiam iuuenem existentem seniores aurigatores
Coronantes stadiis, cognorunt certamina instituentem.

Εἰς τὸν αὐτόν.

Σοὶ τόδε Κωνσταντῖνε τεὴ τροφὸς ὤπασε Νίκη,
Παιδόθεν ἑσπομένη πᾶσαν ἐφ᾽ ἡλικίην.
Πέντε γὰρ ἐν σταδίοις δεκάδας τελέσας ἐνιαυτῶν,
Οὐδ᾽ ἴσον οὐδ᾽ ὀλίγον εὕρεο λειπόμενον.
Ἀλλ᾽ ἔτι κουρίζων τε καὶ ἄχνοος ἄνδρας ἐνίκας·
Ἥλικας, ἡβήσας· γηραλέος δὲ, νέους.

In eundem. 119.

Tibi hoc Constantine tua nutrix præbuit Victoria,
Ex puero te sequens omnem ad ætatem.
Quinque enim in stadiis decades absoluisti annorum,
Neque æqualẽm neque iuniorẽ inuenisti tibi non cedẽtem.
Sed adhuc puer & imberbis viros superasti:
Adolescentes puber: senex verò iuuenes.

Εἰς τὸν αὐτόν.

Ἤθελε Κωνσταντῖνον ἀεὶ πόλις ἡνιοχεύειν,
Ἤθελεν, ἀλλὰ πόθῳ οὐκ ἐπένευσε φύσις.
Ἔνθεν ἐσὴ τόδ᾽ ἄγαλμα παραίφασιν εὗρεν ἐρώτων,
Ὄφρα ἑ μὴ λήθη καὶ χρόνος ἀμφιβάλῃ.
Ἀλλὰ μόνοι ποθέουσιν ἔρως, ζῆλος δ᾽ ἐλατῆρσι,
Κόσμος δὲ σταδίοις, ἐσσομένοις δὲ φάτις·
Καί τις ἰδὼν μετόπισθε χερείονας ἡνιοχῆας,
Ὀλβίσῃ προτέρην ἥ μιν ἴδεν ἡλικίην.

In eundem. 120.

Voluit Constantinum semper vrbs equos agitare,
Voluit, sed voluntati non annuit natura.

Vnde

Vnde suorum hoc simulacrũ inuenit consolationem annorũ,
Vt ipsum non obliuio & tempus circumdet.
Sed maneat desiderantibus amor, & æmulatio aurigatoribus,
Ornatus stadiis, & futuris sermo:
Et quis videns postea deteriores aurigatores,
Beatam iudicet priorem quæ ipsum vidit, generationem.

Εἰς τὸν αὐτόν.

Πέντε καὶ εἴκοσι μοῦνος ἄεθλα Κωνσταντῖνος
Ες μίαν ἠελιτρόξας ἐλάων. ἤμειψε μὲν ἵππους
Ἀντιπάλοις· κείνους δὲ λαβών, οὓς πρόσθεν ἐνίκα,
Τοῖς αὐτοῖς πάλιν εἷλε μίαν τε καὶ εἴκοσι νίκας.
Πολλάκι δ᾽ ἀμφοτέρων μερέων ἔρις ἔμπεσε δήμῳ,
Τίς μιν ἔχοι. κείνῳ δὲ δίδοσαν κρίσιν ἐκ δύο πέπλων.

In eundem. 120.

Quinque & viginti solus certamina Constantinus
In vnum diem trahens, mutauit quidem equos
Cum aduersariis. Illos verò accipiens, quos prius superauit,
Iisdem rursus abstulit vnam & viginti victorias.
Sæpius verò vtriusque partis contentio incidebat populo,
Quis ipsum haberet. Ipsi verò dabant iudicium ex duobus (pannis.

Εἰς τὸν αὐτόν.

Ἔγρεο Κωνσταντῖνε· τί χάλκεον ὕπνον ἰαύεις;
Σεῖο δίφρειας ποθέει δῆμος ἐνὶ σταδίοις.
Σῆς τε διδασκαλίης ἐπιδευέες ἡνιοχῆες
Εἵαται ὀρφανικοῖς παισὶν ὁμοιότατοι.

In eundem. 121.

Euigila, Constantine, quid ferreum somnum dormis?
Tuos currus desiderat populus in stadio.
Tua verò doctrina indigentes aurigatores
Sedent orbis pueris simillimi.

Εἰς Οὐράνιον.

Σοὶ καὶ ἀεθλεύοντι μόνῳ, λήξαντι τ᾽ ἀέθλων,
Τοῦτο γέρας Νίκη δὶς πόρεν Οὐράνιε,

Δήμου ἀπ' ἀμφοτέρου. σὺ γὰρ πάρος ἐν Βενέτοις μὲν
　　Εἴκοσι κυδίστων στέμμα φέρεις ἐτέων·
Παύσαο δ' ἱπποσύνης· Πρασίνων δέ σε δίζετο δῆμος.
　　Τοῖς δὲ σὺ μὲν, νίκην· οἱ δ' ἄρα, σοὶ τὸ γέρας.

In Vranium. 122.

Tibi & certanti soli, & cessanti à certaminibus
　　Hoc munus victoria bis dedit Vrani,
In factione verò vtraque. Tu enim prius in Venetis quidem
　　Viginti gloriosorum coronam fers annorum.
Quieuisti verò ab equitatu. Prasinorum verò te quærebat populus.
　　Illis autem tu quidem victoriam. Illi verò tibi munus.

Εἰς τὸν αὐτόν.

Ἀμφοτέροις εἷς μοῦνος ἀριστεύσας παρὰ δήμοις,
　　Κῦδος ἀπ' ἀμφοτέρων ἔλλαχεν Οὐράνιος,
Εἰσέτι διφρεύων. τὸ δέ οἱ γέρας ἤλυθε πρῶτον
　　Ἐκ Πρασίνων, οἷς δὴ γείτονα χῶρον ἔχει.
Αὐτοὶ καὶ σταδίοιο πεπαυμένον ἤγαγον αὖθις
　　Ἐς δίφρους, νίκης μνωόμενοι προτέρης.

In eundem. 123.

Vtrisque vnus solus victor in populis
　　Gloriam ab vtroque consecutus est Vranius.
Adhuc bigis vectus. Quod verò munus ipsi venit primum,
　　Ex Prasinis, quibus sanè vicinum locum habet.
Ipsi verò stadio cessantem duxerunt rursus
　　In currus, victoriæ recordati prioris.

Εἰς τὸν αὐτόν.

Παυσάμενον σταδίων βασιλεὺς ἐπ' ἀγακλέϊ νίκῃ
　　Αὖθις ὑπὸ δίφρων βῆσεν ἀεθλοφόρων
Οὐράνιον, δήμοισι φέρων χάριν. οὐ ποθέει γὰρ
　　Ἡ πόλις Οὐρανίου νόσφιν ἀεθλοσύνας.
Τοὔνεκα διφρεύοντα τὸ δεύτερον, ὑστατίης τε
　　Νίκης καὶ προτέρης στῆσεν ἀγαλματίην.

In eundem. 124.

Quiescentem à stadiis rex ad insignem victoriam
  Rursus super currus ascendere iussit præmia ferentes
Vranium populo ferens gratiam. Non desiderat verò
  Hæc vrbs Vranio sine certamine.
Ob id aurigantem iterum, vltimæque
  Victoriæ & prioris statua ornauit læta.

Εἰς τὸν αὐτόν.

Ἶσον κυδαλίμοις Φαυστινιάδῃ τε καὶ αὐτῷ
  Φαυστίνῳ βασιλεὺς στῆσε παρ' ἀμφοτέροις
Οὐράνιον· τῷ δῆμος ἀμετρήτους διὰ νίκας,
  Ἠγαθέου Πέλοπος θῆκεν ἐπωνυμίην.
Ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον,
  Τοὺς δέ τις εἰσορόων, φθέγξεται ἀτρεκέως.

In eundem. 125.

Æqualem gloriosis Faustiniadæ & ipsi
  Faustino rex posuit vtrisque
Vranium, cui populus ob innumeras palmas
  Boni Pelopis posuit cognomentum.
Quàm semper similem ducit Deus ad similem,
  Hos aliquis intuens dixerit verè.

Εἰς τὸν αὐτόν.

Οὐράνιος Νίκαιαν ἔχει πέλας, ὁπλοτέρην τε
  Ῥώμην, τῆς μὲν, ἐὼν· τῇ δ' ἔνι, κῦδος ἑλών.
Νικᾷ δ' ἀμφοτέρωθεν, ἐπεὶ περιδέξιος ἦεν
  Τῇ καὶ τῇ προθέειν, ἠὲ παρεξελάαν.
Τοὔνεκα καὶ χρυσῷ μιν ἀνεγράψαντο μετάλλῳ,
  Κυδίστῳ κτεάνῳ κύδιμον ἡνίοχον.

In eundem. 126.

Vranius Nicæam habet prope nouámque
  Romam, huius quidē existens, in hac verò gloriā consequēs.
Vincit verò vtrinque, cùm solers esset
  Hîc & hîc præcurrere, vel vltra progredi.

ᵃQuisnam es chare puer, menti summitatē lanuginem pingēs?
ᵇO hospes, Porphyrius.ᵃ Quæ patria est?ᵇ Libya.
ᵃQuis verò te nunc honorauit?ᵇ Rex, ob equitatum.
ᵃQuis testis fuit?ᵇ Populus Venetorum.
ᵃOportebat te Lysippum habere testem victoriæ,
Tantæ, sculptorem peritum, Porphyri.

Εἰς τὸν αὐτόν.

Τοῦτο Πορφύριον Λιβύη τέκε, θρέψε δὲ Ῥώμη,
Νίκη δ' ἐστεφάνωσεν ἀμειβαδόν, ἄλλοτ' ἀπ' ἄλλου
Χρώματος, ἄκρα φέροντα καρήατι σύμβολα νίκης.
Πολλάκι γὰρ δήμους ἠλλάξατο, πολλάκι πώλους.
Καὶ νῦν μὲν πρῶτος, ποτὲ δ' ὕστατος, ἄλλοτε μέσσος,
Παῖζας ὁμοῦ νίκησε καὶ ἀντιπάλους καὶ ἑταίρους.

In eundem. 86.

Hunc Porphyrium Libya genuit, nutriuit autem Roma,
Victoria verò coronauit vicissim alias in alio
Colore, summa ferentem in capite symbola victoriæ.
Sæpius enim factionem mutauit, sæpius equos.
Et nunc quidem primus, tum verò vltimus, interdum medius,
Omnes tamen vicit & hostes & socios.

Εἰς τὸν αὐτόν.

Ἐγγύθι τῆς Νίκης καὶ Ἀλεξάνδρου βασιλῆος
Ἕστης, ἀμφοτέρων κύδεα δρεψάμενος.

In eundem. 87.

Prope Victoriam & Alexandrum regem
Positus es, vtriusque laudes decerpens.

Εἰς τὸν αὐτόν.

Πάντα τύχης ὀφθαλμὸς ἐπέρχεται· ἀλλ' ἐπὶ μούνοις
Πορφυρίου καμάτοις ἕλκεται ὄμμα Τύχης.

In eundem. 88.

Omnia Fortunæ oculus inuadit: sed in solis
Porphyriæ laboribus trahitur oculus fortunæ.

Εἰς τὸν αὐτόν.

Πορφύριον λήξαντα πόνων, λύσαντά τε μίτρην,
Καὶ πάρος αὐτ' ἀρετῆς χάλκεον ἑσταότα,
Τῆδε πάλιν χαλκῷ τε καὶ ἀργύρῳ ἱδρύσαντο.
Πρέσβυ, σὺ δὲ ξείνων ἀντιάσας γεράων,
Δήμου μὲν βοόωντος ἕλες παλίνορσον ἱμάσθλην,
Ὡς δὲ δὶς ἡβήσας, μαίνεαι ἐν σταδίοις.

In eundem. 89.

Porphyrium cessantem à laboribus & soluentem mitram,
Et prius qui pro virtute æreus stetit,
Hic rursus ex ære & argento fabricarunt.
Senex, tu verò nouis obuius muneribus,
Clamante quidé populo traxisti retrogressũ concitatũ flagellũ,
Et velut bis iuuenis factus insanis in stadiis.

Εἰς τὸν αὐτόν.

Σὴν ὀχαλὴν μάστιγα καὶ ἀσπίδα δῆμος ἀγασθεὶς,
Ἤθελέ σε στῆσαι διπλόον, ὥσπερ ἔδει,
Ἡνίοχον κρατερὸν, καὶ ἀριστέα· διχθὰ δὲ χαλκὸς
Οὐκ ἐχύθη, ψυχὴν σεῖο τυπωσάμενος.

In eundem. 90.

Tuum curule flagellum, & scutum populus veneratus,
Voluit te statuere duplicem, vt oportebat,
Agitatorem equorum fortem, & militem: dupliciter verò æs
Non effusum est, animam tuam exprimens.

Εἰς τὸν αὐτόν.

Πορφύριον σταδίοισι τίνος χάριν ἡνιοχῆα
Δῆμος ὁ πρῶτα φέρων ἄνθετο τῶν Πρασίνων;
Αὐτὸς ἄναξ κήρυξε. τί γὰρ πλέον; ὅττι γεραίρει
Εἵνεκεν εὐνοίης, εἵνεκεν ἱπποσύνης.

In eundem. 91.

Porphyrium stadiis cuius gratia aurigam
Populus primas ferens posuit prasinorum?
Ipse rex clamauit. Quid enim amplius? Quòd veneratur
Propter humanitatem, propter equitatum.

Εἰς τὸν αὐτόν.

Πορφυρίῳ μετ᾽ ἄεθλα γέρας πόρεν ἄξιον ἔργων
Κοίρανος ὁ πρασίνοις τοῦτο χαριζόμενος.
Πολλάκι γὰρ δῆμος προφερέστατα ἔργα κομίζων,
Ἤνεσε Καλλιόπην, καὶ πάλι Πορφύριον.
Διπλόον οὔνομα τοῦτο, τό περ λάχε χάλκεος ἥρως
Οὗτος, ὁ τετραρίπποις κῦδος ἑλὼν ἀρετῆς.

In eundem. 92.

Porphyrio post certamina munus præbuit excellens operum
Rex prasinis illud indulgens.
Sæpius enim populus optima opera referens,
Laudauit Calliopem, & iterum Porphyrium.
Duplex nomen hoc, quod consecutus est æneus heros
Hic, qui quatuor equis laudem abstulit virtutis.

Εἰς τὸν αὐτόν.

Ὤφελες ὅπλα φέρειν, οὐ φάρεα ταῦτα κομίζειν,
Ὡς ἐλατὴρ τελέθων, καὶ πολέμοιο πρόμαχος.
Εὖτε γὰρ ἤλυθεν ἄνακτος ὁ λεοντοφόνος ἀκωκή,
Καὶ σὺ συναιχμάζων ἥψαο ναυμαχίης.
Καὶ διδύμης πολύμητι σοφῆς ἐδράξαο Νίκης,
Τῆς μὲν, πουλυμάχου, τῆς δὲ, τυραννοφόνου.

In eundem 93.

Debebas arma ferre, non vestimenta hæc portare,
Vt agitator existens, & bellorum antesignanus.
Cùm enim venit regis tyrannum occidens mucro,
Et tu vnà pugnans attigisti nauale prælium:
Et duplicem prudens sapientem consecutus es victoriam:
Hanc quidem Hippodromi, illam verò tyrannicidij.

Εἰς τὸν αὐτόν.

Οὐ μόνον ἐν σταδίοις σε κατέστεφε πότνια Νίκη,
Ἀλλὰ καὶ ἐν πολέμοις δεῖξεν ἀεθλοφόρον.
Εὖτ᾽ αὖ ἄναξ πολέμιζεν ἔχων πρασίνους ὑποεργούς

Ἄγγελα μαρναμένῳ ἐχθρῶν ἀνακτορέῳ,
Καὶ πέσεν αὐτοτύραννος ἐπιφθιμένης τότε Ῥώμης,
Ἦμαρ δ' Αὐσονίης ἤλυθεν ἐλευθερίης.
Τοὔνεκα τοῖς μὲν ἔδωκεν ἄναξ γέρας, ὡς πάρος εἶχον·
Σὸν δὲ τύπον τέχνη ἔξεσε Πορφύριε.

In eundem. 94.

Non ſolum in ſtadiis te coronauit diua victoria,
Sed etiam in bellis oſtendit præmia gerentem.
Cùm rex pugnabat habens praſinos milites
Horribiliter cum inſano hoſte imperatorio,
Et cecidit importunus tyrannus perditæ tunc Romæ:
Dies verò Auſoniæ venit libertatis.
Ob id his quidem dedit rex munus, vt prius habuerunt:
Tuam verò imaginem ars exculpſit, Porphyri.

Εἰς τὸν αὐτόν.

Ὑμετέρων κήρυκες ἀμεμφέες εἰσὶν ἀγώνων,
Οἱ καὶ ἀπ' ἀντιβίων Πορφύριε στέφανοι.
Παίζεις γὰρ σταδίοισιν ἀμοιβαδὸν αἰὲν ἐλέγχων
Ἀντιτέχνους, τῆς σῆς παίγνιον ἱπποσύνης.
Τοὔνεκα καὶ ξεῖνον πρεσβήιον εὕρεο μοῦνος,
Εἰκόνα χαλκείην δήμῳ ἐν ἀμφοτέρῳ.

In eundem. 95.

Veſtrorum precones irreprehenſibiles ſunt certaminum,
Etiam ab hoſtibus, Porphyri, coronæ.
Omnes enim in ſtadiis viciſſim ſemper reprehendis
Aduerſarios, tui ludibrium equitatus.
Ob id & nouum munus inueniſti ſolus,
Imaginem æream in vtraque factione.

Εἰς τὸν αὐτόν.

Πλάστης χαλκὸν ἔτευξεν ὁμοίιον ἡνιοχῆι,
Εἰ δὲ γε καὶ τέχνης ὄγκον ἀπειργάσατο,
Ὄγκον ὁμοῦ καὶ κάλλος· ὅπερ φύσις ὀψὲ τεκοῦσα,
Ὤμοσεν, ὠδίνειν δεύτερον οὐ δυναμένη.

Ὤμοσεν εὐόρκοις ἐπὶ χείλεσι· Πορφυρίῳ γὰρ
Πρώτῳ καὶ μούνῳ πᾶσαν ἔδωκε χάριν.

In eundem. 96.

Formator æs fabricauit simile aurigæ.
Vtinam verò & artis eminentiam absoluisset,
Eminentiam simul & pulchritudinē, quam natura serò generās,
Iurauit, secundùm generare non possum.
Iurauit bene iurantibus labris. Porphyrio enim
Primo & soli omnem dedit gratiam.

Εἰς τὸν αὐτόν.

Εἰ φθόνος ἠρεμέοι, κρίνειν δ' ἐθέλοιεν ἀέθλους,
Πάντες Πορφυρίου μάρτυρές εἰσι πόνων.
Ναὶ τάχα καὶ φήσαιεν ἀριθμήσαντες ἀγῶνας,
Βαιὸν τοῦτο γέρας τοσσατίων καμάτων.
Ὅσσα γὰρ ἡνιοχῆας ἀεὶ μεμερισμένα κοσμεῖ,
Εἰς ἓν ἀολλίσσας, τηλίκος ἐξεφάνη.

In eundem. 97.

Si inuidia quiescat, & iudicare velint certatores,
Omnes Porphyrij testes sunt laborum.
Certè forte & dicent numerantes certamina,
Paruum hoc munus tantorum laborum.
Quæcumque enim agitatores semper diuisa exornant,
In vnum qui congregauit, tantulus apparuit.

Εἰς τὸν αὐτόν.

Αἰδομένη χαλκῷ σε πόλις τρὶς τοθητὴ γεραίρει.
Ἤθελε γὰρ χρυσῷ· ἀλλ' ἴδεν ἐς νέμεσιν.
Εἰ δὲ τεὴν μήπω· οὐ παύεται ἠθάδα νίκην
Εὐγνώμων δὴ ὡς Πορφύριε τελέσαιναν,
Ἔμπνοά σοι ξύμπαντες ἀγάλματα πᾶς δ' ἱππεῶνος
Καὶ χρυσὸς τούτοις εἰς ἓν ἐρχόμενος.

In eundem. 98.

Venerando ære te vrbs ter desiderabilis honorat,
Voluit autem auro, sed vidit in Nemesin.

Si verò

Si verò tuam canens non desinit consuetam victoriam
    Beneuolus populus Porphyrie Prasinorum,
Viua tibi omnes simulacra: omne enim superuacuum
    Et aurum his in contentionem veniens.

Εἰς τὸν αὐτόν.

Οὔπω σοι μογέοντι τύχη πόρεν ἄξια νίκης·
    Νῖκαι γὰρ τῆς σῆς μείζονες εὐτυχίης·
Ἀλλὰ μέρει προτέρῳ σταθερῷ καὶ ἀρείονι μίμνοις,
    Τὴν φθονερὴν τήκων δυσμενέων κραδίην.
Οἳ σέθεν εἰσορόωντες ἀεὶ νικῶσαν ἱμάσθλην,
    Μέμφονται σφετέρην αἰὲν ἀτασθαλίην.

In eundem. 99.

Nondum tibi laboranti fortuna dedit digna victoria.
    Victoriæ enim tua maiores sunt felicitate:
Sed parti primæ stabili & meliori maneas,
    Inuidorum contabefaciens hostium cor:
Qui tuum intuentes semper vincens flagellum,
    Reprehendunt suam semper stultitiam.

Εἰς τὸν αὐτόν.

Ἄλλοις μὲν γεράων πρόφασις χρόνος. οἱ δ' ἐπὶ νίκαις
    Κρινόμενοι, πολιῆς οὐ χατέουσι κόμης,
Ἀλλ' ἀρετῆς, ὅθεν εὖχος ἀνάπτεται. εἷς ἀπὸ τοίων
    Πορφύριος δώρων δὶς λάχεν ἀγλαΐην,
Οὐκ ἐτέων δεκάδας, νίκης δ' ἑκατοντάδας αὐχῶν
    Πολλάς, καὶ πάσας συγγενέας χαρίτων.

In eundem. 100.

Aliis quidem munerum occasio est tēpus, qui verò ob victoriā
    Iudicantur, canis non indigent capillis,
Sed virtute vnde honor sequitur. Vnus à talibus
    Porphyrius muneribus bis consecutus est splendorem,
Non annorum decades, sed victoriarum centenas iactans
    Multas, & omnes cognatas gratiarum.

ΛΕΟΝΤΙΟΥ σχολαστικοῦ εἰς τὸν αὐτόν.

Ἀγχίσην Κυθέρεια, καὶ Ἐνδυμίωνα Σελήνη

φίλατο· μυθεῦνται τοῖα παλαιγενέες·
Νῦν δὲ νέος τις μῦθος ἀείσεται, ὡς τάχα Νίκη
Ὄμματα καὶ δίφρους φίλατο Πορφυρίου.

LEONTII Scholastici in eundem. 101.

Anchisen Venus, & Endymiona Luna
Amauit: fabulantur talia prisci:
Iam verò noua quædam fabula canetur, quòd propè victoria
Oculos & locum currus amauit Porphyrij.

Εἰς Καλλιόπην.

Πρεσβυτέρους κούρους μὲν ἐὼν, πρέσβυς δὲ τε κούρους
Νικᾷς, τεθρίππων κέντορας ἀθλοφόρων.
Ἐξ δ' ἐτέων ἀνύσας δεκάδας, στήλην ἐπὶ νίκαις
Εἷλες Καλλιόπα νεύματι κοιρανίης,
Ὄφρα μένοι καὶ ἔπειτα τεὸν κλέος. αἴθε τοι εἴη
Ὡς κλέος ἀθάνατον, καὶ δέμας ἀθάνατον.

In Calliopen. 102.

Seniores puer existens, & pueros senior
Vincis, quatuor equorum stimulatores victorias ferentium.
Ex annis perficiens decadas, columnam ex victoria
Consecutus es Calliopa, nutu imperatoris,
Vt maneat & postea tua laus. Vtinam verò sit
Vt laus immortalis, & corpus immortale.

Εἰς τὸν αὐτόν.

Σῆς τόδε διφρηλάτειρα τὸ χάλκεον ἄνθετο Νίκα
Δείκηλον μορφᾶς Καλλιόπα ζαθέας,
Πρέσβυς ὅτι σφριγόωντας ἐν ἱπποδάμῳ πλέον ἀλκᾷ
Νίκησας, γηραιοὺς δ' ὢν νέος, ἐν σοφίῃ.
Ἔνθεν ἑῇ τε ῥοπῇ Βενέτων ἀνεπήξατο δῆμος
Δοιά, τὰ μὲν, τέχνας ἆθλα, τὰ δὲ, σθένεος.

In eundem. 103.

Tuæ hanc currum agitans æream posuit Victoria
Imaginem formæ, Calliopa, sanctæ,
Senex quod robore valentes iuuenes in hippodromo plus robore

Viciſti, ſenes verò puer exiſtens, in ſapientiâ.
Vnde liber puer Venetorum tua fabricauit populus
Duplicia, hæc quidem, artis munera, hæc verò, ſapientiæ.

Εἰς τὸν αὐτόν.

Σὸν γῆρας νεότητα τεὴν ὑπερέδραμε νίκαις,
Καὶ πάντων κρατέεις πάντοτε Καλλιόπα.
Ἔνθεν ἄναξ καὶ δῆμος ἐλεύθερος αὖθις ἐγείρει
Τοῦτο γέρας, σοφίης μνῆμα καὶ ἠνορέης.

In eundem. 104.

Tuum ſenium iuuentutem tuam ſuperauit victoriis,
Et omnes vincis vbique Calliopa.
Vnde rex & populus liber rurſus excitat
Hoc munus, ſapientiæ præmium & fortitudinis.

Εἰς τὸν αὐτόν.

Οὗτος ἐγερσιθέατρε τεὸς τύπος, ὅν τοι ἐγείρει
Ἑσμὸς ἀριζήλων Καλλιόπα στεφάνων.
Οὔτι γὰρ ἡνίοχός σε παρήπαφεν, οὔτε χαλινοῖς
Δίστομος ἱππείη σοῖς ἀπίθησε γένυς.
Μοῦνος δὴ νίκης γέρας ἄρνυσαι, ἧ παρὰ πᾶσι
Δόξαν ἔχεις ἀέθλων ἆθλα λιπεῖν ἑτέροις.

In eundem. 105.

Hęc excitator theatri tua image, quam tibi excitat
Grex præclararum Calliopa coronarum.
Neque enim auriga te decepit, neque frænis
Præfractum equinum tuis reluctatum eſt os.
Solus certè victoriæ munus recuſas, quo apud omnes
Gloriam habes certaminum præmia relinquens aliis.

Εἰς τὸν αὐτόν.

Καλλιόπα κλυτόμοχθε, τί σοι πλέον ὅττι γεραίρει
Εἰκόνι χαλκοτύπῳ σοὺς βασιλεὺς καμάτους;
Δῆμος ὁ μυριόφωνος; ὅλη πόλις; οὔτι καὶ αὐτὴ
Δεσμηνέων παλάμη σοῖς ἐπένευσε πόνοις.

In eundem, 106.

Calliopa inclyte ob labores, Quid tibi amplius, quod colit
Imagine ærea tuos rex labores?
Populus mille voces edens? omnis ciuitas? Neque enim ipsa
Aduersariorum manus tuos abnuit labores.

Εἰς Φαυστῖνον.

Μητέρες εὐάθλων γεράων, φρένες, οὐ κράτος ἥβης,
Οὐ τάχος ἱπποσύνης, οὐ χρόνος εὐτυχίης.
Ἵληκοι Φαυστῖνε τεὸς νόος· ᾧ τάδε πάντα
Ἕσπεται, ᾧ Νίκη σύντροφος ἀθάνατος.

In Faustinum. 107.

Matres bene pugnatorũ munerũ, mentes sunt, non robur iuuẽ-
Non celeritas equitatus, non tempus felicitatis. (tutis,
Propitia sit Faustine tua mens: quam hæc omnia
Sequuntur, cum qua Victoria connutrita immortalis.

Εἰς τὸν αὐτόν.

Πρίν σε νέον Φαυστῖνε νόος πεφόβητο γερόντων·
Νῦν δέ σε πρεσβυγενῆ κάρτος ἔφριξε νέων.
Δεύτερα δ' εὕρετο πάντα τεὸς πόνος· ὅς σε γεραίρει
Πρέσβυν ἐν ἠϊθέοις, ἐν δὲ γέρουσι νέον.

In eundem. 108.

Prius quidem te iuuenem Faustine mens timebat senum:
Iam verò te senem robur horret iuuenum.
Cętera cuncta tuus reperit labor: qui te colit
Senem in iuuenibus, & iuuenem in senibus.

Εἰς Κωνσταντῖνον.

Ἐξότε Κωνσταντῖνος ἔδυ δόμον Ἄϊδος εἴσω,
Ὤχετο σὺν κείνῳ πᾶν κλέος ἡνιόχων.

In Constantinum. 109.

Ex quo Constantinus subiit domum inferni,
Periit cum ipso omnis laus aurigarum.

Εἰς τὸν αὐτόν.

Χάλκεος οὐκ ἔστης βιόων ἔτι Κωνσταντῖνε·

(Ἀντὶ γὰρ εὐκλείης ἤρκεσε βασκανίη)
Ὡς δ' ἔθανες, τότε δή σε πόλις ξύμπασα γεραίρει
Οἷς δύναται. τί δὲ σῆς ἄξιον ἱπποσύνης;

In eundem. 110.

Æreus non ſtabas adhuc viuens, Conſtantine:
Nam pro gloria ſufficiebat inuidia.
Cùm verò mortuus es, tum te ciuitas colit omnis
Quibus poteſt. quid verò tuo dignum equitatu?

Εἰς τὸν αὐτόν.

Ἐξότε Κωνσταντῖνος ἔδυ δόμον Ἄϊδος εἴσω,
Πλῆτο κατηφείης ἱπποσύνης στάδιον.
Τερπωλὴ δ' ἀπέλειπε θεήμονας· οὐδ' ἐν ἀγυιαῖς
Κείνας τὰς φιλίας ἔστιν ἰδεῖν ἔριδας.

In eundem. 111.

Ex quo Conſtantinus ſubiit domum inferni,
Implebatur pudore equitatus ſtadium.
Voluptas verò reliquit ſpectatores: neque in vicis
Illas amicas videre eſt contentiones.

Εἰς τὸν αὐτόν.

Χρύσεον αἰτ' ἀρετῆς γέρας ἔπρεπε Κωνσταντίνῳ,
Οὐδένα τῆς τέχνης τοῖον ἐνεγκαμένης.
Κουρίζων νίκησεν ἀεθλοφόρους ἐλατῆρας·
Γηραλέος δὲ νέους δεῖξεν ἀφαυροτέρους.
Ὅντινα καὶ μετὰ πότμον ἀειμνήστῳ τινὶ θεσμῷ
Δῆμος καὶ βασιλεὺς ἵδρυσαν ἀζόμενοι.

In eundem. 112.

Aureum pro virtute munus decet Conſtantinum,
Cùm neminem talem ars inferat.
Adoleſcens ſuperauit laudatos aurigatores:
Senex verò iuuenes demonſtrauit inferiores.
Quem etiam poſt mortem ſemper recordandâ quadam lege
Populus & rex erexerunt in ſtatuâ venerantes.

Εἰς τὸν αὐτόν.

Εἰκόνα Κωνσταντῖνε τεὴν αἰέθεντο πολῖται,
  Μυρόμενοι ψυχῆς τέρψιν ἀποιχομένης,
Σοὶ κλέος ὁππότε δῆμος ἐπεσφρήγιζε θανόντι,
  Μνήσατο σῶν καμάτων καὶ μετὰ πότμον ἄναξ.
Οὕνεκεν ἱπποσύνης φιλοκέρτομος ὤλετο τέχνη,
  Ἐν σοὶ παυσαμένη πᾶσα καὶ ἀρξαμένη.

In eundem. 113.

Imaginem Constantine tuam posuerunt ciues,
  Dolentes animæ oblectationem abeuntis,
Tibi laudem cum populus obsignauit mortuo,
  Recordatus est tuorum laborum post mortem rex.
Ob id equitatus maledictis incessens periit ars,
  In te desinens omnis & incipiens.

Εἰς τὸν αὐτόν.

Εἰσέτι μὲν ζώοντι πόλις ποτὲ Κωνσταντίνῳ
  Εἰκόνα χαλκείην βαιὸν ἔκρινε γέρας.
Ἤδεε γὰρ πᾶς δῆμος ὅσοις ἐπὶ κύδεϊ νίκης
  Αἰὲν ἀεθλεύων ἀμφέθετο στεφάνοις.
Ὡς δ' ἔθανεν, ποθέουσα, φίλον τύπον αἴθετο τῷδε,
  Ὄφρα καὶ ἐσσομένοις μνῆστιν ἔχῃ καμάτων.

In eundem. 114.

Huc vsque quidem viuenti vrbs quondam Constantino
  Imaginem æream paruum iudicauit munus.
Venerabatur enim omnis populus, quotquot in laude victoriæ
  Semper concertans circumdabat coronas.
Vt verò mortuus est, desiderans eũ, amicã imaginẽ posuit hic,
  Vt & in sequentibus recordationem habeat laborum.

Εἰς τὸν αὐτόν.

Οἱ Βένετοι πρασίνοισιν ἐναντίοι αἰὲν ἐόντες,
  Εἰς ἓν ὁμοφροσύνης ἐξεβόησαν ὄπα,
Ὥστε σε Κωνσταντῖνε λαβεῖν ἐπιτύμβιον εὖχος,
  Πᾶσιν ἀειδόμενον, πᾶσιν ἀρεσκόμενον.

In eundem. 115.

Veneti Prasinis aduersarij semper existentes,
In vnum concordiæ conclamarunt terminum.
Vt tu Constantine, acciperes sepulcralem statuam
Omnibus cantatam, omnibus approbatam.

Εἰς τὸν αὐτόν.

Ἀντολίης, δύσιός τε, μεσημβρίης τε καὶ ἄρκτου
Σὸς δρόμος ὑψιφανὴς ἀμφιβέβηκεν ὅρους,
Ἄφθιτε Κωνσταντῖνε. θανεῖν δέ σε μή τις ἐνίσπῃ·
Τῶν γὰρ ἀνικήτων ἅπτεται οὐδ' Ἀΐδης.

In eundem. 116.

Ortus, occasus, meridiei, & septentrionis
Tuus cursus in alto apparens vndique ascendit terminos,
Immortalis Constantine: mori verò te nemo dicat.
Nam inuictos mors non tangit.

Εἰς τὸν αὐτόν.

Ἐγγύθι τῆς σφετέρης γενεῆς λάχεν εἰκόνα τήνδε.
Ἔπρεπε γὰρ τρισσοῖς εἰν ἑνὶ χώρῳ ἔχειν,
Οἳ καὶ ἐν σταδίοις ἀρετῆς κλέος εἴκελον εὗρον,
Νηρίθμων στεφάνων ἐσμὸν ἑλόντες ἴσον.

In eundem. 117.

Prope apud suum genus consecutus est hanc imaginem.
Decebat enim tres in vno loco habere,
Qui etiam in stadiis virtutis decus simile inuenerunt,
Innumerabilium coronarũ multitudinẽ capientes æqualẽ.

Εἰς τὸν αὐτόν.

Τὸν Φαυστινιάδην πόλις εἵσατο Κωνσταντῖνον,
Γείτονα μὲν γενεῆς, κρέσσονα δ' ἡνιόχων.
Δὶς γὰρ ἀεθλεύσας, οὐκ ἔμβεσεν· ἀλλ' ἐπὶ νίκῃ
Παύσατο, σὺν νίκῃ καὶ πέρας ἀρξάμενος.
Ὃν καὶ κοῦρον ἐόντα παλαίτεροι ἡνιοχῆες
Στεψάμενοι σταδίοις, εἶπον ἀγωνοθέτην.

In eundem. 118.

Faustiniadem ciuitas posuit Constantinum,
Vicinum quidē patri, meliorē verò inter equorū agitatores.
Diu enim pugnans non peccauit: sed in victoriā
Quieuit, cum victoria & prius incipiens.
Quem etiam iuuenem existentem seniores aurigatores
Coronantes stadiis, cognorunt certamina instituentem.

Εἰς τὸν αὐτόν.

Σοὶ τόδε Κωνσταντῖνε τεὴ τροφὸς ὤπασε Νίκη,
Παιδόθεν ἑσπομένη πᾶσαν ἐφ' ἡλικίην.
Πέντε γὰρ ἐν σταδίοις δεκάδας τελέσας ἐνιαυτῶν,
Οὐδ' ἴσον οὐδ' ὀλίγον εὕρεο λειπόμενον.
Ἀλλ' ἔτι κουρίζων τε καὶ ἄχνοος ἄνδρας ἐνίκας·
Ἥλικας, ἡβήσας γηραλέος δὲ, νέους.

In eundem. 119.

Tibi hoc Constantine tua nutrix præbuit Victoria,
Ex puero te sequens omnem ad ætatem.
Quinque enim in stadiis decades absoluisti annorum,
Neque æqualem neque iuniorē inuenisti tibi non cedētem.
Sed adhuc puer & imberbis viros superasti:
Adolescentes puber: senex verò iuuenes.

Εἰς τὸν αὐτόν.

Ἤθελε Κωνσταντῖνον ἀεὶ πόλις ἡνιοχεύειν,
Ἤθελεν, ἀλλὰ πόθῳ οὐκ ἐπένευσε φύσις.
Ἔνθεν ἔστη τόδ' ἄγαλμα παραίφασιν εὗρεν ἐρώτων,
Ὄφρα ἑ μὴ λήθη καὶ χρόνος ἀμφιβάλῃ.
Ἀλλὰ μόνοι ποθέουσιν ἔρως, ζῆλος δ' ἐλατῆρσι,
Κόσμος δὲ σταδίοις, ἐσσομένοις δὲ φάτις·
Καί τις ἰδὼν μετόπισθε χερείονας ἡνιοχῆας,
Ὀλβίστην προτέρων ἤνεσεν ἡλικίην.

In eundem. 120.

Voluit Constantinum semper vrbs equos agitare,
Voluit, sed voluntati non adnuit natura.

Vnde ſuorum hoc ſimulacrũ inuenit conſolationem annorũ,
    Vt ipſum non obliuio & tempus circumdet.
Sed maneat deſiderantibus amor, & æmulatio aurigatoribus,
    Ornatus ſtadiis, & futuris ſermo:
Et quis videns poſtea deteriores aurigatores,
    Beatam iudicet priorem quæ ipſum vidit, generationem.

Εἰς τὸν αὐτόν.

Πέντε καὶ εἴκοσι μοῦνος ἄεθλα Κωνσταντῖνος
Ες μίαν ἠειθρέξας ἐλάων. ἤμειψε μὲν ἵππους
Ἀντιπάλοις· κείνους δὲ λαβὼν, οὓς πρόσθεν ἐνίκα,
Τοῖς αὐτοῖς πάλιν εἷλε μίαν τε καὶ εἴκοσι νίκας.
Πολλάκι δ' ἀμφοτέρων μερέων ἔρις ἔμπεσε δήμῳ,
Τίς μιν ἔχοι. κείνῳ δὲ δίδοσαν χρίσιν ἐκ δύο πέπλων.

In eundem. 120.

Quinque & viginti ſolus certamina Conſtantinus
In vnum diem trahens, mutauit quidem equos
Cum aduerſariis. Illos verò accipiens, quos prius ſuperauit,
Iiſdem rurſus abſtulit vnam & viginti victorias.
Sæpius verò vtriuſque partis contentio incidebat populo,
Quis ipſum haberet. Ipſi verò dabant iudicium ex duobus (pannis.

Εἰς τὸν αὐτόν.

Ἔγρεο Κωνσταντῖνε τί χάλκεον ὕπνον ἰαύεις;
    Σεῖο δίφρεις ποθέει δῆμος ἐνὶ σταδίοις.
Σῆς τε διδασκαλίης ἐπιδευέες ἡνιοχῆες
    Εἵατ' ὀρφανικοῖς παισὶν ὁμοιότατοι.

In eundem. 121.

Euigila, Conſtantine, quid ferreum ſomnum dormis?
    Tuos currus deſiderat populus in ſtadio.
Tua verò doctrina indigentes aurigatores
    Sedent orbis pueris ſimillimi.

Εἰς Οὐράνιον.

Σοὶ καὶ ἀεθλεύοντι μόνῳ, λήξαντι τ' ἀέθλων,
    Τοῦτο γέρας Νίκη δὶς πόρεν Οὐράνιε,

In eundem. 124.

Quieſcentem à ſtadiis rex ad inſignem victoriam
  Rurſus ſuper currus aſcendere iuſſit præmia ferentes
Vranium populo ferens gratiam. Non deſiderat verò
  Hæc vrbs Vranio ſine certamine.
Ob id aurigantem iterum, vltimæque
  Victoriæ & prioris ſtatua ornauit læta.

Εἰς τὸν αὐτόν.

Ἶσον κυδαλίμοις Φαυστινιάδῃ τε καὶ αὐτῷ
  Φαυστίνῳ βασιλεὺς στῆσε παρ' ἀμφοτέροις
Οὐράνιον· τὸν δῆμος ἀμετρήτους διὰ νίκας,
  Ἠγαθέου Πέλοπος θῆκεν ἐπωνυμίην.
Ὡς αἰεὶ τὸν ὅμοιον ἄγει θεὸς ὡς τὸν ὅμοιον,
  Τούσδε τις εἰσορόων, φθέγξεται ἀτρεκέως.

In eundem. 125.

Æqualem glorioſis Fauſtiniadæ & ipſi
  Fauſtino rex poſuit vtriſque
Vranium, cui populus ob innumeras palmas
  Boni Pelopis poſuit cognomentum.
Quàm ſemper ſimilem ducit Deus ad ſimilem,
  Hos aliquis intuens dixerit verè.

Εἰς τὸν αὐτόν.

Οὐράνιος Νίκαιαν ἔχει πέλας, ὁπλοτέρην τε
  Ῥώμην, τῆς μὲν, ἐών· τῇ δ' ἔνι, κῦδος ἑλών.
Νικᾷ δ' ἀμφοτέρωθεν, ἐπεὶ περιδέξιος ἦεν
  Τῇ καὶ τῇ προθέειν, ἠὲ παρεξελάαν.
Τοὔνεκα καὶ χρυσῷ μιν ἀνεγράψαντο μετάλλῳ,
  Κυδίστῳ κτεάνῳ κύδιμον ἡνίοχον.

In eundem. 126.

Vranius Nicæam habet prope nouámque
  Romam, huius quidẽ exiſtens, in hac verò gloriã conſequẽs.
Vincit verò vtrinque, cùm ſolers eſſet
  Hîc & hîc præcurrere, vel vltra progredi.

Ob id & auro ipsum litteris mandarunt metallo,
Gloriosissima possessione gloriosum aurigam.

Εἰς Ἰουλιανόν.

Τοῦτον Ἰουλιανὸν Τυρίης βλάστημα τιθήνης
Ἡνίοχον, πολλοὺς δεξάμενον στεφάνους,
Αὐτὸς ἄναξ καὶ δῆμος ἅπας καὶ πότνια βουλὴ
Ἔστησαν, κοινὴν ψῆφον ἐνεγκάμενοι.
Γήραϊ γὰρ σταδίων ἀπεπαύσατο· πᾶσι δ' ὁ φίλτρον
Κάλλιπεν οἷσιν ἔρως ἔνθεν ἀντιπάλων.

In Iulianum. 127.

Hunc Iulianum Tyriæ germen nutricis
Aurigam, multas capientem coronas,
Ipse rex & populus omnis, & diuinum consilium,
Posuerunt commune suffragium conferentes.
In senectute enim à studiis quiescebat. omnibus verò amorem
Reliquit quibus amor florebat aduersariorum.

Εἰς Ἀναστάσιον, Θωμᾶ πατρικίου, καὶ λογοθέτου τοῦ δρόμου.

Τὸν θρασὺν ἡνιοχῆα, λελασμένον ἅρματος ἄθλων,
Ἐνθάδ' Ἀναστάσιον κείμενον οὖδας ἔχει.
Ὃς τόσσους ἀνεδήσατο πρὶν στεφάνους ὅσσα ἄλλοι
Ἔδρακον ἡνιόχων ἤματα ἱππασίης.

In Anastasium Thomæ patricij & iudicem curriculi. 128.

Audacem aurigatorem capientem currus certamina,
Hæc Anastasium iacentem terra habet.
Qui tot induit prius coronas, quot alij
Viderunt agitatorum dies equitatus.

Εἰς Πορφύριον, μέρους Βενέτων.

Ἐν γῇ κρατήσας πάντας ἁρματηλάτας,
Καλῶς ἐπήρθη καὶ πρὸς αἰθέρα τρέχειν,
Πορφύριος ὁ θαῦμα δήμου Βενέτων.
Νικῶν γὰρ οὗτος πάντα γῆς διφρηλάτην,
Αἰθοῖν ὡς ἂν καὶ σὺν ἡλίῳ δράμοι.

In Porphyrium partis Venetorum. 129.

In terra ſuperans omnem curruum agitatorem,
Pulchrè erectus eſt & in cœlum currere,
Porphyrius miraculum populi Venetorum.
Vincens enim hic omnem in terra aurigarium
Abiit vt etiam cum ſole currat.

Εἰς τὸν αὐτόν.

Ιουλον ἀνθῶν πρῶτος ἔσχεν ἡνίας
Πορφύριος Κάλχαντος εἷλκε Βενέτου.
Ἐκπλήττομαι δὲ πῶς γράφει χεὶρ ἐμπνόους
Τούτου τὶς ἵππους. καὶ γὰρ ἂν πλήξῃ πάλιν,
Οἶμαι, δραμεῖται νῖκος ἀρεῖ καὶ πάλιν.

In eundem. 130.

Prima lanugine florens primus hic habenas
Porphyrius Calchantis traxit Veneti.
Percutior verò quomodo pingit manus viuos
Illius quædam equos. Namque ſi percutiat rurſus,
Cenſeo, curret rurſus vt inueniat victoriam.

Εἰς Φαυστῖνον, μέρους Πρασίνων.

Σκόπει τὸ δρᾶμα μηχανουργοῦ τοῦ δόμου.
Εἰ μὴ γὰρ ἠστέγαστο καρτερᾷ σκέπῃ,
Πρὸς οὐρανοὺς ἂν ὦρτο Φαυστῖνος τρέχων,
Ὡς ζῶν σὺν ἵπποις τὸ κλέος πρὶν Πρασίνων,
Ἆρον στέγος γὰρ, καὶ φθάσει πρὸς αἰθέρα.

In Fauſtinum partis Praſinorum. 131.

Vide hoc opus mechanici operis domus,
Niſi enim contineretur valido ſepimento,
Ad cælos ſubſiliret Fauſtinus currens,
Vt viuens cum equis gloria prius Praſinorum:
Tolle ſuſtentaculum enim, & contendit ad æthera.

Εἰς τὸν αὐτόν.

Φαυστῖνος οὗτος, ὁ πρὶν ἁρματηλάτης,
Ὃν δῆμος ὁρῶν τοῦ μέρους τῶν Πρασίνων,

Τὴν ὕπλαν ἠγνόησε παντελῶς δρόμων.
Γέρων μὲν ἦν γάρ, ὡς βλέπεις· τὸ δ' αὖ σθένος,
Ἦν τις νεάζων οὐδ' ὅλως ἠτλώμενος.

In eundem. 132.

Fauſtinus hic qui prius aurigator,
Quem populus inueniens partis Praſinorum
Cladem ignorauit omnino in curſu,
Senex quidem erat enim vt vides. Sed robur,
Erat quidam iuueneſcens neque omnino deficiens.

Εἰς Κωνσταντῖνον ἡνίοχον λευκῶν.

Λευκοὺς μεθέλκων ἡνίας Κωνσταντῖνος,
Εἰ μὴ καθεῖρκτο στερρότητι τοῦ δόμου,
Τοὺς τρεῖς ἐνίκα πρῶτος αἰθέρα φθάνων.
Πνοῆς ἄνευθεν εἶδες αἰθεροδρόμον.
Τέχνη με πείθει τοῦτον ἔμπνοον βλέπειν.

In Conſtantinum aurigam alborum. 133.

Albi trahens lora Conſtantinus.
Si non detineretur firmitate domus,
Tres vinceret primus ad æthera contendens,
Sine ſpiritu vidiſti ad cælum currentem.
Ars mihi perſuadet hunc viuum me videre.

Εἰς τὸν αὐτόν.

Κωνσταντῖνος ἦν, ἀλλὰ τοῖς πάλαι χρόνοις
Λευκῆς χρόας τέθριππον ἕλκων εὐστρόφως.
Ἀφ' οὗ δὲ τοῦτον ἥρπασε δράκων, ἔδυ
Τὸ φῶς ἁμίλλης ἱππικῶν δρομημάτων,
Καὶ πᾶσα τέρψις τοῦ θεάτρου καὶ τέχνη.

In eundem. 134.

Conſtantinus erat, ſed priore tempore
Albi coloris quadrigam trahens bene conuerſe.
Ex quo verò hunc rapuit Draco, occidit,
Lux certaminis equinorum curſuum,
Et omnis oblectatio huius theatri & ars.

Εἰς Ἰυλιανὸν ἡνίοχον ῥουσίου.

Χεὶρ οἶδε γεννᾶν τοὺς πάλαι τεθνηκότας.
Ἰυλιανὸς καὶ γὰρ ὡς πάλαι θέει,
Ἕλκων, μεθέλκων ῥουσίου τὰς ἡνίας.
Καὶ νῦν γραφεὶς ἕστηκεν ὑψοῦ σὺν δίφρῳ.
Τὸ νεῦμα χεὶρ μένει δέ. τὴν νύσσαν δότε.

In Iulianum aurigam Rusiorum. 135.

Manus nouit generare olim mortuos.
Iulianus enim etiam vt prius laborat,
Trahens, contrahens Rusiorum lora,
Et nunc sculptus stat in alto cum bigis,
Nutum manus expectat verò, scopum date.

Εἰς τὸν αὐτόν.

Ἰυλιανὸς τοῦτ' ἅρμα ῥουσίου
Ἔχων, ἐνίκα τοὺς ἐναντίους δρόμῳ.
Ἀλλ' εἰ γραφεὺς παρέσχε καὶ πνοῆς χάριν,
Ἕτοιμός ἐστι καὶ πάλιν διφρηλάτης
Καὶ προθέειν ἐλθεῖν, καὶ λαβεῖν καὶ τὸ στέφος.

In eundem. 136.

Iulianus hic currus russati
Habens, vicit aduersarios cursu.
Sed si pictor exhibuisset etiam spiritus gratiam
Promptus est & rursus bigarum agitator
Et ante currere & accipere coronam.

Τέλος τοῦ πέμπτου τμήματος τῆς ἀνθολογίας διαφόρων ἐπιγραμμάτων.

Finis quintæ sectionis Florilegij variorum Epigrammatum.

Ἐν τῷ ἑξῆς ἕκτῳ τμήματι ἀναθηματικὰ ἐπιγράμματα ἔχοντι, τάδε τὰ κεφάλαια περιέχεται.

Τίω ὕπλαν ἠγνόησε πολυτελοῦς δρόμου.
Γέρων μὲν ἦν γδ, ὡς βλέπεις· τὸ ᾗ σθένος,
Ην τις νεάζων οὐδ᾽ ὅλως ἡπλώμϑυος.

In eundem. 132.

Faustinus hic qui prius aurigator,
Quem populus inueniens partis Prasinorum
Cladem ignorauit omnino in cursu,
Senex quidem erat enim vt vides. Sed robur,
Erat quidam iuuenescens neque omnino deficiens.

Εἰς Κωνσαντῖνον ἡνίοχον λευκῶν.

Λευκοῦ μεθέλκων ἡνίας Κωνσαντῖνος,
Αἰ μὴ καθεῖρκτο σερρότητι τοῦ δόμου,
Τοὺς τρεῖς ἐνίκα σεϑὸ πρὸς αἰθέρα φθάνων.
Πνοῆς ἄνευθεν εἶδες αἰθεροδρόμον.
Τέχνη με πείθει τοῦτον ἔμπνοον βλέπειν.

In Constantinum aurigam alborum. 133.

Albi trahens lora Constantinus.
Si non detineretur firmitate domus,
Tres vinceret primus ad æthera contendens,
Sine spiritu vidisti ad cælum currentem.
Ars mihi persuadet hunc viuum me videre.

Εἰς τὸν αὐτόν.

Κωνσαντῖνος ἦν, ἀλλὰ τοῖς πάλαι χρόνοις
Λευκῆς χρόας τέθριππον ἕλκων εὐςρόφως.
Αφ᾽ οὗ δὲ τοῦτον ἥρπασε δράκων, ἔδυ
Τὸ φῶς ἁμίλλης ἱππικῶν δρομημάτων,
Καὶ πᾶσα τέρψις τοῦ θεάτρου καὶ τέχνη.

In eundem. 134.

Constantinus erat, sed priore tempore
Albi coloris quadrigam trahens bene conuerse.
Ex quo verò hunc rapuit Draco, occidit,
Lux certaminis equinorum cursuum,
Et omnis oblectatio huius theatri & ars.

Εἰς Ἰουλιανὸν ἡνίοχον ῥουσίων.

Χεὶρ οἶδε γεννᾶν τοὺς πάλαι τεθνηκότας.
Ἰουλιανὸς καὶ γὰρ ὡς πάλαι πονεῖ,
Ἕλκων, μεθέλκων ῥουσίου τὰς ἡνίας.
Καὶ νῦν γραφεὶς ἕστηκεν ὑψοῦ σὺν δίφρῳ.
Τὸ νεῦμα χεὶρ μένει δέ. τὴν νύσσαν δότε.

In Iulianum aurigam Rusiorum. 135.

Manus nouit generare olim mortuos.
Iulianus enim etiam vt prius laborat,
Trahens, contrahens Rusiorum lora,
Et nunc sculptus stat in alto cum bigis,
Nutum manus expectat verò, scopum date.

Εἰς τὸν αὐτόν.

Ἰουλιανὸς τοῦτ' ἅρμα ῥουσίου
Ἔχων, ἐνίκα τοὺς ἐναντίους δρόμῳ.
Ἀλλ' εἰ γραφεὺς παρέσχε καὶ πνοῆς χάριν,
Ἕτοιμός ἐστι καὶ πάλιν διφρηλάτης
Καὶ προφθάσει ἐλθεῖν, καὶ λαβεῖν καὶ τὸ στέφος.

In eundem. 136.

Iulianus hic currus russati
Habens, vicit aduersarios cursu.
Sed si pictor exhibuisset etiam spiritus gratiam
Promptus est & rursus bigarum agitator
Et ante currere & accipere coronam.

Τέλος τοῦ πέμπτου τμήματος τῆς ἀνθολογίας διαφόρων ἐπιγραμμάτων.

Finis quintæ sectionis Florilegij variorum Epigrammatum.

Ἐν τῷ ἑξῆς ἕκτῳ τμήματι ἀναθηματικὰ ἐπιγράμματα ἔχοντι, τάδε τὰ κεφάλαια περιέχεται.

In sequenti sectione donatiua Epigrammata habenti, hæc capita continentur.

ΑΝΘΟ-

ΑΝΘΟΛΟΓΙΑΣ ΔΙΑΦΟΡΩΝ
ἐπιγραμμάτων, εἰς ἑπτὰ βιβλία διῃρημένης, τὸ ἕκτον.

ΕΙΣ ΑΝΑΘΗΜΑΤΑ ΑΓΑΛΜΑΤΩΝ,
κεφ. α΄.

Εἰς ἄγαλμα τοῦ Ἡλίου παρὰ τῶν Ῥοδίων,

Αὐτῷ σοι πρὸς ὄλυμπον ἐμακύναντο κολοσσὸν
  Τόνδε Ῥόδου ναέται Δωρίδος Ἀέλιε,
Χάλκεον, ἁνίκα κῦμα κατευνάσαντες Ἐνυοῦς,
  Ἔστεψαν πάτραν δυσμενέων ἐνάροις.
Οὐ γὰρ ὑπὲρ πελάγους μόνον ἄνθεσαν, ἀλλὰ καὶ ἐν γᾷ
  Ἁβρὸν ἀδουλώτου φέγγος ἐλευθερίας.
Τοῖς γὰρ ἀφ' Ἡρακλῆος ἀεξηθεῖσι γενέθλας,
  Πάτριος ἐν πόντῳ κἠν χθονὶ κοιρανίη.

FLORILEGII VARIORVM
Epigrammatum, in ſeptem libros diuiſi, ſextus.

IN DONARIA STATVARVM. Cap. I.

In ſtatuam Solis apud Rhodios. 1.

Ipſi tibi ad cælum machinati ſunt coloſſum
  Hunc Rhodi ciues Doricæ Sol,
Æreum, eo quòd fluctum ſopientes Enyus,
  Coronarunt patriam hoſtium ſpoliis.
Non enim in pelago ſolùm poſuerunt, ſed etiam in terra
  Magnificum non ſubiugatæ lumen libertatis.
His enim ab Herculis auctis genere,
  Patrium in ponto & terrâ dominium.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Τὸν κύνα, τὸν πάσης κρατερῆς ἐπιίδμονα θήρης,
Ἔξεσε μὲν Λεύκων, αὖθετο δ' Ἀλκιμένης.
Ἀλκιμένης δ' οὐχ εὗρε τί μέμψεται· ὡς δ' ἴδ' ὁμοίην
Εἰκόνα, ποιητοῖς σχήματι φαινομένην,
Κλοιὸν ἔχων, πέλας ἦλθε, λέγων Λεύκωνα κελεύειν
Τῷ κυνὶ καὶ βαίνειν· πείθετο γὰρ ὡς ὑλάων.

MACEDONII Consulis. 2.

Canem omnis fortis peritum venationis,
Sculpsit quidem Leucon, posuit autem Alcimenes:
Alcimenes verò non inuenit quod reprehenderet: cùm verò (vidit similem
Imaginem, varia figura apparentem,
Collare habens propè ibat, dicens Leuconem iubere
Canem etiam ambulare: obediit verò tanquam latrans.

ΜΥΡΟΥΣ.

Νύμφαι Ἀμαδρυάδες, ποταμοῦ κόραι, αἳ τάδε βένθη
Ἀμβρόσιαι ῥοδέοις στείβετε ποσσὶν ἀεί,
Χαίρετε, καὶ σώζοιτε Κλεώνυμον, ὃς τάδε καλὰ
Εἵσαθ' ὑπαὶ πιτύων ὔμμι θεαὶ ξόανα.

MYRVS. 3.

Nymphæ Hamadryades fluuii puellæ, quæ hæc profunda
Ambrosiæ roseis calcatis pedibus semper,
Saluete & seruate Cleonymum, qui hæc pulchra
Posuit sub pino vobis, Deæ, simulacra.

ΑΝΤΙΠΑΤΡΟΥ.

Ἡ τὰ πέδιλα φέρουσα, Μενεκράτεος· ἡ δὲ τὸ φᾶρος,
Φημονόη. Πρηξὼ δ' ἡ τὸ κύπελλον ἔχει.
Τῆς Παφίης δ' ὁ νεὼς καὶ τὸ βρέτας· ἄνθεμα δ' αὐτῶν
Ξυνόν. Στρυμονίου δ' ἔργον Ἀριστομάχου.
Πᾶσαι δ' ἀσταὶ ἔσαν καὶ ἐπιείκελοι· ἀλλὰ τυχοῦσαι
Κύπριδος εὐχρήστου, νῦν ἑνός εἰσι μία.

ANTIPATRI. 4.

Calceos ferens, Menecratis: quæ verò vestimentum,

Phemonoë. Prexo verò quæ poculum habet.
Paphiæ templum, & ſimulacrum: donarium verò ipſorum
Commune. Strymonij verò opus Ariſtomachi:
Omnes verò ciues erant & meretrices: ſed conſecutæ
Cypridem bene temperatam, nunc vnius ſunt vna.

ΑΠΟ ΑΘΛΗΤΩΝ, κεφ. βʹ

ΦΙΛΟΔΗΜΟΥ.

Κέντρα διωξικέλευθα, φιλορρώθωνά τε κημὸν,
Τόν τε περὶ στέρνοις κόσμον ὀδοντοφόρον,
Καὶ σχοίνων ῥάβδον ἐπὶ προθύροισι, Πόσειδον,
Ανθετό σοι νίκης Χάρμος ἀπ' Ἰσθμιάδος,
Καὶ ψήκτρην ἵππων ἐρσίτριχα, τήν τ' ἐπὶ νώτων
Μάστιγα ῥοίζου μητέρα θαρσαλέην.
Ἀλλὰ σὺ Κυανοχαῖτα δέχευ τάδε· τὸν δὲ Λυκίνου
Υἷα, καὶ εἰς μεγάλην στέψον ὀλυμπιάδα.

DE ATHLETIS, Cap. II.

PHILODEMI. I.

Flagra ad iter impellentia, gutturíſque amantem camum,
Et circa pectus ornamentum dentiferum,
Et vimineum baculum in veſtibulo, Neptune,
Poſuit tibi victoriæ Charmus Iſthmiacæ ergô,
Et ſtrigilem equorum crines trahentem, & hoc in dorſis
Flagrum, ſtridoris matrem confidentem.
Sed tu Neptune accipe hæc: & Lycini
Filium, & in magna corona Olympiade.

ΦΙΛΙΠΠΟΥ.

Τίς τὸν ἄχρυσον Ἑρμῆν σε παρ' ὑσπλήγεσσιν ἔθηκεν;
Ἑρμογένης. τίνος ὤν; δαϊμονέω. ποδαπός;
Ἀντιοχεύς. τιμῶν σε χάριν τίνος; ὡς συναρωγὸν
Ἐν σταδίοις. ποίοις; Ἰσθμόθι, κἠν Νεμέᾳ.

αἜτρεχε γάρ; βκαὶ πρῶτος. αἔχων τίνας; βἐννέα παῖδας.
Ἔπτη δ' ὡς αἰ ἔχων τοὺς πόδας ἠερίους.

PHILIPPI. 2.

αQuis imberbem Mercurium ad carceres posuit?
βHermogenes. αCuius existens? βDaimonis. αVnde?
βAntiochensis. αQua de caussa honorans? βVt coadiutorem
In stadiis. αquibus? βIsthmo & Nemeâ.
αCurrit autem? βPrimus existens. αQuos habes? βnouē liberos.
Volauit tanquam habens pedes aërios.

ΑΠΟ ΑΛΙΕΩΝ, κεφ. γ.

ΛΕΩΝΙΔΟΥ.

Εὐκαμπὲς ἄγκιστρον καὶ δούρατα δουλιχόεντα,
Χὠρμιὴν, καὶ τὰς ἰχθυδόκους σπυρίδας,
Καὶ τοῦτον νηκτοῖσιν ἐπ' ἰχθύσι τεχνηθέντα
Κύρτον, ἁλιπλάγκτων εὕρεμα δικτυβόλων,
Τρηχύν τε τριόδοντα, Ποσειδαώνιον ἔγχος,
Καὶ τοὺς ἐξ ἀκάτων διχθαδίους ἐρέτας,
Ὁ γριπεὺς Διόφαντος ἀνάκτορι θήκατο τέχνης,
Ὡς θέμις, ἀρχαίης λείψανα τεχνοσύνης.

DE PISCATORIBVS; Cap. III.

LEONIDAE. 1.

Bene curuum hamum, & calamos piscatorios longos,
Tenuem funiculum, & pisces capientes nassas,
Et hanc natantes in pisces fabricatam
Sagenam, in mari errantium inuentum piscatorum,
Asperámque tridentem Neptuniam hastam,
Et scapharum duplices remos,
Piscator Diophantus regi posuit artis,
Vt fas est, priscæ reliquias artis.

ΦΙΛΙΠΠΟΥ.

Δουάκας ἀκροδέτους, καὶ τὴν ἁλινηχέα κώπην,

Γυρῶν τ' ἀγκίστρων λαιμοδακεῖς ἀκίδας.
Καὶ λίνον ἀκρομόλιβδον, ἀπαγγελτῆρά τε κύρτου
 Φελλόν, καὶ δισσὰς σχοινοτενεῖς σπυρίδας,
Καὶ τὸν ἐγερσιφαῆ πυρὸς ἔγκυον ἔμφλογα πέτρην,
 Ἄγκυράν τε νεῶν πλαζομένων παγίδα,
Πείσων ὁ γριπεὺς Ἑρμῇ πόρεν, ἔντρομος ἤδη
 Δεξιτερὴν πολλοῖς αἰθόμενος καμάτοις.

PHILIPPI. 2.

Calamos in summitate ligatos, & in aqua natantem remum.
 Curuorúmque hamorum guttur mordentes cuspides.
Et linum in imo plumbo oneratum, & indicem nassæ retis
 Suber, & duplices iunco tensos corbes,
Et lumen excitantem ignis sponsorem flammam cōtinentem (lapidē,
 Et anchoram nauium agitatarum retinaculum,
Pison piscator Mercurio dedit, tremens iam
 Dexterâ multis vstus laboribus.

Ἄδηλον.

Ἑρμείη, σπήραγγος ἁλικτύπου ὃς τόδε ναίεις
 Εὔστιβὲς αἰθυίαις ἰχθυβόλοισι λέπας,
Δέξο σαγηναίοιο λίνου τετριμμένον ἅλμῃ
 Λείψανον, αὐχμηρῶν ξανθὸν ἀπ' ἠιόνων,
Γρίπους τε, πλωτῶν τε πάγην ἀειδινέα κύρτον,
 Καὶ φελλὸν κρυφίων σῆμα λαχόντα βόλων,
Καὶ βαθὺν ἱππείης πεπεδημένον ἅμματι χαίτης,
 Οὐκ ἄτερ ἀγκίστρων λιμνοφυῆ δόνακα.

Incerti. 3.

Mercuri cauernæ maris vndis pulsatum qui hoc habitas
 Bene calcatum mergis piscatoribus promontorium,
Accipe sagenæ lini detritas in mari
 Reliquias squalidis flauas in littoribus,
Retiáque piscium verriculum, & versatilem nassam,
 Et suber absconsorum signum capiens iacturum,
Et profundum equinæ alligatum filo setæ,

Non sine hamo in stagno natum calamum.

Ἀδήλου.

Δαίμονι τῇ Συρίῃ τὸ μάτην τριβὲν Ἡλιόδωρος
Δίκτυον ἐν ναοῦ τοῦδ' ἔθετο προθύροις.
Ἀγνὸν ἀπ' ἰχθυβόλου θήρης τόδε. πολλὰ δ' ἐν αὐτῷ
Φύκι' ἀπ' εὐόρμων εἵλκυσεν αἰγιαλῶν.

Incerti. 4.

Deæ Syriæ frustra tritum Heliodorus
Rete in templi huius posuit vestibulo.
Intemeratum adhuc à pisces capiente venatione. Multam verò in ipso
Algam ad stationem nauium opportunum traxit litus.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων Αἰγυπτίου.

Κεκμηκὼς χρονίῃς πεποιηκότα δίκτυα θήρης
Ἄνθετο ταῖς νύμφαις ταῦτα γέρων Κινύρης.
Οὐ γὰρ ἔτι τρομερῇ παλάμῃ περιηγέα κόλπον
Εἶχεν ἀκοντίζειν οἰγομένοιο λίνου.
Εἰ δ' ὀλίγου δώρου τελέθει δόσις, οὐ τόδε νύμφαι
Μέμψις, ἐπεὶ Κινύρου τοῦθ' ὅλος ἔσκε βίος.

IVLIANI imperatorum Ægypti. 5.

Defatigatus longa laborantia retia piscatione
Posuit Nymphis hæc senex Cinyras.
Non enim amplius trepida manu latum sinum
Potuit coniicere explicati retis.
Si verò exigui muneris est donum, non hoc Nymphæ,
Reprehensio, cùm hæc Cinyræ tota fuerit vita.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ταῖς νύμφαις Κινύρης τόδε δίκτυον. οὐ γὰρ ἀείρει
Γῆρας ἀκοντιστὴν μόχθον ἐκηβολίης.
Ἰχθύες ἀλλὰ νέμοισθε γεγηθότες, ὅττι θαλάσσῃ
Δῶκεν ἔχειν Κινύρου γῆρας ἐλευθερίην.

In idem. 6.

Nymphis Cinyras hoc rete. Non enim fert

Senectus iaculatorem laborem longę proiectionis.
Pisces verò pascimini læti, quòd mari
    Dedit habere Cinyræ senectus libertatem.

ΘΕΑΙΤΗΤΟΥ σχολαστικοῦ.

Ἰχθυβόλον πολυωπὸν ἀπ' εὐθήρου λίνον ἄγρης,
    Τάν τ' ἀγκιστροδέταν συζυγίην δονάκων,
Καὶ πιστὸν βυθίων παγίδων σημάντορα φελλὸν,
    Καὶ λίθον ἀντιτύπῳ κρούσματι πυρσοτόκον,
Ἄγκυράν τ' ἐπὶ τοῖς, ἐχενηΐδα, δεσμὸν ἀέλλης,
    Στρεπτάν τ' ἀγκίστρων ἰχθυπαγῆ στόματα,
Δαίμοσιν ἀγρευτῆρσι θαλασσοπόρος πόρε Βαίτων·
    Γήραϊ νουσοφόρῳ βεβριθυμένης παλάμης.

THEAETETI Scholastici. 7.

Piscatorem multa foramina habentem in venatu felicis linum
    Et hamis alligatis coniunctionem calamorum, (sagenæ,
Et fidum profundorum retium indicem suber,
    Et lapidem contra percusso sonitu ignem parientem,
Anchorámque præterea retinentem, vinculum procellæ,
    Curuorúmque hamorum pisces figentes hamos,
Diis piscationis datoribus in mari vagans dedit Bæton,
    Senecta morbos ferente retardata manu.

ΙΟΥΛΙΑΝΟΥ εἰς τὸ αὐτό.

Καμπυλοειδέας δόνακας, κώπην θ' ἅμα νηὸς ἱμάσθλην,
    Γυρῶν τ' ἀγκίστρων καμπυλόεσσαν ἴτυν,
Εὐκόλπου τε λίνοιο περίπλεα κύκλα μολίβδῳ,
    Καὶ φελλοὺς κύρτων μάρτυρας εἰνοδίων,
Ζεῦγός τ' εὐπλεκέων σπυρίδων, καὶ μητέρα πυρσῶν
    Τήνδε λίθον, νηῶν θ' ἕδρανον ἀσταθέων
Ἄγκυραν, γριπεὺς Ἐρασωνίε σοὶ τάδε Βαίτων
    Δῶρα φέρει, τρομεροῦ γήραος ἀντιάσας.

IVLIANI in idem. 8.

Curuatos calamos, remúmque simul nauis flagrum,

Curuorúmque hamorum recurnum ambitum,
Et sinuosi lini plenos circulos plumbo,
Et subera retium indices in mari,
Et fasciculum bene plexorum cobrium, & matrem ignium
Hunc lapidem, nauiúmque stabilimen instabilium
Anchoram, piscator Mercuri tibi hæc Bæton
Munera fert, trepidæ senectuti occurrens.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Δίκτυον ἀκρομόλιβδον Ἀμύντιχος ἀμφὶ τριαίνῃ
Δῆσε γέρων, ἁλίων παυσάμενος καμάτων.
Ἐς δὲ Ποσειδάωνα καὶ ἁλμυρὸν οἶδμα θαλάσσης
Εἶπεν, ἀποσπένδων δάκρυον ἐκ βλεφάρων,
Οἶσθα μάκαρ, κέκμηκα· κακὸν δ' ἐπὶ γήραος ἡμῖν
Ἄλλυτος ἡβάσκει γυιοτακὴς πενίη.
Θρέψον ἔτι σπαίροντα τὸ γρήϊον. ἀλλ' ἀπὸ γαίης
Ὡς ἐθέλεις, μεδέων καὶ χθονὶ καὶ πελάγει.

MACEDONII Consulis. 9.

Rete in imo plumbatum Amyntichus circa tridentem
Alligauit senex, à marinis quiescens laboribus.
In Neptunum verò & salsum tumorem maris
Dixit effundens lacrumas ex oculis,
Nosti, ô beate, laboraui. Malę verò senectutis nobis
Insolubilis accedit tabefaciens membra paupertas.
Nutri adhuc trepidantem senunculum: sed à terra
Vt vis, imperans & terræ & mari.

ΜΑΙΚΙΟΥ.

Αἰγιαλῖτα Πρίηπε, σαγηνευτῆρες ἔθηκαν
Δῶρα παρ' ἀκταίης σοὶ τάδ' ἀπ' ὠφελίης,
Θυννων, εὐκλώστοιο λίνου βυσσώμασι ῥόμβον
Φράξαντες γλαυκοῖς ἐν προόδοις πελάγευς,
Φηγίνεον κρητῆρα, καὶ αὐτουργητον ἐρείκης
Βάθρον, ἰδ' ὑαλέην οἰνοδόχον κύλικα,
Ὥς σ' αὖ ὑπ' ὀρχηθμῶν λελιγυσμένον ἔσκαπον ἴχνος
Ἀμπαύσῃς,

Ἀμπαύσῃς, ξηρὴν δίψαν ἐλαυνόμενος.

MÆCII. 10.

Littorales, Priape, piſcatores poſuerunt
Munera non procul à littore accepti tibi hæc emolumenti
Thynnorum, bene nexi lini retis profunditatibus rhombum
Concludentes flauis in tranſitibus pelagi,
Faginum cratêra, & per ſe factum ericæ
Subſellium, & vitreum vina capientem calicem,
Vt tu tripudio fatigatum pedis veſtigium
Sedes, aridam ſitim depellens.

ΦΙΛΙΠΠΟΥ.

Δίκτυά σοι μολίβῳ στεφανούμενα δυσθαλάσσωτα,
Καὶ κώπην ἅλμης τὴν μεθύουσαν ἔτι,
Κητοφόνον τε τρίαιναν, ἐν ὕδασι καρτερὸν ἔγχος,
Καὶ τὸν ἀεὶ φύκεις κύρτον ἐλεγχόμενον,
Ἀγκυράν τε, νεῶν στιβαρὴν χέρα, καὶ φιλοναύτην
Σπέρμα πυρὸς σώζειν πέτρον ἐπιστάμενον,
Ἀρχιθάλασσε Πόσειδον, Ἀμύντιχος, ὕστατα δῶρα
Θῆκατ', ἐπεὶ μοχθῆς παύσαθ' ἁλιπλανίης.

PHILIPPI. II.

Retia tibi plumbo coronata, in mari ſubmerſa,
Et remum ſalſugine adhuc ebrium,
Ceteque interimentem tridentem, in mari validam haſtam,
Et ſemper ſubere rete indicatum,
Anchorámque, nauium validam manum, & nautis gratum
Semen ignis ſeruare lapidem ſcientem,
Mari imperans Neptune, Amyntichus, vltima dona
Poſuit, poſtquam à laborioſo quieuit errore in mari.

ΜΑΙΚΙΟΥ ΚΟΙΝΤΟΥ.

Ἀκταίης πηΐδος ἀγεξαίτοισι Πρίηπε
Κοιράσι καὶ τρηχεῖ τερπόμενος σκοπέλῳ,
Σοὶ Πάρις ὀστρακόδερμον ἐπ' ἀγρήεσσι δαμάντα
Ὁ γριπεὺς καλάμοις κάραβον ἐκρέμασεν.

Σάρκα μὲν ἔμπυρον αὐτὸς ὑφ' ἡμίβρωτον ὀδόντα
   Θεὶς μάκαρ, ἀλλὰ δέ σοι τοῦτο πόρε σκύβαλον.
Τῷ σὺ δίδου μὴ πολλά, δὶς εὐάγρευ δὲ λίνοιο,
   Δαῖμον, ὑλακτούσης νηδύος ἡσυχίην.

MÆCII QVINTI. 12.

Littoralis insulæ ventos arcentibus Priape
   Rupibus, & aspero delectatus scopulo,
Tibi Paris testaceam cutem habentem à felicibus domitum
   Piscator calamis carabum suspendit.
Carnem quidem igni admotum ipse semicomestum dentem
   Imponens, beate, hoc verò tibi præbuit putamen testaceũ.
Cui tu da non multa, sed per bene piscantia retia,
   Deus, latrantis stomachi tranquillitatem.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Τρίγλαν ἀπ' ἀνθρακιῆς καὶ φυκίδα σοὶ λιμενῖτιν
   Ἄρτεμι δωροῦμαι Θῆρις ὁ δικτυβόλος·
Καὶ ζωρὸν κεράσας ἰσοχειλέα, καὶ τρύφος ἄρτου
   Αὖον ἐπιθρύψας, τὴν πενιχρὴν θυσίην.
Ἀνθ' ἧς μοι πλήθοντα δίδου θηρήματα αἰὲν
   Δίκτυα. σοὶ δέδοται πάντα μάκαιρα λίνα.

APOLLONIDÆ. 13.

Mullum à congerie prunarum & fucam tibi in portu captam
   Artemi dono Theris piscator:
Et merum miscens ad poculi labra infusum, & fragmen panis
   Siccum frangens, pauperculam victimam:
Pro qua mihi plena da piscationibus semper
   Retia. Tibi data sunt omnia beata retia.

ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.

Ῥαιβοσκελῆ, δίχηλον, ἀμμοδυότην,
Ὀπισθοβάμον, ἀτράχηλον, ὀκτάπουν,
Νηκτήν τ' ἐρυμνόνωτον, ὀστρακόχροα,
Τῷ Πανὶ τὸν πάγουρον ὁρμινηβόλος
Ἄγρας ἀπαρχὴν δῶκε τῆσδε Κώπασος.

STATYLLII FLACCI. 14.

Obtortos pedes habentem, bifidum, in arenâ latentem
Retrogradum, sine collo, octopedem,
Natatorem, duro dorso, testaceum,
Pani cancrum piscator
Piscationis initio captum posuit Copalus.

ΑΝΤΙΣΤΡΕΦΟΝΤΑ, κεφ. δ.

Νικοδήμου Ηρακλεώτου πάντα.

Πηνελόπη, τόδε σοι φᾶρος καὶ χλαῖναν Οδυσσεὺς
Ηνεικεν, δολιχὴν ἐξανύσας ἀτραπόν.

CONVERSIBILIA, Cap. IIII.

Nicodemi Heracleoti omnia. 1.

Penelope, hoc tibi vestimentum & lænam Vlysses
Tulit, longam qui perfecit viam.

Αλλο.

Τὸν τραγόπουν ἐμὲ Πᾶνα φίλον Βρομίοιο, καὶ υἱὸν
Αρκάδος, αὐτ' ἀλκᾶς ἔγραφεν Ωφελίων.

Aliud. 2.

Hircinis pedibus me Pana amicum Bacchi, & filium
Arcadis ob fortitudinem pinxit Ophelion.

Αλλο.

Αερόπης δάκρυον ἱερῆς, καὶ λείψανα δείπνων
Δύσνομα, καὶ ποινὴν ἔγραφεν Ωφελίων.

Aliud. 3.

Aëropes lacrumam sacræ, & reliquias conuiuij
Exsecrandas, & pœnam pinxit Ophelion.

Αλλο.

Πραξιτέλης ἔπλασε Δανάην, καὶ φάρεα νυμφῶν
Λύδια, καὶ πίτυος Πᾶνά με Πεντελικῆς.

Aliud. 4.

Praxiteles formauit Danaen, & pallam Nympharum

E marmore, & petrâ Pana me Pentelicâ.

Ἄλλο.

Κύπριδι κουροτρόφῳ δάμαλιν ῥέξαντες ἔφηβοι,
Χαίροντες, νύμφας ἐκ θαλάμων ἄγομεν.

Aliud. 5.

Cypridi iuuenes pascenti buculam facientes Ephebi,
Gaudentes, virgines in lectos ducimus.

Ἄλλο.

Αἰθομέναις ὑπὸ δᾳσὶν ἐν εὐρυχόρῳ πατρὸς οἴκῳ,
Παρθένον ἐκ χερῶν ἠγαγόμην Κύπριδος.

Aliud. 6.

Ardentibus facibus lata patris in domo,
Virginem ex manibus ducimus Veneris.

Ἄλλο.

Ἀσκανίη μέγα χαῖρε καλή, καὶ χρύσεα Βάκχου
Ὄργια, καὶ μύσται πρόκριτοι Εὐΐου.

Aliud 7.

Ascania longum gaude amica, & aurea Bacchi
Orgia, & sacerdotes prælati Bacchi.

Ἄλλο.

Οἰδιπόδης κάσις ἦν τεκέων, καὶ μητέρι πόσις
Γίγνετο, καὶ παλάμης ἦν τυφλὸς ἐκ σφετέρης.

Aliud 8.

Oedipus frater erat filiorum, & matris maritus
Fuit, & dextra erat cæcus ex propria.

Ὅπως ἀντιστρέφονται ταῦτα, παράδειγμα.

Εὐΐου πρόκριτοι μύσται, καὶ ὄργια Βάκχου
Χρύσεα, καὶ καλὴ χαῖρε μέγ' Ἀσκανίη.

Quomodo hæc conuertantur, exemplum. 9.

Bacchi prælati sacerdotes & orgia Bacchi
Aurea, & amica gaude longum Ascania.

ΑΠΟ ΒΑΚΧΕΥΟΜΕΝΩΝ, κεφ. ε.

ΑΛΕΞΙΔΟΣ.

Μῆτερ ἐμὴ γαίη, Φρυγίων θρέπτειρα λεόντων,
  * * μούνης μύσταις οὐκ ἀπάτητον ὄρος,
Σοὶ τόδε θῆλυς Ἀλεξὶς ἑῆς οἰστρήματα λύσσης
  Ἄνθετο, χαλκοτύπου παυσάμενος μανίης.
Κύμβαλά τ' ὀξυφθογγα, βαρυφθόγγων τ' ἀλαλητὸν
  Αὐλῶν, οὓς μόσχου λοξὸν ἔκαμψε κέρας.
Τύμπανά τ' ἠχήεντα, καὶ αἵματι φοινιχθέντα
  Φάσγανα, καὶ ξανθὰς τὰς πρὶν ἔσεισε κόμας·
Ἵλαος ὦ δέσποινα, τὸν ἐν νεότητι μανέντα,
  Γηραλέον προτέρης παῦσον ἀγριοσύνης.

IN BACCHANTES, Cap. V.

ALEXIDIS. I.

Mater mea terra, Phrygiorum nutrix leonum,
  * * solius sacerdotibus non incalcatum montem,
Tibi hoc femina Alexis suæ furores insaniæ
  Posuit à cymbala pulsante quiescens rabie:
Cymbala acutè sonantia, grauiter sonantiúmque crepitum
  Tibiarum, quos vituli curuum incuruauit cornu.
Tympanáque resonantia, & sanguine purpuratos
  Gladios, & flauas quas prius quassauit comas:
Propitia ô regina, in iuuentute insanientem,
  Senem à priori quiescere fac feritate.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Κισσοκόμᾳ Βρομίῳ σάτυρον στατὰ λαχμένον οἴνῳ
  Ἀμπελοεργὸς ἀνὴρ ἄνθετο Λεωναγόρας.
Τῷ δὲ καρηβαρέοντι δορὴν, πέλλα, κισσὸν, ὀπώρην,
  Πάντα λέγοις μεθύειν· πάντα συνεκλέλυται.
Καὶ φύσιν ἀφθόγγοισι τύποις μιμήσατο τέχνη,

Ὕλης ἀντιλέγειν μηδὲν ἀνασχομένης.

MACEDONII consulis. 2.

Hederâ coronato Baccho satyrum fluctuantem vino
Vitium plantator vir posuit Lenagoras.
Huic verò crapula laboranti pellem, crines, thyrsum, fructum,
Omnia dicas ebria: omnia simul soluta.
Et naturam mutis formis imitata est ars,
Forma resistere non potente.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Βασσαρὶς Εὐρονόμη σκοπελοδρόμος, ἥ ποτε ταύρων
Πολλὰ τανυκραίρων στέρνα χαραξαμένη,
Ἡ μέγα καγχάζουσα λεοντοφόνοις ἐπὶ νίκαις,
Παίγνιον ἀτλήτου θηρὸς ἔχουσα κάρη,
Ἱλήκοις Διόνυσε, τεῆς ἀμελήσασα χορείης,
Κύπριδι βακχεύειν μᾶλλον ἐπειγομένη.
Θῆκε δέ σοι τάδε ῥόπτρα, παραρρίψασα δὲ κισσὸν,
Χεῖρα περισφίγξω χρυσοδέτῳ σπατάλῃ.

AGATHII scholastici. 3.

Bassaris Euronome in scopulis currens, quæ quõdam taurorum
Multas oblongum caput habentium ceruices incîdit,
Quæ multum ridens leones occidentes ob victorias,
Ludicrum crudelis feræ habens caput,
Vale Dionysi, tuas contempsi choreas,
Cypridi insanire potius incitata sum.
Posui verò tibi has clauas. proiiciens verò hederam,
Manum constringam auro cingente annulo.

Τοῦ αὐτοῦ.

Πορφυρεὶς ἡ Κνιδίη τὰ στέμματα, καὶ τὸ ἄθυρσον
Τοῦτο τὸ λογχωτὸν, καὶ τὸ περισφύριον,
Οἷς ἐνέδυν βάκχευεν ὅτ' ἐς Διόνυσον ἐφοίτα,
Κισσῷ τὴν στέρνοις νεβρίδ' ἀναπλομένη,
Ἀβροκόμη Διόνυσε, παρὰ παστάδος ἤρησεν
Ταῦτα τὰ τῆς καλῆς κόσμια καὶ μανίης.

Eiuſdem. 4.

Porphyris Cnidia coronas,& duplicem thyrſum
   Hunc lanceæ ſimilem & ornamentum circa pedem,
Quibus licenter bacchabatur cùm in Bacchum curreret,
   Hedera pellem ceruinam pectori accommodans,
Lenicome Bacche pro thalamo appendit
   Hæc pulchritudinis ornamenta & furoris.

ΑΠΟ ΓΕΡΟΝΤΩΝ, κεφ. ς.

ΙΣΙΔΩΡΟΥ σχολαστικοῦ.

Λέκτρα μάτην μίμνοντα, καὶ ἄπρηκτον σκέπας εὐνῆς
   Ἀνθετό σοι Μήνη σοὶ φίλος Ἐνδυμίων,
Αἰδόμενος· πολιὴ γὰρ ὅλου κρατέουσα καρήνου,
   Οὐ σώζοι προτέρης ἴχνιον ἀγλαΐης.

DE SENIBVS, Cap. VI.

ISIDORI ſcholaſtici. I.

Lectos fruſtra expectantes, & vani tegumentum cubiculi
   Poſuit tibi Luna tibi amicus Endymion,
Reueritus: canities enim toti imperans capiti
   Non ſeruat prioris veſtigium pulchritudinis.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Σὸς πόσις Ἀγχίσης, τοῦ εἵνεκα πολλάκι Κύπρι
   Τοπρὶν ἐς Ἰδαίην ἔτρεχες ἠιόνα,
Νῦν μόλις εὗρε μέλαιναν ἀπὸ κροτάφων τρίχα κόψαι.
   Θῆκε δέ σοι, προτέρης λείψανον ἡλικίης.
Ἀλλὰ θεὰ (δύνασαι γὰρ) ἢ ἡβητῆρά με τεῦξον,
   Ἢ καὶ τὴν πολιὴν ὡς νεότητα δέχου.

AGATHII ſcholaſtici. 2.

Tuus coniux Anchiſes, cuius cauſſa ſæpe Venus
   Prius Idæum cucurriſti ad littus,
Nunc vix inuenit nigrum in temporib. crinē quē abſcinderet;
   Poſuit tibi prioris reliquias ætatis.

Sed Dea, (namque potes) aut iuuenem me redde,
Aut etiam canitiem, vt iuuentutem, accipe.

ΑΠΟ ΓΕΩΡΓΩΝ, κεφ. ζ.

ΦΙΛΙΠΠΟΥ.

Δράγματά σοι χώρου μικραύλακος ὦ φιλόπυρε
Δηοῖ Σωσικλέης θῆκεν ἀρουροπόνος,
Εὔσταχυν ἀμήσας τὰ νῦν σπόρον. ἀλλὰ καὶ αὖθις
Ἐκ καλαμητομίης ἀμβλὺ φέροι δρέπανον.

DE AGRICOLIS, Cap. VII.

Philippi. 1.

Manipulos tibi agri paucos sulcos habentis, ô tritici amans
Ceres, Sosicles posuit agricola,
Bene spicatam metens nunc sationem. Sed etiam rursus
E stipularum lectione, *id est messe*, curuam ferat falcem.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Χαλκὸν ἀροτρητῆν, κλασιβώλακα, νειοτομῆα,
Καὶ τὴν ταυροδέτιν βύρσαν ἐπαυχενίην,
Καὶ βουπλῆκτρον ἄκαιναν, ἐχετλήεντά τε γόμφον
Δηοῖ Καλλιμένης ἄνθετο γειοπόνος,
Τμήξας εὐαρότου ῥάχιν ὀργάδος. εἰ δ᾽ ἐπινεύσεις
Τὸν στάχυν ἀμῆσαι, καὶ δρεπάνην κομίσω.

Agathii scholastici. 2.

Vomerem aratorem, glebas frágentem, nouale proscindétem,
Et tauros ligans corium super humerale,
Et boues percutientem stimulum, arantémque clauum
Cereri Callimenes posuit agricola,
Proscindens bene arabilis colliculi latus. Si verò adnuis
Spicas legere, & falcem adferam.

ΛΕΩΝΙΔΟΥ.

Γλαυκοπότης Σατύροισι καὶ ἀμπελοφύτορι Βάκχῳ

Ἡρῶναξ

Ἡρῶναξ, πρώτης δράγματα φυταλιῆς,
Τρισσῶν οἰνοπέδων τρισσοὺς ἱερώσατο, τοὺς δὲ
Ἐμπλήσας οἴνου πρωτοχύτοιο κάδους.
Ὧν ἡμεῖς σπείσαντες ὅσον θέμις οἰνοπὶ Βάκχῳ
Καὶ σατύροις, σατύρων πλείονα πιόμεθα.

LEONIDÆ. 3.

Muſtum bibentibus ſatyris, & vitium ſatori Baccho
Heronax, primæ carptiones plantationis,
Trium camporum feracium tres ſacrificauit, hos
Implens vino omnium primo effuſo cados.
Quorum nos libantes quantum ſatis eſt vineo Baccho
Et ſatyris, ſatyris plus bibimus.

Ἀδήλου.

Ὀξέσι λαχνήεντα δέμας κέντροισιν ἐχῖνον
Ῥαγολόγον, γλυκερῶν σίντορα θειλοπέδων,
Σφαιρηδὸν σταφυλῆσιν ἐπιτροχάοντα δοκεύσας
Κώμαυλος, Βρομίῳ ζωὸν ἀνεκρέμασεν.

Incerti. 4.

Acutis hirſutum corpus aculeis Echinum
Vuas legentem, dulcium noxium vinearum locorum,
Circulatim in vuis circumuerſantem videns
Comaulus, Baccho viuum ſuſpendit.

Ἀδέσποτον.

Κώμαυλος τὸν ἐχῖνον ἰδὼν ἐπὶ νῶτα φέροντα
Ῥᾶγας, ἀπέκτεινεν τῷδ' ἐπὶ θειλοπέδῳ·
Αὐήνας δ' ἀνέθηκε φιλακρήτῳ Διονύσῳ,
Τὸν τὰ Διονύσου δῶρα λεϊζόμενον.

Incerti. 5.

Comaulus Echinum videns in dorſo ferentem
Vuas, occidit hac in vinea:
Arèfaciens verò ſuſpendit vinum amanti Baccho
Hunc Bacchi dona prædantem.

ΒΑΚΧΥΛΙΔΟΥ.

Εὔδημος τὸν νηὸν ἐπ' ἀγροῦ τόνδ' ἀνέθηκε
Τῷ πάντων ἀνέμων πιοτάτῳ ζεφύρῳ.
Εὐξαμένῳ γάρ οἱ ἦλθε βοηθόος, ὄφρα τάχιστα
Λικμήσῃ πεπόνων καρπὸν ἀπ' ἀσταχύων.

BACCHYLIDIS. 6.

Eudemus templum in agro hoc posuit
Omnium ventorum pinguissimo zephyro.
Precanti enim venit auxilio, vt celerrimè
Ventilaret maturarum fructum spicarum.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Εἶδον ἐγὼ τὸν πτῶκα καθήμενον ἐγγὺς ὀπώρης
Βακχιάδος, πουλὺν βότρυν ἀμεργόμενον,
Ἀγρονόμῳ δ' ἀγόρευσα, καὶ ἔδρακεν· ἀπροϊδὴς δὲ
Ἐγκέφαλον πλήξας ἐξεκύλισε λίθῳ.
Εἶπε δὲ καὶ χαίρων ὁ γεωπόνος, ἆ τάχα Βάκχῳ
Λοιβῆς καὶ θυέων μικτὸν ἔδωκα γέρας.

AGATHII scholastici. 7.

Vidi ego leporem iacentem prope fructum vitis
Bacchicæ, multam vuam decerpentem,
Agricolæ verò dixi, & vidit, Non prouisus verò
Cerebrum percutiens euoluit lapide.
Dixit verò gaudens rusticus, certè Baccho
Damni & victimæ mixtum dedi munus.

Τοῦ αὐτοῦ.

Ἄσπορα Πανὶ λοφίτῃ τάδε Στρατόνικος ἀροτρεὺς
Ἀντ' εὐεργεσίης αὔλακα σοι τέμενος.
Βόσκε δ' ἔφη χαίρων τὰ σὰ ποίμνια, καὶ σέο χώρην
Δέρκεο τὴν χαλκῷ μηκέτι τεμνομένην.
Αἴσιον εὑρήσεις τὸ ἐπαύλιον· ἐνθάδε γάρ σοι
Ἠχὼ τερπομένη καὶ γάμον ἐκτελέσει.

Eiusdem. 8.

Semine carens Pan collibus gaudens hæc Stratonicus arator
Pro beneficio posuit tibi fana.

Pasce verò dixit lætus tua armenta,& tuum fundum
Vide aratro nondùm proſciſſum.
Fauſtam inuenies villam Hic enim tibi
Echo delectata,& nuptias perficiet.

ΦΙΛΙΠΠΟΥ.

Σπερμοφέρον πήρην ὠμαχθέα, κὠλεσίβωλον
Σφῦραν, καὶ γαμψὰς πυρολόγους δρεπάνας,
Καὶ τριβόλους ὀξεῖς ἀχυρότριβας, ἱστοβόην τε
Σὺν γυροῖς ἀρότροις, καὶ φιλόγαιον ὕνιν,
Κέντρα τ' ὀπισθονυγῆ, καὶ βούστροφα δεσμὰ τενόντων,
Καὶ τρίνακας ξυλίνας χεῖρας ἀρουροπόνου,
Γυῖα πεπηρωθεὶς Λεσίξενος αὔλακι πολλῇ
Ἐκρέμασεν Δηοῖ τῇ σταχυοστεφέϊ.

PHILIPPI. 9.

Semen ferentem,peram humeros onerantē,glebas perdētem
Malleum,& curuas triticum metentes falces,
Et trigonâ formâ machinas acutas paleâ terentes, temonémq;
Cum curuis aratris,& terram amantem vomerem,
Et ſtimulos à tergo pungētes,& boues cōuertentia vincula cer-
Et tridentes ligneas manus ruſtici, uicum,
Membra imminutus Lyſixenus ſulco multo
Suſpendit Cereri ſpicis ornatæ.

ΛΕΩΝΙΔΟΥ.

Αγρονόμῳ τάδε Πανὶ καὶ εὐαστῆρι Λυαίῳ
Πρέσβυς καὶ Νύμφαις Ἀρκὰς ἔθηκε Βίτων
Πανὶ μὲν, ἀρτίτοκον χίμαρον συμπαίστορα μητρὸς,
Κισσοῦ δὲ Βρομίῳ κλῶνα πολυπλανέος·
Νύμφαις δὲ, σκιερῆς θ' ποίκιλον ἄνθος ὀπώρης,
Φύλλα τε πέπλα ἰδέων αἱματόεντα ῥόδων.
Ἀνθ' ὧν εὔυδροι Νύμφαι τόδε δῶμα γέροντος
Αὔξετε, Πὰν, γλαγερόν· Βάκχε, πολυστάφυλον.

LEONIDÆ. 10.

Ruſtico Pani & Euio Euxo

Senex & Nymphis Arcas posuit Biton:
Pani quidem recens editum hœdum collusorem matris,
Hederæ verò Bromio ramum variè errantis:
Nymphis verò vmbrosi varium florem auctumni,
Foliáque volantium purpurea rosarum.
Pro quibus irriguum Nymphæ hoc corpus senis
Augete, Pan, lacte abundans: Bacche, multis vuis.

ΣΑΒΙΝΟΥ.

Πανὶ Βίτων χίμαιρον, Νύμφαις ῥόδα, θύρσα Λυαίῳ,
Τερπνὸν ὑπ' εὐπετάλοις δῶρον ἔθηκε φίλαις.
Δαίμονες ἀλλὰ δέχοισθε κεχαρμένοι. αὔξετε δ' αἰεὶ,
Πὰν, ἀγέλην· Νύμφαι, πίδακα· Βάκχε, γάνος.

SABINI. II.

Pani Biton hœdum, Nymphis rosam, thyrsum Baccho,
Triplex sub bene florentibus munus posuit frondibus.
Dei vero accipite læti: Augete verò semper,
Pan gregem, Nymphæ fontem, Bacche lætitiam.

ΓΕΤΟΥΛΙΚΟΥ.

Δέξεο τιμήεσσα Κυθηρειὰς ὑμνοπόλοιο
Αἶψα τάδε κλυτοῦ δῶρα Λεωνίδεω,
Πεντάδα τῆς σταφυλῆς εὐρώγεα, καὶ μελιηδὲς
Πρώϊον εὐφύλλων σῦκον ἀπ' ἀκρεμόνων,
Καὶ ταύτην ἀπέτηλον ἁλινήκτειραν ἐλαίην,
Καὶ ψαιστῶν ὀλίγων δράγμα πενιχραλέον,
Καὶ σταγόνα σπονδῖτιν ἀεὶ θυέεσσιν ὀπηδὸν,
Τῆς κύλικος βωμῷ πυθμένι κευθομένην.
Εἰ δ' ὡς μευ βαρύγυιον ἀπώσαο νοῦσον, ἐλάσσεις
Καὶ πενίην, δώσω πιαλέον χίμαρον.

GETVLICI. II.

Accipe Venus veneranda Poëtæ
Statim hęc inclyti munera Leonidæ,
Quinque vuas bene acinatas, & melleum
Primum frondosorum ficum ramorum,

Et hanc sine foliis in sale natantem oliuam,
Et liborum vino & oleo subactorum paruorum munus pau-
Et fusum libatorem semper victimas sequentem, (perculum,
Calicis fracto fundo impositum.
Si v. vt meum membris grauem sustulisti morbum, impellis
Et paupertatem, donabo pinguem hœdum.

ΚΟΡΝΗΛΙΟΥ ΛΟΓΓΙΝΟΥ.

Ἐκ πενίης (ὡς οἶσθα) ἀχραιφνέος, ἀλλὰ δικαίης,
Κύπρις ταῦτα δέχου δῶρα Λεωνίδεω,
Πορφυρέην ταύτην ἐπιφυλλίδα, τὴν δ' ἀείπαστον
Δρύππα, καὶ ψαιστῶν τὴν νομίμην θυσίην,
Σπονδὴν τὴν ἀσάλευτον ἀφύλιστα, καὶ τὰ μελιχρὰ
Σῦκα. σὺ δ' ὡς νόσου, ῥύεο καὶ πενίης·
Καὶ τότε βουθυτέοντά μ' ἐσόψεαι. ἀλλὰ σὺ δαῖμον
Σπεύδοις ἀντιλαβεῖν τὴν ἀπ' ἐμεῦ χάριτα.

CORNELII LONGINI. 13.

Ex paupertate (vt nouisti) illæsâ, sed iustâ
Venus hæc accipe munera Leonidæ,
Purpureum hunc botrunculum, & sale aspersam
Oliuam. & libi legitimam oblationem.
Libamentum nemini tactum fæce expurgaui, & nigras
Ficus. tu verò vt à morbo, libera & à paupertate:
Et tunc boues sacrificantem me videbis. Sed tu Deus,
Festina accipere à me hanc gratiam.

ΑΔΔΑΙΟΥ Μακεδόνος.

Αὔλακι καὶ γήρᾳ τετρυμμένον ἐργατίνην βοῦν
Ἕλκων, οὐ φονίην ἤγαγε πρὸς κοπίδα,
Αἰδεσθεὶς ἔργων· ὁ δέ που βαθέῃ ἐνὶ ποίῃ
Μυκηθμοῖς ἀρότου τέρπετ' ἐλευθερίῃ.

ADDÆI Macedonis. 14.

Sulco & senectute attritum operatorem bouem
Trahens, non mortiferum duxit ad gladium,
Reueritus eius opera: hic verò densa in herbâ
Mugiens aratri delectatur libertate.

ΑΠΟ ΓΥΝΑΙΚΩΝ, κεφ. η.

ΠΛΑΤΩΝΟΣ.

Ἡ σοβαρὸν γελάσασα καθ᾽ Ἑλλάδος, ἡ τὸν ἐρώντων
  Ἑσμὸν ἐπὶ προθύροις Λαῒς ἔχουσα νέων,
Τῇ Παφίῃ τὸ κάτοπτρον. ἐπεὶ τοίη μὲν ὁρᾶσθαι
  Οὐκ ἐθέλω· οἵη δ᾽ ἦν πάρος, οὐ δύναμαι.

DE MVLIERIBVS, Cap. VIII.

PLATONIS. 1.

Insolenter ridens Græciam, amatorum
  Multitudinem in vestibulo Lais habens iuuenum,
Veneri speculum. Cùm talis quidem videri
  Non volo, qualis verò eram prius, non possum.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων Αἰγυπτίου, εἰς τὴν αὐτήν.

Λαῒς ἀμαλδυνθεῖσα χρόνῳ περικαλλέα μορφήν,
  Γηραλέων στυγέει μάρτυρα ῥυτίδων.
Ἔνθεν πικρὸν ἔλεγχον ἀπεχθήρασα κατόπτρου,
  Ἄνθετο δεσποίνῃ τῆς πάρος ἀγλαΐης.
Ἀλλὰ σύ μοι Κυθέρεια δέχου νεότητος ἑταῖρον
  Δίσκον, ἐπεὶ μορφὴ σὴ χρόνον οὐ τρομέει.

IVLIANI Principum Ægypti in eandem. 2.

Laïs cùm perdidisset tempore pulchram formam,
  Senectutem odit testem rugarum.
Vnde triste indicium odio habens speculum,
  Posuit dominæ prioris pulchritudinis.
Sed tu mihi Venus accipe iuuentutis socium
  Speculum, cùm forma tua tempus non formidet.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Κάλλος μὲν Κυθέρεια χαρίζεται· ἀλλὰ μαραίνει
  Ὁ χρόνος ἑρπύζων τὴν βασίλειαν χάριν.
Δῶρυ δ᾽ ὑμετέροιο παραπλαμβάνει με, Κυθείρη

Δέχνυσο καὶ δώρου πότνια μαρτυρίην.

Eiusdem in idem. 3.

Pulchritudinem tu Venus præbes. Sed arefecit
Tempus accedens tuam, regina, gratiam.
Munere vestro relinquente me, Venus
Accipe & muneris, diua, indicium.

ΛΟΥΚΙΑΝΟΥ εἰς τὸ αὐτό.

Ἑλλάδα νικήσασαν ὑπέρβιον ἀσπίδα Μήδων,
Λαῒς θῆκεν ἑῷ κάλλεϊ ληϊδίην.
Μούνῳ ἐνικήθη ὑπὸ γήραϊ, καὶ τὸν ἔλεγχον
Ἄνθετο σοὶ Παφίη τὸν νεότητι φίλον.
Ἧς γὰρ ἰδεῖν στυγέει πολιῆς πανδηλέα μορφήν,
Τῆσδε συνεχθαίρει καὶ σκιόεντα τύπον.

LVCIANI in idem. 4.

Græciam vincentem violentum scutum Medorum,
Lais posuit suæ pulchritudini prædam.
Sola victa est à senectute, & arguentem
Posuit tibi Paphia, iuuenili ætate gratum.
Cuius enim videre odit canitiei veram formam,
Illius vnà odit & vmbrosam imaginem.

ΑΝΤΙΠΑΤΡΟΥ Σιδωνίου.

Κερκίδα τὴν φιλαοιδὸν Ἀθηναίῃ θέτο Βιττὼ
Ἄνθεμα, λιμηρῆς ἄρμενον ἐργασίης.
Εἶπε δὲ, χαῖρε θεὰ, καὶ τήνδ' ἔχε. χήρη ἐγὼ γὰρ,
Τέσσαρας εἰς ἐτέων ἐρχομένη δεκάδας.
Ἀρνεῦμαι τὰ σὰ δῶρα· τὰ δ' ἔμπαλι, Κύπριδος ἔργων
Ἅπτομαι. ὥρης γὰρ κρέσσον ὁρῶ τὸ θέλειν.

ANTIPATRI Sidonij. 5.

Plectrum cantu gaudens Mineruæ posuit Bitto
Donarium, familiæ idoneum instrumentum.
Dixit verò, vale Dea, & hoc habe. Vidua ego enim,
Quatuor in annorum cùm veni decades.
Recuso tua munera. Hæc verò rursus Cypridis operum

Tango, ætate meliorem video voluntatem.

Ἀδέσποτον εἰς τὸ αὐτό.

Κερκίδα τὴν φιλεργὸν Ἀθηναίῃ θέτο Βιττὼ
    Ἄνθεμα, λιμηρῆς ἅρμενον ἐργασίης,
Πάντας ἀποστύξασα γυνὴ τότε τοὺς ἐν ἐρίθοις
    Μόχθους, καὶ στυγερὰς φροντίδας ἱστοπόνων.
Εἶπε δ' Ἀθηναίῃ, τῶν Κύπριδος ἅψομαι ἔργων,
    Τὴν Πάριδος κατὰ σοῦ ψῆφον ἐνεγκαμένη.

Incerti in idem. 6.

Radium laboriosum Mineruæ posuit Bitto
    Donarium, famelicæ instrumentum operationis,
Omnes detestata mulier in lanificio,
    Labores, & odiosas curas telâ laborantium.
Dixit verò Mineruæ, Veneris tango opera,
    Paridis contra te suffragium comprobans.

ΠΑΥΛΟΥ Σιλεντιαρίου.

Σοὶ τὰ λιποστεφάνων διατίλματα μυρία φύλλων,
    Σοὶ τὰ νοοπλήκτου πλαστὰ κύπελλα μέθης,
Βόστρυχα σοὶ τὰ μύροισι δεδευμένα, τῇδε κονίῃ
    Σκῦλα ποθοβλήτου κεῖται Ἀναξαγόρεω.
Σοὶ τάδε Λαῒς ἅπαντα. παρὰ προθύροισι γὰρ ὁ δειλὸς
    Τοῖσδε σὺν ἀκρήβαις πολλάκι παννυχίσας,
Οὐκ ἔπος, οὐ χαρίεσσαν ὑπόσχεσιν, οὐδὲ μελιχρῆς
    Ἐλπίδος ὑβριστὴν μῦθον ἐπεσπάσατο·
(Φεῦ, φεῦ) γυιοτακὴς δὲ λιπὼν τάδε σύμβολα κώμων,
    Μέμφεται ἀστρέπτῳ κάλλεϊ θηλυτέρης.

PAVLI Silentiarii. 7.

Tibi hæc coronas relinquentium euulsiones mille foliorum,
    Tibi hæc animum pungentis formata pocula ebrietatis,
Crines tibi vnguentis madidos, & in hoc puluere
    Spolia amore perculsi reponuntur Anaxagoræ.
Tibi hæc Laïs omnia. In vestibulo enim miser

Hoc

His cum adolescentibus sæpius pernoctans,
Non verbum, non gratiosam pollicitationem, neque dulcis
Spei iniuriosum sermonem ex me extorsit:
Her hei! mébris v. tabefactus relinquens hæc symbola lasciuię.
Reprehendit inflexibili pulchritudine mulierum.

Ἀδέσποτον.

Ἡ πρὶν αὐχήσασα πολυχρύσοις ἐπ᾽ ἐρασταῖς,
Ἡ Νέμεσιν δεινὴν οὐχὶ κύσασα θεόν,
Μίσθια νῦν σπαθίοις πενιχροῖς πηνίσματα κρούει.
Ὀψὲ δ᾽ Ἀθηναίη Κύπριν ἐληίσατο.

Incerti. 8.

Quæ prius superba aureos ob amatores,
Quæ Nemesin grauem nunquam est reuerita deam,
Conducta iã textoriis instrumentis pauperculis stamina pulsat.
Serò sanè Minerua Venerem prædata est.

ΝΙΚΑΡΧΟΥ.

Ἡ πρὶν Ἀθηναίης ἀπὸ κερκίσι καὶ τὰ καθ᾽ ἱστῶν
Νήματα Νικαρέτη πολλὰ μιτωσαμένη,
Κύπριδι τὸν κάλαθόν τε, τὰ πηνία, καὶ τὰ σὺν αὐτοῖς
Ἄρμεν᾽, ἐπὶ προθύροις πάντα πυρῆς ἔθετο,
Ἔρρετε (φωνήσασα) κακῶν λιμηρὰ γυναικῶν
Ἔργα, νέων τήκειν ἄνθος ἐπιστάμενα.
Εἵλετο δὲ στεφάνους καὶ πηκτίδα, καὶ μετὰ κώμων
Ἡ παῖς τερπνὸν ἔχειν ἐν θαλίαις βίοτον.
Εἶπε δὲ πάντως σοι δεκάτην ἀπὸ λήμματος οἴσω
Κύπρι· σὺ δ᾽ ἐργασίην καὶ λάβε καὶ μετάδος.

NICARCHI. 9.

Quæ prius Mineruæ radiis, & ad stamina
Fila Nicarete multa licia tendens,
Cypridi calathum, & fusum, & cum ipsis
Conuenientia, in vestibulo omnia ianuæ posuit.
Perite, clamans, miserarum esurialia mulierum
Opera, iuniorum tabefacere florem docta,

Accepit verò, coronam & plectrum & cum comessationibus
Puella, suauem habere in conuiuiis vitam.
Dixit verò omnem tibi decimam accepti quæstus feram
Venus. Tu verò lucrum & accipe, & redde.

ΑΡΧΙΟΥ.

Αἱ τρισσαί, Σατύρη τε καὶ Ἡράκλεια καὶ Εὐφρώ,
Θυγατέρες Ξούθου καὶ Μελίτης, Σάμιαι·
Ἁ μέν, ἀραχναίοιο μίτου πολυδίνεα λάτριν
Ἄτρακτον δολιχᾶς οὐκ ἄτερ ἀλακάτας·
Ἁ δέ, πολυσπαθέων μελεδήμονα κερκίδα πέπλων,
Εὔθροον· ἁ τριτάτα δ' εἰροχαρῆ τάλαρον,
Οἷς ἔσχον χερὶ πάντα βίον δηναιὸν Ἀθάνα
Πότνια, ταῦθ' αἱ σαὶ σοὶ θέσαν ἐργάτιδες.

ARCHII. 10.

Tres Satvra, & Heraclea, & Euphro
Filiæ Xuthi & Melites, Samiæ,
Hæc quidem tenuis fili multum circumactum cultum
Fusum longo non sine colo.
Hæc v. textorio instrumento densatarum exercentem radiū ve-
Sonorum. Tertia lanâ gaudentem qualum: (stium
Quibus habuit manu nens victum longæuum Minerua,
Diua, hæc tuæ tibi posuere operariæ.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Τῇ Παφίῃ στεφάνους, τῇ Παλλάδι τὴν πλοκαμῖδα,
Ἀρτέμιδι ζώνην ἄνθετο Καλλιρόη.
Εὕρετο γὰρ μνηστῆρα τὸν ἤθελε, καὶ λάχεν ἥβην
Σώφρονα, καὶ τεκέων ἄρσεν ἔτικτε γένος.

AGATHII Scholastici.

Paphiæ coronas, & Palladi comam,
Artemidi Zonam posuit Callirhoë:
Inuenit verò procum quem volebat, & consecuta est ætatem
Prudentem, & liberorum masculum genuit genus.

ΠΑΛΛΑΔΑ.

Ἀντὶ βοὸς χρυσέου τ' ἀναθήματος Ἴσιδι τούσδε
 Θήκατο τοὺς λιπαροὺς Παμφίλιον πλοκάμους.
Ἡ δὲ θεὸς τούτοις γάνυται πλέον ἤπερ Ἀπόλλων
 Χρυσῷ, ὃν Λυδὸς Κροῖσος ἔπεμπε θεῷ.

PALLADÆ. 12.

Pro boue, aureóque donario Chrysidi hos
 Posuit pingues Pamphilion capillos,
Hæc verò dea his gaudet magis quàm Apollo
 Auro, quod Lydus Crœsus misit deo.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ὦ ξυρὸν οὐράνιον, ξυρὸν ὄλβιον, ᾧ πλοκαμῖδας
 Κειραμένη πλεκτὰς θήκατο Παμφίλιον,
Οὔ σέ τις ἀνθρώπων χαλκεύσατο· πὰρ δὲ καμίνῳ
 Ἡφαίστου, χρυσέην σφῦραν ἀειραμένη,
Ἡ λιπαροκρήδεμνος (ἵν' εἴπωμεν καθ' Ὅμηρον)
 Χερσί σε ταῖς ἰδίαις ἐξεπόνησε χάρις.

Eiusdem in idem. 13.

Cui nouaculam cælestem, nouaculam felicem, cui capillos
 Detondens plexos posuit Pamphilion,
Neque te hominum quis fabricauit. Ad caminum verò
 Vulcani aureum malleolum attollens,
Decorè comta (vt dicamus iuxta Homerum)
 Manibus te propriis elaborauit gratia.

ΑΝΤΙΠΑΤΡΟΥ Σιδωνίου.

Κερκίδα τὴν ὀρθρινὰ χελιδόνων ἅμα φωνᾷ
 Μελπομέναν, ἱστῶν Παλλάδος ἀλκυόνα,
Τόν τε καρηβαρέοντα πολυρροίβητον ἄτρακτον,
 Κλωστῆρα στρεπτᾶς εὔδρομον ἁρπεδόνας,
Καὶ πήνας, καὶ τόνδε φιληλάκατον καλαθίσκον,
 Στάμονος ἀσκητοῦ καὶ τολύπας φύλακα,
Γαῖς ἀγαθοῦ Τελέσιλλα Διοκλέος, ἁ φιλοεργός,
 Εἰροκόμων κούρα θήκατο δεσπότιδι.

ANTIPATRI Sidonij. 14.

Radium matutina hirundinum cum voce
  Canentem telæ Palladis Halcyonem,
Et capite turbatum sibilantem fusum
  Fusum torti bene currentem fili,
Et telas,& custodientem colum calathum
  Staminis exercitati & lanæ custodem,
Filia boni Telesilla Dioclis, diligens
  Lanam exercens puellæ posuit Dominæ.

Τοῦ αὐτοῦ.

Παλλάδι ταὶ τρισσαὶ θέσαν ἅλικες, ἶσον ἀράχνᾳ
  Τεῦξαι λεπταλέον στήμον' ἐπιστάμεναι.
Δημὼ μὲν ταλαρίσκον εὔπλοκον, Ἀρσινόα δὲ,
  Ἐργάτιν εὐκλώστου νήματος ἠλακάτην·
Κερκίδα δ' εὐποίητον ἀηδόνα τὰν ἐν ἐρίθοις,
  Βακχυλὶς, εὐκρίτους ἃ διέκρινε μίτους.
Ζώειν γὰρ δίχα πάντος ὀνείδεος εἵλεθ' ἑκάστη,
  Ξεῖνε, τῶν ἐκ χειρῶν ἀρνυμένα βίοτον.

Eiusdem. 15.

Palladi tres posuerunt æquales, æqualiter Arachnæ
  Operari tenue stamen scientes,
Demo quidem quasillum bene plexum, Arsinoë verò
  Operatorem bene nexi fili colum:
Radium benefactum philomelam canentem inter lanificas,
  Bacchylis, bene discreta quâ discreuit fila.
Viuere enim sine omni probro appetiit quæque,
  Hospes, ex manibus cupiens victum.

ΦΙΛΙΠΠΟΥ.

Κερκίδας ὀρθρολάλοισι χελιδόσιν εἰκελοφώνους,
  Παλλάδος ἱστοπόνου λειομίτους κάμακας,
Καὶ κτένα κοσμοκόμην, καὶ δακτυλότριπτον ἄτρακτον
  Σφονδυλοδινήτῳ νήματι νηχόμενον,
Καὶ τάλαρον χνοίοισιν ὑφασμένον, οἵ ποτ' ἐόντων

Ἐπλήρευ τολύπῃ πᾶσα καθαιρομένη,
Σοὶ φιλέεργε κόρη Παλλαντιάς, ἡ βαθύγηρως
Αἰσονίη πενίης δῶρον ἀνεκρέμασεν.

PHILIPPI. 16.

Radios mane loquentibus hirundinibus similes,
Palladis tela laborantis lapides stamini appensos tibicines,
Et pectinem comas ornantem, & digitis tritum fusum
Fuso torto filo natantem,
Et quasillum iunco contextum, quem pectine
Impleuit cùm lana iam omnis purgata esset,
Tibi lanificio gaudens Minerua profunda senectute
Ausonia paupertatis munus suspendit.

ΛΕΩΝΙΔΟΥ.

Τῆς πέζης τὰ μὲν ἄκρα τὰ δεξιὰ μέχρι παλαιστῆς,
Καὶ σπιθαμῆς οὔλης, Βίττιον εἰργάσατο·
Θάτερα δ' Ἀντιάνειρα τὰ ἐς στήμονος· ἡ δὲ μεταξὺ
Μαίανδρον, καὶ τὰς παρθενικάς, Βιτίη.
Κούρη καλλίστη Διὸς Ἄρτεμι, τοῦτο δὲ νῆμα
Πρὸς ψυχῆς θείης τὴν τριπόνητον ἔριν.

LEONIDÆ. 17.

Fimbriæ extremitatem dextram vsque ad mensuram palmi
Et integræ spithamæ Bittion fecit.
Reliqua Antianira adaptauit. Interius verò
Flexuosum limbum, & virgunculas, Bitie.
Puella formosissima Iouis Artemi, hoc filum
Ad animum repone, à trib. mulieribus elaboratũ cõtẽtiosè.

ΑΝΤΙΠΑΤΡΟΥ.

Ἄρτεμι, σοὶ ταύτην εὐπάρθενε, πότνα γυναικῶν,
Ταὶ μίαι αἱ τελοσταὶ πέζαν ὑφηνάμεθα·
Καὶ Βιττὴ μὲν τάδε χορείθα λέας κήμε κούρας,
Λοξά τε Μαιάνδρου ῥέεθρα πολυπλανέος·
Ξανθὰ δ' Ἀντιάνειρα ἡ ἄγχοθι μέσσα τὸ κόσμον
Πρὸς λαιᾶ ποταμοῦ κεκλιμένον λαγόνι.

Τὸν δένυ δεξιτεροῖσι νασμοῖς πέλας ἰσοπάλαιστον
    Τοῦτον ἐπὶ σπιθαμῇ Βίτιον ἐλύσατο.

ANTIPATRI. 18.

Artemi, tibi hanc ô bona virgo, diua mulierum
    Vnam tres fimbriam texuimus.
Bitie quidem choro florentes fecit puellas,
    Et obliqua Meandri flumina variè errantis.
Flaua verò Antianira prope molita est concinnum opus
    Ad læuam fluminis incumbens cauitati.
Prope dextrum verò flumen quatuor digitos æquans
    Hoc supra spithamam Bittion absoluit.

ΗΔΥΛΟΥ.

Ἁ μίτρα, τό θ' ἁλουργὲς ὑπένδυμα, τοί τε Λάκωνες
    Πέπλοι, καὶ ληρῶν οἱ χρύσεοι κάλαμοι.
Πάνθ' ἅμα Νικονόη συνεπέκπιεν. ἦν γὰρ ἐρώτων
    Καὶ χαρίτων ἡ παῖς ἀμβρόσιόν τι θάλος.
Τοιγάρ, τῷ κρίναντι τὰ καλλιστεῖα Πριήπῳ
    Νεβρίδα τὴν χρυσέην τήνδ' ἔθετο προχόην.

HEDYLI. 19.

Hæc mitra & hoc violaceum superindumentum, & Lacones
    Vestes, & auratorum vestimentorum aurei calami.
Omnia simul Niconoë abliguriuit. Erat enim amorum
    Et Gratiarum hæc puella ambrosium aliquod germen.
Ob id iudicanti de mulierum præstantia Priapo,
    Pellem, & aureum hunc posuit aqualem.

ΕΡΩΤΙΚΩΝ, κεφ. θ'.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Δαφνιακῶν βίβλων Ἀγαθίου ἐννεάς εἰμι·
    Ἀλλά μ' ὁ τεκτήνας αἴθετο σοὶ Παφίη.
Οὐ γὰρ Πιερίδεσσι τόσον μέλω ὅσσον Ἔρωτι,
    Ὄργια τοσσατίων ἀμφιέπουσα πόθων.
Αἰτεῖ δ' ἀντὶ πόνων, ἵνα οἱ διὰ σεῖο παρείη

Η τινα μὴ φιλέειν, ἢ ταχὺ πειθομένην.

AMATORIORVM, Cap. IX.

AGATHII Scholastici. 1.

Daphniacorum librorum Agathij enneas sum:
  Sed me qui fecit, consecrauit tibi, Venus.
Non enim musis tantum curæ sum, quàm amori
  Orgia tantorum persequens amorum.
Postulat pro laboribus vt per te ipsi adsit
  Aut aliquam non amare, aut statim persuadere.

Τοῦ αὐτοῦ.

Ἀνθετό σοι κορύνην καὶ νεβρίδας ἡμέτερος Πὰν
  Εὔιε, καλλείψας σὸν χορὸν ἐκ Παφίης.
Ηχὼ γὰρ φιλέει, καὶ πλάζεται, ἀλλὰ σὺ Βάκχε
  Ἵλαθι τῷ ξυνὴν ἀμφιέποντι τύχην.

Eiusdem. 2.

Posuit tibi clauam, & ceruinam pellem noster Pan
  Euie, relinquens tuum chorum ob Venerem.
Echo enim amat, & errat, sed tu Bacche,
  Esto propicius illi, qui sectatur communem amanti artem.

ΑΝΤΙΦΑΝΟΥΣ.

Αὐτή σοι Κυθέρεια τὸν ἱμερόεντ' ἀπὸ μαστῶν
  Ἰνὼ λυσαμένη κεστὸν ἔδωκεν ἔχειν,
Ὡς ἂν θελξινόοισιν ἀεὶ φίλτροισι δαμάζῃς
  Ἀνέρας, ἐχρήσω δ' εἰς ἐμὲ πᾶσι μόνον.

ANTIPHANIS. 3.

Ipsa tibi Venus desiderabilem à mamillis
  Ino lota cestum habere dedit,
Vt animum mulcentibus semper amoribus domes
  Viros. Vtere verò in meum commodum omnibus solùm.

Ἄδηλον.

Φρύνη τὸν πτερόεντα, τὸν ἀντίτεχνον ἔρωτα,
  Μισθὸν ὑπὲρ τέχνων αὖτε τὸ θεσπιάδαι.

Κύπριδος ἡ τέχνη ζηλούμενον, οὐκ ἐπιμεμφὲς
  Δῶρον ἐς ἀμφοτέροις δ' ἔπρεπε μισθὸς ἔρως.
Δοιῆς ἐκ τέχνης αἰνέω βροτὸν, ὅς γε καὶ ἄλλοις
  Δοὺς, θεὸν ἐν σπλάγχνοις εἶχε τελειότερον.

Incerti. 4.

Phryne volantem, & arte factum bene amorem
  Mercedem pro liberis posuit Thespiadibus.
Veneris hæc ars, æmulans, non repræhendens
  Munus. Vtrósque verò decet precium amor.
Duplici ex arte laudo hominem, qui & aliis
  Dans, deum in pectore habuit perfectiorem.

ΕΥΧΩΝ, κεφ. ιζ

ΦΙΛΙΠΠΟΥ.

Ζηνὸς καὶ Λητοῦς θηροσκόπε τοξότι κούρη
  Ἄρτεμι, ἣ θαλάμους οὐρέων ἔλαχες,
Νοῦσον τὴν στυγερὴν αὐθημερὸν ἐκ βασιλῆος
  Ἐσθλοτάτου πέμψαις ἄχρις Ὑπερβορέων.
Σοὶ γὰρ ὑπὲρ βωμῶν, ἀτμὸν λιβάνοιο Φίλιππος
  Ῥέξει καλλιθύτων ταῦρον ὀρειονόμον.

PRECVM, Cap. X.

PHILIPPI. 1.

Iouis & Latonæ feras speculans sagittifera puella
  Artemis, quæ thalamos montium sortita es,
Morbum horribilem hoc ipso die à rege
  Optimo mittas vsque ad Hyperboreos.
Tibi enim super aris fumum libani Philippus
  Sacrificabit auspicatis, taurum in montibus pastum.

ΔΙΟΔΩΡΟΥ.

Ἡ τε Σάμου μεδέουσα καὶ ἣ λάχες Ἴμβρασον Ἥρη,
  Δέξο γενεθλιδίους πότνια θυηπολίας.

Μ'χων

Μόσχων ἱερὰ ταῦτα, τά σοι πολὺ φίλτατα πάντων
  Ἴσμεν ὅσοι μακάρων θεσμὸν ἐπιστάμεθα.
Εὔχετ' ἐπισπένδων τάδε Μάξιμος· ἣ δ' ἐπένευσεν
  Ἔμπεδα· μοιράων δ' οὐκ ἐμέγηρε λίνα.

DIODORI. 2.

Sami domina, & quæ tenes Imbrasum Iuno,
  Accipe de meo natali, diua, sacrificia.
Vitulorum sacra hæc, quæ tibi gratissima omnium
  Scimus quotquot Deorum leges nouimus.
Precatur sacrificans hæc Maximus: hæc verò annuit
  Firmiter. Fatorum verò non inuiderunt fila.

ΑΝΤΙΠΑΤΡΟΥ.

Λαμπάδα κηροχίτωνα, Κρόνου τυφήρεα λύχνον,
  Σχοίνῳ καὶ λεπτῇ σφιγγόμενον παπύρῳ,
Ἀντίπατρος Πείσωνι φέρει γέρας· ἢν δέ μ' ἀνάψας
  Εὔξηται, λάμψω φέγγος ἀκουσόθεον.

ANTIPATRI. 3.

Lychnum ceream tunicã habentẽ, Saturni fumigantẽ lychnũ,
  Iunco & tenui constrictum papyro,
Antipater Pisoni fert munus. Si verò me accendens
  Oret, lucebo lucem ad Dei aures peruenientem.

ΘΗΡΩΝ, κεφ. ιαʹ

ΑΝΤΙΠΑΤΡΟΥ.

Ἔκ ποτέ τις φρικτοῖο θεῆς σεσοβημένος οἴστρῳ,
  Ῥομβητοῖς δονέων λυσσομανεῖς πλοκάμους,
Θηλυχίτων, ἀσκητὸς εὐσπειρέεσσι κορύμβοις,
  Ἁβρῶν τε στρεπτῶν ἅμματι κεκρυφάλων,
Ἴδρις ἀνὴρ, κοιλῶπιν ἐρημάδα δύσατο πέτρην,
  Ζηνὸς ἐλαστρηθεὶς χιονοπαγεῖ νιφάδι.
Τῷ δὲ καὶ ἀρρίγητος ἐπένθορε ταυροφόνος θήρ,
  Ἐς [illegible] ἑὸν παρεμολὼν φωλεὸν ἑσπέριος.

Ἀθρήσας δ' ἐς φῶτα, καὶ ἀτρήτοισιν ἀϋτμὴν
    Μυκτῆρσι βροτέας σαρκὸς ἐρυσσάμενος,
Ἔστη μὲν βαρέοισιν ἐπ' ἴχνεσιν. ὄμμα δ' ἑλίξας,
    Βρυχᾶτο σφεδανῶν ἔβριμον ἐκ γενύων.
Ἀμφὶ δὲ τῷ σμαραγεῖ μὲν ἐναυλιστήριον ἄντρον,
    Ἀχεῖ δ' ὑλάεις ἀγχινεφὴς σκόπελος.
Αὐτὰρ ὃ θαμβήσας φθόγγον βαρύν, ἐκ μὲν ἅπαντα
    Ἐν στέρνοις ἐάγη θυμὸν ὀρινόμενον·
Ἀλλ' ἔμπας ἐείμυκον ἀπὸ στομάτων ὀλολυγὰν
    Ἧκεν, ἐδίνησεν δ' εὐστροφάλιγγα κόμαν·
Χειρὶ δ' ἀνασχόμενος μέγα τύμπανον, ἐπλατάγησεν,
    Δινωτὸν Ῥείας ὅπλον Ὀλυμπιάδος,
Τὸ ζωᾶς ἐπαρωγόν. ἀήθεα γὰρ τότε βύρσης
    Ταυρείου κενεὸν δοῦπον ἔδεισε λέων·
Ἐκ δὲ φυγὰν ὤρουσεν. ἴδ' ὡς ἐδίδαξεν ἀνάγκα
    Πάνσοφος ἐξευρεῖν ἔκλυσιν Ἀΐδεω.

FERARVM, Cap. XI.

ANTIPATRI. I.

Quondam aliquis formidabilis deæ concitatus œſtro
    Verſatiles verſans rabie inſanos capillos.
Muliebri veſte, aſſuctus ſpiras pulchras colligentib. corymbis
    Mollis, flexibiliſque vinculo reticuli,
Prudens vir cauam aſpectu montanam ingreſſus eſt petram,
    Iouis impulſus firmiter compactâ niue.
Huic minimè frigens incurrebat boues occidens fera,
    In ſuam progreſſa ſpeluncam veſperi.
Intuens verò hominem, & bene perforatis odorem
    Naribus humanæ carnis trahens,
Stetit quidem grandibus in veſtigiis. Oculum verò torquens,
    Fremebat lethifero toto niſu ex ore.
Circum verò reſonat quidem ſtabulare antrum,
    Reſonat & ſyluoſus nubibus propinquus ſcopulus,

Verùm hic formidans grauem rugitum, in quidem omnem
Pectore fregit animum commotum:
Sed tum valde mugientem ex ore vlulatum
Emisit, commouit verò bene versatilem comam:
Manu verò corripiens magnum tympanum pulsauit,
Tornata Rheæ arma cælestis,
Vitæ auxiliatricia. Insuetum enim corij
Bubuli vanum sonitum formidauit leo:
Effugiens verò prosiliit. Vide quomodo docuit necessitas
Sapientissima inuenire liberationem mortis.

Εἰς τὸ αὐτό.

Πυρσοῦ τοῦτο λέοντος ἀπεφλοιώσατο δέρμα
Σῶσος, ὁ βουπαλίων δουρὶ φονευσάμενος.
Ἄρτι κατατρύχοντα *
Οὐδ' ἵκετ' ἐκ μάνδρας αὖθις ἐπὶ ξυλόχους.
Μοσχείου δ' ἀπέτισεν ὁ θὴρ ἀνθ' αἵματος αἷμα,
Βληθείς· ἀλγεινὰν δ' εἶχε βοοκτασίαν.

In idem. 2.

Rufi hoc leonis deglupsit corium
Sosus, pastor boum hasta occidens.
Paullo ante mugientem * *
Neque venit è stabulo amplius ad syluas.
Vituli verò luit fera pro sanguine sanguinem,
Occisus: grauem verò habuit bouis occisionem.

ΓΑΙΤΟΥ.

Παῖδα πατὴρ Ἄλκων ὀλοῷ σφιγχθέντα δράκοντι
Ἀθρήσας, δειλῇ τόξον ἔκαμψε χερί.
Θηρὸς δ' οὐκ ἀφάμαρτε· διὰ στόματος γὰρ ὀϊστὸς
Ἤιξεν, τυτθοῦ βαιὸν ὕπερθε βρέφους.
Παυσάμενος δὲ φόνοιο, παρὰ δρυῒ τῇδε φαρέτρην
Σῆμα καὶ εὐτυχίης θῆκε καὶ εὐστοχίης.

GÆTÆ. 3.

Puerum pater Alco pernicioso constrictum dracone

ΑΠΟ ΓΥΝΑΙΚΩΝ, κεφ. η'.

ΠΛΑΤΩΝΟΣ.

Ἡ σοβαρὸν γελάσασα καθ' Ἑλλάδος, ἡ ποτ' ἐρώντων
 Ἑσμὸν ἐπὶ προθύροις Λαῒς ἔχουσα νέων,
Τῇ Παφίῃ τὸ κάτοπτρον. ἐπεὶ τοίη μὲν ὁρᾶσθαι
 Οὐκ ἐθέλω· οἵη δ' ἦν πάρος, οὐ δύναμαι.

DE MVLIERIBVS, Cap. VIII.

PLATONIS. 1.

Insolenter ridens Græciam, amatorum
 Multitudinem in vestibulo Lais habens iuuenum,
Veneri speculum. Cùm talis quidem videri
 Non volo, qualis verò eram prius, non possum.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων Αἰγυπτίου, εἰς τὴν αὐτήν.

Λαῒς ἀμαλδυνθεῖσα χρόνῳ περικαλλέα μορφὴν,
 Γηραλέων στυγέει μάρτυρα ῥυτίδων.
Ἔνθεν πικρὸν ἔλεγχον ἀπεχθήρασα κατόπτρου,
 Ἄνθετο δεσποίνῃ τῆς πάρος ἀγλαΐης.
Ἀλλὰ σύ μοι Κυθέρεια δέχου νεότητος ἑταῖρον
 Δίσκον, ἐπεὶ μορφὴ σὴ χρόνον οὐ τρομέει.

IVLIANI Principum Ægypti in eandem. 2.
Laïs cùm perdidisset tempore pulchram formam,
 Senectutem odit testem rugarum.
Vnde triste indicium odio habens speculum,
 Posuit dominæ prioris pulchritudinis.
Sed tu mihi Venus accipe iuuentutis socium
 Speculum, cùm forma tua tempus non formidet.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Κάλλος μὲν Κυθέρεια χαρίζεται· ἀλλὰ μαραίνει
 Ὁ χρόνος ἑρπύζων τὴν βασίλεια χάριν.
Δῶρυ δ' ὑμετέροιο παραπλαμένου με, Κυθείρη

Δέχνυσο καὶ δώρου πότνια μαρτυρίην.

Eiusdem in idem. 3.

Pulchritudinem tu Venus præbes. Sed arefecit
  Tempus accedens tuam, regina, gratiam.
Munere vestro relinquente me, Venus
  Accipe & muneris, diua, indicium.

ΛΟΥΚΙΑΝΟΥ εἰς τὸ αὐτό.

Ἑλλάδα νικήσασαν ὑπέρβιον ἀσπίδα Μήδων,
  Λαῒς ἔθηκεν ἑῷ κάλλει ληΐδιην.
Μούνῳ ἐνικήθη ὑπὸ γήραϊ, καὶ τὸν ἔλεγχον
  Ἀνθετό σοι Παφίη τὸν νεότητι φίλον.
Ἧς γὰρ ἰδεῖν στυγέει πολιῆς παναληθέα μορφήν,
  Τῆσδε συνεχθαίρει καὶ σκιόεντα τύπον.

LVCIANI in idem. 4.

Græciam vincentem violentum scutum Medorum,
  Lais posuit suæ pulchritudini prædam.
Sola victa est à senectute, & arguentem
  Posuit tibi Paphia, iuuenili ætate gratum.
Cuius enim videre odit canitiei veram formam,
  Illius vnà odit & vmbrosam imaginem.

ΑΝΤΙΠΑΤΡΟΥ Σιδωνίου.

Κερκίδα τὴν φιλαοιδὸν Ἀθηναίῃ θέτο Βιττὼ
  Ἄνθεμα, λιμηρῆς ἅρμενον ἐργασίης.
Εἶπε δέ, χαῖρε θεά, καὶ τήνδ' ἔχε. χήρη ἐγὼ γὰρ,
  Τέσσαρας εἰς ἐτέων ἐρχομένη δεκάδας.
Ἀρνεῦμαι τὰ σὰ δῶρα· τὰ δ' ἔμπαλι, Κύπριδος ἔργων
  Ἅπτομαι. ὥρης γὰρ κρέσσον ὁρῶ τὸ θέλειν.

ANTIPATRI Sidonij. 5.

Plectrum cantu gaudens Mineruæ posuit Bitto
  Donarium, familiæ idoneum instrumentum.
Dixit verò, vale Dea, & hoc habe. Vidua ego enim,
  Quatuor in annorum cùm veni decades.
Recuso tua munera. Hæc verò rursus Cypridis operum

Tango, ætate meliorem video voluntatem.

Ἀδέσποτον εἰς τὸ αὐτό.

Κερκίδα τὴν φιλεργὸν Ἀθηναίῃ θέτο Βιττὼ
Ἄνθεμα, λιμηρῆς ἄρμενον ἐργασίης,
Πάσας ἀποστύξασα γυνὴ τότε τὰς ἐν ἐρίθοις
Μόχθους, καὶ στυγερὰς φροντίδας ἱστοπόνων.
Εἶπε δ' Ἀθηναίῃ, τῶν Κύπριδος ἅψομαι ἔργων,
Τὴν Πάριδος κατὰ σοῦ ψῆφον ἐνεγκαμένη.

Incerti in idem. 6.

Radium laboriosum Mineruæ posuit Bitto
Donarium, famelicæ instrumentum operationis,
Omnes detestata mulier in lanificio,
Labores, & odiosas curas telâ laborantium.
Dixit verò Mineruæ, Veneris tango opera,
Paridis contra te suffragium comprobans.

ΠΑΥΛΟΥ Σιλεντιαρίου.

Σοὶ τὰ λιποστεφάνων διατίλματα μυρία φύλλων,
Σοὶ τὰ νοοπλήκτου πλαστὰ κύπελλα μέθης,
Βόστρυχα σοὶ τὰ μύροισι δεδευμένα, τῇδε κονίῃ
Σκῦλα ποθοβλήτου κεῖται Ἀναξαγόρεω.
Σοὶ τάδε Λαῒς ἄπαντα. τοῖσδ' ἐπὶ προθύροις γὰρ ὁ δειλός
Τοῖσδε σὺν ἀγρύπνοις πολλάκι παννυχίσιν,
Οὐκ ἔπος, οὐ χαρίεσσαν ὑπόσχεσιν, οὐδὲ μελιχρῆς
Ἐλπίδος ὑβριστὴν μῦθον ἐπεσπάσατο·
(Φεῦ, φεῦ) γυιοτακὴς δὲ λιπὼν τάδε σύμβολα κώμων,
Μέμφεται ἀστρέπτῳ κάλλει θηλυτέρων.

PAVLI Silentiarii. 7.

Tibi hæc coronas relinquentium euulsiones mille foliorum,
Tibi hæc animum pungentis formata pocula ebrietatis,
Crines tibi vnguentis madidos, & in hoc puluere
Spolia amore perculsi reponuntur Anaxagoræ.
Tibi hæc Laïs omnia. In vestibulo enim miser

Hoc

His cum adolescentibus sæpius pernoctans,
Non verbum, non gratiosam pollicitationem, neque dulcis
Spei iniuriosum sermonem ex me extorsit:
Hei hei! mẽbris v. tabefactus relinquens hæc symbola lasciuię.
Reprehendit inflexibili pulchritudine mulierum.

Ἀδέσποτον.

Ἡ πρὶν ἀγήσασα πολυχρύσοις ἐπ᾽ ἐρασταῖς,
Ἡ Νέμεσιν δεινὴν οὐχὶ κύσασα θεὸν,
Μίσθια νῦν σπαθίοις πενιχροῖς πηνίσματα κρούει.
Ὀψέ γ᾽ Ἀθηναίη Κύπριν ἐληίσατο.

Incerti. 8.

Quæ prius superba aureos ob amatores,
Quæ Nemesin grauem nunquam est reuerita deam,
Conducta iã textoriis instrumentis pauperculis stamina pulsat.
Serò sanè Minerua Venerem prædata est.

ΝΙΚΑΡΧΟΥ.

Ἡ πρὶν Ἀθηναίης ὑπὸ κερκίσι καὶ τὰ καθ᾽ ἱστῶν
Νήματα Νικαρέτη πολλὰ μιτωσαμένη,
Κύπριδι τὸν κάλαθόν τε, τὰ πηνία, καὶ τὰ σὺν αὐτοῖς
Ἄρμεν᾽, ἐπὶ προθύρων πάντα πυρῆς ἔθετο,
Ἔρρετε (φωνήσασα) κακῶν λιμηρὰ γυναικῶν
Ἔργα, νέων τήκειν ἄνθος ἐπιστάμενα.
Εἵλετο δὲ στεφάνους καὶ πηκτίδα, καὶ μετὰ κώμων
Ἡ παῖς τερπνὸν ἔχειν ἐν θαλίαις βίοτον.
Εἶπε δὲ πάντως σοι δεκάτην ἀπὸ λήμματος οἴσω
Κύπρι· σὺ δ᾽ ἐργασίην καὶ λάβε καὶ μετάδος.

NICARCHI. 9.

Quæ prius Mineruæ radiis, & ad stamina
Fila Nicarete multa licia tendens,
Cypridi calathum, & fusum, & cum ipsis
Conuenientia, in vestibulo omnia ianuæ posuit.
Perite, clamans, miserarum esurialia mulierum
Opera, iuniorum tabefacere florem docta,

Accepit verò, coronam & plectrum & cum comessationibus
Puella, suauem habere in conuiuiis vitam.
Dixit verò omnem tibi decimam accepti quæstus feram
Venus. Tu verò lucrum & accipe, & redde.

ΑΡΧΙΟΥ.

Αἱ τρισσαὶ, Σατύρη τε καὶ Ἡράκλεια καὶ Εὐφρὼ,
Θυγατέρες Ξούθου καὶ Μελίτης, Σάμιαι·
Ἁ μὲν, ἀραχναίοιο μίτου πολυδινέα λάτριν
Ἄτρακτον δολιχᾶς οὐκ ἄτερ ἀλακάτας·
Ἁ δὲ, πολυσπαθέων κελαδήμονα κερκίδα πέπλων,
Εὔθροον· ἁ τριτάτα δ' εἰροχαρῆ τάλαρον,
Οἷς ἔζον χερνῆτα βίον δηναιὸν Ἀθάνα
Πότνια, ταῦθ' αἱ σαὶ θέσαν ἐργάτιδες.

ARCHII. 10.

Tres Satvra, & Heraclea, & Euphro
Filiæ Xuthi & Melites, Samiæ,
Hæc quidem tenuis fili multum circumactum cultum
Fusum longo non sine colo.
Hæc v. textorio instrumento densatarum exercentem radiũ ve-
Sonorum. Tertia lanâ gaudentem qualum: (stium
Quibus habuit manu nens victum longæuum Minerua,
Diua, hæc tuæ tibi posuere operariæ.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Τῇ Παφίῃ στεφάνους, τῇ Παλλάδι τὴν πλοκαμῖδα,
Ἀρτέμιδι ζώνην ἄνθετο Καλλιρόη.
Εὕρετο γὰρ μνηστῆρα τὸν ἤθελε, καὶ λάχεν ἥβην
Σώφρονα, καὶ τεκέων ἄρσεν ἔτικτε γένος.

AGATHII. Scholastici.

Paphiæ coronas, & Palladi comam,
Artemidi Zonam posuit Callirhoë:
Inuenit verò procum quem volebat, & consecuta est ætatem
Prudentem, & liberorum masculum genuit genus.

ΓΑΛΛΑΔΑ.

Ἀντὶ βοὸς χρυσοῦ τ' ἀναθήματος Ἴσιδι τούσδε
Θήκατο τοὺς λιπαροὺς Παμφίλιον πλοκάμους.
Ἡ δὲ θεὸς τούτοις γάνυται πλέον ἤπερ Ἀπόλλων
Χρυσῷ, ὃν Λυδὸς Κροῖσος ἔπεμπε θεῷ.

PALLADÆ. 12.

Pro boue, aureóque donario Chrysidi hos
Posuit pingues Pamphilion capillos,
Hæc verò dea his gaudet magis quàm Apollo
Auro, quod Lydus Crœsus misit deo.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ὦ ξυρὸν οὐράνιον, ξυρὸν ὄλβιον, ᾧ πλοκαμῖδας
Χειραμένη πλεκτὰς αὔθετο Παμφίλιον,
Οὔ σέ τις ἀνθρώπων χαλκεύσατο· πὰρ δὲ καμίνῳ
Ἡφαίστου, χρυσέην σφῦραν ἀειραμένη,
Ἡ λιπαροκρήδεμνος (ἵν' εἴπωμεν καθ' Ὅμηρον)
Χερσί σε ταῖς ἰδίαις ἐξεπόνησε Χάρις.

Eiusdem in idem. 13.

Cui nouaculam cælestem, nouaculam felicem, cui capillos
Detondens plexos posuit Pamphilion,
Neque te hominum quis fabricauit. Ad caminum verò
Vulcani aureum malleolum attollens,
Decorè comta (vt dicamus iuxta Homerum)
Manibus te propriis elaborauit gratia.

ΑΝΤΙΠΑΤΡΟΥ Σιδωνίου.

Κερκίδα τὴν ὀρθρινὰ χελιδόνων ἅμα φωνᾷ
Μελπομέναν, ἱστῶν Παλλάδος ἀλκυόνα,
Τόν τε καρηβαρέοντα πολύρροιβον ἄτρακτον,
Κλωστῆρα στρεπτᾶς εὔδρομον ἁρπεδόνας,
Καὶ πῆνας, καὶ τόνδε φιληλάκατον καλαθίσκον,
Στάμονος ἀσκητοῦ καὶ τολύπας φύλακα,
Παῖς ἀγαθοῦ Τελέσιλλα Διοκλέος, ἁ φιλοεργός,
Εἰροκόμων κούρα θήκατο δεσπότιδι.

ANTIPATRI Sidonij. 14.

Radium matutina hirundinum cum voce
Canentem telæ Palladis Halcyonem,
Et capite turbatum sibilantem fusum
Fusum torti bene currentem fili,
Et telas, & custodientem colum calathum
Staminis exercitati & lanæ custodem,
Filia boni Telesilla Dioclis, diligens
Lanam exercens puellæ posuit Dominæ.

Τοῦ αὐτοῦ.

Παλλάδι ταὶ τρισσαὶ θέσαν ἅλικες, ἶσον ἀράχνᾳ
Τεῦξαι λεπταλέον στάμον ἐπιστάμεναι.
Δημὼ μὲν ταλαρίσκον εὔπλοκον, Ἀρσινόα δὲ,
Ἐργάτιν εὐκλώστου νήματος ἠλακάτην·
Κερκίδα δ' εὐποίητον ἀηδόνα τὰν ἐν ἐρίθοις,
Βακχυλὶς, εὐκρίτους ᾇ διέκρινε μίτους.
Ζώειν γὰρ δίχα πάντος ὀνείδεος εἵλεθ' ἑκάστη,
Ξεῖνε, τὸν ἐκ χειρῶν ἀρνυμένα βίοτον.

Eiusdem. 15.

Palladi tres posuerunt æquales, æqualiter Arachnæ
Operari tenue stamen scientes,
Demo quidem quasillum bene plexum, Arsinoë verò
Operatorem bene nexi fili colum:
Radium benefactum philomelam canentem inter lanificas,
Bacchylis, bene discreta quâ discreuit fila.
Viuere enim sine omni probro appetiit quæque,
Hospes, ex manibus cupiens victum.

ΦΙΛΙΠΠΟΥ.

Κερκίδας ὀρθρολάλοισι χελιδόσιν εἰκέλα φωνὰς,
Παλλάδος ἱστοπόνου λειομίτους κάμακας,
Καὶ κτένα κοσμοκόμην, καὶ δακτυλότριπτον ἄτρακτον
Σφονδυλοδινήτῳ νήματι νηχόμενον,
Καὶ τάλαρον σχοίνοισιν ὑφασμένον, ὅν ποτ' ἐδόντων

Ἔπλησεν τολύπῃ πᾶσα καθαιρομένη,
Σοὶ φιλέριθε κόρη Γαλλαιτιάς, ἡ βαθύγηρως
Αὐσονίη πενίης δῶρον ἀνεκρέμασεν.

PHILIPPI. 16.

Radios mane loquentibus hirundinibus similes,
Palladis tela laborantis lapides stamini appensos tibicines,
Et pectinem comas ornantem, & digitis tritum fusum
Fuso torto filo natantem,
Et quasillum iunco contextum, quem pectine
Impleuit cùm lana iam omnis purgata esset,
Tibi lanificio gaudens Minerua profunda senectute
Ausonia paupertatis munus suspendit.

ΛΕΩΝΙΔΟΥ.

Τῆς πέζης τὰ μὲν ἄκρα τὰ δεξιὰ μέχρι παλαιστῆς,
Καὶ σπιθαμῆς οὔλης, Βίττιον εἰργάσατο·
Θάτερα δ' Ἀντιάνειρα προσήρμοσε· τὴν δὲ μεταξὺ
Μαίανδρον, καὶ τὰς παρθενικάς, Βιτίη.
Κούρη καλλίστη Διὸς Ἄρτεμι, τοῦτο δὲ νῆμα
Πρὸς ψυχῆς θείης τὴν τριπόνητον ἔριν.

LEONIDÆ. 17.

Fimbriæ extremitatem dextram vsque ad mensuram palmi
Et integræ spithamæ Bittion fecit.
Reliqua Antianira adaptauit. Interius verò
Flexuosum limbum, & virgunculas, Bitie.
Puella formosissima Iouis Artemi, hoc filum
Ad animum repone, à trib. mulieribus elaboratũ contẽtiosè.

ΑΝΤΙΠΑΤΡΟΥ.

Ἄρτεμι, σοὶ ταύτην εὐπάρθενε, πότνια γυναικῶν,
Ταὶ μίαι αἱ τρισσαὶ πέζαν ὑφηνάμεθα·
Καὶ Βιττὴ μὲν τάσδε χοροιθαλέας κάμε κούρας,
Λοξά τε Μαιάνδρου ῥεῖθρα πολυπλανέος·
Ξανθὰ δ' Ἀντιάνειρα τὸ δ' ἄγχοθι μήσατο κόσμον
Πρὸς λαιᾷ ποταμοῦ κεκλιμένον λαγόνι.

Τὸν δέ τυ δεξιτεροῖ νασμοῦ πέλας ἰσοπάλαιστον
   Τοῦτον ἐπὶ σπιθαμῇ Βίτιον ἐλύσατο.

ANTIPATRI. 18.

Artemi, tibi hanc ô bona virgo, diua mulierum
   Vnam tres fimbriam texuimus.
Bitie quidem choro florentes fecit puellas,
   Et obliqua Meandri flumina variè errantis.
Flaua verò Antianira prope molita est concinnum opus
   Ad læuam fluminis incumbens cauitati.
Prope dextrum verò flumen quatuor digitos æquans
   Hoc supra spithamam Bittion absoluit.

ΗΔΥΛΟΥ.

Ἁ μίτρη, τό θ' ἁλουργὲς ὑπένδυμα, τοί τε Λάκωνες
   Πέπλοι, καὶ λιπαρῶν τῶν χρύσεοι κάλαμοι.
Πάνθ' ἅμα Νικονόη συνεπέκπιεν. ἦν γὰρ ἐρώτων
   Καὶ χαρίτων ἡ παῖς ἀμβρόσιόν τι θάλος.
Τοιγάρ, τῷ κρίναντι τὰ καλλιστεῖα Πριήπῳ
   Νεβρίδα τὴν χρυσέην τήνδ' ἔθετο προχόην.

HEDYLI. 19.

Hæc mitra & hoc violaceum superindumentum, & Lacones
   Vestes, & auratorum vestimentorum aurei calami.
Omnia simul Niconoë abliguriuit. Erat enim amorum
   Et Gratiarum hæc puella ambrosium aliquod germen.
Ob id iudicanti de mulierum præstantia Priapo,
   Pellem, & aureum hunc posuit aqualem.

ΕΡΩΤΙΚΩΝ, κεφ. θ´

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Δαφνιακῶν βίβλων Ἀγαθίου ἐννεάς εἰμι·
   Ἀλλά μ' ὁ τεκτήνας αὐτὸ τὸ σοὶ Παφίη.
Οὐ γὰρ Πιερίδεσσι τόσον μέλω ὅσσον Ἔρωτι,
   Ὄργια τοσσατίων ἀμφιέπουσα πόθων.
Αἰτεῖ δ' ἀντὶ πόνων, ἵνα οἱ διὰ σεῖο παρείη

Η τινα μὴ φιλέειν, ἢ ταχὺ πειθομένην.

AMATORIORVM, Cap. IX.

AGATHII Scholastici. 1.

Daphniacorum librorum Agathij enneas sum:
Sed me qui fecit, consecrauit tibi, Venus.
Non enim musis tantum curæ sum, quàm amori
Orgia tantorum persequens amorum.
Postulat pro laboribus vt per te ipsi adsit
Aut aliquam non amare, aut statim persuadere.

Τοῦ αὐτοῦ.

Ἄνθετό σοι κορύνην καὶ νεβρίδας ἡμέτερος Πὰν
Εὔιε, καλλείψας σὸν χορὸν ἐκ Παφίης.
Ἠχὼ γὰρ φιλέει, καὶ πλάζεται, ἀλλὰ σὺ Βάκχε
Ἵλαθι τῷ ξυνὴν ἀμφιέποντι τύχην.

Eiusdem. 2.

Posuit tibi clauam, & ceruinam pellem noster Pan
Euie, relinquens tuum chorum ob Venerem.
Echo enim amat, & errat, sed tu Bacche,
Esto propicius illi, qui sectatur communem amanti artem.

ΑΝΤΙΦΑΝΟΥΣ.

Αὐτή σοι Κυθέρεια τὸν ἱμερόεντ' ἀπὸ μαστῶν
Ἰνὼ λυσαμένη κεστὸν ἔδωκεν ἔχειν,
Ὡς ἂν θελξινόοισιν ἀεὶ φίλτροισι δαμάζῃς
Ἀνέρας, ἐχρήσω δ' εἰς ἐμὲ πᾶσι μόνον.

ANTIPHANIS. 3.

Ipsa tibi Venus desiderabilem à mamillis
Ino lota cestum habere dedit,
Vt animum mulcentibus semper amoribus domes
Viros. Vtere verò in meum commodum omnibus solùm.

Ἄδηλον.

Φρύνη τὸν πτερόεντα, τὸν ἀντέχνητον ἔρωτα,
Μισθὸν ὑπὲρ τέχνων αὐθέτο Θεσπιάδαις.

Κύπριδος ἡ τέχνη ζηλούμενον, οὐκ ἐπιμεμφὲς
  Δωρητὲς ἀμφοτέροις δ᾽ ἔπρεπε μισθὸς ἔρως.
Δοιῆς ἐκ τέχνης αἰνέω βροτὸν, ὅς γε καὶ ἄλλοις
  Δοὺς, θεὸν ἐν σπλάγχνοις εἶχε τελειότερον.

Incerti. 4.

Phryne volantem, & arte factum bene amorem
  Mercedem pro liberis posuit Thespiadibus.
Veneris hæc ars, æmulans, non repræhendens
  Munus. Vtrósque verò decet precium amor.
Duplici ex arte laudo hominem, qui & aliis
  Dans, deum in pectore habuit perfectiorem.

ΕΥΧΩΝ, κεφ. ι.

ΦΙΛΙΠΠΟΥ.

Ζηνὸς καὶ Λητοῦς θηροσκόπε τοξότι κούρη
  Ἄρτεμι, ἣ θαλάμους τῶν ὀρέων ἔλαχες,
Νοῦσον τὴν στυγερὴν αὐθήμερον ἐκ βασιλῆος
  Ἐσθλοτάτου πέμψαις ἄχρις Ὑπερβορέων.
Σοὶ γὰρ ὑπὲρ βωμῶν, ἀτμὸν λιβάνοιο Φίλιππος
  Ῥέξει καλλιθύτων, ταῦρον ὀρειονόμον.

PRECVM, Cap. X.

PHILIPPI. I.

Iouis & Latonæ feras speculans sagittifera puella
  Artemis, quæ thalamos montium sortita es,
Morbum horribilem hoc ipso die à rege
  Optimo mittas vsque ad Hyperboreos.
Tibi enim super aris fumum libani Philippus
  Sacrificabit auspicatis, taurum in montibus pastum.

ΔΙΟΔΩΡΟΥ.

Ἡ τε Σάμου μεδέουσα καὶ ἣ λάχες Ἴμβρασον Ἥρη,
  Δέξο γενεθλιδίους πότνια θυηπολίας.

Μόσχων

Μόσχων ἱερὰ ταῦτα, τά σοι πολὺ φίλτατα πάντων
  Ἴσμεν ὅσοι μακάρων θεσμὸν ἐπιστάμεθα.
Εὔχετ' ἐπισπένδων τάδε Μάξιμος· ἡ δ' ἐπένευσεν
  Ἔμπεδα· μοιράων δ' οὐκ ἐμέγηρε λίνα.

D I O D O R I. 2.

Sami domina, & quæ tenes Imbrasum Iuno,
  Accipe de meo natali, diua, sacrificia.
Vitulorum sacra hæc, quæ tibi gratissima omnium
  Scimus quotquot Deorum leges nouimus.
Precatur sacrificans hæc Maximus: hæc verò annuit
  Firmiter. Fatorum verò non inuiderunt fila.

ΑΝΤΙΠΑΤΡΟΥ.

Λαμπάδα κηροχίτωνα, Κρόνου τυφήρεα λύχνον,
  Σχοίνῳ καὶ λεπτῇ σφιγγόμενον παπύρῳ,
Ἀντίπατρος Πείσωνι φέρει γέρας· ἢν δέ μ' ἀνάψας
  Εὔξηται, λάμψω φέγγος ἀκουσόθεον.

ANTIPATRI. 3.

Lychnum ceream tunicā habentē, Saturni fumigantē lychnū,
  Iunco & tenui constrictum papyro,
Antipater Pisoni fert munus. Si verò me accendens
  Oret, lucebo lucem ad Dei aures peruenientem.

ΘΗΡΩΝ, κεφ. ιά

ΑΝΤΙΠΑΤΡΟΥ.

Ἐκ ποτὲ τις Φρυγίοιο θεῆς στυγνημένος οἴστρῳ,
  Ῥομβητοὺς δονέων λυσσομανεῖς πλοκάμους,
Θηλυχίτων, ἀσκητὸς εὐσπείροισι κορύμβοις,
  Ἁβρὸν τε στρεπτῶν ἅμματι κεκρυφάλων,
Ἴδρις ἀνὴρ, κοιλῶπιν ἐρείσατο πέτρην,
  Ζηνὸς ἐλαστρηθεὶς γυιοπαγεῖ νιφάδι.
Τῷ δέ κεν ἀρρίγητος ἐπέδραμε ταυροφόνος θὴρ,
  Ἐς δ' ἑὸν ἀρνησμολὼν φωλεὸν ἑσπέριος.

Verùm hic formidans grauem rugitum, in quidem omnem
 Pectore fregit animum commotum:
Sed tum valde mugientem ex ore vlulatum
 Emisit, commouit verò bene versatilem comam:
Manu verò corripiens magnum tympanum pulsauit,
 Tornata Rheæ arma cælestis,
Vitæ auxiliatricia. Insuetum enim corij
 Bubuli vanum sonitum formidauit leo:
Effugiens verò prosiliit. Vide quomodo docuit necessitas
 Sapientissima inuenire liberationem mortis.

Εἰς τὸ αὐτό.

Πυρσοῦ τοῦτο λέοντος ἀπεφλοιώσατο δέρμα
 Σῶσος, ὁ βουπαλίων δουρὶ φονευσάμενος.
Ἄρτι κατὰ βρύχοντα ❀
 Οὐδ' ἵκετ' ἐκ μάνδρας αὖθις ἐπὶ ξυλόχους.
Μοσχείου δ' ἀπέτισεν ὁ θὴρ αἶθ' αἵματος αἷμα,
 Βληθείς· ἀργαλέαν δ' εἶχε βοοκτασίαν.

In idem. 2.

Rufi hoc leonis deglupsit corium
 Sosus, pastor boum hasta occidens.
Paullo ante mugientem * *
 Neque venit è stabulo amplius ad syluas.
Vituli verò luit fera pro sanguine sanguinem,
 Occisus: grauem verò habuit bouis occisionem.

ΓΑΙΤΟΥ.

Παῖδα πατὴρ Ἄλκων ὀλοῷ σφιγχθέντα δράκοντι
 Ἀθρήσας, δειλῇ τόξον ἔκαμψε χερί.
Θηρὸς δ' οὐκ ἀφάμαρτε· διὰ στόματος γὰρ ὀϊστὸς
 Ἤιξεν, τυτθοῦ βαιὸν ὕπερθε βρέφους.
Παυσάμενος δὲ φόνοιο, παρὰ δρυῒ τῆδε φαρέτρην
 Σῆμα καὶ εὐτυχίης θῆκε καὶ εὐστοχίης.

GÆTÆ. 3.

Puerum pater Alco pernicioso constrictum dracone

Intuens, trepidanti sagittam contorsit manu.
A fera autem non aberrauit. Per os enim telum
Cum impetu perrupit, paruo patrum super infante,
Cùm quieuisset verò à cæde, apud hanc quercum pharetram
Signum & felicitatis posuit, & bonæ iaculationis.

ΙΣΟΨΗΦΑ, κεφ. ιβ.

ΛΕΩΝΙΔΟΥ Ἀλεξανδρέως πάντα.

Θύει σοι τόδε γράμμα γενεθλιακαῖσιν ἐν ὥραις,
Καῖσαρ, Νειλαίη μοῦσα Λεωνίδεω.
Καλλιόπης γὰρ ἄκαπνον ἀεὶ θύος· εἰς δὲ νέωτα,
Ἢν ἐθέλῃς, θύσει τοῦδε περισσότερα.

TOTIDEM VERSIBVS CONSTANTIA, Cap. XII.

LEONIDÆ Alexandrini omnia. 1.

Sacrificat tibi hoc carmen natalibus in horis,
Cæsar, Niliaca musa Leonidæ.
Calliopæ sine fumo semper sacrificium: in annũ verò nouum,
Si volueris sacrificabit his ampliora.

Ἄλλο.

Τὴν δὲ Λεωνίδεω θαλερὴν πάλι δέρκεο μοῦσαν
Δίστιχον, εὐθίκτου παίγνιον εὐεπίης.
Ἔσται δ' ἐν Κρονίοις Μάρκῳ περικαλλὲς ἄθυρμα
Τοῦτο καὶ ἐν δείπνοις καὶ παρὰ μουσοπόλοις.

Aliud. 2.

Hanc Leonidæ teneram rursum inspice musam
Diffusam, dicacis ludicrum eloquentiæ.
Erit verò in Saturnalibus Marco pulcer ludus
Hic & in conuiuiis & apud Poëtas.

Ἄλλο.

Οἰδιπόδης χάσις ἦν, καὶ τὰ ἐκεῖ, ζήτει ἐν τῷ δ' κεφαλαίῳ, ἐν ᾧ τὰ ἀντιστρέφοντά ἐστι.

Ἄλλο.

Πέμματα τίς λιπόωντα, τίς Ἄρει τῷ πτολιπόρθῳ
Βότρυς, τίς δὲ ῥόδων θῆκεν ἐμοὶ κάλυκας;
Νύμφαις ταῦτα φέροι τις· ἀναιμάκτους δὲ θυηλὰς
Οὐ δέχομαι βωμοῖς ὁ θρασύμητις Ἄρης.

Aliud. 3.

Placentas quis, pingues quis Marti vrbium euersori
Vuas, quis florum posuit mihi folliculos?
Nymphis hæc aliquis ferat. Sine sanguine verò sacrificia
Non accipio in aris consilij audax Mars.

Ἄλλο.

Ἄλλος ἀπὸ σταλίκων, ὁ δ᾽ ἀπ᾽ ἠέρος, ὃς δ᾽ ἀπὸ πόντου
Εὔπολι σοὶ πέμπει δῶρα γενεθλίδια·
Ἀλλ᾽ ἐμόθεν δέξαι μουσῶν στίχον, ὅστις ἐσαεὶ
Μίμνοι καὶ φιλίης σῆμα καὶ εὐμαθίης.

Aliud. 4.

Alius à furculis, hic ex aëre, alter à ponto
Eupoli tibi mittit munera natalitia.
Sed mearum accipe musarum versum, qui semper
Maneat & amicitiæ signum & bonæ doctrinæ.

Ἄλλο.

Λύκτιον ἰοδόκην καὶ καμπύλον Ἄρτεμι τόξον
Νῖκις ὁ Λυσιμάχου παῖς ἀνέθηκε Λίβυς.
Ἰοὺς γὰρ πλήθοντας ἀεὶ λαγόνεσσι φαρέτρης,
Δορκάσι καὶ βαλίαις ἐξεκένωσ᾽ ἐλάφοις.

Aliud. 5.

Lyctiam pharetram, & curuum Latona arcum
Nicis Lysimachi filius posuit Libys.
Sagittas enim plenas semper in ventre pharetræ,
Capreis & variis euacuauit ceruis.

Ἄλλο.

Εἷς πρὸς ἕνα ψήφοισιν ἰσάζεται, οὐ δύο δοιοῖς.

Tango, ætate meliorem video voluntatem.

Ἀδέσποτον εἰς τὸ αὐτό.

Κερκίδα τὴν φιλεργὸν Ἀθηναίῃ θέτο Βιττὼ
  Ἄνθεμα, λιμηρῆς ἄρμενον ἐργασίης,
Πάσας ἀποστύξασα γυνὴ τότε τῶν ἐν ἐρίθοις
  Μόχθους, καὶ στυγερὰς φροντίδας ἱστοπόνων.
Εἶπε δ᾽ Ἀθηναίῃ, τῶν Κύπριδος ἅψομαι ἔργων,
  Τὴν Πάριδος κατὰ σοῦ ψῆφον ἐνεγκαμένη.

Incerti in idem. 6.

Radium laboriosum Mineruæ posuit Bitto
  Donarium, famelicæ instrumentum operationis,
Omnes detestata mulier in lanificio,
  Labores, & odiosas curas telâ laborantium.
Dixit verò Mineruæ, Veneris tango opera,
  Paridis contra te suffragium comprobans.

ΠΑΥΛΟΥ Σιλεντιαρίου.

Σοὶ τὰ λιποστεφάνων διατίλματα μυρία φύλλων,
  Σοὶ τὰ νοοπλήκτου πλαςὰ κύπελλα μέθης,
Βόστρυχα σοὶ τὰ μύροισι δεδευμένα, τῇδε κονίῃ
  Σκῦλα ποθοβλήτου κεῖται Ἀναξαγόρα.
Σοὶ τάδε Λαῒς ἅπαντα. παρὰ προθύροις γὰρ ὁ δειλὸς
  Τοῖσδε σὺν ἀκρήβαις πολλάκι παννυχίσας,
Οὐκ ἔπος, οὐ χαρίεσσαν ὑπόσχεσιν, οὐδὲ μελιχρῆς
  Ἐλπίδος ὑβριστὴν μῦθον ἐπεσπάσατο·
(Φεῦ, φεῦ) γυιοτακὴς δὲ λιπὼν τάδε σύμβολα κώμων,
  Μέμφεται ἀστρέπτῳ κάλλεϊ θηλυτέρων.

PAVLI Silentiarii. 7.

Tibi hæc coronas relinquentium euulsiones mille foliorum,
  Tibi hæc animum pungentis formata pocula ebrietatis,
Crines tibi vnguentis madidos, & in hoc puluere
  Spolia amore perculsi reponuntur Anaxagoræ.
Tibi hæc Laïs omnia. In vestibulo enim miser

Hoc

His cum adolescentibus sæpius pernoctans,
Non verbum, non gratiosam pollicitationem, neque dulcis
Spei iniuriosum sermonem ex me extorsit:
Hei'hei! mēbris v. tabefactus relinquens hæc symbola lasciuię.
Reprehendit inflexibili pulchritudine mulierum.

Ἀδεσπότου.

Ἡ πρὶν αὐχήσασα πολυχρύσοις ἐπ' ἐρασταῖς,
Ἡ Νέμεσιν δεινὴν οὐχὶ κύσασα θεόν,
Μίσθια νῦν ἀσταθίοις πενιχροῖς πηνίσματα κρούει.
Ὀψέ γ' Ἀθηναίη Κύπριν ἐληΐσατο.

Incerti. 8.

Quæ prius superba aureos ob amatores,
Quæ Nemesin grauem nunquam est reuerita deam,
Conducta iā textoriis instrumentis pauperculis stamina pulsat.
Serò sanè Minerua Venerem prædata est.

ΝΙΚΑΡΧΟΥ.

Ἡ πρὶν Ἀθηναίης ὑπὸ κερκίσι καὶ τὰ καθ' ἱστῶν
Νήματα Νικαρέτη πολλὰ μιτωσαμένη,
Κύπριδι τὸν κάλαθόν τε, τὰ πηνία, καὶ τὰ σὺν αὐτοῖς
Ἄρμεν', ἐπὶ προδόμου πάντα πυρῆς ἔθετο,
Ἔρρετε (φωνήσασα) κακῶν λιμηρὰ γυναικῶν
Ἔργα, νέων τήκειν αἶθος ἐπιστάμενα.
Εἵλετο δὲ στεφάνους καὶ πηκτίδα, καὶ μετὰ κώμων
Ἡ παῖς τερπνὸν ἔχειν ἐν θαλίαις βίοτον.
Εἶπε δὲ πάντως σοι δεκάτην ἀπὸ λήμματος οἴσω
Κύπρι· σὺ δ' ἐργασίην καὶ λάβε καὶ μετάδος.

NICARCHI. 9.

Quæ prius Mineruæ radiis, & ad stamina
Fila Nicarete multa licia tendens,
Cypridi calathum, & fusum, & cum ipsis
Conuenientia, in vestibulo omnia ianuæ posuit.
Perite, clamans, miserarum esurialia mulierum
Opera, iuniorum tabefacere florem docta,

Accepit verò coronam & plectrum & cum comessationibus
Puella, suauem habere in conuiuiis vitam.
Dixit verò omnem tibi decimam accepti quæstus feram
Venus. Tu verò lucrum & accipe, & redde.

ΑΡΧΙΟΥ.

Αἱ τρισσαὶ, Σατύρη τε καὶ Ἡράκλεια καὶ Εὐφρὼ,
Θυγατέρες Ξούθου καὶ Μηλίτης, Σάμιαι·
Ἁ μὲν, ἀραχναίοιο μίτου πολυδινέα λάτριν
Ἄτρακτον δολιχᾶς οὐκ ἄτερ ἀλακάτας·
Ἁ δὲ, πολυσπαθέων μελεδήμονα κερκίδα πέπλων,
Εὔθροον· ἁ τριτάτα δ' εἰροχαρῆ τάλαρον,
Οἷς ἔζον χερνῆτα βίον δηναιὸν Ἀθάνα
Πότνια, ταῦθ' αἱ σαὶ σοὶ θέσαν ἐργάτιδες.

ARCHII. IO.

Tres Satyra, & Heraclea, & Euphro
Filiæ Xuthi & Melites, Samiæ,
Hæc quidem tenuis fili multum circumactum cultum
Fusum longo non sine colo.
Hæc v. textorio instrumento densatarum exercentem radiũ ve-
Sonorum. Tertia lanâ gaudentem qualum: (stium
Quibus habuit manu nens victum longæuum Minerua,
Diua, hæc tuæ tibi posuere operariæ.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Τῇ Παφίῃ στεφάνους, τῇ Παλλάδι τὴν πλοκαμῖδα,
Ἀρτέμιδι ζώνην ἄνθετο Καλλιρόη.
Εὕρετο γὰρ μνηστῆρα τὸν ἤθελε, καὶ λάχεν ἥβην
Σώφρονα, καὶ τεκέων ἄρσεν ἔτικτε γένος.

AGATHII. Scholastici.

Paphiæ coronas, & Palladi comam,
Artemidi Zonam posuit Callirhoë:
Inuenit verò procum quem volebat, & consecuta est ætatem
Prudentem, & liberorum masculum genuit genus.

Ἀντὶ βοὸς χρυσοῦ τ' ἀναθήματος Ἴσιδι τούσδε
  Θήκατο τοὺς λιπαρεῖς Παμφίλιον πλοκάμους.
Ἡ δὲ θεὸς τούτοις γάνυται πλέον ἤπερ Ἀπόλλων
  Χρυσῷ, ὃν Λυδὸς Κροῖσος ἔπεμπε θεῷ.

PALLADÆ. 12.

Pro boue, aureóque donario Chrysidi hos
  Posuit pingues Pamphilion capillos,
Hæc verò dea his gaudet magis quàm Apollo
  Auro, quod Lydus Crœsus misit deo.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ὦ ξυρὸν οὐράνιον, ξυρὸν ὄλβιον, ᾧ πλοκαμῖδας
  Χειραμένη πλεκτὰς αὔθετο Παμφίλιον,
Οὔ σέ τις ἀνθρώπων χαλκεύσατο· πὰρ δὲ καμίνῳ
  Ἡφαίστου, χρυσέην σφῦραν ἀειραμένη,
Ἡ λιπαροκρήδεμνος (ἵν' εἴπωμεν καθ' Ὅμηρον)
  Χερσί σε ταῖς ἰδίαις ἐξεπόνησε Χάρις.

Eiusdem in idem. 13.

Cui nouaculam cælestem, nouaculam felicem, cui capillos
  Detondens plexos posuit Pamphilion,
Neque te hominum quis fabricauit. Ad caminum verò
  Vulcani aureum malleolum attollens,
Decorè comta (vt dicamus iuxta Homerum)
  Manibus te propriis elaborauit gratia.

ΑΝΤΙΠΑΤΡΟΥ Σιδωνίου.

Κερκίδα τὴν ὀρθρινᾷ χελιδόνων ἅμα φωνᾷ
  Μελπομέναν, ἱστῶν Παλλάδος ἀλκυόνα,
Τόν τε καρηβαρέοντα πολυρροίβητον ἄτρακτον,
  Κλωστῆρα στρεπτᾶς εὔδρομον ἁρπεδόνας,
Καὶ πήνας, καὶ τόνδε φιληλάκατον καλαθίσκον,
  Στάμονος ἀσκητοῦ καὶ τολύπας φύλακα,
Παῖς ἀγαθοῦ Τελέσιλλα Διοκλέος, ἁ φιλοεργός,
  Εἰροκόμων κούρᾳ θήκατο δεσπότιδι.

ANTIPATRI Sidonij. 14.

Radium matutina hirundinum cum voce
 Canentem telæ Palladis Halcyonem,
Et capite turbatum sibilantem fusum
 Fusum torti bene currentem fili,
Et telas,& custodientem colum calathum
 Staminis exercitati & lanæ custodem,
Filia boni Telesilla Dioclis, diligens
 Lanam exercens puellæ posuit Dominæ.

Τοῦ αὐτοῦ.

Παλλάδι ταὶ τρισσαὶ θέσαν ἅλικες, ἶσον ἀράχνᾳ
 Τεῦξαι λεπταλέον στάμον ἐπιστάμεναι.
Δημὼ μὲν ταλαρίσκον εὔπλοκον· Ἀρσινόα δὲ,
 Ἐργάτιν εὐκλώστου νήματος ἠλακάτην·
Κερκίδα δ' εὐποίητον ἀηδόνα τὰν ἐν ἐρίθοις,
 Βακχυλὶς, εὐκρίτους ᾇ διέκρινε μίτους.
Ζώειν γὰρ δίχα πάντος ὀνείδεος εἵλεθ' ἑκάστη,
 Ξεῖνε, τὸν ἐκ χειρῶν ἀρνυμένα βίοτον.

Eiusdem. 15.

Palladi tres posuerunt æquales, æqualiter Arachnæ
 Operari tenue stamen scientes,
Demo quidem quasillum bene plexum, Arsinoë verò
 Operatorem bene nexi fili colum:
Radium benefactum philomelam canentem inter lanificas,
 Bacchylis, bene discreta quâ discreuit fila.
Viuere enim sine omni probro appetiit quæque,
 Hospes, ex manibus cupiens victum.

ΦΙΛΙΠΠΟΥ.

Κερκίδας ὀρθρολάλοισι χελιδόσιν εἰκελοφώνους,
 Παλλάδος ἱστοπόνου λειομίτους κάμακας,
Καὶ κτένα κωμοκόμην, καὶ δακτυλότριπτον ἄτρακτον
 Σφονδυλοδινήτῳ νήματι νηχόμενον,
Καὶ τάλαρον χοίνοισιν ὑφασμένον, ὅν ποτ' ἐδόντων

Ἔπλησεν πολύπην πᾶσα καθαιρομένη,
Σοὶ φιλέεργε κόρη Παλλαντιάς, ἡ βαθύγηρως
Αὐσονίη πενίης δῶρον ἀνεκρέμασεν.

PHILIPPI. 16.

Radios mane loquentibus hirundinibus similes
Palladis tela laborantis lapides stamini appensos tibicines,
Et pectinem comas ornantem, & digitis tritum fusum
Fuso torto filo natantem,
Et quasillum iunco contextum, quem pectine
Impleuit cùm lana iam omnis purgata esset,
Tibi lanificio gaudens Minerua profunda senectute
Ausonia paupertatis munus suspendit.

ΛΕΩΝΙΔΟΥ.

Τῆς πέζης τὰ μὲν ἄχρι τὰ δεξιὰ μέχρι παλαιστῆς,
Καὶ σπιθαμῆς οὔλης, Βίττιον εἰργάσατο·
Θάτερα δ' Ἀντιάνειρα συνήρμοσεν· ἡ δ' μεταξὺ
Μαίανδρον, καὶ τὰς παρθενικάς, Βιτίη.
Κούρη καλλίστη Διὸς Ἄρτεμι, τοῦτο δὲ σῆμα
Πρὸς ψυχῆς θείης τὴν τριπόνητον ἔριν.

LEONIDÆ. 17.

Fimbriæ extremitatem dextram vsque ad mensuram palmi
Et integræ spithamæ Bittion fecit.
Reliqua Antianira adaptauit. Interius verò
Flexuosum limbum, & virgunculas, Bitie.
Puella formosissima Iouis Artemi, hoc filum
Ad animum repone, à trib. mulieribus elaboratũ cõtẽtiosè.

ΑΝΤΙΠΑΤΡΟΥ.

Ἄρτεμι, σοὶ τὸ τόδ' εὐπάρθενε, πότνα γυναικῶν,
Ταὶ μίαι αἱ τελεαὶ πέζαν ὑφηνάμεθα·
Καὶ Βιτίη μὲν τὰς δὲ χοροιθαλέας κάμε κούρας,
Λοξά τε Μαιάνδρου ῥεῖθρα πολυπλανέος·
Ξανθὰ δ' Ἀντιάνειρα ἡ ἄγχοθι μέσσα τὸ κόσμον
Πρὸς λαιᾷ ποταμοῦ κεκλιμένον λαγόνι.

Τὸν δέ νυ δεξιτερῶν νασμῶν πέλας ἰσοπάλαιστον
    Τοῦτον ἐπὶ σπιθαμῇ Βίττιον ἠνύσατο.

ANTIPATRI. 18.

Artemi, tibi hanc ô bona virgo, diua mulierum
    Vnam tres fimbriam texuimus.
Bitie quidem choro florentes fecit puellas,
    Et obliqua Meandri flumina variè errantis.
Flaua verò Antianira prope molita est concinnum opus
    Ad læuam fluminis incumbens cauitati.
Prope dextrum verò flumen quatuor digitos æquans
    Hoc supra spithamam Bittion absoluit.

ΗΔΥΛΟΥ.

Α μίτρα, τό θ' ἁλουργὲς ὑπένδυμα, τοί τε Λάκωνες
    Πέπλοι, καὶ λιπαρῶν οἱ χρύσεοι κάλαμοι.
Πάνθ' ἅμα Νικονόη συνεπέκπιεν. ἦν γὰρ ἐρώτων
    Καὶ χαρίτων ἡ παῖς ἀμβρόσιόν τι θάλος.
Τοιγάρ, τῷ κρίναντι τὰ καλλιστεῖα Πριήπῳ
    Νεβρίδα τὴν χρυσέην τήνδ' ἔθετο προχόην.

HEDYLI. 19.

Hæc mitra & hoc violaceum superindumentum, & Lacones
    Vestes, & auratorum vestimentorum aurei calami.
Omnia simul Niconoë abliguriuit. Erat enim amorum
    Et Gratiarum hæc puella ambrosium aliquod germen.
Ob id iudicanti de mulierum præstantia Priapo,
    Pellem, & aureum hunc posuit aqualem.

ΕΡΩΤΙΚΩΝ, κεφ. θ'.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Δαφνιακῶν βίβλων Ἀγαθίου ἐννεάς εἰμι·
    Ἀλλά μ' ὁ τεκτήνας ἄνθετό σοι Παφίη.
Οὐ γὰρ Πιερίδεσσι τόσον μέλω ὅσσον Ἔρωτι,
    Ὄργια τοσσατίων ἀμφιέπουσα πόθων.
Αἰτεῖ δ' ἀντὶ πόνων, ἵνα οἱ διὰ σεῖο παρείη

Η τινα μὴ φιλέειν, ἢ ταχὺ πειθομένην.

AMATORIORVM, Cap. IX.

AGATHII Scholaſtici. 1.

Daphniacorum librorum Agathij enneas ſum:
Sed me qui fecit, conſecrauit tibi, Venus.
Non enim muſis tantum curæ ſum, quàm amori
Orgia tantorum perſequens amorum.
Poſtulat pro laboribus vt per te ipſi adſit
Aut aliquam non amare, aut ſtatim perſuadere.

Τοῦ αὐτοῦ.

Ανθετό σοι κορύνην καὶ νεβρίδας ἡμέτερος Πὰν
Εὔιε, καλλείψας σὸν χορὸν ἐκ Παφίης.
Ηχὼ γὰρ φιλέει, καὶ πλάζεται, ἀλλὰ σὺ Βάκχε
Ιλαθι τῷ ξυνὴν ἀμφιέποντι τέχνην.

Eiuſdem. 2.

Poſuit tibi clauam, & ceruinam pellem noſter Pan
Euie, relinquens tuum chorum ob Venerem.
Echo enim amat, & errat, ſed tu Bacche,
Eſto propicius illi, qui ſectatur communem amanti artem.

ΑΝΤΙΦΑΝΟΥΣ.

Αὐτή σοι Κυθέρεια τὸν ἱμερόεντ' ἀπὸ μαστῶν
Ινὼ λυσαμένη κεστὸν ἔδωκεν ἔχειν,
Ως αὖ θελξινόοισιν ἀεὶ φίλτροισι δαμάζῃς
Ανέρας, ἐχρήσω δ' εἰς ἐμὲ πᾶσι μόνον.

ANTIPHANIS. 3.

Ipſa tibi Venus deſiderabilem à mamillis
Ino lota ceſtum habere dedit,
Vt animum mulcentibus ſemper amoribus domes
Viros. Vtere verò in meum commodum omnibus ſolùm.

Αδηλον.

Φρυνὴ τὸν πτερόεντα, τὸν ἀντίτεχνον ἔρωτα,
Μισθὸν τῶν τέχνων ἄνθετο Θεσπιάσι.

Κύπριδος ἡ τέχνη ζηλούμενον, οὐκ ἐπιμεμφὲς
　Δωρητὲς ἀμφοτέροις δ' ἔπρεπε μισθὸς ἔρως.
Δοιῆς ἐκ τέχνης αἰνέω βροτὸν, ὅς γε καὶ ἄλλοις
　Δοὺς, θεὸν ἐν σπλάγχνοις εἶχε τελειότερον.

Incerti. 4.

Phrvne volantem, & arte factum bene amorem
　Mercedem pro liberis posuit Thespiadibus.
Veneris hæc ars, æmulans, non repræhendens
　Munus. Vtrósque verò decet precium amor.
Duplici ex arte laudo hominem, qui & aliis
　Dans, deum in pectore habuit perfectiorem.

ΕΥΧΩΝ,

ΦΙΛΙΠΠΟΥ.

Ζηνὸς καὶ Λητοῦς θηροσκόπε τοξότι κούρη
　Αρτεμις, ἣ θαλάμοις τοὺς ὀρέων ἔλαχες,
Νοῦσον τὴν στυγερὴν αὐθημερὸν ἐκ βασιλῆος
　Εσθλοτάτου πέμψαις ἄχρις Υπερβορέων.
Σοὶ γὰρ ὑπὲρ βωμῶν, ἀτμὸν λιβάνοιο Φίλιππος
　Ρέξει καλλιθύτων, ταῦρον ὀρειονόμον.

PRECVM, Cap. X.

PHILIPPI. 1.

Iouis & Latonæ feras speculans sagittifera puella
　Artemis, quæ thalamos montium sortita es,
Morbum horribilem hoc ipso die à rege
　Optimo mittas vsque ad Hyperboreos.
Tibi enim super aris fumum libani Philippus
　Sacrificabit auspicatis, taurum in montibus pastum.

ΔΙΟΔΩΡΟΥ.

Η τε Σάμου μεδέουσα καὶ ἣ λάχες Ιμβρασον Ηρη,
　Δέξο γενεθλιδίους πότνια θυηπολίας.

Μόσχων

Μόσχων ἱερὰ ταῦτα, τά σοι πολὺ φίλτατα πάντων
　Ἴσμεν ὅσοι μακάρων θεσμὸν ἐπιστάμεθα.
Εὔχετ' ἐπισπένδων τάδε Μάξιμος· ἣ δ' ἐπένευσεν
　Ἔμπεδα· μοιράων δ' οὐκ ἐμέγηρε λίνα.

DIODORI. 2.

Sami domina, & quæ tenes Imbrasum Iuno,
　Accipe de meo natali, diua, sacrificia.
Vitulorum sacra hæc, quæ tibi gratissima omnium
　Scimus quotquot Deorum leges nouimus.
Precatur sacrificans hæc Maximus: hæc verò annuit
　Firmiter. Fatorum verò non inuiderunt fila.

ΑΝΤΙΠΑΤΡΟΥ.

Λαμπάδα κηροχίτωνα, Κρόνου τυφήρεα λύχνον,
　Σχοίνῳ καὶ λεπτῇ σφιγγόμενον παπύρῳ,
Ἀντίπατρος Πείσωνι φέρει γέρας· ἢν δέ μ' ἀνάψας
　Εὔξηται, λάμψω φέγγος ἀκουσόθεον.

ANTIPATRI. 3.

Lychnum ceream tunicā habentē, Saturni fumigantē lychnū,
　Iunco & tenui constrictum papyro,
Antipater Pisoni fert munus. Si verò me accendens
　Oret, lucebo lucem ad Dei aures peruenientem.

ΘΗΡΩΝ, κεφ. ια.

ΑΝΤΙΠΑΤΡΟΥ.

Ἐκ ποτὲ τῆς Φρυγίοιο θεῆς στοβεύμενος οἴστρῳ,
　Ῥομβητοὺς δονέων λυσσομανεῖς πλοκάμους,
Θηλυχίτων, ἀσκητὸς εὐσπείροισι κορύμβοις,
　Ἁβρὸν τετρεπτοῖσιν ἅμματι κεκρυφάλων,
Ἴδρις ἀνήρ, κοιλῶπιν ἐρημάδα δύσατο πέτρην,
　Ζηνὸς ἐλαστρηθεὶς γυιοπαγεῖ νιφάδι.
Τῷ δὲ κατ' ἀρρίγητος ἐπένθορε ταυροφόνος θήρ,
　Ἐς θ' ἑὸν στεινωπὸν φωλεὸν ἑσπέριος.

Verùm hic formidans grauem rugitum, in quidem omnem
Pectore fregit animum commotum:
Sed tum valde mugientem ex ore vlulatum
Emisit, commouit verò bene versatilem comam:
Manu verò corripiens magnum tympanum pulsauit,
Tornata Rhex arma cælestis,
Vitæ auxiliatricia. Insuetum enim corij
Bubuli vanum sonitum formidauit leo:
Effugiens verò prosiliit. Vide quomodo docuit necessitas
Sapientissima inuenire liberationem mortis.

Εἰς τὸ αὐτό.

Πυρσοῦ τοῦτο λέοντος ἀπεφλοιώσατο δέρμα
Σῶσος, ὁ βουπαλίων δουρὶ φονευσάμενος.
Ἄρτι καταβρύχοντα * *
Οὐδ' ἵκετ' ἐκ μάνδρας αὖθις ἐπὶ ξυλόχους.
Μοσχείου δ' ἀπέτισεν ὁ θὴρ αὐτοῦ αἵματος αἷμα,
Βληθείς· ἀλγεινὴν δ' εἶχε βοοκτασίαν.

In idem. 2.

Rufi hoc leonis deglupsit corium
Sosus, pastor boum hasta occidens.
Paullo ante mugientem * *
Neque venit è stabulo amplius ad syluas.
Vituli verò luit fera pro sanguine sanguinem,
Occisus: grauem verò habuit bouis occisionem.

ΓΑΙΤΟΥ.

Παῖδα πατὴρ Ἄλκων ὀλοῷ σφιγχθέντα δράκοντι
Ἀθρήσας, δειλῇ τόξον ἔκαμψε χερί.
Θηρὸς δ' οὐκ ἀφάμαρτε· διὰ στόματος γὰρ ὀϊστὸς
Ἤιξεν, τυτθοῦ βαιὸν ὕπερθε βρέφους.
Παυσάμενος δὲ φόνοιο, παραὶ δρυῒ τῇδε φαρέτρην
Σῆμα καὶ εὐτυχίης θῆκε καὶ εὐστοχίης.

GÆTÆ. 3.

Puerum pater Alco pernicioso constrictum dracone

Ἄλλο.

Πέμματα τίς λιπόωντα, τίς Ἄρεϊ τῷ πτολιπόρθῳ
Βότρυς, τίς δὲ ῥόδων θῆκεν ἐμοὶ κάλυκας;
Νύμφαις ταῦτα φέροι τις· ἀναιμάκτους δὲ θυηλὰς
Οὐ δέχομαι βωμοῖς ὁ θρασύμητις Ἄρης.

Aliud. 3.

Placentas quis, pingues quis Marti vrbium euersori
Vuas, quis florum posuit mihi folliculos?
Nymphis hæc aliquis ferat. Sine sanguine verò sacrificia
Non accipio in aris consilij audax Mars.

Ἄλλο.

Ἄλλος ἀπὸ σταλίκων, ὁ δ' ἀπ' ἠέρος, ὃς δ' ἀπὸ πόντου
Εὔπολι σοὶ πέμπει δῶρα γενεθλίδια·
Ἀλλ' ἐμέθεν δέξαι μουσῶν στίχον, ὅστις ἐσαεὶ
Μίμνοι καὶ φιλίης σῆμα καὶ εὐμαθίης.

Aliud. 4.

Alius à furculis, hic ex aëre, alter à ponto
Eupoli tibi mittit munera natalitia.
Sed mearum accipe musarum versum, qui semper
Maneat & amicitiæ signum & bonæ doctrinæ.

Ἄλλο.

Λύκτιον ἰοδόκην καὶ καμπύλον Ἄρτεμι τόξον
Νίκις ὁ Λυσιμάχου παῖς ἀνέθηκε Λίβυς.
Ἰοὺς γὰρ πλήθοντας ἀεὶ λαγόνεσσι φαρέτρης,
Δορκάσι καὶ βαλιαῖς ἐξεκένωσ' ἐλάφοις.

Aliud. 5.

Lyctiam pharetram, & curuum Latona arcum
Nicis Lysimachi filius posuit Libys.
Sagittas enim plenas semper in ventre pharetræ,
Capreis & variis euacuauit ceruis.

Ἄλλο.

Εἰς τρεῖς ἓν ψήφοισιν ἰσάζεται, εἰ δύο δοιοῖς.

Οὐ γὰρ ἔτι στέργω τὴν δολιχογραφίην.

Aliud. 6.

Vnus ad vnum calculis æquatur, non duo ad duos.
Non enim amplius amo longam ſcriptionem.

Ἄλλο.

Τὴν τριτάτην χαρίτων ἀπ' ἐμεῦ πάλι λάμβανε βίβλον
Καῖσαρ, ἰσηρίθμου σύμβολον εὐεπίης,
Νεῖλος ὅπως καὶ τήνδε δι' Ἑλλάδος ἰθύνουσαν
Τῇ χθονίῃ πέμψῃ δῶρον ἀοιδότατον.

Aliud. 7.

Tertiam charitum à meo rurſus accipe libro
Cæſar æqualis numeri ſignum eloquentiæ,
Nilus vt & hanc per Græciam perrumpentem
Terrenæ mittat donum canoriſſimum.

Ἄλλο.

Ἄλλος μὲν κρύσταλλον, ὁ δ' ἄργυρον, ὃς δὲ, τοπάζους,
Πέμψουσι, πλούτου δῶρα γενεθλίδια·
Ἀλλ' ἴδ' Ἀγριππίνη δύο δίστιχα μοῦνον ἰσώσας,
Ἀρκοῦμαι δώροις ἃ φθόνος οὐ δαμάσει.

Aliud. 8.

Alius quidem cryſtallum, hic verò argentum, hic v. topazos,
Mittunt diuitiarum dona natalitia:
Sed vide Agrippina duo diſticha ſolum æquans,
Sufficio muneribus, quæ haud domat inuidia.

ΚΑΡΚΙΝΟΙ ΣΤΙΧΟΙ ΕΜΜΕΤΡΟΙ,

κατ' ἀναποδισμόν. κεζ ιγζ

Ἀθλήσας ἤδη πόλῳ πηδήσας ἦλθα.
Ἀμήσας ἄρδην, ὀρφηφόρον ἤδρασα σῆμα.
Ἀλίξας ὥρην λιμοφορμίδην, ἤρωσα ξύλα.

CANCRINI VERSVS METRICI PER repedationem, Cap. XIII. 1.

Qui ſaltaui iam per terram ſaltans veni.
Qui abſcindi penitus, tectum ferens ſtabiliui ſepulcrum.
Vitans horam ventilatam, araui ligna.

Εἰς Διομήδους τάφον.

Ἤδη μοι Διὸς ἄρα πηγὴ παρὰ σοὶ Διομήδη.
Νοσῶ σὺ ὃς εἶ ἴαμα Ἰησοῦ, σῶσον.
Νῷ ἑλκτά, μὴ ὀνητά, σοφὸς ἄτη, νοήματα λέων.
Ἱερὰ σὰ παρὰ χείλη ἥλιε χάρα πᾶσα ῥεῖ.
Νίψον αἰομήματα, μὴ μόνον ὄψιν.
Νόμον ὁ κοινὸς ἔχε σὸν οἰκονόμον.
Σοφὸς ἔγωγε ἤδη ὢν ἄνω, χαρᾷ τῶν ἀνωτέρων γελῶ τὰ
Κάτω, λέγων αἲ ὦ παραχῶν ἄνω, ἤδη ἔγωγε σοφός.

In Diomedis ſepulcrum. 2.

Iam mihi Iouis ſanè fons apud te Diomedes.
Ægroto, tu qui es medicamentum Ieſu, ſerua.
Mente ductilia, non proficua, ſapiens damnum, opiniones po-
Sacra tua apud labia ſol, gratia omnis fluit. (pulorum.
Laua peccata, non ſolum faciem.
Legem quiſque habe tuum œconomum.
Sapiens ego iam exiſtens in ſuperis, lætitia ſuperorū, rideo quæ
Sunt infra, dicens: ô quę ſupra perturbationes, iam ego ſapiens.

ΑΠΟ ΚΗΓΩΡΩΝ, κε' ιοδ

Σκάπτειραν κήποιο φιλυδρήλοιο δίκελλαν,
  Καὶ δρεπάνην καυλῶν ἄσκυλον ἐκτομίδα,
Τήν τ' ἐπινωτίδιον βροχετῶν ῥακόεσσαν ἀρωγὸν,
  Καὶ τὰς ἀρρήκτους ἐμβάδας ὠμοβοεῖς,
Τόν τε δι' εὐτρήτοιο πέδου δύνοντα κατ' ἰθὺ,
  Ἀρτιφυοῦς κράμβης πάσσαλον ἐμβολέα.
Καὶ σκάφος ἐξ ὀχετῶν πρασιῆς διψῶσαν ἐγείρειν,
  Αὐχμηροῦ θέρεος οὔποτε παυσάμενον,
Σοί τοι κηπωρὸς Ποτάμων ἀνέθηκε Πρίηπε,

Κτησάμενος ταύτης ὄλβον ἀπ' ἐργασίης.

DE HORTVLANIS.

Cap. XIIII. 1.

Fodientem horti aqua gaudentis ligonem,
Et falcem caulium curuam exsectricem,
Et in dorso laqueorum vilem conseruatricem peram,
Et infractos calceos è corio bouis factos,
Et benè tritum solum ingredientem rectà,
Iam apparentis brassicæ paxillum iniectorem:
Et fossam è riuis ad aream siccam faciendam,
Squalida æstate nunquam cessantem,
Tibi hortulanus Potamon posuit Priapus,
Possidens has opes ex opere.

ΖΩΝΑ.

Ἀρτιχανῆ ῥοιάν τε, καὶ ἀρτίχνουν τόδε μῆλον,
Καὶ ῥυτιδόφλοιον σῦκον ἐπομφάλιον·
Πορφύρεόν τε βότρυν μεθυπίδακα, πυκνόρρωγα,
Καὶ κάρυον λεπτῆς ἀρτίδρεπον λεπίδος,
Ἀγρειώτῃ τῷδε μονοστόρθυγγι Πριήπῳ,
Θῆκεν ὁ καρποφύλαξ δενδριακὴν θυσίην.

ZONÆ. 2.

Maturum pomum Punicum, & lanuginem habens pomum,
Et rugosa cortice ficum rotundum,
Purpureámque vuam vino stillantem, densam,
Et nucem iuglandem tenuis contrategumentum squamæ,
Rustico huic solitario veretro Priapo
Posuit fructuum custos arboream victimam.

Ἀδέσποτον.

Ἀλκιμένης ὁ πενιχρὸς ἐπὶ σμικρῷ τινι κήπῳ
Τοῦ φιλοκαρποφόρου γενόμενος θέρεος,
Ἰσχάδα καὶ μῆλον καὶ ὕδωρ γέρα Πανὶ κομίζω,
Ὅττι σύ μοι βιότου τῶν ἀγαθῶν ταμίας.
Ὧν τὰ μὲν, ἐκ κήποιο, τὰ δ' ὑμετέρης ἀπὸ πέτρης

Δέξο

Δέξο καὶ ἀντιδιδοὺς, δὸς πλέον ὧν ἔλαβες.

Incerti. 3.

Alcimenes pauper paruo in horto
Libenter fructus ferentem perfruens æstatem,
Caricas & pomum, & aquam, munera Pani fero,
Quòd tu mihi vitæ bonorum dispensator.
Quorum hæc quidem in horto, hæc verò vestra ex petra
Accipe: & retribuens da plus quàm acceperis.

ΦΙΛΙΠΠΟΥ.

Ῥοιὴν ξανθοχίτωνα, γεραιόφλοιά τε σῦκα,
Καὶ ῥοδέας σταφυλῆς ὠμὸν ἀποσπάδιον,
Μῆλόν θ' ἡδύπνουν λεπτῇ πεποκωμένον ἄχνῃ,
Καὶ κάρυα χλωρῶν ἐκ φανὲ' ἐκ λεπίδων,
Καὶ σύκιον χλοάοντα τ' ἐν φύλλοις πεδοκοίτην,
Καὶ περκνὴν ἤδη χρυσοχίτων' ἐλαίην,
Σοὶ φιλοδῖτα Πρίηπε φυτοσκάφος ἄνθετο Λάμων,
Δένδρεσι καὶ γυίοις εὐξάμενος θαλέθειν.

PHILIPPI. 4.

Malum punicum flauâ tunicâ, & senili cortice ficum,
Et roseis cum racemis palmitem auulsum,
Pomúmque suauiter spirans, tenui vestitum lanugine,
Et iuglandem viridi apparentem è siliqua,
Et ficum virentem in foliis substratis humi iacentem,
Et nigrum iam aureâ veste oliuæ fructum,
Tibi viatorum amans Priape hortulanus posuit Lamon,
Arboribus & membris precatus valetudinem.

ΑΠΟ ΚΥΝΗΓΩΝ,

ΣΑΤΥΡΙΟΥ εἰς τρεῖς ἀδελφούς,

Θηρευτὴς δολιχὸν τόδε δίκτυον ἄνθετο Δᾶμις,
Πίγρης δ' ὀρνίθων λεπτόμιτον νεφέλην,
Τριγλοφόρους δὲ χιτῶνας ὁ νυκτερέτης θέτο Κλείτωρ

Τῷ Πανὶ, τρισσῶν ἐργασίην καμάτων.
Ἵλαος εὐσεβέεσσιν ἀδελφειοῖς ἐπίνευσον
Πτηνὰ καὶ ἀγροτέρων κέρδεα καὶ νεπόδων.

DE VENATORIBVS, Cap. XV.

SATYRII in tres fratres. 1.

Venator longum hoc rete posuit Damis,
Pigres verò auium tenuibus filis nubem,
Multos ferentia verò retia nocte remigans posuit Cletor
Pani, trium operationem laborum.
Propitius piis fratribus annue
Volucria, & terrestrium lucra & pedibus carentum.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων εἰς τὸ αὐτό.

Γνωτῶν τρισσατίων ἐκ τρισσατίης λίνα θήρης
Δέχνυσο Πάν· Πίγρης σοὶ γὰρ ἀπὸ πτερύγων
Ταῦτα φέρει θηρῶν, Δᾶμις· Κλείτωρ δὲ, θαλάσσης.
Καί σφι δὸς εὔαγρον ἠέρα, γαῖαν, ὕδωρ.

IVLIANI imperatorum in idem. 2.

Fratrum trium ex triplici retia venatione
Accipe Pan: Pigres tibi enim à volucribus
Hæc fert: à feris, Damis: Cletor verò, à mari.
Et illis da bene capere in aëre, terra & aqua.

ΛΕΩΝΙΔΟΥ εἰς τὸ αὐτό.

Οἱ τρισσοί τοι ταῦτα τὰ δίκτυα θῆκαν ὅμαιμοι
Ἀγρότα Πάν, ἄλλης ἄλλος ἀπ᾽ ἀγρεσίης.
Ὧν ἀπὸ μὲν πτηνῶν, Πίγρης τάδε· ταῦτα δὲ Δᾶμις,
Τετραπόδων· Κλείτωρ δ᾽ ὁ τρίτος, εἰναλίων.
Ἀνθ᾽ ὧν τῷ μὲν πέμπε δι᾽ ἠέρος εὔστοχον ἄγρην·
Τῷ δὲ, διὰ δρυμῶν· τῷ δὲ, δι᾽ ἠιόνων.

LEONIDÆ in idem. 3.

Tres hæc retia posuerunt consanguinei,
Rustice Pan, alius ex aliâ prædâ.
A volucribus quidem Pigres hæc. Hæc verò Damis,

A quadrupedibus, Cletor verò tertius, à marinis.
Pro quibus huic quidem mitte per aëra felicem venationem,
Isti verò per nemora, isti denique per littora.

ΑΝΤΙΠΑΤΡΟΥ Σιδωνίου εἰς τὸ αὐτό.

Πανὶ τάδ' αὔθαιμοι τρισσοὶ θέσαν ἄρμενα τέχνης·
Δᾶμις μὲν, θηρῶν ἄρκυν ὀρειονόμων·
Κλείτωρ δὲ, πλωτῶν τάδε δίκτυα· τῶν δὲ πετεινῶν
Ἄρρηκτον Πίγρης τήνδε δεραιοπέδην·
Τὸν μὲν γὰρ ξυλόχων, τὸν δ' ἠέρος, ὃν δ' ἀπὸ λίμνης
Οὔ ποτε σὺν κενεοῖς οἶκος ἔδεκτο λίνοις.

ΑΝΤΙΡΑΤRΙ Sidonij in idem. 4.

Pani hæc consanguinei tres posuerunt instrumenta artis:
Damis quidem ferarum rete in montibus pastorum:
Cletor verò natatilium hæc retia, volucrium verò
Infractum Pigres hunc laqueum:
Hunc etenim è syluis, illum aëre, littoréque istum
Cum vacuis nunquam domus accepit retibus.

ΖΩΣΙΜΟΥ εἰς τὸ αὐτό.

Εἰναλίων Κλείτωρ τάδε δίκτυα, τετραπόδων δὲ,
Δᾶμις, καὶ Πίγρης θῆκεν ἀπ' ἠερίων
Πανὶ, κασιγνήτων ἱερὴ τριάς. ἀλλὰ σὺ θήρην
Ἠερίην πόντῳ κὴν χθονὶ τοῖσδε νέμε.

ZOSIMI in idem. 5.

Marinorum Cletor hæc retia, quadrupedum verò,
Damis, & Pigres posuit marinorum,
Pani, fratrum sancta trias. Sed tu prædam
Aëri, & ponto atque in mare his tribue.

ΑΡΧΙΟΥ εἰς τὸ αὐτό.

Σοὶ τάδε Πὰν σκοπιῆτα πανάγρια δῶρα συναίμοι
Τρίζυγες ἐκ τρισσῆς θέντο λινοστασίης.
Δίκτυα μὲν Δᾶμις θηρῶν· Πίγρης δὲ, πετεινῶν
Λαιμοπέδας· Κλείτωρ δ' εἰνάλιφοιτα λίνα.
Ὧν τὸν μὲν καὶ ἐσαῦθις ἐν ἠέρι, τὸν δ' ἐπὶ θηρσὶν

Auium. Damis verò tertia quadrupedum.
Quibus simul in littoribus, & simul aëreis capturis,
Venatui præses simúlque in marinis vt prius auxiliator ito.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Τρίζυγες οὑρεσίοικοι καὶ σύγγονοι τάδε τέχνας
Ἄλλος ἀπ' ἀλλοίας σοὶ τάδε Πὰν ἔθεσαν.
Καὶ τὰ μὲν ὀρνίθων, Πίγρης· τὰ δὲ δίκτυα θηρῶν,
Δᾶμις· ὁ δὲ Κλείτωρ, εἰναλίων ἔπορεν.
Τῶν, ὁ μὲν, ἐν ξυλόχοισιν· ὁ δ' ἠερίοισιν ἐν ἄγραις
Αἰέν· ὁ δ' ἐν πελάγει εὔστοχον ἄγρην ἔχοι.

Eiusdem in idem. 9.

Tres, in montibus habitans, fratres hæc artis,
Alius ab alia tibi hæc Pan posuere.
Et hæc quidem auium Pigres. Hæc verò retia ferarum,
Damis. Cletor verò marinorum præbuit.
Quorum hic quidem in syluis, hic in aëriis capturis
Semper: hic verò in pelago felicem capturam habeat.

ΑΛΕΞΑΝΔΡΟΥ εἰς τὸ αὐτό.

Πίγρης ὀρνίθων ἄπο δίκτυα, Δᾶμις ὀρείων,
Κλείτωρ δ' ἐκ βυθίων, σοὶ τάδε Πὰν ἔθεσαν,
Ξυνὸν ἀδελφοὶ θήρης γέρας· ἄλλος ἀπ' ἄλλης
Ἱδρυτὰ κἀκ γαίης, ἱδρυτὰ κἀκ πελάγους.
Ἀνθ' ὧν τῷ μὲν, ἁλός· τῷ δ' ἠέρος. ᾧ δ' ἀπὸ δρυμῶν
Πέμπε κράτος ταύτῃ δαῖμον ἐπ' εὐσεβίῃ.

ALEXANDRI in idem. 10.

Pigres auium retia, Damis montanorum,
Cletor verò ex profunditatibus tibi hæc Pan posuere,
Commune fratres capturæ munus, alius ab alia.
Dedicata ex terra dedicata ex mari:
Pro quibus huic quidem maris, huic verò aëris, illi verò à syluis
Mitte robur hanc, ô Deus, ob pietatem.

ΖΩΣΙΜΟΥ Θασίου εἰς τὸ αὐτό.

Σοὶ τάδε Πὰν θηρευτὰ ἀνηρτήσαντο συναίμοι

Δίκτυα, τριχθαδίης δῶρα κυνηγεσίης.

Πίγρης μὲν, πτηνῶν· Κλείτωρ, ἁλός· ὃς δ' ἀπὸ χέρσου,

Δᾶμις, τετραπόδων ἀγκύλος ἰχνελάτης.

Ἀλλὰ σὺ κὴν δρυμοῖσι καὶ εἰν ἁλὶ καὶ διὰ μέσσης

Ἠέρος εὐάγρειν τοῖσδε δίδου κάματον.

ZOSIMI Thasij in idem. 11.

Tibi hæc Pan venator ſuſpenderunt conſanguinei

Retia, trinæ munera venationis.

Pigres quidem auium, Cletor maris; ille verò à littore,

Damis, quadrupedum verſutus veſtigia ſequens.

Sed tu & in ſyluis, & mari, & per medium

Aëra felicem in venationem his da laborem.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Τρισσά τάδε τρισσοὶ θηραγρέται, ἄλλος ἀπ' ἄλλης

Τέχνης, πρὸς νηῷ Πανὸς ἔθεντο λίνα.

Πίγρης μὲν, πτηνοῖσιν ἐφεὶς βόλον· ἐν δ' ἁλίοισι

Κλείτωρ· ἐν θηροὶ, Δᾶμις ἐρημονόμοις.

Τοὔνεκα Πάν, τὸν μέν τι δι' αἰθέρος, ὃν δ' ἀπὸ λόχμης,

Τὸν δὲ, δι' αἰγιαλῶν θὲς πολυαγρότερον.

Eiuſdem in idem. 12.

Tria tres venatores, alius ab alia

Arte, ad templum Panis poſuere lina.

Pigres quidem, volucribus immittens iactum. in marinis verò

Cletor: in feris Damis, in deſertis agentibus.

Ob id Pan hunc quidem in aere, illum verò in ſyluis,

Iſtum verò in littoribus fac multa capientem.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Βεθὺ μὲν ἀγρευτῶν τόδε δίκτυον ἄνθετο θηρῶν

Δᾶμις, καὶ Πίγρης πτηνολέτιν νεφέλην,

Ἁπλωτὸν δ' ἁλὶ τοῦτο μιτορραφὲς ἀμφίβληστρον

Κλείτωρ· οἱ θηρῷ Πανὶ προσευξάμενοι.

Τοὔνεκα Πὰν καὶ τρισσὰ πόρε Δάμιδι λεία θηρῶν,

Πίγρῃ δ' οἰωνῶν, Κλείτορι δ' εἰναλίων.

Eiusdem in idem. 13.

Graue quidem ruralium hoc posuit rete ferarum
  Damis, & Pigres aues perdentem nubem
Simplicissimum verò in mari hoc filis consutum rete
  Cletor, felicis venationis præsidem Pana precantes.
Ob id Pan forti da Damidi prædam ferarum:
  Pigræ, volucrium: Cletori verò marinarum:

ΙΟΥΛΙΑΝΟΥ Διοκλέους εἰς τὸ αὐτό.

Δίκτυά σοι τάδε Πὰν ἀνεθήκαμεν οἶκος ἀδελφῶν
  Οἱ τρεῖς, ἐξ ὀρέων, ἠέρος, ἐκ πελάγους.

* * *

  Δικτυβόλῳ. τοῦτον καὶ ἄγκεσι θηροτρόφοις.
Τὸν τρίτον ἐν πτηνοῖσιν ἐπίβλεπε· τῆς γὰρ ἁπάντων
  Δαῖμον ἔχεις ἡμέων δῶρα λινοστασίης.

IVLIANI Dioclis in idem. 14.

Retia tibi hæc Pan deposuimus domus fratrum,
  Tres, ex montibus, aëre & pelago.

* * *

  Piscatori huic in vallibus feras nutrientibus,
Tertium in volucribus intuere. Omnium enim
  Deus habes nostrorum munera venationis.

ΑΛΦΕΙΟΥ Μιτυληναίου εἰς τὸ αὐτό.

Πανὶ κασιγνήτων ἱερὴ τελάς, ἄλλος ἀπ' ἄλλης
  Ἀνθέτ' ἀπ' οἰκείης σύμβολον ἐργασίης.
Πίγρης ὀρνίθων, ἁλίων ἀπομοίρια Κλείτωρ,
  Ἔμπαλιν ἰθυτενῶν Δᾶμις ἀπὸ σταλίκων.
Ἀνθ' ὧν εὐαγρείην, ᾧ μὲν χθονός, ᾧ δὲ διδοίης
  Ἐξ ἁλός· ᾧ δὲ νέμοις ἠέρος ὠφελίην.

ALPHÆI Mitylenei in idem. 15.

Pani fratrum sancta trinitas alius ab alia
  Posuit domo symbolum operationis.
Pigres auium, à marinis partes Cletor,
  Rursus rectè extensis Damis à furcillis.
Pro quibus felicem venationem, huic quidē terræ, illi v. dones

Ex mari huic verò tribuas aëris emolumentum:

ΛΕΩΝΙΔΟΥ Ταραντίνου.

Ὠκρὺς Θηρίμαχος τὰ λαγωβόλα Πανὶ Λυκαίῳ
    Ταῦτα πρὸς Ἀρκαδικοῖς ἐκρέμασε σκοπέλοις.
Ἀλλὰ σὺ Θηριμάχῳ δώρων χάριν ἀγρότα δαῖμον
    Χεῖρα κατιθύνοις τοξότιν ἐν πολέμῳ·
Ἔν τε συναγκείαισι παρίστασο δεξιτερῇσι,
    Πρῶτα διδοὺς ἄγρης δῶρα κατ᾽ ἀντιπάλων.

LEONIDÆ Tarentini. 16.

Ocres Therimachus leporum retia Pani Lycæo,
    Hæc ad Arcadicos suspendit scopulos.
Sed tu Therimacho munerum gratia rustice Deus
    Manum extendas sagittalem in bello:
Inque amentis præsto es dexteris,
    Prima dans venationis munera contra hostes.

ΠΑΥΛΟΥ σιλεντιαρίου.

Σοὶ τόδε πενταίχμοισι ποδῶν ὡπλισμένον ἀκμαῖς
    Ἀκροχανὲς φονίῃ κρατὶ συνεξερύσας,
Ἄνθετο δέρμα λέοντος ὑπὲρ πίτυν αἰγιπόδη Πάν
    Τεῦκρος Ἄραψ, καὶ τὴν ἀγρότιν αἰγανέην.
Αἰχμῇ δ᾽ ἡμιβρῶτι τύποι μίμνουσιν ὀδόντων,
    Ἧ ἔπι βρυχητὴν θὴρ ἐκένωσε χόλον.
Ὑδριάδες νύμφαι δὲ σὺν ὑλονόμοισι χορείην
    Στῆσαν, ἐπεὶ καὶ ταῖς πολλάκις ἐξεφόβει.

PAVLI Silentiarij. 17.

Tibi hác quinq; cuspides habentibus pedũ armatũ cuspidibus
    Hiante rictu truculento capite contrahens,
Posuit pellem, leonis super pinum, caprinis pedibus Pan
    Teucrus Arabs, & hoc agreste iaculum.
In cuspide arrosâ typi manent dentium,
    In qua horriferam fera euacuauit bilem.
Aquatiles Nymphæ verò cum in syluis degentibus choream
    Statuerunt, postquam & ipsas sæpe perterrefecit.

ΖΩΝΑ

ΖΩΝΑ.

Τοῦτό σοι ὑλήεντα κατ' ἀγριάδος πλατάνοιο
  Δέρμα λυκορραιστὴς ἐκρέμασεν Τελέσων,
Καὶ τὴν ἐκ κοτίνοιο καλαύροπα, τὴν ποκα τῆνος
  Πολλάκι ῥομβητὴν ἐκ χερὸς ἠκροβόλει.
Ἀλλὰ τὺ Πὰν βουνῖτα τὰ μὴ πολύολβά τε δέξαι
  Δῶρα, καὶ εὐαγρεῖν τῷδ' ἐπίνευσον ὄρει.

ZONÆ. 18.

Hoc tibi ô ſyluoſe ad agreſtem platanum
  Corium luporum interemptor poſuit Teleſon,
Et hanc ex olea prædam, quam olim ille
  Sæpius verſatilem ex manu exactè perfecit.
Sed tu Pan montes frequentans hæc paupercula accipe
  Munera, & feliciter venari in hoc annue monte.

ΑΝΤΙΠΑΤΡΟΥ.

Γηραλέον νεφέλας πεῦχος τόδε, καὶ τριέλικτον
  Ἰχνοπέδην, καὶ τὰς νευροτενεῖς παγίδας,
Κλωβούς τ' ἀμφιρρᾶγας, ἀνασπαστούς δέ τε ῥάγχας,
  Καὶ πυρὶ θηγαλέους ὀξυπαγεῖς σάλικας,
Καὶ τὴν εὐκόλλου δρυὸς ἰκμάδα, τόν τε πετεινῶν
  Ἀγρευτὴν ἰξῷ μυδαλέον δόνακα,
Καὶ κρυφίου τρίκλωστον ἐπισπαστῆρα βόλοιο,
  Ἀρκυά τε κλαγγῶν λαιμοπέδην γεράνων,
Σοὶ Πὰν ὦ σκοπιῆτα γέρας θέτο παῖς Νεολάδα,
  Κράμβις ὁ θηρευτής, Ἀρχὰς ἀπ' Ὀρχομενοῦ.

ANTIPATRI. 19.

Vetuſtum retis lacerum hoc, & triplici volumine ſinuatum
  Pedum laqueum, & hos neruo extenſos laqueos,
Retiáque vndique lacera, & auulſos alicũde collũ præfocãtes,
  Et igni acutas fortiter impactas furcillas,
Et bene glutinatum quercus viſcum, & auium
  Venatorem viſco madidum calamum,
Et occulti funem attractorem retis,

Noxámque clangentium guttur præfocantem gruum,
Tibi Pan ſpeculator munus poſuit puer Neoladæ,
Crambis venator Arcas ab Orchomeno.

ΛΕΩΝΙΔΟΥ, ἢ ὡς δέ, ΜΝΗΣΑΛΚΟΥ.

Τὰν ἔλαφον Κλεόλαος ὑπὸ χθαμαλοῖσι λοχήσας,
Ἔκτανε Μαιάνδρου πὰρ τριέλικτον ὕδωρ,
Θῆκε τᾷ σαυρωτῆρι. τὰ δ' ὀκτάρριζα μετώπων
Φράγμαθ' ὑπὲρ κραναὰν ἄλλος ἔπαξε πίτυν.

LEONIDÆ, vt alij MNESALCI. 20.

Ceruum Cleolaus in ſaltibus per inſidias capiens,
Occidit Mæandri apud triplici volumine ſeruatum flumen,
Acuta cuſpide. Sed octo radices habentia frontis
Septa ſuper aſperam alius affixit pinum.

ΑΝΤΙΠΑΤΡΟΥ.

Τὰν ἔλαφον Λάδωνα καὶ ἀμφ' Ἐρυμάνθιον ὕδωρ,
Νῶτά τε θηρονόμου φερβομέναν Φολόης,
Παῖς ὁ Θεαρίδεω Λασιώνιος εἷλε Λυκόρμας,
Πλήξας ῥομβωτῷ δούρατος οὐριάχῳ·
Δέρμα δὲ καὶ δικέραιον ἀπὸ στόρθυγγα μετώπων
Σπασάμενος κούρᾳ θῆκε παρ' ἀγροτέρᾳ.

ANTIPATRI 21.

Ceruum Ladonem & circa Erymanthiam aquam;
Dorſáque feras paſcentes Pholoës,
Puer Thearidæ hiſpidus traxit Lycormas,
Oblongo feriens haſtæ cuſpide:
Pellem verò & bicornem ramum à fronte
Auellens puellam poſuit apud agreſtem: *id eſt Dianam.*

ΣΙΜΜΙΟΥ.

Δέρμα καὶ ὀργυιῶα κέρα βοὸς ἐκ βασιλῆος.
Ἀμφιτρυωνιάδᾳ κεῖνθ' ἀνὰ πρόπυλον,
Τεσσαρακαιδεκάδωρα· ὃν αἰχήεντα Φιλίππῳ
Ἀντόμενον, κατὰ γᾶς ἔλασε δῖος ἄχων,
Βούβοτον Ὀρβηλοῖο παρὰ σφυρόν. ἁ πολύολβος

Ημαθία τοίῳ κραίνεται ἀγεμόνι.

SIMMII. 22.

Pellis, & quatuor cubitûm cornua bouis è rege
Amphitryoniade iacemus ad fanum,
Quatuordecim munera: quem gloriantem Philippo
Obuium ad terram deflexit graue venabulum,
Boues pascentem Orbeli ad pedem. Diues
Emathia tali imperatur duce.

ΑΝΤΙΠΑΤΡΟΥ εἰς τὸ αὐτό.

Τὸν πάρος Ὀρβηλοῖο μεμυκότα δειράσι ταῦρον,
Τὸν πρὶν ἐρημαίην θῆρα Μακηδονίας,
Δαρδανέων ὀλετῆρ', ὁ κεραύνιος εἷλε Φίλιππος,
Πλήξας αἰγανέᾳ βρέγμα κυναγετιδι.
Καὶ τάδε σοι βλοσυρᾶς Ἡράκλεες οὐ δίχα βύρσας
Θῆκεν ἀμαιμακέτου κρατὸς ἔρεισμα κέρα.
Σᾶς τοι ὅδ' ἐκ ῥίζας ἀναδέδρομεν. οὔτι ἀεικὲς
Πατρῴας ζαλοῦν ἔργα βοοκτασίας.

ANTIPATRI in idem. 23.

Prius Orbeli qui mugiit in iugibus taurum,
Prius desertam feram Macedoniæ,
Dardaniorum perniciem fulmineus cepit Philippus,
Percutiens tragulâ cerebrum venatoriâ.
Et hæc tibi horrenda Hercules non sine pelle
Posuit indomiti capitis fulcimentum cornua.
Tua sanè ex radice excurrimus. Neque absurdum
Paternæ imitari opera boum occisionis.

ΣΙΜΜΙΟΥ εἰς τὸ αὐτό.

Σοὶ γέρας Ἀλκείδα μιναμάχε τοῦτο Φίλιππος
Δέρμα ταναιμύκου λευρὸν ἔθηκε βοός,
Αὐτοῖς σὺν κεράεσσι τὸν ἐν βρέγμῳ κυδιόωντα
Ἔσβεσεν Ὀρβήλου πηχυιὸν ὑπὸ πρόποδα.
Ὁ φθόνος αὐαίνοιτο· τεὸν δ' ἔτι κῦδος ἀέξοι
Ῥίζα Βεργιαίου κραίνοισα Ἠμαθίας.

SIMMII in idem. 24.

Tibi munus Alcida Minyarum domitor hanc Philippus
Pellem longę ceruicis albam posuit bouis,
Ipsis cum cornuis: caput verò iactantem
Extinxit Orbeli horridum ad pedem montis.
Inuidia extabescat: tuam verò adhuc gloriam augeat
Radix Berœææ imperatoris Emathiæ.

ΑΝΤΙΠΑΤΡΟΥ.

Α φόρμιγξ, τά τε τόξα, καὶ ἀγκύλα δίκτυα Φοίβῳ,
Σώσιδος, ἔκ τε Φίλας, ἔκ τε Πολυκράτεος.
Χὠ μὲν ὀϊστευτὴρ, κεραὸν βιόν· ἁ δὲ λυρῳδὸς,
Ταὶ χέλυν· ὠ᾽γρευτὴρ ὤπασε πλεκτὰ λίνα.
Ἀλλ᾽ ὁ μὲν, ὠκυβόλων ἰῶν κράτος, ἁ δὲ φέροιτο
Ἄκρα λύρας, ὁ δ᾽ ἔχοι πρῶτα κυναγεσίας.

ANTIPATRI. 25.

Cithara, & arcus, & curua hæc retia Phœbo,
Soside, & ex Phila, & ex Polycrate.
Et hic quidem sagittarius è cornu arcum: hic verò lyrâ canens,
Testudinem: ille verò venator, præbuit plexa retia.
Sed hic quidem velociter proiectarum sagittarum robur, hæc verò ferat
Summa lyræ, iste verò habeat primas venationis.

Ἄδηλον.

Κνωσσίδες θαρσεῖτε. τὰ γὰρ τοῦ Κρητὸς Ἐχέμμα
Κεῖται ἐν Ὀρτυγίῃ τόξα παρ᾽ Ἀρτέμιδι,
Οἷς ὑμέων ἐκένωσεν ὄρος μέγα. νῦν δὲ πέπαυνται
Αἶγες, ἐπεὶ σπονδὰς ἡ θεὸς εἰργάσατο.

Incerti. 26.

Ceruæ confidite. Cretensis enim Echemmæ
Iacent in Ortygia arcus apud Latonam,
Quibus à vobis vacuauit montem magnum. Iam verò quiescũt
Capræ, cùm inducias dea fecerit.

ΑΙΣΙΔΟΣ.

Καὶ στάλικας, καὶ πτῶνα λαγωβόλα, σοὶ τάδε Μνήσων

Φοῖβε σοὶ ἰξευταῖς ἐκρέμασεν καλάμοις·
Ἔργων ἐξ ὀλίγων ὀλίγην δόσιν· ἢν δέ τι μεῖζον
Δωρήσῃ, τίσει τῶνδε πολυπλάσια.

ÆGIDIS. 27.

Et furcillas, & volucria tela quibus lepores petuntur, tibi hæc Medon
Phœbe cum venatoriis suspendit calamis:
Operibus ex paucis paruum munus: vbi verò quid maius
Dederis, persoluet hisce longe plura.

ἈΓΑΘΙΟΥ σχολαστικοῦ.

Σοὶ μάκαρ Αἰγίκεραν, παράκτιον ἐς σκοπιὴν
Τὸν τράγον ἐκ διπλῆς ἄγετο θηροσύνας.
Σοὶ γὰρ καστορίδων ὑλακαὶ καὶ τρίστομος αἰχμὴ
Εὔαδε, καὶ ταχινῆς ἔργα λαγοσφαγίης·
Δίκτυά τ' ἐν ῥοθίοις ἁπλούμενα, καὶ καλαμευτὴς
Κάμνων, καὶ μογερῶν πεῖσμα σαγηνοβόλων.
Ἄνθετο δὲ Κλεώνικος, ἐπεὶ καὶ πόντιον ἄγρην
Ἤνυε, καὶ πτῶκας πολλάκις ἐξεφόβει.

AGATHII scholastici. 28.

Tibi beate capripes littoream ad speculam
Hircum ex duplici adducit venatione.
Tibi enim canum latratus & trimucro cuspis
Placuit, & velocis opera leporum occisionis:
Retiáque in alto expansa, & piscator
Calamus, & laboriosæ funis iactus lagenæ.
Posuit verò Cleonicus, postquam & marinam piscationem
Perfecit, & lepores sæpius perterrefecit.

ΑΠΟ ΚΙΘΑΡΩΔΩΝ, κεφ. ις.

ΠΑΥΛΟΥ σιλεντιαρίου.

Τὸν χάλκεον τέττιγα Λυκωρέϊ Λοκρὸς ἀνάπτει
Εὔνομος, ἀθλοσύνας μνᾶμα φιλοστεφάνου.

Ηι γὰρ ἀγὼν φόρμιγγος, ὁ δ' ἀντίος ἵστατο Παρθυς.
Ἀλλ' ὅκα δὴ πλήκτρῳ Λοκρὶς ἔκρεξε χέλυς,
Βραγχὸν τετριγυῖα λύρας ἀπεκόμπασε χορδά.
Πρὶν δὲ μέλος σκάζειν εὔποδος ἁρμονίης,
Ἁβρὸν ἐπιτρύζων κιθάρας ὑπερέζετο τέττιξ,
Καὶ τὸν ἀποιχομένου φθόγγον ὑπῆλθε μίτου·
Ταὶ δὲ πάρος λαλαγεῦσαν ἐν ἄλσεσιν ἀγρότιν ἠχὼ
Πρὸς νόμον ἁμετέρας τρέψε λυροκτυπίης.
Τῷ σε μάκαρ Λητῷε τεῷ τέττιγι γεραίρει,
Χάλκεον ἱδρύσας ᾠδὸν ὑπὲρ κιθάρας.

DE CITHAROEDIS, Cap. XVI.

PAVLI Silentiarij.

Æream testudinem Apollini Lycoreo Locrus suspendit
Eunomus, certaminis monumentum corona gaudentis.
Erat enim certamen citharę. Contra verò stabat Parthys:
Sed cum plectro Locris resonabat testudo,
Raucę strepens lyræ fracta exsiliit chorda.
Ne verò cantus claudicaret concinnæ concordantiæ,
Suauiter cantillans citharæ insidebat cicada,
Et quæ perierat vocem subiit chordæ:
Prius verò resonantem in syluis agrestem sonitum
Ad legem nostræ conuertit percussionis lyræ.
Quâ te beate Apollo tuâ cicadâ veneratur,
Æreum fabricans cantorem super citharâ.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Τὴν κιθάρην Εὔμολπος ἐπὶ τριπόδων ποτὶ Φοίβῳ
Ἄνθετο, γηραλέῃ χεῖρ' ἐπιμεμφόμενος.
Εἶπε δὲ, μὴ ψαύσαιμι λύρης ἔτι, μηδ' ἐθελήσω
Τῆς πάρος ἁρμονίης ἐμμελέτημα φέρειν.
Ἠιθέοις μελέτω κιθάρης μίτος· ἀντὶ δὲ πλήκτρου

Σκηπτωνίῳ τρομερὰς χεῖρας ἐρεισόμεθα.

MACEDONII Consulis. 2.

Citharam Eumolpus in tripodibus quondam Phœbo
Posuit, senilem manum reprehendens.
Dixit verò, non tangam citharam vlterius, neque voluero
Prioris harmoniæ exercitium ferre.
Iuuenibus curæ sit citharæ fides: pro plectro verò
Scipione trepidas manus confirmabimus.

ΛΕΩΝΙΔΟΥ.

Οὐ μόνον ὑψηλοῖς ἀπὸ δένδρεσιν οἶδα καθίζων
Ἀείδειν, ζαθερεῖ καύματι θαλπόμενος,
Πρόικος ἀνθρώποισι καλοῦ ὑμνητὴς ἀοιδός,
Θηλείης ἔρσης ἰκμάδα γευόμενος·
Ἀλλὰ καὶ εὐπήληκος Ἀθηναίης ἐπὶ δουρὶ
Τόν τέττιγ' ὄψεαι μ' ὦ νερ ἐφεζόμενον.
Ὅσσον γὰρ μούσαις ἐστέργμεθα, τόσσον Ἀθήνη
Ἐξ ἡμέων. ἡ γὰρ παρθένος αὐλοθετεῖ.

LEONIDAE. 3.

Non solùm altis in arboribus noui sedens
Canere, ardenti calore calefactus,
Gratis modulans viatoribus cantor,
Nutritiæ terræ humorem gustans:
Sed etiam pulchra galea ornatæ Mineruæ in hasta
Cicadam videbis me vir insidentem.
Quantum enim à musis diligimur, tantum Minerua
A nobis. Hæc enim virgo delectatur cantu.

ἈΔΗΛΟΝ.

Τὸν νυμφῶν θεράποντα, φιλόμβριον, ὑγρὸν ἀοιδὸν,
Τὸν λιβάσιν κούφαις τερπόμενον βάτραχον,
Χαλκῷ στηλώσας τις ὁδοιπόρος, εὖχος ἔθηκεν,
Καύματος ἐχθροτάτην δίψαν ἀκεσσάμενον.
Πλαζομένῳ γὰρ ἔδειξεν ὕδωρ εὔκαιρον, ἀείσας
Κοιλάδος ἐκ δροσερῆς ἀμφιβίῳ στόματι.

Φωνὴν δ' ἡγήτειραν ὁδοιπόρος οὐκ ἀπολείπων.

* * *

Incerti. 4.

Nympharum famulum, rore gaudentem, humidũ cantorem,
Et guttis leuibus delectantem se ranam,
Ærea statua erigens quis viator, votum posuit,
Caloris infestissimæ siti quod mederetur.
Erranti enim monstrauit aquam opportunam, canens
Valle concaua ex humida amphibio ore.
Vocem verò ducentem viator non relinquens,

* * *

ΑΠΟ ΜΑΓΕΙΡΩΝ. κεφ. ιζ.

ΦΙΛΙΠΠΟΥ.

Ξίφη τὰ πολλῶν κνωδάλων λαιμητόμα,
Πυριζόφους τε ῥιπίδας πυρηνέμους,
Ἰθμόν τε πουλύτρητον, ἠδὲ τετράπουν
Πυρὸς γέφυραν ἐσχάραν κρεηδόχον,
Ζωμήρυσίν τε τὴν λίπους ἀφρηλόγον,
Ὁμοῦ κρεάγρῃ τῇ σιδηροδακτύλῳ,
Βραδυσκελὴς Ἥφαιστε, σοὶ Τιμασίων
Ἔθηκεν, ἀκμῆς γυίων ὀρφανισμένος.

DE COQVIS, Cap. XVII.

PHILIPPI. 1.

Gladios multarum bestiarum guttur incidentes,
Et ignem nutrientia flabella ignem ventilantia,
Cribrúmque multiforaminosũm, & quadrupedem
Ignis pontem cratem carnes capientem,
Spumatoriúmque instrumentum adipis spumam demens,
Vna cum harpagine ferreos digitos habente,
Claudicans Vulcane, tibi Timasion
Posuit, vigore membrorum priuatus.

ΑΡΙΣΤΩΝΟΣ.

Χύτρον τοι, ταύτην τε κρεαγρίδα, καὶ βαθυκαμπῆ
  Κλεῖδα συῶν, καὶ τὰν ἐτνοδόχον τορύναν,
Καὶ πτερίναν ῥιπίδα, ἠδὲ χαλκόν τε λέβητα
  Σὺν πελέκει, καὶ τὴν λαιμοτόμον σφαγίδα,
Ζωμοῦ τ' ἀμφ' ὀβελοῖσιν ἀρυστρίδα, τάν τε μαγεῖαν
  Σπόγγον ὑπὸ στιβαρᾷ κεκλιμένον κοπίδι,
Καὶ τοῦτον δικάρανον ἀλετρίβα, σὺν δὲ θυείαν
  Εὔπετρον, καὶ τὴν κρεοδόχον σκαφίδα,
Ὀψοπόνος Σπινθὴρ Ἑρμῇ τάδε σύμβολα τέχνας
  Θήκατο, δουλοσύνας ἄχθος ἀποσσάμενος.

ARISTONIS. 2.

Ollam, & hanc harpaginem carnium, & profundè incuruatam
  Clauem suum, & fabam capientem tudeculam,
Et pennis contextum flabellum, & æreum lebetem
  Cum bipenni, & guttur incidentem gladium,
Iurísque circa veru haustricem, & abstergentem
  Spongiam sub valido iacentem cultro,
Et hoc biceps pistillum, & vna mortarium
  Ex petra benefactum, & carnes capientem scapham,
Obsoniator Spinter Mercurio hæc symbola artis
  Deposuit, seruitutis onus abiiciens.

ΑΠΟ ΜΕΘΥΣΩΝ κεφ. ιη.

ΕΡΑΤΟΣΘΕΝΟΥΣ.

Οἰνοπότης Ξενοφῶν κενεὸν πίθον ἄνθετο Βάκχῳ.
  Δέχνυσο δ' εὐμενέως· ἄλλο γὰρ οὐδὲν ἔχω.

DE EBRIIS. Cap. XVIII.

ERATOSTHENIS. 1.

Vinibiba Xenophon vacuum dolium posuit Baccho.
  Accipe verò humaniter: aliud enim nihil habeo.

ΕΙΣ ΝΑΟΥΣ, κεφ. ιθʹ.

ΣΙΜΩΝΙΔΟΥ.

Τόνδέ ποθ' Ἕλληνες ῥώμῃ χερὸς, ἔργον Ἄρηος,
Εὐτόλμῳ ψυχῆς λήματι πειθόμενοι,
Πέρσας ἐξελάσαντες, ἐλεύθερον Ἑλλάδι κόσμον,
Ἱδρύσαντο Διὸς βωμὸν ἐλευθερίου.

IN TEMPLA, Cap. XVIIII.

SIMONIDIS. I.

Hoc quondam Græci robore manus, opus Martis,
Audaci animi fiducia confisi,
Persas expellentes, liberum Græciæ ornatum,
Ædificarunt Ioui altare liberali.

ΑΠΟ ΝΑΥΤΩΝ, κεφ. κʹ.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Νῆα Ποσειδάωνι πολύπλανος ἄνθετο Κράντος,
Ἔμπεδον ἐς νηοῦ πέζαν ἐρεισάμενος,
Αὔρης οὐκ ἀλέγουσαν ἐπὶ χθονός. ἧς ἔπι Κράντης
Εὐρὺς ἀνακλινθεὶς ἄτρομον ὕπνον ἔχει.

DE NAVTIS, Cap. XX.

MACEDONII consulis. I

Nauem Neptuno multiuagus posuit Crantus,
Firmiter in templi fundamentum innixus,
Ventum non curans in terra, in qua *terra* Crantus
Latum recubans intrepidus somnum habet.

Ιου αὐτοῦ εἰς τὸ αὐτό.

Νῆά σοι ὦ πόντου βασιλεῦ, καὶ κοίρανε γαίης,
Ἀντίθεμαι Κράντος μηκέτι τεγγόμενον·
Νῆα, πολυπλανέεσσιν ἀνέμοισι πτερόν· ἧς ἔπι δειλὸς

Πολλάκις ᾠησάμην εἰσελάαν ἀΐδην.
Πάντα δ' ἀπειπάμενος φόβον, ἐλπίδα, πόντον, ἀέλλας,
Πιστὸν ὑπὲρ γαίης ἴχνιον ἡδρασάμην.

Eiuſdem in idem. 2.

Nauem tibi ô ponti rex, & domine terræ,
Poſui Crantus non amplius madefaciendam:
Nauem multiuagorum ventorum alam: in qua miſer
Sæpius infernum me inſiluiſſe ratus.
Omnia verò recuſans, metum, ſpem, pontum, procellas,
Fidum ſuper terra veſtigium firmaui.

ΑΠΟ ΝΑΥΗΓΩΝ, [illegible] [illegible]

ΛΟΥΚΙΑΝΟΥ.

Γλαύκῳ, καὶ Νηρεῖ, καὶ Ἰνοῖ, καὶ Μελικέρτῃ,
Καὶ βυθίῳ Κρονίδῃ, καὶ Σαμόθρηξι θεοῖς,
Σωθεὶς ἐκ πελάγους Λουκίλλιος, ὧδε κέκαρμαι
Τὰς τρίχας ἐκ κεφαλῆς. ἄλλο γὰρ οὐδὲν ἔχω.

DE NAVFRAGIS, Cap. XXI.

LVCIANI. 1.

Glauco & Nereo, & Ino, & Melicertæ,
Et profundo Ioui, & Samothracibus diis,
Seruatus in pelago Lucillius, ſic totondi
Crines ex capite. Aliud enim nihil habeo.

ΛΟΚΙΛΛΙΟΥ.

Εἰκόνα τῆς κήλης Διονύσιος ὧδ' ἀνέθηκε,
Σωθεὶς ἐκ ναυτῶν τεσσαράκοντα μόνος.
Τοῖς μηροῖς αὐτὴν γὰρ ὑπερδήσας ἐκολύμβα.
Ἔστω καὶ κήλης ἔν τισιν εὐτυχίη.

LVCILLII. 2.

Imaginem herniæ Dionyſius ſic poſuit,
Seruatus ex nautis quadraginta, ſolus.

In femore enim ipſum ſuperligans enatauit.
Sit quoque in quibuſdam & hernia fęlicitas.

ΑΠΟ ΝΕΩΝ, κεφ. κβ.

ΘΕΟΔΩΡΙΔΟΥ.

Αλικες αἵ τε κόμαι καὶ ὁ Κρώβυλος, ἃς ἀπὸ Φοίβῳ
Πέξατο μολπαστὰς κῶμος ὁ τετραέτης.
Αἰχμητὴν δ' ἀπέθυσεν ἀλέκτορα καὶ πλακόεντα
Παῖς Ἡγησιδίκου πίονα τυρόφορον.
Ὦ πολλοὶ, θείης τὸν Κρώβυλον εἰς τέλος ἄνδρα,
Οἴκου καὶ κτεάνων χεῖρας ὕπερθεν ἔχειν.

DE IVVENIBVS, Cap. XXII.

THEODORIDÆ. 1.

Pueriles hæ ſunt comæ,& puerorum villus, quos ab Apolline
Detotondit cantator laſciuia quadriennalis,
Bellatorem verò ſacrificauit gallum & placentam
Puer Hegeſidici pinguem caſeatam.
O Apollo ponas Crobylum in perfectionem viri.
Domus,& opes manum ſuper habere.

Τοῦ αὐτοῦ.

Καλῷ σὺν τέττιγι Χαρισθένεος τρίχα τήνδε
Κουρόσυνοι, κούραις θῆκ' ἀμφιεωθιάσι,
Σὺν βοὶ χερνιφθέντα. παῖς δ' ἶσον ἀστέρι λάμπει,
Πωλικὸν ὡς ἵππος χνοῦν ἀποσεισάμενος.

Eiuſdem. 2.

Pulchrâ cum cicadâ Chariſthenes capillum hunc
Detonſum, deabus depoſuit horarum & lucis præſidibus,
Cum boue immolato. Puer verò ſimilis ſtellis lucet,
Pullinam vt equus raſionem deponens.

ΚΡΙΝΑΓΟΡΟΥ.

Ἑσπερίου Μάρκελλος ἀνερχόμενος πολέμοιο

Σκυλοφόρος κραναῆς τέρμα πρὸς Ἰταλίης,
Ξανθὴν πρῶτον ἔκειρε γενειάδα. βούλετο πατρὶς
Οὕτω καὶ πέμψαι παῖδα, καὶ ἄνδρα λαβεῖν.

CRINAGORÆ. 3.

Vespertino Marcellus rediens ex bello
Spolifer asperæ ad metam Italiæ,
Flauum prius detondit mentum Voluit patria
Sic etiam mittere puerum,& virum recipere.

Ἀδήλου.

Ὥριον ἀμήσαντας ἀπὸ κροτάφοισιν ἰούλους
Κειράμενος, γενύων ἄρσενας ἀγγελίας,
Φοίβῳ θῆκε Λύκων πρῶτον γέρας. εὔξατο δ' οὕτως
Καὶ πολιὴν λευκῶν κεῖραι ἀπὸ κροτάφων.

Incerti. 4.

Tempestiuè florentes in capite lanugines
Detondens mentorum viriles annunciationes,
Phœbo posuit Lycon primum munus. Precabatur autem sic
Et canos capillos detondere è capite.

ΑΠΟ ΠΑΙΖΟΝΤΩΝ, κβ' κγ'

ΛΕΩΝΙΔΟΥ.

Εὔφημόν τοι σφαῖραν, ἐϋκρόταλόν τε Φιλοκλῆς
Ἑρμείῃ ταύτην πυξινέην πλατάγην,
Ἀστραγάλους θ' οἷς πόλλ' ἐπεμήνατο, καὶ τὸν ἑλικτὸν
Ῥόμβον, κουροσύνης παίγνι' ἀνεκρέμασεν.

DE LVDENTIBVS, Cap. XXIII.

LEONIDÆ. I.

Laudatam pilam,& bene resonantem Philocles
Mercurio hanc buxeam platagen,
Et astragalos quibus multum vehementer lusit,& versatilem
Rhombum, pueritiæ ludicra suspendit.

ΑΣΚΛΗΠΙΑΔΟΥ.

Νικίας τοὺς παῖδας, ἐπεὶ καλὰ γράμματ' ἔγραψε,

Κώναρος, ὀγδώκοντ' ἀστραγάλους ἔλαβεν.
Κἀμὲ χάριν μοίσης τὸν κωμικὸν ὧδε Χάρητα
Πρεσβύτην θορύβῳ θῆκέ με παιδαρείων.

ASCLEPIADÆ. 2.

Vincens condiſcipulos poſtquam pulchras litteras ſcripſiſſet,
Conarus octoginta aſtragalos accepit.
Et me muſæ gratia Comicum ſic Charetem
Senem in gymnaſio poſuit puerorum.

ΑΠΟ ΠΟΙΜΕΝΩΝ, κεφ. κδ.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Δικραίρῳ δικέρωτα, δασυκνάμῳ δασυχαίταν
Ἴξαλον, εὐσκάρθμῳ λόχμιον, ὑλοβάτᾳ
Πανὶ φιλοσκοπέλῳ, λάσιον παρὰ πρῶνα Χαρικλῆς
Κνακὸν ὑπηνήταν τόνδ' ἀνέθηκε τράγον.

DE PASTORIBVS, Cap. XXIIII.

AGATHII Scholaſtici. 1.

Bicipiti bicornem, piloſas tibias habenti denſum pilis
Saltantem, veloci ſylueſtrem, in ſyluis agenti
Pani ſcopulis gaudenti villoſo in vertice Charicles
Albidum barbatum hunc poſuit hircum.

ΛΕΩΝΙΔΟΥ.

Τοῦτο χιμαιροβάτα Τελέσων αἰγίνυχι Πανὶ
Τὸ σκύλος ἀγρείης τεῖνε κατὰ πλατάνου,
Καὶ τὴν ῥαιβόκρανον εὐστόρθυγγα κορύναν,
Ἃ πάρος αἱμωποὺς ἐστυφέλιξε λύκους,
Γαυλούς τε γλαγοπῆγας, ἀγωγαῖόν τε κυνάγχαν,
Καὶ τῶν εὐρίνων λαιμοπέδαν σκυλάκων.

LEONIDÆ. 2.

Hanc, capreas ineunti, Teleſon, capripedi Pani
Pellem agreſtem extendit ad platanum,
Et hanc capite incuruam è valido ſtipite clauam,

Quâ prius sanguineos duriter verberauit lupos,
Mulctrámque in qua lac concrescit, ductricémque numellam,
Et bene odorantium collare canum.

ΙΩΑΝΝΟΥ ποιητοῦ τοῦ βαρβουκάλλου.

Γάθοι καὶ Παφίᾳ, πακτὴν καὶ κηρία σίμβλων
Τῆς καλυκοστεφάνου νυμφίος Εὐρυνόμης,
Ἑρμοφίλας ἀνέθηκεν ὁ βουκόλος. ἀλλὰ δέχοισθε
Ἀντ᾽ αὐτᾶς, πακτὴν· ἀντ᾽ ἐμέθεν, τὸ μέλι.

IOANNIS poëtæ Barbucalli. 3.

Suadæque & Paphiæ caseum & fauum ex aluicari
Floribus ornatæ sponsus Eurynomæ,
Hermophilas posuit pastor. Sed accipite
Pro ipsa caseum, pro me verò mel.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Δάφνις ὁ συριγκτὰς τρομερῷ περὶ γήραϊ κάμνων,
Χεῖρος ἀεργηλᾶς τάνδε βαρυνομέναν
Πανὶ φιλαγραύλῳ νομίαν ἀνέθηκε κορύναν,
Γήραϊ ποιμνίων παυσάμενος καμάτων.
Εἰσέτι γὰρ σύριγγι μελίσδεται, εἰσέτι φωνὰ
Ἄτρομος ἐν τρομερῷ σώματι ναιετάει.
Ἀλλὰ λύκοις σίντησιν ἀν᾽ οὔρεα μήτις ἐμεῖο
Αἰπόλος ἀγγείλῃ γήραος ἀδρανίην.

MACEDONII Consulis. 4.

Daphnis fistulator trepida in senectute laborans,
Manus inertis huius grauatam
Pani stabulos amanti pastoralem posuit clauam,
In senio à pastoralibus quiescens laboribus.
Adhuc enim fistulâ canit, & adhuc vox
Intrepida in trepido ore habitat.
Sed lupis noxiis in montibus nequis meam
Pastor annunciet senectutis infirmitatem.

Ἀδεσπότου.

Αὐλοὺς Πανὶ Μελίσκος, ὁ δ᾽ ἔννεπε μή γῆρας αἱρεῖν

Τούτοις ἐκ καλάμων οἶστρον ἐπεσπασάμην.

Incerti. 5.

Tibias Pani Meliscus. hic verò dixit non munus relaturum
Ex his: ex calamis enim insaniam contraxi.

ΑΝΥΤΗΣ.

Φριξοκόμᾳ τόδε Πανὶ καὶ αὐλιάσιν θέτο Νύμφαις
Δῶρον ὑπὸ σκοπιᾶς Θεύδοτος οἰονόμος,
Αἵ μιν ὑπὸ ζαθέοιο θέρους μέγα κεκμηῶτα
Παῦσαν, ὀρέξασαι χερσὶ μελίχροον ὕδωρ.

ANYTES. 6.

Horricomo hoc Pani, & stabulariis posuit Nymphis
Munus è specula Theodotus ouium pastor.
Quæ ipsum in sancta æstate valde laborantem
Quietum reddiderunt, præbentes manibus suauem aquam.

ΑΠΟ ΣΤΡΑΤΙΩΤΩΝ.

ΣΙΜΩΝΙΔΟΥ.

Τόξα τάδε πτολέμοιο πεπαυμένα δακρυόεντος,
Νηῷ ὑπ' Ἀθηναίης κεῖται ὑπωρόφια,
Πολλάκι δὴ στονόεντα κατὰ κλόνον ἐν δαῒ φωτῶν
Περσῶν ἱππομάχων αἵματι λουσάμενα.

DE MILITIBVS, Cap. XXV.

SIMONIDIS. I.

Arcus hi à bello cessantes lacrumoso,
Templo in Minotuæ depositi sunt sub lecto,
Sæpius gemebundo in tumultu & ardenti pugna hominum,
Persarum ex equis pugnantium sanguine loti.

ΜΝΗΣΑΡΧΟΥ.

Σοὶ μὲν καμπύλα τόξα, καὶ ἰοχέαιρα φαρέτρα,
Δῶρα παρὰ Γεσμάχου Φοῖβε τάδε κρέμαται·
Ιοὺς δὲ πτερόεντα ἀνὰ κλόνον ἄνδρες ἔχουσι

Ἐν χερ.

Ἐν κραδίαις, ὀλοὰ ξείνια δυσμενέων.

MNESARCHI. 2.

Tibi quidem curuos arcus & telis gaudentes pharetras,
Munera à Promacho Phœbo hæc sunt suspensa:
Tela verò volantia per pugnam viri habens
In cordibus, perniciosa munera hostium.

ΑΝΤΙΠΑΤΡΟΥ Σιδωνίου.

Τὰν πρὶν Ἐνυαλίοιο καὶ εἰράνας ὑποφᾶτιν,
Μέλπουσαν κλαγγὰν βάρβαρον ἐκ στομάτων,
Χαλκοπαγῆ σάλπιγγα, γέρας Φερένικος Ἀθάνᾳ
Λήξας καὶ πολέμου καὶ θυμέλας, ἔθετο.

ANTIPATRI Sidonij. 3.

Prius Martis & pacis functionem,
Canentem clangorem barbarum ex ore,
Ex ære constructam tubam, munus Pherenicus Palladi
Desinens & bellum & sacrificia posuit.

ΣΙΜΩΝΙΔΟΥ.

Οὕτω τοι μελίη ταναὴ ποτὶ κίονα μακρὸν
Ἧσο, πανομφαίῳ Ζηνὶ μένουσ᾽ ἱερά.
Ἤδη γὰρ χαλκός τε γέρων, αὐτή τε τέτρυσαι,
Πυκνὰ κραδαινομένη δηΐῳ ἐν πολέμῳ.

SIMONIDIS. 4.

Sic sane fraxinea oblonga(hasta)ad columnam longam
Posita sis, omnium diuinorũ responsorũ auctori Ioui manens sacra.
Iam enim mucro senex, & tu ipsa detrita es,
Sæpius vibrata infesto in bello.

ΠΑΥΛΟΥ σιλεντιαρίου.

Ἀσπίδα ταυρείην ἔρυμα χροός, ἀντιβίων τε
Πολλάκις ἐγχείων γευσαμένην χαλάζων,
Καὶ τὸν ἀλεξιβέλεμνον ἀπὸ στέρνοιο χιτῶνα,
Καὶ κόρυν, ἱππείαις θριξὶ δασυνομένην,
Ἄνθετο Λυσίμαχος γέρας Ἄρει, γηραλέον νῦν
Ἀντὶ πανοπλίης βάκτρον ἀμειψάμενος.

PAVLI Silentiarij. 5.

Scutum taureum munimen cutis, hostiumque
Sæpius hastam gustantem intestina,
Et tela auertentem à pectore thoracem,
Et galeam equinis setis horrentem,
Posuit Lysimachus munus Martis senem nunc
Pro panoplia baculum senilem permutans.

Τοῦ αὐτοῦ.

Ζηνὶ τόδ' ὀμφάλιον σάκεος τρύφος, ᾧ ἔπι λαιὴν
Ἔσχεν ἀριστεύων, ἄνθετο Νικαγόρας.
Πᾶν δὲ τὸ λοιπὸν, ἄκοντες, ἰσήριθμοί τε χαλάζῃ
Χερμάδες, καὶ ξιφέων ἐξεκόλαψε γένυς.
Ἀλλὰ καὶ ἀμφίδρυπτον ἐὸν τόδε, χεῖρα μεναίχμαν
Σώζετο Νικαγόρεω, σῶζε δὲ Νικαγόρην.
Θεσμὸν τὸν Σπάρτης μὲν ἐφύλαξεν ἀμφὶ βοείᾳ
Τῇδέ τις ἀθρήσει πάντα φυλασσόμενον.

Eiusdem. 6.

Ioui hoc rotundum clypei fragmentum, sub quo sinistram
Habebat pugnans, posuit Nicagoras.
Omne vero reliquum, tela & grandini æqualia
Saxa manualia, & gladiorum amputarunt dentes.
Sed etiã vndiq; laceratus vmbo hic, manu prælio perseueráte
Seruabatur Nicagoræ, seruabat & Nicagoram.
Legem Spartæ manendum in prælio cum clypeo
Hic aliquis videbit per omnia obseruatam.

ΠΑΛΛΑΔΑ.

Τὸν θῶ, καὶ τὸν κνῆ, τὴν τ' ἀσπίδα, καὶ δόρυ, καὶ κρᾶ,
Γορδιοπριλάριος θῆκε Τιμοθέου.

PALLADÆ. 7.

Tho. & Cni, & scutum, & hastam, & galeam,
Gordioprilarius posuit Timothei.

ΕΥΤΟΛΜΙΟΥ ἰλλουστρίου εἰς τὸ αὐτό.

Κνημῖδας, θώρηκα, σάκος, κόρυν, ἔγχος, Ἀθήνῃ

Ῥοῦφος Μεμβιάδης Γέλλιος ἐκρέμασεν.

Evtolmii Illustrij in idem. 8.

Ocreas,thoracem,hastam, galeam,telum,Mineruæ
Ruffus Membiades Gellius suspendit.

ΑΝΤΙΦΙΛΟΥ.

Δοῦρας Ἀλεξάνδροιο· λέγει δέ σε γράμματ' ἐκεῖνον
Ἐκ πολέμου θέσθαι σύμβολον Ἀρτέμιδι,
Ὅπλον ἀνικήτοιο βραχίονος. ἆ καλὸν ἔγχος,
Ὧ πόντος καὶ χθὼν εἶκε κραδαινομένῳ.
Ἴλαθι δοῦρας ἀταρβές· ἀεὶ δέ σε πᾶς τις ἀθρήσας,
Ταρβήσει, μεγάλης μνησάμενος παλάμης.

Antiphil'. 9.

Hasta Alexandri. dicunt te litteræ illum
Ex bello deposuisse symbolum Dianæ,
Telum inuicti brachij. Ah pulchrum telum,
Quo pontus & terra cessit vibrato.
Sis propicia hasta intrepida. Semper v. te omnis quis intuens,
Formidabit, magnæ recordatus dextræ.

ΗΓΗΣΙΠΠΟΥ.

Ἀσπὶς ἀπὸ βροτέων ὤμων Τιμάνορος ἧμαι
Ναῷ ὑπορροφίας Παλλάδος ἀλκιμάχας,
Πολλὰ σιδαρείου κεκονιμένα ἐκ πολέμοιο,
Τόν με φέρεσκ' ἀεὶ ῥυομένα θανάτου.

Hegesippi. 10.

Scutum in mortalibus humeris Timanoris sedeo
Templo sub tecto Palladis fortiter pugnantis,
Multa ferreo puluere fœdata in bello,
Ferentem me semper liberans à morte.

Ἄδηλον.

Ἤδη τῇδε μένω πολέμου δίχα, καλὸν ἄγαλμα
Στέρνον ἐμοῦ νώτῳ πολλάκι ῥυσαμένα.
Καίπερ τηλεβόλους ἰούς, καὶ χερμάδι' αἰνὰ
Μυρία, καὶ δολιχὰς δεξαμένα κάμακας,

Οὐδέποτε κλαγγοῖο λιπεῖν περιμάκεα πῆχυν
  Φημὶ κατὰ βλοσυρὸν φλοῖσβον Ἐνυαλίου.

Incerti. 11.

Hic maneo sine prælio, pulchrum regis
  Pectus meo dorso sæpe seruans.
Quamuis procul iacta tela, & dira manualia laxa
  Innumera, & longæ excipiens hastæ ligna,
Nunquam incly ti reliquisse valde longum cubitum
  Dico in terribili fluctu Martis.

ΛΕΩΝΙΔΟΥ.

Ὀκτώ τοι θυρεούς, ὀκτὼ κράνη, ὀκτὼ ὑφαντοὺς
  Θώρηκας, τόσας δ' αἱμαλέας κοπίδας,
Ταῦτ' ἀπὸ Λευκανῶν κορυφάσια ἔντε' Ἀθάνᾳ
  Ἄγων Εὐάνθης θῆχ' ὁ βιαιομάχας.

LEONIDÆ. 12.

Octo scuta, octo galeas, octo textiles
  Thoraces, tot sanguineas secures,
Hæc à Lucanis præcipua tela Mineruæ
  Afferens Euantheus posuit violenter pugnans.

Τοῦ αὐτοῦ.

Τοὺς θυρεοὺς ὁ Μολοσσὸς Ἰτωνίδι δῶρον Ἀθάνᾳ
  Πύρρος ἀπὸ θρασέων ἐκρέμασεν Γαλατᾶν,
Πάντα τὸν Ἀντιγόνου καθελὼν στρατόν. οὐ μέγα θαῦμα·
  Αἰχμηταὶ καὶ νῦν καὶ πάρος Αἰακίδαι.

Eiusdem. 13.

Scuta Molossus Ironidi munus Mineruæ
  Pyrrhus à confidentibus suspendit Galatis.
Omnem Antigoni carpens exercitum. Nõ magnũ miraculum:
  Bellatores & nunc & prius erant Aeacidæ.

Τοῦ αὐτοῦ.

Οἵδ' ἀπὸ Λευκανῶν θυρεάσπιδες, οἵδε χαλινοὶ
  Στοιχηδόν, ξεστοί τ' ἀμφίβολοι κάμακες,
Δέδμηνται, ποθέουσαι ὁμῶς ἵππους τε καὶ ἄνδρας.

Παλλάδι· τοὺς δ' ὁ μέλας ἀμφέχανεν θάνατος.

Eiuſdem. 14.

E Lucanis ſcuta, & frena
Ordine diſpoſita, raſæque ancipites haſtæ,
Domita ſunt, deſiderantia, ſimul equóſque & viros
Palladi. Hos verò nigra abſorpſit mors.

ΜΕΛΕΑΓΡΟΥ.

Τίς τάδε μοι θνητῶν τὰ περὶ θριγκοῖσιν ἀνῆψε
Σκῦλα, πανταισχίστην τέρψιν Ἐνυαλίου;
Οὔτε γὰρ αἰγανέαι περιαγέες, οὔτε τι πήληξ
Εὔλοφος, οὔτε φόνῳ χρανθὲν ἄειρε σάκος·
Ἀλλ' αὐτῷ γανόωντα καὶ ἀστυφέλικτα σιδήρῳ,
Οἷά περ οὐκ ἐνοπᾶς ἀλλὰ χορῶν ἔναρα.
Οἷς θάλαμον κοσμεῖτε γαμήλιον· ὅπλα δὲ λύθρῳ
Λειβόμενα βροτέῳ σηκὸς Ἄρηος ἔχοι.

MELEAGRI. 15.

Quis hæc mihi mortalium ad ſummitatem ſuſpendit
Spolia, omnium turpiſſimam delectationem Martis?
Neque enim ſpicula circumfracta, neque galea
Strenuis: neque cæde contaminatam ſuſtulit haſtam:
Sed ipſo ſplendida & non duriter tractata ferro,
Vt non pugnæ ſed chorearum ſpolia.
Queis thalamum ornate nuptialem: arma verò cruore
Tincta mortali, templum Martis habeat.

ΦΙΛΙΠΠΟΥ.

Ἔμβολα χαλκόγλωχα, φιλόπλοα τεύχεα νηῶν,
Ἀκτιακοῦ πολέμου κείμεθα μαρτύρια.
Ἠνὶ δὲ σιμβλεύει κηρότροφα δῶρα μελισσῶν,
Ἑσμῷ βομβητῇ κυκλόσε βριθόμενα.
Καίσαρος εὐνομίης χρηστὴ χάρις· ὅπλα γὰρ ἐχθρῶν
Καρποὺς εἰρήνης ἀντεδίδαξε τρέφειν.

PHILIPPI. 16.

Roſtra ærea, arma amantia latera templorum,

Attici belli iacemus testimonia.
Ecce alueatibus conduntur ceram alentia munera apum,
Multitudine bombum emittente vndique scatentia.
Cæsaris optimæ disciplinæ bona gratia: arma enim hostium
Fructus pacis rursus docuit educare.

ΑΝΤΙΠΑΤΡΟΥ.

Η κόρυς ἀμφοτέρων ἔλαχον χάριν· εἰμὶ δ' ὁρᾶσθαι
Καὶ τερπνὴ φιλίοις, καὶ φόβος ἀντιπάλοις.
Ἐκ δὲ Πυλαιμένεος, Πείσων μ' ἔχει· ἔπρεπε δ' ἄλλαις
Οὔτε κόρυς χαίταις, οὔτε κόμη κόρυθι.

ANTIPATRI. 17.

Galea vtramque consecuta est gratiam: sum enim visu
Et gratiosa amicis, & metus hostibus.
Ex Palæmone verò me Pison habet: decuit alios
Nec galea capillos, neque capilli galeam.

ΑΠΟ ΤΑΧΥΓΡΑΦΩΝ, κϛ΄ κϛ΄

ΦΙΛΙΠΠΟΥ.

Κυκλοτερῆ μόλιβον, σελίδων σημάντορα πλευρῆς,
Καὶ σμίλην δονάκων ἀκροβελῶν γλυφίδα,
Καὶ κανονῖδ' ἄκρην, καὶ τὴν παρὰ θῖνα κίσηριν,
Αὐχμηρὸν πόντου τρηματόεντα λίθον,
Καλλιμένης Μούσαις ἀποπαυσάμενος καμάτοιο
Θῆκεν, ἐπεὶ γήρᾳ κανθὸς ἐπεσκέπετο.

IN CELERITATEM SCRIBENDI, Cap. XXVI.

PHILIPPI. 1.

Tornatum plumbum paginarum indicem lateris,
Et cultellum calamorũ acutã cuspidem habentiũ sculptorẽ,
Et regulam summam, & iuxta maris latus pumicem,
Squalidum ponti pertusum lapidem,
Callimenes musis quiescens à labore
Posuit, postquam senectute oculus integebatur.

Ἀδηλον.

Γραμματικῷ πλήθοντα μελάσματι κυκλομόλιβδον
Καὶ κανόνα γραφίδων ἰθυτάτων φύλακα,
Καὶ γραφικοῖο δοχεῖα κελαινοτάτοιο ῥεέθρου,
Ἄκρα τε μεσσοτόμους εὐγλυφέας καλάμους,
Τρηχαλέην τε λίθον, δονάκων εὐθηγέα κόσμου,
Ἔνθα πολυτριβέων ὀξὺ χάραγμα πέλει,
Καὶ γλυφανοῦ καλάμου πλατέος γλωχῖνα σιδήρου,
Ὅπλα σοι ἐμπορίης αὐτὸς τῆς ἰδίης
Κεκμηκὼς Μενέδημος ὑπ' ἀχλύος ὄμμα παλαιόν,
Ἑρμείᾳ· σὺ δ' ἀεὶ φέρβε σὸν ἐργατίνην.

Incerti. 2.

Litteras formante plenum atramento rotundum plumbum
Et regulam calamorum rectissimam custodem,
Et scriptorij receptacula nigri fluminis,
Summáque per medium scissos bene sculptos calamos,
Scabrúmque lapidem, calamorum bene acutum ornatum,
Hic detritorum tenuis character est,
Et sculptorij calami lati cuspidem cultri,
Arma tibi mercimonij posuit proprij
Laborans Menedemus caligine oculorum senilium,
Mercurio. Tu autem semper pasce tuum operatorem.

ΠΑΥΛΟΥ σιλεντιαρίου.

Γυρὸν κυανέης μόλιβον σημάντορα γραμμῆς,
Καὶ σκληρὴν ἀκόνην τρηχαλέων καλάμων,
Καὶ πλατὺν ὀξυντῆρα μεσοσχιδέων δονακήων,
Καὶ κανόνα γραμμῆς ἰθυπόρου ταμίην,
Καὶ χρόνιον γλυπτοῖσι μέλαν πεφυλαγμένον ἄντροις,
Καὶ γλυφίδας καλάμων ἄκρα μελαινομένων,
Ἑρμείῃ Φιλόδημος, ἐπεὶ χρόνου ἐκκρεμὲς ἤδη
Ἦλθε κατ' ὀφθαλμῶν ῥυσὸν ἐπισκύνιον.

PAVLI Silentiarij. 3.

Rotundum nigræ plumbum indicem scripturæ,

Durorum cuſpidem aſperam calamorum,
Et latum ſcalprum per medium ſciſſorum calamorum,
Et canonem ſcripturæ rectè progredientis diſpenſatorem,
Et diu ſculptis atramentum ſeruatum in vaſculis.
Et crenas calamorum in ſummitate nigratas,
Mercurio Philodemus: poſtquam temporis dependens iam
Venit contra oculos rugoſum tegumentum.

Αδηλον.

Τὸν τροχόεντα μόλιβδον, ὃς ἀτραπὸν οἶδε χαράσσειν,
Ὀρθὰ παραξύων ἰθυτενῆ κανόνα,
Καὶ χάλυβα σκληρὸν καλαμηφάγον, ἀλλὰ καὶ αὐτὸν
Ἡγεμόνα γραμμῆς ἀπλανέος κανόνα,
Καὶ λίθον ὀκριόεντα, δι' ἀξέ ὅθι διπλοῦν ὀδόντα
Θήγεται, ἀμβλυνθεὶς ἐκ δολιχογραφίης,
Καὶ βυθίην Τρίτωνος ἀλιπλάγκτοιο χαμεύνην
Σπόγγον, ἀκεστορίην πλαζομένης γραφίδος,
Καὶ κίστην πολύωπα μελανδόκον, εἰν ἑνὶ πάντα
Εὐγραφέος τέχνης ὄργανα ῥυομένην,
Ἑρμῇ Καλλιμένης, τρομερὴν ὑπὸ γήραος ὄκνῳ
Χεῖρα καθαρμόζων ἐκ δολιχῶν καμάτων.

Incerti. 4.

Rotundum plumbum, quod ſemitam nouit exarare,
Recte abradens rectè extenſum canonem,
Et crenam aſperam capientem calamos, ſed & ipſum
Ducem ſcripturæ non errantis canonem,
Et lapidem prominentias longas habentẽ, calamus qui duplicẽ (dentem
Acuitur obtuſus ex ſcriptorum prolixitate,
Et profundum Tritonis in mari errantis humilem lectum
Spongiam, medicamen errantis ſcripturæ.
Et ſcriniolum multiforamen atramentum capiẽs, in vno omnia
Bene ſcribendi artis inſtrumenta contrahentem,
Mercurio Callimenes, trepidam ob ſenectutis ignauiam
Manum componens ex longis laboribus.

Αδηλον.

Αβρο-

Ἄβροχον ἀπλανέος μόλιβον γραπτῆρα κελεύθου,
Ἧς ἔπι ῥιζοῦται γράμματος ἁρμονίη,
Καὶ κανόνα τροχαλοῖο κυβερνητῆρα μολίβδου,
Καὶ λίθακα τρητὴν σπόγγῳ ἐειδομένην,
Καὶ μέλανος σταθεροῖο δοχήιον, ἀλλὰ καὶ αὐτῶν
Εὐγραφέων καλάμων ἀκροβαφεῖς ἀκίδας,
Σπόγγον ἁλὸς βλάστημα, χυτῆς λειμῶνα θαλάσσης,
Καὶ χαλκὸν δονάκων τέκτονα λεπταλέων,
Ἐνθάδε Καλλιμένης φιλομειδέσιν ἄνθετο Μούσαις,
Γήραϊ κεκμηκὼς ὄμματα καὶ παλάμην.

Incerti. 5.

Immadidum inerrantis plumbum scriptorem itineris,
Et sub quo firmatur litteræ harmonia,
Et canonem currentis gubernatorem plumbi,
Et lapidem perforatum spongiæ similem,
Et atramenti stabilis receptaculum, verùm & ipsorum
Bene scribẽtium calamorum in summitate tinctos calamos,
Spongiam maris germen, fluentis florem maris,
Et æs calamorum fabricatorem tenuium,
Hic Callimenes iucundum ridentibus deposuit musis,
Senio defatigatus oculos & manum.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων Αἰγυπτίου.

Ἀκλινέας γραφίδεσσιν ἀπιθύνοντα πορείας
Τόνδε μόλιβδον ἄγων, καὶ μολίβου κανόνα
Σύνδρομον ἰθυοχῆα, πολυτρήτου τ' ἀπὸ πέτρης
Λᾶαν, ὃς ἀμβλεῖαν θήγει γλύφιν καλάμου,
Σὺν δ' αὐτοῖς καλάμοισι, μέλαν, μυστήρια φωνῆς
Ἀνδρομένης, σμίλης τ' ὀξυτόμον κοπίδα,
Ἑρμείῃ Φιλόδημος ἐπεὶ χρόνος ὄμματος αὐγὴν
Ἀμβλυώσας, παλάμῃ δῶκεν ἐλευθερίην.

IVLIANI regum Ægypti. 6.

Rectas literis dirigentem semitas

Hoc plumbum agens & plumbi regulam,
Concurrentem rectorem,& vndique pertusæ petræ
Lapidem,qui obtusum acuit calamum,
Et cum ipsis calamis atramentum,mysteria vocis
Humanæ,creneque valde acutum cultrum,
Mercurio Philodemus:cùm tempus oculi lucem
Obtundens,manui dedit libertatem.

Τοῦ αὐτοῦ

Αὔλακας ἰθυπόρων γραφίδων κύκλοισι χαράσσων
Ἄνθεμά σοι τριφθεὶς οὗτος ἐμὸς μόλιβος,
Καὶ μολίβου χρωστῆρι κανὼν τύπον ὀρθὸν ὀπάζων,
Καὶ λίθος εὐσχιδέων θηγαλέος καλάμων,
Σὺν καλάμοις ἄγγος τε μελανδόκον, οἷσι φυλάσσει
Αἰὼν ἐσσομένοις γῆρυν ἀποιχομένων,
Δέχνυσο, καὶ γλυπτῆρα σιδήρεον, ᾧ θρασὺς Ἄρης
Σὺν μούσαις ἰδίην δῶκε διακτορίην,
Ἑρμείη, σὰ γὰρ ὅπλα· σὺ δ᾽ ἀδρανέος Φιλοδήμου
Ἴθυνε ζωήν, λειπομένοιο βίου.

Eiusdem. 7.

Lineas rectè directorum stilorum circulis arans
Donarium tibi erosum hoc meum plumbum.
Et plumbo coloratori canon imaginem rectam præbens
Et lapis bene scissos acuens calamos,
Cum calamis vásque atramentum capiens,quibus custodit
Tempus sequentibus vocem mortuorum,
Accipe & sculptorem ferreum,cui confidens Mars
Cũ musis propriã dedit legationẽ. Functionẽ perferẽdi man-
Mercuri,tua enim arma:tu infirmi Philodemi (data.
Dirige vitam,relinquente vita.

ΑΠΟ ΧΕΙΡΩΝΑΚΤΩΝ, κεφ. κζ.

ΦΙΛΙΠΠΟΥ.

Αὐλὸν καμινοβιῶτερα τὸν φιλήνεμον,

Ῥίνην τε τριψίχρυσον ὠκυδήκτορα,
Καὶ τοὺς δίχηλους καρκίνους πυραγρέτας,
Πτωκός πόδας τε τούσδε λειψανηλόγους,
Ὁ χρυσοτέκτων Δημοφῶν Κυλληνίῳ
Ἔθηκε, γήρᾳ κανθὸν ἐζοφωμένος.

DE OPIFICIBVS, Cap. XXVII.

PHILIPPI. I.

Follem caminarium vento gaudentem,
Limámque aurum atterentem, celerem morſu,
Et biſulcam forcipem in igne aliquid capientem,
Leporis pedéſque hos ramenta colligentes,
Aurifaber Demophon Cyllenio
Poſuit, ſenio oculos caligantes habens.

ΠΑΓΚΡΑΤΙΟΥ.

Ἐκ πυρὸς ὁ ῥαιστὴρ καὶ ὁ καρκίνος, ἥ τε πυράγρη,
Ἄγκειθ' Ἡφαίστῳ δῶρα Πολυκράτεος·
Ὧ πυκινὸν κρούων ὑπὲρ ἄκμονος, εὕρετο παισὶν
Ὄλβον, ὀϊζυρὴν ὠσάμενος πενίην.

PANCRATII. 2.

Ex igne malleus & forceps, & in igne capiens,
Depoſita ſunt Vulcano munera Polycratis:
Quo denſum feriens ſuper incude, inuenit pueris
Opes, miſeram fugans paupertatem.

ΦΙΛΙΠΠΟΥ.

Στάθμην ἰθυτενῆ μολιβαχθέα, δουρατυπῆ τε
Σφῦραν, καὶ γυρὰς ἀμφιδέτους ἀρίδας,
Καὶ στιβαρὸν πέλεκυν στελεχητόμον, ἰθύδρομόν τε
Πρίονα μιλτείῳ στάγματι πειθόμενον,
Τρύπανά θ' ἑλκεσίχειρα, τερέτρά τε, μιλτοβαφῆ τε
Σχοῖνον ὑπ' ἀκρονύχῳ ψαλλομένην κανόνι,
Σοὶ κούρη γλαυκῶπι Λεόντιχος ὤπασε δῶρον,
Ἄνθος ἐπεὶ γυίων πᾶν ἀπέδυσε χερός.

PHILIPPI. 3.

Perpendiculũ recte deorsũ tendẽs, plũbo depressum, ligna tun-
Malleum, & curua circumligata instrumenta, (dentémq;
Et robustã securim truncos ferientem, & recta currentem
Serram miniatæ guttæ obedientem,
Terebrúmque manu tractum terebellámque, & minio tinctã
Amussim à summis digitis facto inpulsam canone,
Tibi puella cæsiis oculis Leontichus præbuit munus,
Robur postquam membrorum omne exuit tempus.

ΛΕΩΝΙΔΟΥ.

Θῆρις ὁ δαιδαλόχειρ τᾷ Παλλάδι πῆχυν ἀκαμπῆ,
Καὶ τετανὸν νώτῳ καμπτόμενον πρίονα,
Καὶ πέλεκυν, ῥυκάναν τ' εὐαγέα, καὶ περιαγὲς
Τρύπανον, ἐκ τέχνας αὖ θέτο παυσάμενος.

LEONIDÆ. 4.

Theris varius manu artifex Palladi normam non tortam
Et tentum dorso incuruatum terebrum,
Et securim, propulsatoriúmq; instrumentũ facilè frangẽs, & cir-
Terebrum, ab arte deposuit quiescens. (cumactum

Τέλος τοῦ ἕκτου τμήματος τῆς ἀνθολογίας
διαφόρων ἐπιγραμμάτων.

Finis sextæ Sectionis florilegij Variorum
Epigrammatum.

ΤΑ ΕΝ ΤΩ ΕΒΔΟΜΩ ΤΜΗΜΑΤΙ
ΠΕΡΙΕΧΟΜΕΝΑ.

Ἐν τῷδε τῷ ἑβδόμῳ τμήματι περιέχεται ἐπιεικῆ τινα ἀποφθέγματα· τὰ μὲν, ὡς ἐγκώμια· τὰ δὲ ὡς ἐπιστολαί· τὰ δὲ ὡς ἂν ἕκαστον ἔτυχεν, ὅσα μὴ περὶ τὸ ἀσεμνότερον καὶ αἰσχρότερον ἀποκλίνει. τὰ γὰρ τοιαῦτα, πολλὰ ἐν τῷ ἀντιγράφῳ ὄντα, παρέλιπε, φησὶν, ὁ Πλανούδης.

IN SEPTIMA SECTIONE COMPREHENSA.

In ſeptima ſectione comprehenduntur meretricia quædam Apophthegmata: illa quidem vt Encomia: illa verò vt Epiſtolæ: iſta verò vt quodque cõtigit, quotquot non ad inuerecundum & obſcœnum inclinant. Nam talia multa in originali exiſtentia reliquit, dixit, Planudes.

ΑΝΘΟΛΟΓΙΑΣ ΔΙΑΦΟΡΩΝ

ἐπιγραμμάτων, εἰς ἑπτὰ βιβλία διῃρημένης, τὸ ἕβδομον.

ΜΕΛΕΑΓΡΟΥ.

Ἡδὺ μέλος ναὶ Πᾶνα τὸν Ἀρκάδα πηκτίδι μέλπεις
  Ζηνοφίλα λίγ᾽, ἁδὺ χρέκεις τι μέλος.
Ποῖ σε φύγω; πάντη με περιστείχουσιν ἔρωτες,
  Οὐδ᾽ ὅσον ἀμπνεῦσαι βαιὸν ἐῶσι χρόνον.
Ἢ γάρ μοι μορφὴ βάλλει. πόθεν; ἢ πάλι μοῦσα,
  Ἢ χάρις ἢ τί λέγω, πάντα πυρὶ φλέγομαι.

FLORILEGII VARIORVM

Epigrammatum, in ſeptem libros diuiſi, ſeptimus.

MELEAGRI. I.

Suaue carmen per Pana Arcadem tibia canis
  Zenophila canora, ſuaue reſonas aliquod carmen.
Quò te fugiam? Vndique me circumcurrunt amores,
  Neque tantum reſpirandi paruum indulgent tempus:
Etenim mihi ſpecies tua irradiat. Vnde? aut rurſus muſa,
  Aut gratia: aut quid dicam? vndique igni comburor.

Τοῦ αὐτοῦ.

Ναὶ τὸν ἔρωτα, θέλω τὸ παρ᾽ οὔασιν Ἡλιοδώρας

Φθέγμα κλύειν ἢ τᾶς Λητώιδεω κιθάρας.

Eiusdem 2.

Per amorem, malo auribus Heliodoræ
Cantum audire, quàm Latonæ citharam.

Ἄδηλον.

Τίς, ῥόδον ὁ στέφανος Διονυσίου, ἢ ῥόδον αὐτὸς
Τοῦ στεφάνου; δοκέω, λείπεται ὁ στέφανος.

Incerti. 3.

Quid? rosa corona Dionysij, an rosa ipse est
Coronæ? Vt videtur, relinquitur corona.

ΜΕΛΕΑΓΡΟΥ.

Ὁ στέφανος περὶ κρατὶ μαραίνεται Ἡλιοδώρας,
Αὐτὴ δ' ἐκλάμπει τοῦ στεφάνου στέφανος.

Meleagri. 4.

Corona in capite marcescit Heliodoræ,
Ipsa verò elucet coronæ corona.

Τοῦ αὐτοῦ.

Ἤδη λευκόιον θάλλει, θάλλει δὲ φίλομβρος
Νάρκισσος, θάλλει δ' οὐρεσίφοιτα κρίνα.
Ἤδη δ' ἡ φιλέραστος ἐν ἄνθεσιν ὥριμον ἄνθος
Ζηνοφίλα πειθοῦς ἡδὺ τέθηλε ῥόδον.
Λειμῶνες, τί μάταια κόμαις ἔπι φαιδρὰ γελᾶτε;
Ἡ γὰρ παῖς κρείσσων ἡδυπνόων στεφάνων.

Eiusdem. 5.

Iam alba viola floret, floret verò rore gaudens
Narcissus, florent montiuaga lilia.
Iam verò amabilis in floribus tempestiuus flos
Zenophila suadæ dulcem generauit rosam.
Prata, quid frustra comis splendidè ridetis?
Hæc enim puella melior est suauè olentibus coronis.

Τοῦ αὐτοῦ.

Πλέξω λευκόιον, πλέξω δ' ἁπαλὴν ἅμα μύρτοις
Νάρκισσον, πλέξω καὶ τὰ γελῶντα κρίνα,

Πλέξω καὶ κρόκον ἡδύν· ἐπιπλέξω δ' ὑάκινθον
    Πορφυρέην, πλέξω καὶ φιλέραστα ῥόδα,
Ὡς ἂν ἐπὶ κροτάφοις μυροβοστρύχου Ἡλιοδώρας
    Εὐπλόκαμον χαίτην ἀνθοβολῇ στέφανος.

Eiusdem. 6.

Nectam albas violas, nectam teneris cum myrtis
    Narcissum, nectam & ridentia lilia,
Nectam crocum suauem: & subnectam hyacinthum
    Purpuream, nectam & amabiles rosas,
Vt in temporibus vnguento vnctas comas habentis Heliodorę
    Bene comatam cæsariem irradiet corona.

Τοῦ αὐτοῦ.

Φαμί ποτ' ἐν μύθοις τὰν εὔλαλον Ἡλιοδώραν
    Νικάσειν αὐτὰς τὰς Χάριτας χάρισιν.

Eiusdem. 7.

Dico quondam in sermone facundam Heliodoram
    Victuram esse ipsas Gratias gratiis.

Τοῦ αὐτοῦ.

Ὀξυβόαι κώνωπες, ἀναιδέες, αἵματος ἀνδρῶν
    Σίφωνες, ἀνδρῶν κνώδαλα διπτέρυγα,
Βαιὸν Ζηνοφίλαν (λίτομαι) πάρεθ' ἥσυχον ὕπνον
    Εὕδειν· τἀμὰ δ' ἰδοὺ σαρκοφαγεῖτε μέλη.
Καὶ τί προσηκάτην αὐδῶ; καὶ θῆρες ἄτεγκτοι
    Τέρπονται τρυφερῷ χρωτὶ χλιαινόμενοι.
Ἀλλ' ἔτι νῦν προλέγω κακὰ θρέμματα, λήγετε τόλμης,
    Ἢ γνώσεσθε χερῶν ζηλοτύπων δύναμιν.

Eiusdem. 8.

Acutè clangentes culices, impudentes, sanguinis virorum
    Suctores, virorum animalia duas alas habentia,
Paruum Zenophilæ (precor) indulgete placidum somnum
    Dormire, & mea ecce pungite mordendo membra.
Et quid mansuetè loquar? & feræ truces
    Delectantur delicato corpore calefactę.

Sed adhuc nunc dico malę bestiæ, cessate ab audacia,
Aut cognosceris manuum zelotyparum vim.

Τοῦ αὐτοῦ.

Πταίης μοι κώνωψ ταχὺς ἄγγελος, οὔασι δ' ἄκροις
Ζηνοφίλας ψαύσας προσψιθύριζε τάδε,
Ἄγρυπνος μίμνει σε· σὺ δ' ὦ λήθαργε φιλούντων
Εὕδεις. εἶα, πέτευ· ναὶ φιλόμουσε πέτευ.
Ἥσυχα δὲ φθέγξαι, μὴ καὶ σύγκοιτον ἐγείρας,
Κινήσῃς ἐπ' ἐμοὶ ζηλοτύπους ὀδύνας.
Ἢν δ' ἀγάγῃς τὴν παῖδα, δοραῖς στέψω σε λέοντος
Κώνωψ, καὶ δώσω χειρὶ φέρειν ῥόπαλον.

Eiusdem. 9.

Volitas mihi culex velox nuncius auribus verò summis
Zenophilæ tangens insusurra hæc,
Vigilans exspectat te: tu verò ô obliuiosa amantium
Dormis. Eia, vola: sanè ô musarum amans vola.
Tacitè verò loquere, ne concubitorem excitans,
Excites contra me inuidiosos dolores.
Si autem adduxeris puellam, pellibus te ornabo leonis
O culex, & dabo manui ferre clauam.

Τοῦ αὐτοῦ.

Νὴ τὴν νηξαμένην χαροποῖς ἐνὶ κύμασι Κύπριν,
Ἐστὶ καὶ ἐκ μορφᾶς ἁ Τρυφερὰ, τρυφερά.

Eiusdem. 10.

Per natantem in gratiosis fluctibus Venerem,
Est etiam ex specie ipsa Tryphera, deliciosa.

Τοῦ αὐτοῦ.

Ἐντὸς ἐμῆς κραδίης τὴν εὔλαλον Ἡλιοδώραν
Ψυχὴν τῆς ψυχῆς ἔπλασεν αὐτὸς ἔρως.

Eiusdem. 11.

In meo corde facundam Heliodoram
Animam animæ finxit ipse amor.

ΣΙΜΩΝΙΔΟΥ.

Βοΐδιον αὐλητρὶς, καὶ Πυθιὰς, αἵ ποτ' ἐρασταὶ,
Σοὶ Κύπρι τὰς ζώνας τάς τε γραφὰς ἔθεσαν.
Ἔμπορε, καὶ φορτηγὲ, τὸ σὸν βαλλάντιον οἶδεν
Καὶ πόθεν αἱ ζῶναι, καὶ πόθεν οἱ πίνακες.

SIMONIDÆ. 12.

Boëdium psaltria, & Pythias, quæ quondam amabiles,
Tibi Venus & zonas & picturas posuerunt.
Mercator, & nauta, tua crumena nouit
Et vnde hæ zonæ, & vnde hæ tabellæ.

ΜΕΛΕΑΓΡΟΥ.

Ἀνθοδίαιτε μέλισσα τί μοι χροὸς Ἡλιοδώρας
Ψαύεις, ἐκπρολιποῦσ' εἰαρινὰς κάλυκας;
Ἢ σύγε μηνύεις ὅτι καὶ γλυκὺ καὶ δύσοιστον
Πικρὸν ἀεὶ κραδίᾳ κέντρον ἔρωτος ἔχει;
Ναὶ δοκέω, τοῦτ' ἰὼ, τοῦτ' ὦ φιλέραστε· παλίμπους
Στεῖχε· πάλαι τὴν σὴν οἴδαμεν ἀγγελίην.

MELEAGRI. 13.

E floribus viuens apis, quid mihi cutem Heliodoræ
Tangis, relinquens vernos flores?
An tu indicas quòd etiam dulcem & incredibilem
Amarum semper cordi stimulum amoris habet?
Certè ita puto, hoc erat, hoc ô amabilis. retrogradus
Vade: iam olim tuum noui nuncium.

Ἄδηλον.

Καὶ πυρὶ καὶ νιφετῷ με, καὶ, εἰ βούλοιο, κεραυνῷ
Βάλλε, καὶ εἰς κρημνοὺς ἕλκε καὶ εἰς πελάγη.
Τὸν γὰρ ἀπαυδήσαντα πόθοις, καὶ ἔρωτι δαμέντα,
Οὐδὲ Διὸς τρύχει πῦρ ἐπιβαλλόμενον.

Incerti. 14.

Et igni & niue me &, si vis, fulmine
Percute, & in præcipitia trahe, & in fluuios.
Nam defatigatum cupidinibus & amore domitum,
Neque Iouis atterit ignis immissus.

ΜΕΛΕΑΓΡΟΥ.

Τὸ σκύφος ἡδὺ γέγηθε. λέγει δ' ὅτι τᾶς φιλέρωτος
Ζηνοφίλας ψαύει τοῦ λαλίου στόματος.
Ὄλβιον εἴθ' ὑπ' ἐμοῖς χείλεσιν χείλεα θεῖσα,
Ἀπνευστὶ ψυχὴν τὴν ἐν ἐμοὶ προπίοι.

MELEAGRI. 15.

Scyphus iam lætatus est. Dicit verò quod amatæ
Zenophilæ tangit facundum os.
Felix, vtinam sub meis labris labra ponens,
Sine respiratione animam in me perbibat.

Τοῦ αὐτοῦ.

Κηρύσσω τὸν ἔρωτα τὸν ἄγριον· ἄρτι γὰρ ἄρτι
Ὀρθρινὸς ἐκ κοίτας ᾤχετ' ἀποπτάμενος.
Ἔστι δ' ὁ παῖς γλυκύδακρυς, ἀείλαλος, ὠκὺς, ἀθαμβής·
Σιμὰ γελῶν, πτερόεις, νῶτα φαρετροφόρος.
Πατρὸς δ' οὐκέτ' ἔχω φράζειν τίνος· οὔτε γὰρ αἰθήρ,
Οὐ χθών φησι τεκεῖν τὸν θρασύν, οὐ πέλαγος.
Παντῇ γὰρ καὶ πᾶσιν ἀπέχθεται. ἀλλ' ἐσορᾶτε
Μήπου νῦν ψυχαῖς ἄλλα τίθησι λίνα.
Καίτοι κεῖνος ἰδοὺ περὶ φωλεόν. οὔ με λέληθας
Τοξότα Ζηνοφίλας ὄμμασι κρυπτόμενος.

Eiusdem. 16.

Proclamo amorem agrestem: modò enim modò
Matutinus ex lecto abiit auolans.
Est verò puer dulciũ lacrumarũ, sẽper loquax, velox, intrepidus:
Simis naribus ridens, alatus, in tergo pharetram ferens,
Patris non possum dicere cuius: haud etenim æther,
Non terra dicit generare audacem: non pelagus.
Omni enim & omnibus inuisus est. Sed aspicite
Neque nunc animis alia ponat retia.
Atqui ille ecce circa latebras. Non me fefellisti
Sagittator Zenophiles in oculis occultatus.

Τοῦ αὐτοῦ.

Πωλείσθω καὶ ματρὸς ἔτ' ἐν κόλποισι καθεύδων
 Πωλείσθω. τί δέ μοι τὸ θρασὺ τοῦτο τρέφειν;
Καὶ γὰρ σιμὸν ἔφυ, καὶ ὑπόπτερον· ἄκρα δ' ὄνυξι
 Κνίζει· καὶ κλαῖον πολλὰ, μεταξὺ γελᾷ.
Πρὸς δ' ἔτι λοιπὸν, ἄτρεστον, ἀείλαλον, ὀξὺ δεδορκὸς,
 Ἄγριον οὐδ' αὐτᾷ ματρὶ φίλᾳ τιθασόν.
Πάντα τέρας. τοιγὰρ τὸ πεπράσεται. εἴτις ἀπόπλους
 Ἔμπορος ὠνεῖσθαι παῖδα θέλοι, προσίτω.
Καί τοι λίσσετ' ἰδοὺ δεδακρυμένος. οὔ τι σε πωλῶ·
 Θάρσει, Ζηνοφίλᾳ σύντροφος ὧδε μένε.

Eiusdem. 17.

Vendatur etiam matris adhuc in sinibus dormiens:
 Vendatur. Quorsum autem mihi hunc audacem nutrire?
Etenim simus est, & alatus: summè autem vnguibus
 Scalpit, & flens multum, interea ridet.
Insuper intractabilis, semper laquax, acutè videns,
 Efferus, neque ipsi matri charæ mitis.
Per omnia monstrum. Igitur vendetur. Si quis huc nauigans
 Mercator emere puerum voluerit, accedat.
Atqui precatur, vide, lacrumans. Non te vendam:
 Confide, Zenophilæ connutritus hîc mane.

Τοῦ αὐτοῦ.

Εἶπε Λυκαινίδι Δορκὰς, ἴδ' ὡς ἐπίκτητα φιλοῦσα
 Ἥλως. οὐ κρύπτει πλαστὸν ἔρωτα χρόνος.

Eiusdem. 18.

Dic Lycænidi Dorcas, vide vt opes amans
 Captus es. Non celat fictum amorem tempus.

ΛΕΩΝΙΔΟΥ.

Οὐκ ἀδικῶ τὸν ἔρωτα. γλυκύς· μαρτύρομαι αὐτὴν
 Κύπριν· βέβλημαι δ' ἐκ δολίου κέραος.
Καὶ πᾶς τεφρεῦμαι. θερμῷ δ' ἐπὶ θερμὸν ἰάλλει
 Ἄτρακτον. λωφᾷ δ' οὐδ' ὅσον ἰοβόλος.

Χὠ θνητὸς ὢν ἀλιτρὸν ἐσώκοι· θνητὸς ὁ δαίμων;
    Τίσομαι· ἐγκλήμων δ᾽ ἔσσομ᾽ ἀλεξάμενος.

LEONIDÆ. 19.

Non offendo amorem, dulcis est: testor ipsam
    Venerem. Percussus sum ex doloso cornu:
Totus & in cinerem redigor, & calido calidam immittit
    Sagittam, quiescit verò ne tantillum quidem sagittæ iactus.
Et mortalis erronem inhabitat: mortalis Deus?
    Vlciscar: Accusabilis ero ipsum repudians.

ΜΕΛΕΑΓΡΟΥ.

Νὺξ μακρή, καὶ χεῖμα, μέσην δ᾽ ἐπὶ πλειάδα δύνει·
    Κἀγὼ πὰρ προθύροις ἰείσομαι ὑόμενος,
Τρωθεὶς τῆς δολίης Ἑλένης πόθῳ· οὐ γὰρ ἔρωτα
    Κύπρις, αἰπερὸν δ᾽ ἐκ πυρὸς ἧκε βέλος.

MELEAGRI. 20.

Nox longa, & hyems ad mediam pleiadem occidit:
    Et ego ad vestibula obambulo madefiens,
Vulneratus doloso Helenæ desiderio: Non enim amorem
    Venus: ingratum verò ex igni misit telum.

Τοῦ αὐτοῦ.

Γυμνὴν ἢν ἐσίδῃς Καλλίστιον, ὦ ξένε, φήσεις,
    Ἤλλακται διπλοῦν γράμμα Συρηκοσίων.

Eiusdem. 21.

Nudam cùm inspicias Callistium hospes, dices,
    Mutata est duplex litera Syracusiorum.

ΠΟΣΕΙΔΙΠΠΟΥ, ἢ ΑΣΚΛΗΠΙΑΔΟΥ.

Αὐταὶ τὴν ἁπαλὴν Εἰρήνιον εἶδον Ἔρωτες,
    Κύπριδος ἐκ χρυσέων ἐρχόμενοι θαλάμων,
Ἐκ τριχὸς ἄχρι ποδῶν ἱερὸν θάλος, οἷά τε λύγδου
    Γλυπτήν, παρθενίων βριθομένην χαρίτων.
Καὶ πολλοὺς τότε χερσὶν ἐπ᾽ ἠιθέοισιν ὀιστοὺς
    Τόξου πορφυρέης ἧκαν ἀφ᾽ ἁρπεδόνης.

POSIDIPPI vel ASCLEPIADIS. 22.

Ipsi teneram Irenion viderunt amores,
Cypridis ex aureis venientes thalamis,
E capillis ad pedes sacrum germen. Et vt è Pario
Sculptam, virginalibus plenam Gratiis.
Et multa tunc manibus ad iuuenes tela
Arcus purpureo misit à fune.

ΜΕΛΕΑΓΡΟΥ.

Ζηνοφίλᾳ κάλλος μὲν ἔρως, σύγκοιτα δὲ φίλτρα
Κύπρις ἔδωκεν ἔχειν· αἱ Χάριτες δὲ, χάριν.

MELEAGRI. 23.

Zenophilæ pulchritudinē quidem amor: concubia v. amatoria
Venus habere dedit: Gratiæ verò gratiam.

Τοῦ αὐτοῦ.

Ναὶ μὰ τὸν εὐπλόκαμον Τιμοῦς φιλέρωτα κίκιννον,
Καὶ μυρόπνουν Δημοῦς χρῶτα τὸν ὑπναπάτην,
Ναὶ πάλιν Ἰλιάδος φίλα παίγνια, ναὶ φιλάγρυπνον
Λύχνον, ἐμῶν κώμων πολλὰ πιόντα μέλη,
Βαιὸν ἔχω τὸ λειφθὲν ἔρως ἐπὶ χείλεσι πνεῦμα·
Εἴγ᾽ ἐθέλεις, καὶ τοῦτ᾽, εἰπὲ καὶ ἐκπτύσομαι.

Eiusdem. 24.

Per pulcricomum Timûs amabilem cirrhum
Et vnguento fragrantem Dimûs cutem somnos fallentem,
Et rursus Iliadis grata ludicra, & libenter insomnem
Lychnum, meæ lasciuiæ multos bibentem cantus,
Paruum habeo acceptum amor in labiis vulnus:
Si vis, & hoc dic, & exspuam.

ἈΣΚΛΗΠΙΑΔΟΥ.

Αἱ Σάμιαι Βιττὼ καὶ Ἄννιον εἰς Ἀφροδίτης
Φοιτᾶν τοῖς αὐτῆς οὐκ ἐθέλουσι νόμοις·
Εἰς δ᾽ ἕτερ᾽ αὐτομολοῦσιν ἃ μὴ καλά. δέσποτι Κύπρι
Μίσει τὰς κοίτης τῆς παρὰ σοὶ φυγάδας.

ASCLEPIADÆ. 25.

Samiæ Bitto & Annium in Veneris opera

Versari ipsius naturæ nolunt legibus.
In reliqua verò sponte aiunt quæ non pulchra. Domina Venus
Odio habeto lectos apud te transfugas.

Τοῦ αὐτοῦ.

Τῷ θαλλῷ Διδύμη με συνήρπασεν ὤμοι ἐγὼ δὲ
Τήκομαι ὡς κηρὸς πὰρ πυρὶ, κάλλος ὁρῶν.
Εἰ δὲ μέλαινα, τί τοῦτο; καὶ ἄνθρακες· ἀλλ' ἂν ἐκείνους
Θάλψωμεν, λάμπουσ' ὡς ῥόδεαι κάλυκες.

Eiusdem. 26.

Pulchritudine Didyme me rapuit: hei mihi ego
Tabesco vt cera ad ignem, pulchritudinem videns.
Si verò nigra, quid hoc? & carbones. Verùm apud illos
Calefacimur, splendent vt roseæ calyces.

ΠΟΣΕΙΔΙΠΠΟΥ.

Λίσσομ' ἔρως, τὸν ἄγρυπνον ἐμοὶ πόθον Ἡλιοδώρας
Κοίμισον, αἰδεσθεὶς μοῦσαν ἐμὴν ἱκέτιν.
Νὴ γὰρ δὴ τὰ σὰ τόξα, τὰ μὴ δεδιδαγμένα βάλλειν
Ἄλλον, ἀεὶ δ' ἐπ' ἐμοὶ πτηνὰ χέοντα βέλη,
Εἰ καί με κτείνῃς, λείψω φωνὴν προϊέντα
Γράμματ', ἔρωτος ὅρα ξεῖνε μιαιφονίην.

Posidippi. 27.

Precor amor, insomne mihi desiderium Heliodoræ
Seda, reueritus musam meam supplicem.
Sanè per tuos arcus, qui non didicerunt percutere
Alium, semper verò in me volucria effundentes tela,
Etiam si me occideri, relinquam vocem emissam
Literis, amoris vide, hospes, homicidium.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Εἰ φιλέεις, μὴ πάμπαν ὑποκλασθέντα χαλάσσῃς
Θυμὸν ὀλισθηρῆς ἔμπλεον ἱκεσίης·
Ἀλλά τι καὶ φρονέοις στεγανώτερον, ὅσσον ἐρύσσαι
Ὀφρύας, ὅσσον ἰδεῖν βλέμματι φειδομένῳ.
Ἔργον γάρ τι γυναιξὶν ὑπερφιάλους ἀθερίζειν,

Καὶ κατακαγχάζειν τῶν ἄγαν οἰκτροτάτων.
Κεῖνος δ' ἐστὶν ἄριστος ἐρωτικὸς ὃς τάδε μίξει,
Οἶκτον ἔχων ὀλίγῃ ξυνὸν ἀγηνορίῃ.

AGATHII Scholastici. 28.

Si amas, ne omnino animum fractum remittas
Animum lubrica plenum supplicatione.
Sed aliquid sapias arctius, ita vt defendas
Oculos, ita vt intueare parco oculo.
Mos enim mulieribus supra modum superbos negligere,
Et elato cachinno irridere nimis fractos animo.
Ille verò est optimus amator qui hæc miscet,
Miserationem habens modico iunctam cum fastu.

ΠΑΥΛΟΥ σιλεντιαρίου.

Χρύσεος ἀψαύστοιο διέτμαγεν ἅμμα κορείας
Ζεὺς, διαδὺς Δανάας χαλκελάτους θαλάμους.
Φαμὶ λέγειν τὸν μῦθον ἐγὼ τάδε, χάλκεα νικᾷ
Δάπεδα καὶ δεσμοὺς χρυσὸς ὁ πανδαμάτωρ.
Χρυσὸς ὅλους ῥυτῆρας, ὅλας κλῇδας ἐλέγχει.
Χρυσὸς ἐπιγνάμπτει τὰς σοβαροβλεφάρους.
Καὶ Δανάας ἐλύγωσεν ὅδε φρένα. μή τις ἐραστὴς
Λισσέσθω Παφίαν, ἀργύρεον προφέρων.

PAVLI Silentiarij. 29.

Aureus intactæ perrupit nexum virginitatis
Iupiter, ingressus Danaes æreos thalamos.
Aio dicere fabulam ego hæc, ærea vincit
Pauimenta & vincula aurum omnia domans.
Aurum totas habenas, totas claues reprehendit.
Aurum inflectit arrogantes.
Et Danaës flexit hoc mentem. Ne quis amator
Precetur Venerem, aurum præbens.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Τὸν σοβαρὸν Πολέμωνα, τὸν ἐν θυμέλῃσι Μενάνδρου
Κείραντα γλυκερῆς τῆς ἀλόχου πλοκάμους,

Ὁπλότερος Πολέμων μιμήσατο, καὶ τὰ Ροδάνθης
Βόστρυχα πολυτόλμοις χερσὶν ἐληίσατο.
Καὶ τραγικοῖς ἄχεσι τὸ κωμικὸν ἔργον ἀμείψας,
Μάστιξεν ῥαδινῆς ἅψεα θηλυτέρης.
Ζηλομανὲς τὸ κόλασμα. τί γὰρ τόσον ἤλιτε κούρη
Εἴ με κατοικτείρειν ἤθελε τειρόμενον;
Σχέτλιος ἀμφοτέρους δὲ διέτμαγε, μέχρι καὶ αὐτῆς
Βλέμματος ἐνστήσας αἴθοπα βασκανίην.
Ἀλλ' ἔμπης τελέθει μισούμενος· αὐτὰρ ἔγωγε
Δύσκολος, οὐχ ὁρόων τὴν ἀποκειρομένην.

Agathii Scholastici. 30.

Seuerum Polemonem, & ad pulpita Menandri
Tundentem suaues coniugis capillos
Iunior Polemo imitatus est, & Rhodanthes
Capillos valde audacibus manibus prædatus est.
Et Tragicis luctibus Comicum opus permutans,
Flagellauit teneræ membra feminæ.
Zelotypa insaniens pœna. Quid enim tantũ deliquit puella
Si me miserari voluit afflictum?
Improbus ambos verò nos diuisit. Inter & ipsum
Aspectum constituens nigram inuidiam.
Sed tamen est exosus. Verùm ego
Fastidiosus, qui non intueor detonsam.

Τοῦ αὐτοῦ.

Εἰ καὶ νῦν πολιή σε κατεύνασε, καὶ τὸ θαλυκρὸν
Κεῖνο κατημβλύνθη κέντρον ἐρωμανίης,
Ὤφελες ὦ Κλεόβουλε, πόθοις νεότητος ἐπίμνους,
Νῦν καὶ ἐποικτείρειν ὁπλοτέρων ὀδύνας,
Μηδ' ἐπὶ τοῖς ξείνοις κοτέειν μέγα. μηδὲ κομάων
Τὴν ῥαδινὴν κούρην πάμπαν ἀπαγλαΐσαι.
Ἀντὶ πατρὸς τῇ παιδὶ πάρος μεμέληκας τοκῆες
Καὶ νῦν ἐξαπίνης αἰτιπαλος γέγονας.

Eiusdem.

Eiusdem. 31.

Licet & nunc senium te consopiuerit,& feruidus
  Ille obtusus stimulus vesani amoris,
Debebas,ô Cleobule,desideria iuuentutis agnoscens,
  Nunc etiam misereri iuniorum dolores.
Neque ob communia valde irasci,neque comis
  Teneram puellam omnino deformare.
Pro patre puellæ prius curæ fuisti miseræ:
  Et jam statim hostis factus es.

ΠΑΥΛΟΥ σιλεντιαρίου.

Μέχρι τίνος φλογόεσσαν ὑποκλέπτοντες ὀπωπήν,
  Φώριον ἀλλήλων βλέμμα τιτυσκόμεθα;
Λεκτέον ἀμφαδίην μελεδήματα· κἤν τις ἐρύξῃ
  Δείσας ἢ λέξας ἐχθρὸς ἔρωτος ἀνήρ,
Φάρμακον ἀμφοτέροις ξίφος ἔσσεται· ἥδιον ἡμῖν
  Ξυνὸν ἀεὶ μεθέπειν ἢ βίον ἢ θάνατον.

PAVLI Silentiarij. 32.

Quousque flagrantem clam surripientes aspectum,
  Furtiuum in inuicem oculum intentè dirigimus?
Dicendum apertè curas amantum.Et si quis prohibeat
  Facto aut dicto hostis amoris vir,
Medicamentum vtriusque mors erit.Suauius nobis
  Communem semper agere aut vitam aut mortem.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ εἰς Ἀριάδνην κιθαριστρίδα.

Εἴποτε μὲν κιθάρης ἐπαφήσατο πλῆκτρον ἔχουσα
  Κούρη,Τερψιχόρης ἀντεμέλιζε μίτοις·
Εἴποτε δὲ τραγικῷ ῥοιζήματι ῥήξατο φωνήν,
  Αὐτῆς Μελπομένης βόμβον ἀπεπλάσατο·
Εἰ δὲ καὶ ἀγλαΐης κρίσις ἵστατο,μᾶλλον ἂν αὐτή
  Κύπρις ἐνικήθη,κἂν ἐδίκαζε Πάρις.
Σιγῇ ἐφ' ἡμείων,ἵνα μὴ Διόνυσος ἀκούσας,
  Τῶν Ἀριαδνείων ζῆλον ἔχοι λεχέων.

AGATHII scholastici in Ariadnem citharistriam. 33.

Quando citharam attingit plectrum habens
  Puella, Terpsichoræ occinit neruis:
Si verò Tragico stridore rapit vocem,
  Ipsius Melpomenæ bombum effinxit.
Si verò de pulchritudine iudicium statuitur, potius in ipsa
  Venus victa est, licet & iudicet Paris.
Silentium sit in nobis, ne Bacchus audiens
  Ariadneorum æmulationem habeat lectorum.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Φωσφόρε, μὴ τὸν ἔρωτα βιάζεο, μηδὲ διδάσκου
  Ἀρεϊ γειτονέων νηλεὲς ἦτορ ἔχειν.
Ὡς δὲ πάρος Κλυμένης ὁρόων Φαέθοντα μελάθρῳ,
  Οὐ δρόμον ὠκυπόδην εἶχες ἀπ' ἀντολίης.
Οὕτω μοι περὶ νύκτα μόγις ποθέοντι φανεῖσαν,
  Ἔρχεο δηθύνων, ὡς παρὰ Κιμμερίοις.

MACEDONII consulis. 34.

Lucifer, ne amorem cogas, neque doce
  Marti vicinus existens crudele cor habere.
Vt verò prius Clymenes videns solem domo,
  Non cursum celeripedem habuisti ab ortu:
Sic mihi circa noctem vix desideranti apparentem
  Veni tardus tanquam si esses apud Cimmerios.

Τοῦ αὐτοῦ.

Λῆξον Ἔρως κραδίης τε καὶ ἤπατος· εἰ δ' ἐπιθυμεῖς
  Βάλλειν, ἄλλο τι μοῦ τῶν μελέων μετάβα.

Eiusdem. 35.

Desine amor à cordis & hepatis vulnere. Si verò cupis
  Ferire, aliud meorum membrorum transi.

Τοῦ αὐτοῦ.

Ἕλκος ἔχω τὸν ἔρωτα· ῥέει δέ μοι ἕλκεος ἰχὼρ
  Δάκρυον, ὠτειλῆς οὔποτε τερσομένης.
Εἰμὶ καὶ ἐκ κακότητος ἀμήχανος· οὐδὲ Μαχάων
  Ἤπιά μοι πάσσει φάρμακα δευομένῳ.

Τήλεφός εἰμι κόρη, σὺ δὲ γίνεο πιστὸς Ἀχιλλεύς.
Κάλλει σῷ παῦσον τὸν πόθον, ὡς ἔβαλες.

Eiusdem. 36.

Vulnus habeo amorem, fluit verò mihi vulneris sanies
Lacruma, vulnere numquàm siccato.
Sum verò ex dolore sine consilio: neque Machaon
Propitia inspargat remedia indigenti:
Telephus sum, puella, tu verò sis fidus Achilles:
Pulchritudine tua seda desiderium, vt iaculata es.

ΠΑΥΛΟΥ σιλεντιαρίου.

Εἰπὲ τίνι πλέξεις ἔτι βόστρυχον, ἢ τίνι χεῖρας
Φαιδρυνεῖς, ὀνύχων ἀμφιτεμὼν ἀκίδας.
Ἐς τί δὲ κοσμήσεις ἁλιανθέϊ φάρεα κόχλῳ,
Μηκέτι τῆς καλῆς ἐγγὺς ἰὼν Ῥοδόπης;
Ὄμμασιν εἰς Ῥοδόπην οὐ δέρκομαι, οὐδὲ φαεινῆς
Φέγγος ἰδεῖν ἐθέλω χρύσεον ἠελιπόλης.

Pavli silentiarij. 37.

Dic cui pectis adhuc crinem, aut cui manus
Expurgas vnguium circumcidens extremitates.
Ad quid exornas vestem in mari florenti conchylio,
Cùm non amplius pulchræ proximus iturus sis Rhodopæ?
Oculis in Rhodopen non video. neque lucidæ
Lumen videre volo aureum auroræ,

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Τὴν Νιόβην κλαίουσαν ἰδών ποτε βουκόλος ἀνήρ,
Θάμβεεν εἰ λείβειν δάκρυον οἶδε λίθος.
Αὐτὰρ ἐμὲ στενάχοντα τόσης κατὰ νυκτὸς ὀμίχλην
Ἔμπνοος Εὐίππης οὐκ ἐλέαιρε λίθος.
Αἴτιος ἀμφοτέροισιν ἔρως, ὀχετηγὸς ἀνίης,
Τῇ Νιόβῃ τεκέων, αὐτὰρ ἐμοὶ παθέων.

Macedonii consulis. 38.

Niobem flentem videns quondam pastor vir,
Obstupuit, quòd libare lacrumas nosset lapis.

Sed me gementem tantæ iuxta noctis caliginem
Viuus Euippes non miseratus est lapis.
Causa vtrisque amor est, ductor doloris,
Niobæ ob liberos, sed mihi ob amores.

ΠΑΥΛΟΥ σιλεντιαρίου.

Χρυσῆς εἰρύσασα μίαν τρίχα Δωρὶς ἐθείρης,
Οἷα δορυκτήτους δῆσεν ἐμὰς παλάμας.
Αὐτὰρ ἐγὼ τοπρὶν μὲν ἐκάγχασα, δεσμὰ τινάξαι
Δωρίδος ἱμερτῆς εὐμαρὲς οἰόμενος·
Ὡς δ' οὐ διαρρῆξαι σθένος ἔσχεθον, ἔστενον ἤδη,
Οἷά τι χαλκείῃ σφιγκτὸς ἀλυκτοπέδῃ.
Καὶ νῦν ὁ τρισάποτμος ἀπὸ τριχὸς ἠέρτημαι,
Δεσπότις ἔνθ' ἐρύσῃ, πυκνὰ μεθελκόμενος.

PAVLI silentiarij. 39.

Aureæ extrahens vnum pilum Doris comæ,
Vt bello captas ligauit meas manus.
Sed ego prius quidem risi, vincla perfringere
Doridis amabilis facilè ratus:
Cùm verò perfringere illa robur nō haberem, ingemiscebā iā,
Vt ferrea vinctus compede.
Et iam ter infelix à crine dependor,
Quò domina me trahit frequenter tractus.

Τοῦ αὐτοῦ.

Ὁ πρὶν ἀμαλθάκτοισιν ἐνὶ φρεσὶν ἡδὺν ἐν ἥβῃ
Οἰστροφόρου Παφίης θεσμὸν ἀπειπάμενος,
Γυιοβόροις βελέεσσιν ἀνέμβατος ὁ πρὶν ἐρώτων,
Αὐχένα σοὶ κλίνω Κύπρι μεσαιπόλιος.
Δέξο με καγχαλόωσα, σοφὴν ὅτι Παλλάδα νικᾷς
Νῦν πλέον ἢ τοπάρος μήλῳ ἐφ' Ἑσπερίδων.

Eiusdem. 40.

Prius duro in pectore suauem in iuuentute
Oestriferæ Veneris legem recusaui,
Membra depascentibus telis inaccessus prius amorum,

Collum tibi submitto Venus semicanus,
Accipe me ridens, sapientem quòd Palladem vincis
Nunc magis quàm prius pomo ab Hesperidibus.

Τοῦ αὐτοῦ.

Ναὶ τάχα Τανταλέης Ἀχερόντια πήματα ποινῆς
Ἡμετέρων ἀχέων ἐστὶν ἐλαφρότερα.
Οὐ γὰρ ἰδὼν σέο κάλλος ἀπείργετο χείλεα μῖξαι
Χείλεϊ σῷ, ῥοδέων ἁβροτέρῳ καλύκων.
Τάνταλος, ἀκριτόδακρυς. ὑπερτέλλοντα γὰρ πέτρον
Δείδιεν· ἀλλὰ θανεῖν δεύτερον οὐ δύναται.
Αὐτὰρ ἐγώ, ζωὸς μὲν ἐών κατατήκομαι οἴστρῳ·
Ἐκ δ' ὀλιγοδρανίης, καὶ μόρον ἐγγὺς ἔχω.

Eiusdem. 41.

Certè Tantaleis inferni dolores pœnis
Nostris laboribus sunt leuiores.
Non enim videns tuā pulchritudinē impediūtur labra misceri
Labro tuo roseis molliori calyce.
Tantalus iniustè lacrumatur. Nam super caput versans saxum
Metuit: sed mori iterum non potest.
Sed ego, viuus quidem existens tabesco furore:
Ex languore, & mortem prope habeo.

Τοῦ αὐτοῦ.

Ἐσβέσθη φλογεροῖο πυρὸς μένος· οὐκ ἔτι κάμνω,
Ἀλλὰ καταφθινύθω, ψυχόμενος Παφίῃ.
Ἤδη γὰρ μετὰ σάρκα, δι' ὀστέα καὶ φρένας ἕρπει
Παμφάγον ἀσθμαίνων οὗτος ὁ πικρὸς ἔρως.
Καὶ φλὸξ ἐν τελεταῖς ὅτε θύματα πάντα λαφύξῃ,
Φορβῆς ἡ μανίη ψύχεται αὐτόματος.

Eiusdem. 42.

Exstinctum est inflammati ignis robur: non amplius laboro,
Sed marcesco calefactus Venere.
Iam post carnem per ossa, & animos serpit,
Voracitatem spirans hic acerbus amor.

Et flamma in ſacrificiis non victimam omnem depaſcitur,
A pabulo furor exſtinguitur ſponte.

Τοῦ αὐτοῦ.

Ὤμοσα μιμνάζειν σέο τηλόθεν, ἀργέτι κούρη
Ἄχρι δυωδεκάτης, ὦ πόποι, ἠειπόλης·
Οὐδ' ἔτλην ὁ τάλας. τὸ γὰρ αὔριον ἄμμι φαάνθη
Τηλοτέρω μήνης, ναὶ μὰ σέ, δωδεκάτης.
Ἀλλὰ θεοὺς ἱκέτευε φίλη μὴ ταῦτα χαράξαι
Ὅρκια ποιναίης νῶτον ὑπὲρ σελίδος.
Θέλγε δὲ σαῖς χαρίτεσσιν ἐμὴν φρένα. μηδέ με μάστιξ
Πότνια καπασμύξῃ καὶ σέο καὶ μακάρων.

Eiuſdem. 43.

Iuraui manſurum me procul à te candida puella
Vſque ad duodecimam, ô dii, auroram.
Non potui miſer. Craſtinus dies nobis viſus
Longior menſibus, per te, duodecim.
Sed diis ſupplica miſer ne talia ſcribantur
Iuramenta pœnalis ſuper latus paginæ:
Mitiga verò tuis gratiis meam mentem: nec me flagellum
O diua exurat & tuum & deorum.

Τοῦ αὐτοῦ.

Δικλίδας ἀμφετίναξεν ἐμοῖς Γαλάτεια προσώποις
Ἕσπερος, ὑβριστὴν μῦθον ἐπευξαμένη.
Ὕβρις ἔρωτας ἔλυσε, μάτην ὅδε μῦθος ἀλᾶται·
Ὕβρις ἐμὴν ἐρέθει μᾶλλον ἐρωμανίην.
Ὤμοσα καὶ λυκάβαντα μένειν ἀπάνευθεν ἐκείνης·
Ὦ πόποι, ἀλλ' ἱκέτης πρώϊος εὐθὺς ἔβην.

Eiuſdem. 44.

Fores percuſſit meo Galathea vultu
Veſperi, iniurioſum ſermonem effata:
Iniuria amores ſoluit, perperam hic ſermo ſpargitur:
Iniuria meam irritat magis amoris inſaniam.
Iuraui & annum manere ſine illa:

O dij, sed supplex mane rursus iui.

Τοῦ αὐτοῦ.

Η σὸν ἔτι φθινόπωρον ὑπέρτερον εἴαρος ἄλλης,
Χεῖμα σὸν ἀλλοτρίου θερμότερον θέρεος.

Eiusdem. 45.

Certè adhuc media ætas prior est vere alterius,
Hyems tua alterius calidior æstate.

Τοῦ αὐτοῦ.

Κεκρύφαλοι σφίγγουσι τεὴν τρίχα; τήκομαι οἴστρῳ,
Ῥείης πυργοφόρου δείκελον εἰσορόων.
Ἀσκεπές ἐστι κάρηνον. ἐγὼ ξανθίσματι χαίτης
Ἔκχυτον ἐκ στέρνων ἐξεσόβησα νόον.
Ἀργενναῖς ὀθόνῃσι κατήορα βόστρυχα κεύθεις;
Οὐδὲν ἐλαφροτέρη φλὸξ κατέχει κραδίην.
Μορφὴν τριχθαδίην Χαρίτων τριὰς ἀμφιπολεύει·
Πᾶσα δέ μοι μορφὴ πῦρ ἴδιον προχέει.

Eiusdem. 46.

Reticula constringunt tuum capillum? Tabesio furore,
Rheæ turrigeræ simulachrum intuens.
Apertum est caput. Ego flauedine cæsariei
Effusilem ex pectore expuli mentem.
Candidis linteis demissos cirros tegis?
Non leuior flamma occupat cor.
Formam triplicem gratiarum trinitas comitatur:
Omnis verò mihi forma proprium ignem profundit.

Τοῦ αὐτοῦ.

Φεῦ, φεῦ, καὶ τὸ λάλημα τὸ μείλιχον ὁ φθόνος εἴργει,
Βλέμμα τε λαθριδίως φθεγγομένων βλεφάρων.
Ἱστάμεθα δ' ἄγχιστα, τεθηπότες ὄμμα γραίης,
Οἷα πολύγληνον βουκόλον Ἰναχίης.
Ἵστασο καὶ σκοπίαζε· μάτην δέ σοι ἦτορ ἀμύσσου·
Οὐ γὰρ ἐπὶ ψυχὴν ὄμμα τεὸν τανύσεις.

Eiusdem. 47.

Hei,hei,colloquium benignum inuidia impedit,
Aspectúmque clam loquentium oculorum.
Astantis prope obstupuimus oculum vetulæ,
Tanquam multoculum pastorem Inachiæ.
Asta & vide:frustra autem animum tuum lacerato:
Non enim adhuc in animum oculum tuum intendas.

Τοῦ αὐτοῦ.

Ἀνέρα λυσσητῆρι κυνὸς βεβολημένον ἰῷ,
Ὕδασι θηρείην εἰκόνα φασὶ βλέπειν.
Λυσσώων τάχα πικρὸν ἔρως ἐνέπηξεν ὀδόντα
Εἰς ἐμὲ, καὶ μανίαις θυμὸν ἐληίσατο.
Σὴν γὰρ ἐμοὶ καὶ πόντος ἐπήρατον εἰκόνα φαίνει,
Καὶ ποταμῶν δῖναι, καὶ δέπας οἰνοχόον.

Eiusdem. 48.

Virum furioso canis admorsum dente,
Aquis ferinam imaginem aiunt videre.
Rabidus forsan acerbum amor infixit dentem
In me,& furiis mentem prædatus est.
Tuam enim mihi & mare,amabilem formam demonstrat,
Et fluuiorum vortices,& pocula vinifera.

Τοῦ αὐτοῦ.

Μηκέτι τις πτήξειε πόθου βέλος· ἰοδόκην γὰρ
Εἰς ἐμὲ λάβρος ἔρως ἐξεκένωσεν ὅλην.
Μὴ πτερύγων τρομέοι τις ἐπήλυσιν· ἐξότε γάρ μοι
Λὰξ ἐπιβὰς, στέρνοις πικρὸν ἔπηξε πόδα,
Ἀστεμφὴς, ἀδόνητος ἐνέζεται· οὐδὲ μετέστη,
Εἰς ἐμὲ συζυγίην κειράμενος πτερύγων.

Eiusdem. 49.

Non amplius aliquis formidet amoris telum: pharetram enim
In me vorax amor euacuauit totam.
Ne alarum trepidet quis insultum:ex quo enim mihi
Calcibus conscendens,acrem infixit pedem,

Stabilis,

Stabilis,& immotus insistet.neque transferet,
In me coniugium alarum detondens. Τοῦ αὐτοῦ.

Οὔτε ῥόδον στεφάνων ἐπιδεύεται, οὔτε σὺ πέπλων,
Οὔτε λιθοβλήτων πότνια κεκρυφάλων.
Μάργαρα σῆς χροιῆς ἀπολείπεται, οὐδὲ κομίζει
Χρυσὸς ἀπεκτήτου σῆς τριχὸς ἀγλαΐην.
Ἰνδῴη δ' ὑάκινθος ἔχει χάριν αἴθοπος αἴγλης,
Ἀλλὰ τεῶν λογάδων πολλὸν ἀφαυροτέρην.
Χείλεα δὲ δροσόεντα, καὶ ἡ μελίφυρτος ἐκείνη
Ἔνθεος ἁρμονίη, κεστὸς ἔφυ Παφίης.
Τούτοις πᾶσιν ἐγὼ καταδάμναμαι· ὄμμασι μούνοις
Θέλγομαι, οἷς ἐλπὶς μείλιχος ἐνδιάει. Eiusdem. 50.

Neque rosa corona indiget,neque tu veste,
Neque lapillis insutis diua reticulis.
Vnio tui corporis relinquitur,neque curat
Aurum impexi tui capilli splendorem.
Indica verò Hyacinthus habet gratiam rutili splendoris,
Sed tuis oculis multo minorem.
Labra verò rorantia,& melle mixta illa
Diuina harmonia,cestus est Veneris.
Hisce omnibus ego domor: oculis solum
Delinior,quibus spes suauis inhabitat. Τοῦ αὐτοῦ.

Τὴν πρὶν ἐνεσφρήγισεν ἔρως θρασὺς εἰκόνα μορφῆς
Ἡμετέρης θερμῷ βένθεϊ σῆς κραδίης,
Φεῦ,φεῦ,νῦν ἀδόκητος ἀπέπλυσας. αὐτὰρ ἐγώ τοι
Γραπτὸν ἔχω ψυχῇ σῆς τύπον ἀγλαΐης.
Τοῦτον καὶ Φαέθοντι καὶ Ἀΐδι βάρβαρε δείξω,
Κρῆσσαν ἐπισπέρχων εἰς σὲ δικασπολίην. Eiusdem. 51.

Prius impressit amor audax imaginem formæ
Vestræ calida profunditate tui cordis,
Hei:hei' iam inopinata expuisti.Sed ego sanè
Scriptum habeo in animo tuæ typum elegantiæ.
Hunc & soli & orco ô barbara demonstrabo,

Cretenſe concitans contra te iudicium. Τοῦ αὐτοῦ.

Δηθύνει Κλεοφαντὶς· ὁ δὲ τρίτος ἄρχεται ἤδη
Λύχνος ὑποκλάζειν, ἦκα μαραινόμενος.
Αἴθε δὲ καὶ κραδίης πυρσὸς συναπέσβετο λύχνῳ,
Μηδέ μ' ὑπ' ἀγρύπνοις δηρὸν ἔκαιε πόθοις.
Α, πόσα τὴν Κυθέρειαν ἐπώμοσεν ἑσπέρας ἥξειν.
Ἀλλ' οὔτ' ἀνθρώπων φείδεται οὔτε θεῶν. Eiuſdem. 52.

Moras nectit Cleophantis, tertius incipit iam
Lychnus extingui ſenſim tabeſcens.
Vtinam autem & cordis fax vnà extingueretur cum lychno,
Nec me peruigili ſuo diutius torreret deſiderio.
Ah quoties Venerem iurauit veſperi ſe venturam:
Verùm nec hominibus parcit neque diis. Τοῦ αὐτοῦ.

Χθιζά μοι Ερμώνασσα φιλακρήτοις μετὰ κώμοις
Στέμμασιν αὐλείας ἀμφιπλέκοντι θύρας,
Εκ κυλίκων ἐπέχευεν ὕδωρ. ἀνάθυνε δὲ χαίτην,
Ην μόλις ἐς τελάτην πλέξαμεν ἀμφιλύκην.
Εφλέχθην δ' ἔτι μᾶλλον ὑφ' ὕδατος. ἐκ γὰρ ἐκείνης
Λάθριον εἶχε κύλιξ πῦρ γλυκερῶν στομάτων. Eiuſdem. 53.

Heri mihi Hermonaſſa mericepidas poſt comeſſationes
Coronis veſtibulares connectenti ianuas,
Ex calicibus infudit aquam, diſcerpſit verò capillum,
Quem vix in tertium vſque compoſueramus diem.
Combuſtus ſum adhuc magis ab aqua. Ex illius enim
Occultum habuit calix ignem dulci ore. Τοῦ αὐτοῦ.

Φράζεό μοι Κλεοφαντὶς, ὅση χάρις ὁππότε δοιοὺς
Λαθρὴν ἐπαγρίζων ἴσος ἔρως κλονέει.
Ποῖος Αρης, ἢ τάρβος ἀπείλατον, ἠὲ τίς αἰδὼς
Τούσδε διαχρίνει πλέγματα βαλλομένους;
Εἴη μοι μελέεσσι τὰ Λήμνιος ἥρμοσεν ἄκμων
Δεσμὰ, καὶ Ηφαίστου πᾶσα δολορραφίη.
Μοῦνον ἐγὼ, χαρίεσσα, τεὸν δέμας ἀγκὰς ἑλίξας,

Θελγομένην ἐπὶ σοῖς ἅψεσι βουλομένως,
Δὴ τότε καὶ ξεῖνός με καὶ ἐνδάπιος καὶ ὁδίτης,
Πότνια, καὶ ἱρητὴρ, χἠ παράκοιτις ἴδοι. Eiuſdem. 54.
Dic mihi Cleophantis, quanta gratia quando duos
Vehementer cum impetu ſuper ſpirás æqualis amor quatit,
Qualis Mars, vel formido immenſa, vel quis pudor
Hos diſiunxerit amplexus iacientes?
Sint mihi membris quæ Lemnia formauit incus
Vincula, & Vulcani omnia doloſa retia:
Solùm ego gratioſa tuum corpus in vlnas trahens,
Deliniar tuis nexibus volens,
Tunc ſane hoſpes me & indigena, & viator,
Veneranda, & ſacerdos, & coniux videat. Τοῦ αὐτοῦ.
Ἐξότε μοι πίνοντι συνεστάουσα Χαρικλὼ,
Λάθρη τοὺς ἰδίους ἀμφέβαλε στεφάνους,
Πῦρ ὀλοὸν δάπτει με· τὸ γὰρ στέφος, ὡς δοκέω, τι
Εἶχεν ὃ καὶ Γλαύκην φλέξε Κρεοντιάδα. Eiuſdem. 55.
Ex quo cum me bibente vnà epulans Chariclo,
Clam proprias circumiecit coronas,
Ignis pernicioſus abſumit me. Coronam enim, vt video, aliquã
Habuit, quæ & Glaucam cõbuſſit Creontiadẽ. Τοῦ αὐτοῦ.

Ὁ θρασὺς, ὑψαύχην τε, καὶ ὀφρύας εἰς ἓν ἀγείρων,
Κεῖται παρθενικῆς παίγνιον ἀδρανέος.
Ὁ πρὶν ὑπερβασίῃ δοκέων τὴν παῖδα χαλέπτειν,
Αὐτὸς ὑποδμηθεὶς ἐλπίδος ἐκτὸς ἔβη.
Καί ῥ' ὁ μὲν ἱκεσίοισι πεσὼν θηλύνεται οἴκτοις,
Ἡ δὲ κατ' ὀφθαλμῶν ἄρσενα μῆνιν ἔχει.
Παρθένε θυμολέαινα, καὶ εἰ χόλον ἔνδικον ἔχεις,
Σβέσσον ἀγηνορίην· ἐγγὺς ἴδη' ἐς νέμεσιν. Eiuſdem. 56.
Audax ille & ſuperbus oculos in vnum contrahens,
Iacet virginis ludibrium imbecillis.
Qui prius ſuperbia videbatur puellam lædere,
Ipſe domitus extra ſpem abiit.

Et hic quidem supplicibus cadens effeminatur eiulatibus,
Hæc verò in oculis virilem iram habet.
Puella animum leonis habens,& licet iram iustam haberes,
Extingue superbiam: prope vide ad Nemesin.

Τοῦ αὐτοῦ, πέμψαντος ἰχθὺν κόρῃ.

Εἰ καὶ τηλοτέρω Μερόης τεὸν ἴχνος ἐρείσῃς,
Πτηνὸς ἔρως πτηνῷ κεῖσε τάχει με φέρει.
Εἰ καὶ ἐς ἀντολίην πρὸς ὁμόχροον ἵξεαι ἠῶ,
Πεζὸς ἀμετρήτοις ἕψομαι ἐν σταδίοις.
Εἰ δέ τι σοὶ στέλλω βύθιον γέρας, ἵλαθι κούρη,
Εἰς σὲ θαλασσαίη τοῦτο φέρει Παφίη,
Κάλλει νικηθεῖσα τεοῦ χροὸς ἱμερόεντι,
Τὸ πρὶν ἐπ' ἀγλαΐῃ θάρσος ἀπωσαμένη.

Eiusdem mittentis piscem puellæ. 57.

Licèt vltra Meroen tuum vestigium fulcias,
Volucris amor volucri eò me velocitate fert,
Licèt & ad orientem ad eosdem colores habentem auroram,
Pedes immensis sequar in stadiis.
Si verò tibi mitto piscem munus, propitia esto puella,
Si tibi marina hoc fert Venus,
Pulchritudine victa tui corporis desiderabili,
Prius ex formæ pulchritudine confidentiam abiiciens.

Τοῦ αὐτοῦ.

Ὀφθαλμοί, τέο μέχρις ἀφύσσετε νέκταρ ἐρώτων,
Κάλλεος ἀκρήτου ζωροπόται θρασέες;
Τῆλε διαθρέξωμεν ὅποι σθένος· ἐν δὲ γαλήνῃ
Νηφάλια σπείσω Κύπριδι μειλιχίῃ.
Εἰ δ' ἄρα που κἀκεῖθι κατάσχετος ἔσσομαι οἴστρῳ,
Γίνεσθε κρυερῇς δάκρυσι μυδαλέοι,
Ἔνδικον ὀτλήσοντες ἀεὶ πόνον. ἐξ ὑμέων γὰρ
(Φεῦ) πυρὸς ἐς τόσην ἤλθομεν ἐργασίην. Eiusdem. 58.

Oculi, quousque hauritis nectar amorum,
Pulchritudinis meræ ebriosi confidentes?

Procul à formosis vbi facultas erit: in tranquillitate verò
  Sobria sacrificabo Veneri suaui.
Si quo verò & ibi cohibitus fuero furore,
  Fiatis frigidis lacrumis madidi,
Iustum perferentes semper dolorem. Ex vobis enim,
  (Hei) ignis in tantum peruenimus laborem.

Τοῦ αὐτοῦ.

Ἱππομένην φιλέουσα, νόον προσέρεισα Λεάνδρῳ·
  Ἐν δὲ Λεανδρείοις χείλεσι πηγνυμένη,
Εἰκόνα τὴν Ξάνθοιο φέρω φρεσί· πλεξαμένη δὲ
  Ξάνθον, ἐς Ἱππομένην νόστιμον ἦτορ ἄγω.
Πάντα τὸν ἐν παλάμῃσιν ἀναίνομαι· ἄλλοτε δ' ἄλλον
  Αἰὲν ἀμοιβαίοις πήχεσι δεχνυμένη,
Ἀφνειὴν Κυθέρειαν ὑπέρχομαι. εἰ δέ τις ἡμῖν
  Μέμφεται, ἐν πενίῃ μιμνέτω οἰογάμῳ.

Eiusdem. 59.

Hippomenem amans, mentem vulneraui Leandro:
  In Leandri labiis defixa,
Imaginem Xanthi fero animo: amplectens verò
  Xanthum, in Hippomanem rediens cor habeo.
Omnem in manibus habitum recuso: alias alium
  Semper respondentibus vlnis accipiens,
Diuitem Venerem induo. Si verò quis nos
  Reprehendit, in pauperi maneat matrimonio.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου. vsque ad epigramma 64.

Τὸ στόμα ταῖς χαρίτεσσι, τὰ πρόσωπα δ' ἄνθεσι βάλλεις,
  Ὄμματα τῇ Παφίῃ, τὴν χέρα τῇ κιθάρῃ.
Σκυλεύεις βλεφάρων φάος ὄμμασιν, οὔας ἀοιδῇ.
  Πάντοθεν ἀγρεύεις τλήμονας ἠιθέους.

MACEDONII consulis. vsque ad epigramma 64.

60. Per os tuum gratiis, & facies floribus percutis,
  Oculos Venere & manus cithara:
Spolias oculorum lumen oculis, aurem cantu:
  Vndique venaris nos miseros iuuenes.
Τὸ ξίφος ἐκ κολεοῖο τί σύρεται; οὐ μὰ σὲ κούρη,

Οὐχ ἵνα τι πρήξω Κύπριδος ἀλλότριον,
Ἀλλ' ἵνα σοὶ τὸν Ἄρηα, καὶ ἀζαλέον περ ἐόντα,
Δείξω τῇ μαλακῇ Κύπριδι πειθόμενον.
Οὗτος ἐμοὶ ποθέοντι συνέμπορος· οὐδὲ κατόπτρου
Δεύομαι, ἐν δ' αὐτῷ δέρκομαι αὐτὸν ἐγώ.
Καὶ καλὸς ὡς ἐν ἔρωτι. σὺ δ' ἢν ἀπ' ἐμεῖο λυθείης,
Τὸ ξίφος ἡμετέρην δύσεται ἐς λαγόνα.

61. Gladius ex vagina quid trahitur? Non ſanè per te puella,
Non vt aliquid faciam à Venere alienum,
Sed vt tibi Martem vt imperterritum exiſtentem,
Oſtendam molli Veneri obedientem.
Hic mihi amanti comes. Neque ſpeculo
Indigeo, in ipſo verò video meipſum ego,
Et pulcher vt in amore. Tu verò ſi à me ſoluâre,
Gladius noſtra ingredietur in ilia.

Τῷ χρυσῷ τὸν ἔρωτα μετέρχομαι. οὐ γὰρ ἀρότρῳ
Ἔργα μελισσάων γίγνεται ἢ σκαπάνῃ,
Ἀλλ' ἔαρι δροσερῷ. μελίτος γέ μὲν Ἀφρογενείης
Ὁ χρυσὸς τελέθει ποικίλος ἐργατίνης.

62. Auro amorem accerſo. Neque enim aratro
Opera apum fiunt, aut ligone,
Sed vere roſcido. Mellis ſanè Veneris
Aurum eſt varius operator.

Κιχλίζεις, χρεμέτισμα γάμου προκέλευθον ἱεῖσα·
Ἡσυχά μοι νεύεις· πάντα μάτην ἐρέθεις.
Ὤμοσα τὴν δυσέρωτα κόρην, τρισὶν ὤμοσα πέτραις,
Μήποτε μειλιχίοις ὄμμασιν εἰσιδέειν.
Παῖζε μόνη τὸ φίλημα· μάτην πόππυζε σεαυτῇ,
Χείλεσι γυμνοτάτοις οὔ τινι μιγνυμένοις.

63. Laſciuè rides hinnitũ nuptiarum adhortamentũ proiiciés:
Placidè mihi annuis. Omnia fruſtra trahis.
Iuraui infelicem in amore puellam, iuraui tribus ſaxis,
Nunquam ſuauibus oculis intueri.

Lude sola basiolum. Frustra poppisma ede tibi,
  Labris nudissimis cum nullo coniunctis.

Παρμενὶς οὐκ ἔργῳ· τὸ μὲν οὔνομα καλὸν ἀκούσας,
  Ὠΐσάμην· σὺ δέ μοι πικροτέρη θανάτου.
Καὶ φεύγεις φιλέοντα, καὶ οὐ φιλέοντα διώκεις,
  Ὄφρα πάλιν κεῖνον καὶ φιλέοντα φύγῃς.

64. Parmenis non opere. Nomen verò pulchrum audiens,
  Existimaui. Tu verò acerbior morte.
Et fugis amantem, & non amantem persequeris,
  Vt rursus illum & amantem fugias.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ. vsque ad epigramma 76.

Πᾶσαν ἐγὼ τὴν νύκτα κινύρομαι· εὖτε δ' ἐπέλθῃ
  Ὄρθρος, ἐλινύσαι μικρὰ χαριζόμενος,
Ἀμφιπερικτίζουσι χελιδόνες, ἐς δέ με δάκρυ
  Βάλλουσι, γλυκερὸν κῶμα παρωσάμεναι.
Ὦ φθονεραὶ παύσασθε λάληθρες· οὐ γὰρ ἔγωγε
  Τὴν Φιλομηλείην γλῶσσαν ἀπεθρισάμην.
Ἀλλ' Ἴτυλον κλαίοιτε κατ' οὔρεα, καὶ γοάοιτε
  Εἰς αἶπος, κραναὴν αὖλιν ἐφεζόμεναι·
Βαιὸν ἵνα κνώσσοιμεν. ἴσως δέ τις ἥξει ὄνειρος
  Ὅς με Ῥοδανθείοις πήχεσιν ἀμφιβάλοι.

AGATHII scholastici vsque ad epigramma 76.

65. Omnem ego noctem lamentor. Cum verò veniat
  Matutinum tempus sopori parum indulgens,
Circunstrepunt hirundines. In verò me lacrumam
  Coniiciunt, suauem somnum auferentes,
O inuidæ quiescite loquaculæ. Non enim ego
  Philomeleam linguam abscidi.
Sed Itylum deflete in montibus, & lugete
  Alto loco in aspero domicilio insidentes:
Parum vt dormiam. Forte aliquis veniet somnus
  Qui me Rodantheis vlnis amplectetur.

Σώζεο, σοὶ μέλλων ἐνέπειν, παλίνορσον ἰωὴν

Αψ ἀνασειράζω, καὶ πάλιν ἄγχι μένω.
Σὴν γὰρ ἐγὼ δασπλῆτα διάστασιν, οἷά τε πικρὴν
Νύκτα καταπτήσσω τὴν Ἀχεροντιάδα.
Ἤματι γὰρ σέο φέγγος ὁμοίιον. ἀλλὰ τὸ μέν που,
Ἄφθογγον· σὺ δέ μοι καὶ τὸ λάλημα φέρεις·
Κεῖνο, τὸ Σειρήνων γλυκερώτερον, ᾧ ἔπι πᾶσαι
Εἰσὶν ἐμῆς ψυχῆς ἐλπίδες ἐκκρεμέες.

66. Sis salua, tibi volens dicere, retrogradam vocem
Statim retraho, & rursus prope maneo.
Tuam enim ego grauem disiunctionem, vt acerbam
Noctem reformido ad Acherontem.
Diei enim tua lux est similis. Sed dies quidem,
Sine voce: tu verò mihi & sermonem profers:
Illum, qui Sirenarum dulcior, in quo omnes
Sunt meæ animæ spes dependentes.

Εἰμὶ μὲν οὐ φιλόοινος· ὅταν δ' ἐθέλῃς με μεθύσαι,
Πρῶτα σὺ γευομένη πρόσφερε, καὶ δέχομαι.
Εἰ γὰρ ἐπιψαύσῃς τοῖς χείλεσιν, οὐκέτι νήφειν
Εὐμαρὲς, οὐδὲ φυγεῖν τὸν γλυκὺν οἰνοχόον.
Πορθμεύει γὰρ ἔμοιγε κύλιξ παρὰ σοῦ τὸ φίλημα,
Καί μοι ἀπαγγέλλει τὴν χάριν ἣν ἔλαβεν.

67. Sum quidem amans vini: quando verò vis me inebriare,
Prius tu gustans adfer, & accipio.
Si enim tangas tuis labiis, non amplius sobrium esse
Facile, nec fugere dulcem pincernam.
Transfretat enim mihi calix à te osculum,
Et mihi annunciat gratiam, quam accepit.

Μήποτε λύχνε μύκητα φέροις, μηδ' ὄμβρον ἠγείροις,
Μὴ τὸν ἐμὸν παύσῃς νυμφίον ἐρχόμενον.
Αἰεὶ σὺ φθονέεις τῇ Κύπριδι. καὶ γὰρ ὅτ' Ἡρὼ
Ἤρμοσε Λειάνδρῳ· θυμὲ τὸ λοιπὸν ἔα.
Ἡφαίστου τελέθεις, καὶ πείθομαι, ὅττι χαλέπτων

Κύπριδι,

Κύπριδι, θωπεύεις δεσποτικὴν ὀδύνην.

63. Nunquam lychne fungum feras, neque imbrem excites,
Ne meum quiescere facias sponsum venientem.
Semper tu inuides Veneri. Quando enim Hero
Conueniebat Leandrum. O anima reliqua tace.
Vulcani es, & credo, quòd nocens
Veneri, blanditiis captas herilem luctum.

α Τί στενάχεις; β φιλέω. α τίνα; β παρθένον. α ἦ ῥά γε καλήν;
β Καλὴν ἡμετέροις ὄμμασι φαινομένην.
α Ποῦ δέ μιν εἰσενόησας; β ἐκεῖ ποτὶ δεῖπνον ἐπελθών,
Ξυνῇ κεκλιμένην ἔδρακον ἐν στιβάδι.
α Ἐλπίζεις δὲ τυχεῖν; β ναί, ναί, φίλος. ἀμφαδίην δὲ
Οὐ ζητῶ φιλίην, ἀλλ' ὑποκλεπτομένην.
α Τὸν νόμιμον μᾶλλον φεύγεις γάμον. β ἀτρεκὲς ἔγνων
Ὅτι γε τῶν κτεάνων πουλὺ τὸ λειπόμενον.
α Ἔγνως. οὐ φιλέεις. ἐψεύσαο. πῶς δύναται γὰρ
Ψυχὴ ἐρωμανέειν ὀρθὰ λογιζομένη;

69. α Quid gemis? β amo. α quem? β virginem. α An pulchram?
β Pulchram nostris oculis apparentem.
α Vnde ipsam cognosti? β Ibi ad cœnam veniens,
Communi iacentem vidi in lecto decumbentem.
α Speras te consecuturum? β Certè, certè, amice: apertè verò
Non quæro amicitiam, sed occultam.
α Legitimas potius fugis nuptias? β Verè cognoui
Quòd in opibus multum ipsi desideretur.
α Cognosti. non amas. mentitus es. Quomodo potest enim
Anima insanire rectè ratiocinans?

Δισσῶν θηλυτέρων μεσῶος ποτὲ μέσσα καθήμην,
Τῆς μὲν ἐφιμείρων, τῇ δὲ χαριζόμενος.
Εἷλκε δέ μ' ἡ φιλέουσα· πάλιν δ' ἐγὼ οἷά τε τὶς φώρ,
Χείλεϊ φειδομένῳ τὴν ἑτέρην ἐφίλουν.
Ζῆλον ὑποκλέπτων τῆς γείτονος, ἧς τὸν ἔλεγχον
Καὶ τὰς λυσιπόθους ἔτρεμον ἀγγελίας.

Ὀχθήσας δ' ἄρα εἶπον, ἐμοὶ τάχα καὶ τὸ φιλεῖσθαι,
Ὡς τὸ φιλεῖν, χαλεπὸν δισσὰ κολαζομένῳ.

70. Duarum mulierum vnus in medio iacebam,
Hanc quidem desiderans, alteri verò gratificans.
Traxit verò me amans. Rursus verò vt aliquis fur,
Labro parcente aliam osculabar.
Æmulationem euitans vicinæ, cuius reprehensionem
Et solutionis amoris timebam nuncium.
Indignabundus verò dixi, Mihi sanè & amari,
Et amare graue est, qui bis puniar.

Ἡ πάρος ἀγλαΐῃσι μετάρσιος, ἡ πλοκαμῖδας
Σειομένη πλεκτάς, καὶ σοβαρευομένη,
Ἡ μεγαλαυχήσασα καθ' ἡμετέρης μελεδώνης,
Χεῖρας ἐρικνώθη, τὴν πρὶν ἀφῆκε χάριν.
Μαζὸς ὑπεκλίνθη, πέσον ὀφρύες, ὄμμα τέτηκται,
Χείλεα βαμβαίνει φθέγματι γηραλέῳ.
Τὴν πολιὴν καλέω νέμεσιν πόθου, ὅττι δικάζει
Ἔννομα, ταῖς σοβαραῖς θᾶσσον ἐπερχομένη.

71. Prius ob pulchritudinem superba, capillos
Quatiens pexos, & inflata,
Et magnum spirans ob nostros dolores,
Manus iam rugas contractas habet, & priorē perdidit gratiā:
Mammæ deprimuntur, conciderunt supercilia, oculus tabefa-
Labra balbutiunt loquela senili. (ctus est,
Canitiem voco Nemesin amoris, quòd iudicat
Iusta, superbis citius superueniens.

Αὐτή μοι Κυθέρεια καὶ ἱμερόεντες Ἔρωτες
Τήξουσιν κενεὴν ἀχθόμενοι κραδίην,
Ἄρσενας εἰ σπεύσω φιλέειν ποτὲ μήτε τυχήσω,
Μήτ' ἐπολισθήσω μείζοσιν ἀμπλακίαις.
Ἄρκια θηλυτέρων ἁλιτήματα, κεῖνα κομίσω·
Καλλείψω δὲ νέους ἄφρονι Πιτταλάκῳ.

72. Ipsa mihi Venus, & desiderabiles amores

Tabefaciunt vacuum dolore afficientes cor,
Viros si festino amare aliquando, neque voti compos ero,
Neque dilabar ad maiora crimina:
Sufficiunt feminea peccata, illa sequar:
Relinquam verò pueros stulto Pittelaeo.

Ἦ ῥά γε καὶ σὺ Φίλιννα φέρεις πόθον; ἦ ῥα καὶ αὐτὴ
Κάμνεις αὐαλέοις ὄμμασι τηκομένη;
Ἦ σὺ μὲν ὕπνον ἔχεις γλυκερώτατον, ἡμετέρης δὲ
Φροντίδος οὔτε λόγος γίγνεται οὔτ' ἀριθμός;
Εὑρήσεις τὰ ὅμοια, τεὴν δ' ἀμέγαρτε παρειὴν
Ἀθρήσω θαμινοῖς δάκρυσι τεγγομένην.
Κύπρις γὰρ τὰ μὲν ἄλλα, παλίγκοτος· ἓν δέ τι καλὸν
Ἔλλαχεν, ἐχθαίρει τὰς σοβαρευομένας.

73. An & tu Philinna fers amorem. An & ipsa
Laboras siccis oculis contabefacta?
An verò tu quidem somnum habes dulcissimum, nostræ verò
Curæ neque ratio habetur neque numerus?
Inuenies similia. Tuam verò superba genam
Videbo assiduis lacrumis tinctam.
Venus quidem tum alia, rursus irata: vnum verò pulchrum
Sortita est, odit enim superbas.

Ἡ ῥαδινὴ Μελίτη, τὰ μακροῦ ἐπὶ γήραος οὐδῷ
Τὴν ἀπὸ τῆς ἥβης οὐκ ἀπέθηκε χάριν,
Ἀλλ' ἔτι μαρμαίρουσι παρηίδες, ὄμμα δὲ θέλγειν
Οὐ λάθετο· τῶν δ' ἐτέων ἡ δεκὰς οὐκ ὀλίγη.
Μίμνει καὶ τὸ φρύαγμα τὸ παιδικόν· ἐνθάδε δ' ἔγνων
Ὅτι φύσιν νικᾶν ὁ χρόνος οὐ δύναται.

74. Mollis Melite longæ in senectutis limine
Iuuentutis deposuit gratiam,
Sed adhuc marmoreæ malæ sunt, oculus verò deliniens
Non latet. Annorum vero decas non parua.
Manet verò insolentia iuuenilis. Hinc cognoui
Quòd naturam tempus vincere non potest.

Σπεύδων εἰ φιλέει με μαθεῖν εὐῶπις Ἐρευθώ,
Πείραζον κραδίην πλάσματι κερδαλέῳ.
Βήσομαι ἐς ξείνην τινά που χθόνα· μίμνε δὲ κούρη,
Λέξω, ἡμετέρου μνῆστιν ἔχουσα πόθου.
Ἡ δὲ μέγα στονάχησε, καὶ ἥλατο, καὶ τὸ πρόσωπον
Πλῆξε, καὶ εὐπλέκτου βότρυν ἔρηξε κόμης.
Καί με μένειν ἱκέτευεν. ἐγὼ δέ τις ὡς βραδυπειθής,
Ὄμματι θρυπτομένῳ συγκατένευσα μένειν.
Ὄλβιος ἐς πόθον εἰμί. τὸ γὰρ μενέαινον ἀνύσσαι,
Πάντων εἰς μεγάλην τοῦτο δέδωκα χάριν.

75. Festinás an amaret me cognoscere pulchra facie Ereutho,
Experiebar cor simulatione lucrosa.
Ibo in hospitem quandam terram. Mane verò puella,
Dicam, nostri recordationem habens amoris.
Hæc verò multum ingemuit. & saltauit, & faciem
Percussit, & bene compositæ vuam decerpsit comæ.
Et me manere supplicabat. Ego verò velut ægrè persuasus,
Oculo fracto annui me mansurum.
Felix ob amorem sum. quod volebam enim perficere,
Omnium in magnam hoc dedi gratiam.

Τοῦ αὐτοῦ ἔξω τῆς πόλεως διάγοντος διὰ τὰ λήσιμα τὴν νόμην,
ὑπομνηστικὸν πρὸς Παῦλον Σιλεντιάριον.

Ἐνθάδε μὲν χλοάουσα τεθηλότι βῶλος ὀράμνῳ,
Φυλλάδος εὐκάρπου πᾶσαν ἔδειξε χάριν·
Ἐνθάδε δὲ κλάζουσιν ὑπὸ σκιεραῖς κυπαρίσσοις
Ὄρνιθες, δροσερῶν μητέρες ὀρταλίχων,
Καὶ λιγυρὸν βομβεῦσιν ἀκανθίδες, ἡ δ' ὀλολυγὼν
Τρύζει, τρηχαλέαις ἐνδιάουσα βάτοις.
Ἀλλὰ τί μοι τῶν ἦδος; ἐπεὶ σέο μῦθον ἀκούειν
Ἤθελον ἢ κιθάρης κρούσματα Δηλιάδος.
Καί μοι δισσὸς ἔρως περικίδναται. εἰσοράαν γὰρ
Καὶ σὲ μάκαρ ποθέω, καὶ γλυκερὴν Δάμαλιν,

Ἧς με περισμύχουσι μεληδόνες· ἀλλά με θεσμοί,
Εἴργουσιν ῥαδινῆς τηλόθι Δορκαλίδος.

Eiusdem trans vrbem degentis ob solutionem legum, recordatiuum ad Paulum Silentiarium. 76.

Hic quidem virens florenti gleba ramulo,
Folii fructuosi omnem ostendit gratiam.
Hic clangunt sub vmbrosis Cyparissis
Aues, roridarum matres impluuium pullorum,
Et suauiter cantillant carducles, & acredula
Strepit, horridis habitans in carduis.
Sed quid mihi horum suauitas? postquã tuum sermonẽ audire
Potius quàm citharæ pulsus Apollinis.
Et mihi duplex amor circumspargitur. Intueri enim
Et te beate cupio, & suauem Damalin,
Cuius me vexant curæ: sed me leges
Cohibent tenera procul à Dorcalide.

ΠΑΥΛΟΥ σιλεντιαρίου ἀντίγραφα εἰς αὐτό.

Θεσμὸν ἔρως οὐκ οἶδε βιημάχος, οὐδέ τις ἀνὴρ
Ἀνέρα νοσφίζει πρῆξις ἐρωμανίης.
Εἰ δέ σε θεσμοπόλοιο μεληδόνος ἔργον ἐρύκει,
Οὐκ ἄρα σοὶ στέρνοις λάβρος ἔνεστιν ἔρως.
Ποῖος ἔρως, ὅτι βαιὸς ἁλὸς πόρος οἶδε μερίζειν
Σὸν χρόα, παρθενικῆς τηλόθεν ὑμετέρης;
Νηχόμενος Λείανδρος, ὅσον κράτος ἐστὶν ἐρώτων,
Δείκνυεν, ἐννυχίου κύματος οὐκ ἀλέγων.
Σοὶ δὲ φίλος παρέασι καὶ ὁλκάδες· ἀλλὰ θαμίζεις
Μᾶλλον Ἀθηναίῃ, Κύπριν ἀπωσάμενος.
Θεσμοὺς Παλλὰς ἔχει, Παφίη πόθον· εἰπὲ τίς ἀνὴρ
Εἰν ἑνὶ θητεύσει Παλλάδι καὶ Παφίῃ.

PAVLI silentiarij rescripta ad illud. 77.

Legem amor haud nouit cũ violentia pugnans, neque aliquod (aliud
Virum priuat opus insaniæ amoris.
Si verò te legalis curæ opus detinet,

Non ſanè tibi in pectore vorax ineſt amor.
Qualis amor, cùm paruus maris tranſitus poteſt diuidere
Tuum corpus, virgine procul à veſtra?
Natans Leander, quantum robur ſit amorum,
Monſtrauit, nocturnos fluctus non curans.
Tibi verò amice adſunt & nauiculæ: ſed ſtudes
Potius Palladi, Venerem abiiciens.
Leges Pallas habet, Paphia amorem: dixit aliquis vir
In vno mercede ſeruiet Palladi & Veneri.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ. vſque ad Epigr. 80.

Ἠιθέοις οὐκ ἔστι τόσος πόνος ὁππόσος ἡμῖν
Ταῖς ἁπαλοψύχοις ἔχραε θηλυτέραις.
Τοῖς μὲν γὰρ παρέασιν ὁμήλικες, οἷς τὰ μερίμνης
Ἄλγεα μυθεῦνται φθέγματι θαρσαλέῳ·
Παίγνιά τ' ἀμφιέπουσι παρήγορα, καὶ κατ' ἀγυιὰς
Πλάζονται, γραφίδων χρώμασι ῥεμβόμενοι.
Ἡμῖν δ' οὐδὲ φάος λεύσσειν θέμις, ἀλλὰ μελάθροις
Κρυπτόμεθα, ζοφεραῖς φροντίσι τηκόμεναι.

AGATHII Scholaſtici. vſque ad epigr. 80.

78. Iuuenibus non eſt tantus amor qualis nobis
Puſillanimibus adeſt mulieribus.
His enim adſunt æquales, quibus curarum
Dolores dicunt ſermone confidenti:
Ludieráque circumſtant ſolatia, & circa vicos
Errant tabularum picturis vagabundi,
Nobis verò neque lucem videre fas eſt, ſed ædibus
Abſcondimur, tenebricoſis curis contabefactæ.

Μηδὲν ἄγαν, σοφὸς εἶπεν· ἐγὼ δέ τις ὡς ἐπέραστος,
Ὡς καλός, ἠέρθην ταῖς μεγαλοφροσύναις.
Καὶ ψυχὴν δοκέεσκον ὅλην ἐπὶ χερσὶν ἐμεῖο
Κεῖσθαι τῆς κούρης τῆς τάχα κερδαλέης.
Ἡ δ' ὑπερηέρθη, σοβαρὴν δ' ὑπερέσχεθεν ὀφρύν,
Ὥσπερ τοῖς προτέροις ἤθεσι μεμφομένη.

Καὶ νῦν ὁ βλοσυρωπὸς, ὁ χάλκεος, ὁ βραδυπειθὴς,
 Ὁ πρὶν ἀεροπότης, ἤλιπον ἐξαπίνης.
Πάντα δ' ἔναντα γένοντο· πεσὼν δ' ἐπὶ γούνασι κούρης,
 Ἴαχον, ἱλήκοις, ἤλιτεν ἡ νεότης.

79. Nihil nimium ſapiens dixit: ego verò vt in amore,
 Tanquam pulcher elatus fui ſuperbiâ.
Et animam putabam totam in manibus meis
 Sitam puellæ lucroſæ & doloſæ.
Hæc verò elata eſt: faſtuoſámque erexit frontem,
 Tanquam prioribus moribus reprehenſa.
Et nunc aſpectu immitis, ferreus, & difficilis perſuaſu,
 Prius in aëre ambulans decidi ſtatim.
Omnia verò contraria facta ſunt: cadẽs verò ad genua puellæ,
 Clamaui, ſis propitia, peccauit iuuentus.

Ποίην τις πρὸς ἔρωτας ἴοι τρίβον; ἐν μὲν ἀγυιαῖς
 Μαχλάδος οἰμώξεις χρυσομανῆ σπατάλην.
Εἰ δ' ἐπὶ παρθενικῆς πελάσεις λέχος, ἐς γάμον ἥξεις
 Ἔννομον, ἢ ποινὰς τὰς περὶ τῶν φθορέων.
Κουριδίαις δὲ γυναιξὶν ἀτερπέα Κύπριν ἐγείρειν
 Τίς κεν ὑποτλαίη, πρὸς χρέος ἑλκόμενος;
Μοίχια λέκτρα κάκιστα, καὶ ἔκτοθεν εἰσὶν ἐρώτων,
 Ὧν μέτα παιδομανὴς κείσθω ἀλιτροσύνη.
Χήρη δ' ἡ μὲν ἄκοσμος ἔχει πολύδημον ἐραστὴν,
 Καὶ πάντα φρονέει δήνεα μαχλοσύνης·
Ἡ δὲ σαοφρονέουσα, μόλις φιλότητι μιγεῖσα,
 Δέχνυται ἀστόργου κέντρα παλιμβολίης,
Καὶ στυγέει τὸ τελεσθὲν· ἔχουσα δὲ λείψανον αἰδοῦς,
 Ἂψ ἐπὶ λειψογάμους χάζεται ἀμβολίας.
Ἢν δὲ μιγῇς ἰδίῃ θεραπαινίδι, τλῆθι καὶ αὐτὸς
 Δοῦλος ἐναλλάγδην δμωΐδι γιγνόμενος.
Εἰ δὲ τὸ ὄθ' εἴη, τότε σοινόμος αἴθρος ἀναίψει,
 Ὕβριν ὀλιχοῖσιν σώματος ἀλλοτρίου.

Παίντ' ἄρα Διογένης ἔφυγεν τάδε· τὸν δ' ὑμέναιον
Ἤειδεν παλάμῃ, Λαΐδος οὐ χατέων.

80. Qualem aliquis ad amores terat viam? Nam in vicis
Scorti deflebis auro insanas delicias:
Si verò ad virginis accedas lectum, ad nuptias venies
Legitimas, aut in pœnas à corruptoribus.
Puellis verò feminis involuptuariam venerem excitare
Quis sustineat ad debitum tractus?
Adulterini thalami pessimi & extra amorem sunt:
Cum quibus pueris insaniens iaceat malitia.
Vidua verò inornata habet vulgarem amatorem,
Et omnia sapit consilia libidinis:
At temperans, vix amore commiscetur,
Accipit inamatæ stimulos mutabilitatis,
Et odit commissum concubitū. Habens verò reliquias pudoris,
Iterum ad nuptiarum solutrices vadit dilationes,
Si verò miscearis propriæ ancillæ, perfer & ipse
Seruus alternatim seruæ fieri.
Si verò cum externa, tunc tibi lex turpitudinem inuret,
Contumeliam perscrutans corporis alieni:
Omnia sanè Diogenes effugit hæc: nuptias verò
Perfecit dextra, Laïde nihil opus habens.

ΑΡΗΝΑΙΟΥ ῥαιφερενδαρίου.

Ὄμματα δινεύεις κρυφίων ἰνδάλματα πυρσῶν,
Χείλεα δ' ἀκροβαφῆ λοξὰ παρεκτανύεις·
Καὶ πολὺ κιχλίζουσα σοβεῖς εὐβόστρυχον αἴγλην.
Ἐκχυμένας δ' ὁρόω τὰς σοβαρὰς παλάμας.
Ἀλλ' οὐ σῆς κραδίης ὑψαύχενος ὤκλασεν ὄγκος·
Οὔπω ἐγηλυσίης, οὐδὲ μαραινομένη.

ARINÆI Referendarij. 81.

Oculos in gyrum circumagis occultorū simulacra animorum,
Labia autem summo tenus tincta obliqua extendis:
Et multum ridens quatis bene cirratum splendorem.
Effusas verò video superbas manus.
Sed non tui cordis superbi cecidit tumor:

Nondum

Nondum mollita es, ne obsoleta quidem.

ΠΑΛΛΑΔΑ.

Νῦν καταγιγνώσκω καὶ τοῦ Διὸς ὡς ἀνεράστου,
Μὴ μεταβαλλομένου τῆς σοβαρῆς ἕνεκεν.
Οὔτε γὰρ Εὐρώπης οὔ τῆς Δανάης περὶ κάλλος,
Οὔθ' ἁπαλῆς Λήδης ἐστ' ἀπολειπομένη·
Εἰ μὴ τὰς πόρνας παραπέμπεται. οἶδα γὰρ αὐτὸν
Τὸν βασιλευουσῶν παρθενικῶν φθορέα.

PALLADÆ: 82.

Nunc condemno & Iouem vt sine amore,
Qui non mutatur ob arrogantem:
Neque enim Europæ neque Danaæ ob pulchritudinem,
Neque tenera Læda est inferior:
Si non scorta dimittit. Noui etenim ipsum
Regiarum virginum corruptorem.

ΕΡΑΤΟΣΘΕΝΟΥΣ σχολαστικοῦ.

Ἄρσενας ἄλλος ἔχοι· φιλέειν δ' ἐγὼ οἶδα γυναῖκας,
Ἐς χρονίην φιλίην οἷα φυλασσομένας.
Οὐ καλὸν ἡβητῆρες. ἀπεχθαίρω γὰρ ἐκείνην
Τὴν τρίχα τὴν φθονερὴν τὴν ταχὺ φυομένην.

ERATOSTHENIS Scholastici. 83.

Viros alius habeat. Amare verò ego noui mulieres,
In longam amicitiam tanquam seruatas.
Non pulchrum qui pubescunt. Odi enim ipsam
Crinem inudam citò peruenientem.

ΛΕΟΝΤΙΟΥ.

Ψαῦε μελισταγέων στομάτων δέπας. εὗρες· ἄμελγε.
Οὐ φθονέω· τὴν σὴν δ' ἤθελον αἶσαν ἔχειν.

LEONTII. 84.

Tange multifluum os ô poculum. Inuenisti: mulge.
Non inuideo: tuam verò volebam portionem habere.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων Αἰγυπτίου.

Ἱμερτὴ Μαρίη μεγαλίζεται· ἀλλὰ μετέλθοις

Κείνης πότνα δίκη κόμπον ἀγηνορέης.
Μὴ θανάτῳ, βασίλεια· τὸ δ' ἔμπαλιν, ἐς τρίχας ἥξοι
Γήραος, ἐς ῥυτίδων σκληρὸν ἵκοιτο ῥέθος.
Τίσαιεν πολιαὶ τάδε δάκρυα. κάλλος ὑπόσχοι
Ψυχῆς ἀμπλακίην, αἴτιον ἀμπλακίης.

IVLIANI regum Ægypti. 85.

Desiderabilis Maria superbit: sed animaduertas
Illius sancta iustitia iactantiam superbiæ.
Non morte, regina. Imo verò ad pilos veniat
Senectutis, & rugarum asperam perueniat ad faciem.
Vlciscantur cani has lacrumas. Pulchritudo sustineat
Animæ peccatum, causa peccati.

ΦΙΛΟΔΗΜΟΥ. vsque ad epig. 101.

Δακρύεις, ἐλεεινὰ λαλεῖς, περίεργα θεωρεῖς,
Ζηλοτυπεῖς, ἅπτῃ πολλάκι, πυκνὰ φιλεῖς.
Ταῦτα μέν ἐστιν ἐρῶντος· ὅταν δ' εἴπω, παράκειμαι,
Καὶ σὺ μένεις ἁπλῶς, οὐδὲν ἐρῶντος ἔχεις.

PHILODEMI. 86. vsque ad epigr. 101.

Lacrumaris, miserabilia dicis, anxiè specularis,
Zelotypia laboras, tangis sæpius, frequenter oscularis.
Hæc quidem sunt amantis: quando autem dico, recumbo,
Et tu recusas simpliciter, nihil amantis habes.

Μῆλον ἐγώ· βάλλει με φιλῶν σέ τις· ἀλλ' ἐπίνευσον
Ξανθίππη. κἀγὼ καὶ σὺ μαραινόμεθα.

87. Pomum ego. Percutit me amans te quis: sed vlciscere
Xanthippe, & ego & tu marcescimus.

Τὸν σιγῶντα Φιλαινὶ συνίστορα τῶν ἀλαλήτων
Λύχνον, ἐλαιηρῆς ἐκμεθύσασα δρόσου,
Ἔξιθι· μάρτυρα γὰρ Ἔρως μόνος οὐκ ἐφίλησεν
Ἔμπνοον· καὶ πυκτὴν κλεῖσε Φιλαινὶ θύραν.

88. Tacentem Philæni conscium illorum quæ non dicenda
Lychnum, oliuo ebrium faciens rore,
Exi: testimonium enim amor solus non amat.

Visum:& effabrefactam claude, Philæni, ianuam.

Νὺξ ἱερὴ, καὶ λύχνε, συνίστορας οὔτινας ἄλλους
 Ὅρκοις, ἀλλ' ὑμέας εἱλόμεθ' ἀμφότεροι.
Χὠ μὲν ἐμὲ στέρξειν, κεῖνον δ' ἐγὼ οὔποτε λείψειν,
 Ὠμόσαμεν· κοινὴν δ' εἴχετε μαρτυρίην.
Νῦν δ' ὁ μὲν ὅρκια φησὶν ἐν ὕδατι κεῖνα φέρεσθαι·
 Λύχνε σὺ δ' ἐν κόλποις αὐτὸν ὁρᾷς ἑτέρων.

89. Nox sacra,& lychne, conscios nullos alios
 Iuramentis, sed vos appetimus ambo.
Et hic quidem se me amaturum, illũ v. me nũquam relicturum,
 Iurauimus: communc habete testimonium.
Iam verò ille quidem iuramenta dicit in aquam illa ferenda:
 Lychne tu verò in sinibus ipsum vides aliorum.

Οὔπω σοι καλύκων γυμνὸν θέρος, οὐδὲ μελαίνει
 Βότρυς ὁ παρθενίοις πρωτοβόλος χάρισιν,
Ἀλλ' ἤδη θοὰ τόξα νέοι θήγουσιν ἔρωτες
 Λυσιδίκη, καὶ πῦρ τύφεται ἐγκρύφιον.
Φεύγωμεν δυσέρωτες, ἕως βέλος οὐκ ἐπὶ νευρῇ·
 Μάντις ἐγὼ πολλῆς αὐτίκα πυρκαϊῆς.

90. Nondum tibi rosis nuda æstas, neque nigrescit
 Vua virgineis primo feriens gratiis,
Sed iam velocia tela iuuenes acuunt amores
 Lysidice,& ignis fumat occultus.
Fugiamus infelices in amore, dum nõdum sagitta ad neruum:
 Vates ego multis statim incendij futuri.

Ψυχή μοι προλέγει φεύγειν πόθον Ἡλιοδώρας,
 Δάκρυα καὶ ζήλους τοὺς πρὶν ἐπισταμένη.
Φησὶ μέν· ἀλλὰ φυγεῖν οὔ μοι σθένος. ἡ γὰρ ἀναιδὴς
 Αὐτὴ καὶ προλέγει, καὶ προλέγουσα φιλεῖ.

91. Anima mihi prædicit euitare amorem Heliodoræ,
 Lacrumas & zelum priorem adhuc sciens.
Dicit quidem, sed fugere mihi nulla potestas. Non enim muta
 Ipsa & prædicit,& prædicens amat.

Ὁσσάκι Κυδίλλης ὑποκόλπιος, εἴτε κατ' ἦμαρ,
  Εἴτ' ἀποτολμήσας ἤλυθον ἑσπέριος,
Οἶδ' ὅτι πὰρ κρημνὸν τέμνω πόδα, οἶδ' ὅτι ῥιπτῶ
  Πάντα κύβον κεφαλῆς αἰὲν ὑπὲρ θεμένης.
Ἀλλὰ τί μοι πλέον; ἔστι γὰρ ὄντως θρασὺς· ἡνίκ' ὅταν ἕλκῃ
  Πάντοτ' Ἔρως, ἀρχὴν οὐδ' ὕπαρ οἶδε φόβου.

92. Quoties Cydilles in sinum perueni, siue die
  Siue ausus veni vespertinus,
Noui quòd apud præcipitium eo viam. Noui quòd proiicio
  Omnem aleam capitis semper super me.
Sed quid tu postea? Est igitur confidens: & cùm trahit
  Quocunque amor, initium ne sommus quidem nouit metus.

Ἑξήκοντα τῆς Χαριτὼ Λυκαβαντος ἐς ὥρας
  Ἀλλ' ἔτι κυανέων σύρμα μένει πλοκάμων,
Καὶ χρὼς ἀρρυτίδωτος· ἔτ' ἀμβροσίαν, ἔτι πειθὼ,
  Πᾶσιν ἔτι στάζει μυριάδας χαρίτων.

93. Sexaginta perficit Chariclo annos in tempore:
  Sed adhuc nigrorum tractus manet capillorum,
Et corpus sine rugis, adhuc Ambrosiam, adhuc Peitho,
  Omnibus adhuc millenarios stillat gratiarum.

Ἠράσθην. τίς δ' οὐχὶ κεκώμακε; τίς δ' ἀμύητος
  Κώμων; ἀλλ' ἐμάνην. ἐκ τίνος; οὐχὶ θεοῦ;
Ἐῤῥίφθω· πολιὴ γὰρ ἐπείγεται ἀντὶ μελαίνης
  Θρὶξ, ἤδη συνετῆς ἄγγελος ἡλικίης.
Καὶ παίζειν ὅτε καιρὸς, ἐπαίξαμεν· ἡνίκα καὶ νῦν
  Οὐκ ἔτι, λωοτέρης φροντίδος ἁψόμεθα.

94. Amaui. quis verò nondum lasciuiuit? quis non initiatus
  Lasciuiis: Verùm insani, ex quo? non ex deo?
Proiectus est amor: canis enim instat pro nigro
  Crinis, iam prudentis nuncius ætatis.
Et ad lusum cum tempus erat, lusimus: cùm & nunc
  Non amplius, meliori curâ tangimur.

Ἠράσθης πλουτῶν Σωσίκρατες· ἀλλὰ πένης ὢν,

Οὐκ ἔτ' ἐρᾷς. λιμὸς φάρμακον οἷον ἔχει.
Ἡ δὲ πάρος σε καλεῦσα μύρον καὶ τερπνὸν Ἄδωνιν
Μηνοφίλα, νῦν τοι τοὔνομα πυνθάνεται.
Τίς; πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις; ἦ μόλις ἔγνως
Τοῦτ' ἔπος, ὡς οὐδεὶς οὐδὲν ἔχοντι φίλος.

95. Amasti diues existens Sosicrates: sed pauper existens,
Non amplius amas, fames remedium quale habet.
Quæ verò prius te vocabat vnguentum, & pulchrum Adonia
Menophila, iam tuum nomen quærit.
Quis? vnde es virorum? quæ tibi ciuitas? Certè vix cognosti
Hoc verbum; quòd nemo nihil habenti amicus.

Ἡ χαλεπὴ κατὰ πάντα Φιλήνιον, ἡ τὸν ἔρωτα
Μηδέποτ' ἀργυρέου χωρὶς ἀναςχομένη,
Φαίνετ' ἀνεκτοτέρη νῦν ἢ πάρος. οὐ μέγα θαῦμα
Φαίνεσθ'· ἠλλάχθαι τὴν φύσιν οὐ δοκέω.
Καὶ γὰρ πρηϋτέρη ποτὲ γίγνεται ἀσπὶς ἀναιδής,
Δάκνει δ' οὐκ ἄλλως ἢ θανατηφορέην.

96. Difficilis in omnibus Philesium, quæ amorem
Nunquam sine argento sustinet,
Videtûr intolerabilior nunc quàm prius. Non valde mirãdum
Videri: mutasse naturam non credo.
Nam mitior aliquando fit aspis impudens,
Mordet verò non aliud quàm mortiferum vulnus.

Ἠράσθην Δημοῦς Παφίης γένος· οὐ μέγα θαῦμα.
Καὶ Σαμίης Δημοῦς, δεύτερον· οὐχὶ μέγα.
Καὶ πάλιν Ὑσιακῆς Δημοῦς, τρίτον· οὐκ ἔτι ταῦτα
Παίγνια· καὶ Δημοῦς τέτρατον Ἀργολίδος.
Αὐταί που μοῖραί με κατωνόμασαν Φιλόδημον,
Ὡς αἰεὶ Δημοῦς θερμὸς ἔχει με πόθος.

97. Amaui Demon Paphiam genere: non valde mirum.
Et Samiam Demon secundo: non valde.
Et rursus Asiacam Demon tertio. Nondum hæc
Ludicra. Et rursus quarto Argolicam.

Ipsæ forte Parcæ me nominarunt Philodemum,
Quàm semper Demus calidus habet me amor!

Μικκὴ καὶ μελανεῦσα Φιλαίνιον, ἀλλὰ σελίνων
Οὐλοτέρη, καὶ ἀμνοῦ χρῶτα τερεινοτέρη,
Καὶ κεστοῦ φωνεῦσα μαγώτερα, καὶ παρέχουσα
Πάντα, καὶ αἰτῆσαι πολλάκι φειδομένη.
Τοιαύτην στέργοιμι Φιλαίνιον, ἄχρις ἂν εὕρω
Ἄλλην ὦ χρυσέη Κύπρι τελειοτέρην.

98. Parua & nigra Philænium, sed apio
Mollior, & agno corpore tenuior,
Et cestum Veneris in sermone demulcentior, & præbens
Omnia, & petere sæpius erubescens.
Talem amem Philænium, donec inueniam
Aliam, ô aurea Venus, perfectiorem.

Ψαλμὸς, καὶ λαλιὴ, καὶ κωτίλον ὄμμα, καὶ ᾠδὴ
Ξανθίππης, καὶ πῦρ ἄρτι καταρχόμενον,
Ω ψυχὴ, φλέξει σε· τὸ δ' ἐκ τίνος, ἢ πότε, καὶ πῶς,
Οὐκ οἶδα· γνώσῃ δύσμορε τυφομένη.

99. Psalmus, & sermo, & pætus oculus, & cantus
Xanthippæ, & ignis modò incipiens,
O anima, combureť te: illud a. ex quo, & quando, & quomodo,
Non noui, tu scies infelix incensa.

Ω ποδὸς, ὦ κνήμης, ὦ τῶν ἀπόλωλα δικαίως
Μηρῶν, ὦ γλουτῶν, ὦ κτενός, ὦ λαγόνων,
Ω ὤμων, ὦ μαστῶν, ὦ τοῦ ῥαδινοῖο τραχήλου,
Ω χειρῶν, ὦ τῶν μαίνομαι ὀμματίων,
Ω κακοτεχνοτάτου κινήματος, ὦ περιάλλων
Γλωττισμῶν, ὦ τῶν κλώμεθα φωναρίων.
Εἰ δ' ὀπικὴ, καὶ Φλωρὰ, καὶ οὐκ ᾄδουσα τὰ Σαπφοῦς,
Καὶ Περσεὺς Ἰνδῆς ἠράσατ' Ἀνδρομέδης.

100. O pedes, ô tibiam, ô ob quæ perij iustè
Femora, ô nates, ô pubem, ô ilia.
O humeros, ô mammas, ô gracile collum,

O manus,ô,quibus insanio,oculos,
O malè artificiosissimum motum, ô eximia
Basia,ô,quibus frangimur,voculas.
Et licèt opica sim,& balba,& non canens vt Sappho,
Et Perseus Indiæ amauit Andromedam.

Ἡ κομψή. μεῖνόν με. τί σοι καλὸν οὔνομα; ποῦ σε
Ἔστιν ἰδεῖν; ὃ θέλεις δώσομεν. οὐδὲ λαλεῖς;
Ποῦ γίνῃ; πέμψω μετὰ σοῦ τινά; μή τις ἔχει σε;
Ὦ σοβαρή, ὑγίαιν'. οὐδ' ὑγίαινε λέγεις;
Καὶ πάλι καὶ πάλι σοὶ προσελεύσομαι. οἶδα μαλάσσειν
Καὶ σοῦ σκληροτέρας. νῦν δ' ὑγίαινε, γύναι.

101. O pulchra expecta me. quodnam tibi charũ nomẽ? vbi te
Licet videre? quid vis demus? Nihil loqueris?
Vbi versaris? mittam post te aliquem? an quis habet te?
O superba. vale. Neque vale dicis.
Et iterum atque iterum te accedam. Noui mitigare
Et tè rigidiores. Iam vale mulier.

ΑΝΤΙΦΙΛΟΥ.

Χεῦμα μὲν, Εὐρώταο Λακωνικόν· ἁ δ' ἀκάλυπτος,
Λήδα· χὠ κύκνῳ κρυπτόμενος, Κρονίδας.
Οἱ δέ με τὸν δυσέρωτα καταίθετε. καὶ τί γένωμαι
Ὄρνεον. εἰ γὰρ Ζεὺς κύκνος, ἐγὼ κόρυδος.

ANTIPHILI. IO?.

Flumen quidem Eurotæ Laconicũ: nuda autem
Leda: & cycno absconditus, Iupiter.
Vos autem me infelicem in amore comburitis. Et quid? Fiam
Auis. Si enim Iupiter cycnus, ego corydus ero.

ΜΕΛΕΑΓΡΟΥ. vsque ad epig. 115

Ἡδυμελεῖς μοῦσαι σὺν πηκτίδι, καὶ λόγος ἔμφρων
Σὺν πειθοῖ, καὶ ἔρως καλὸς ἐφ' ἡνιόχῳ,
Ζηνοφίλα σοὶ σκῆπτρα πόθων ἀπένειμεν, ἐπεί σοι
Αἱ τρισσαὶ Χάριτες τρεῖς ἔδοσαν χάριτας.

MELEAGRI. 103. vsque ad epigr. 115.

Suauiter canentes musæ cum tibia, & sermo sapiens
Cum suadela, & amor pulchro in curru,
Zenophila tibi sceptra amorum dederunt, cùm tibi
Tres Charites tres dederunt gratias.
Τίς μοι Ζηνοφίλαν λαλίην παρέδειξεν ἑταίρην;
Τίς μίαν ἐκ τρισσῶν ἤγαγέ μοι χάριτα;
Ἦ ῥ' ἐτύμως ἀνὴρ κεχαρισμένον ἤνυσεν ἔργον,
Δῶρα διδούς, καὐτὴν τὴν χάριν ἐν χάριτι.
304. Quis mihi Zenophilam argutam ostendit amicam?
Quis vnam ex tribus adduxit mihi gratiam?
Certè verè vir gratiosum absoluit opus.
Munera dans, & ipsam hanc gratiam in gratiâ.
Ἡ φίλερως χαροποῖς Ἀσκληπιὰς, οἷα γαλήνης
Ὄμμασι συμπείθει πάντας ἐρωτοπλοεῖν.
305. Amabilis duris Asclepias, tanquam tranquillis
Oculis persuadet omnes in amore nauigare.
Δεινὸς ἔρως, δεινός. τί δὲ τὸ πλέον, ἢν πάλιν εἴπω,
Καὶ πάλιν οἰμώζων πολλάκι, δεινὸς ἔρως;
Ἦ γὰρ ὁ παῖς τούτοισι γελᾷ, καὶ πυκνὰ κακισθεὶς
Ἥδεται. ἢν δ' εἴπω λοίδορα, καὶ τρέφεται.
Θαῦμα δέ μοι, πῶς ἆρα διὰ γλαυκοῖο φανεῖσα
Κύματος, ἐξ ὑγροῦ Κύπρι σὺ πῦρ τέτοκας.
306. Grauis amor, grauis. Quid tum postea, si iterum dico
Et rursus iurans sæpius grauis amor;
Siquidem puer his ridet, & sæpius maledictus impetitus;
Delectatur: sin verò dicam conuicia, his alitur.
Mirum est mihi quomodo sanè per cæruleum apparens
Fluctum, ex humido Venus tu ignem pepereris.
Ναὶ τὰν Κύπριν, ἔρως, φλέξω τὰ σὰ πάντα πυρώσας
Τόξα τε καὶ σκυθικὴν ἰοδόκον φαρέτρην.
Φλέξω ναί. τί μάταια γελᾷς, καὶ σιμὰ σεσηρὼς
Μυχθίζεις; τάχα που σαρδόνιον γελάσεις.
Εἰ γάρ σευ τὰ ποδηγὰ πόθων ὠκύπτερα κόψας,

Χαλκόδετον σφίγξω σοῖς περὶ ποσσὶ πέδην,
Καί τοι Καδμεῖον κράτος οἴσομεν, εἴ σε πάροικον
Ψυχῇ συζεύξω λυγρὰ παρ' αἰπολίοις.
Ἀλλ' ἴθι δυσνίκητε· λαβὼν δ' ἐπὶ κοῦφα πέδιλα,
Ἐκπέτασον ταχινὰς εἰς ἑτέρους πτέρυγας.

107. Per Venerem, amor, comburã tua omnia, incendẽs igne
Arcum, & Scythicam sagittas capientem pharetram.
Cõburã sanè. Quid temerè rides, etsi simis naribus lætabundus
Rides, fortè Sardonium ridebis.
Si enim tuas duces amorum alas abscindens,
Æream stringam tuos circa pedes compedem,
Quamuis Cadmeam victoriã reportabimus, si te apud domum
Animo conuinxero perniciosa gregibus *erunt*.
Sed abi difficulter mobilis. Capiens verò tua leuia talaria,
Extende veloces in alios alas.

Τί ξένον εἰ βροτολοιγὸς ἔρως τὰ πυρίπνοα τόξα
Βάλλει, καὶ λαμυροῖς ὄμμασι πικρὰ γελᾷ;
Οὐ μήτηρ στέργει μὲν Ἄρη, γαμέτις δὲ τέτυκται
Ἡφαίστου, κοινὴ καὶ πυρὶ καὶ ξίφεσιν;
Μητρὸς δ' οὐ μήτηρ ἀνέμων μάστιξι θάλασσα
Τρηχὺ βοᾷ; γενέτης δ' οὔτε τις, οὔτε τινος.
Τοὔνεκεν Ἡφαίστου μὲν ἔχει φλόγα, κύμασι δ' ὀργὴν
Στέρξεν ἴσην, Ἄρεος δ' αἱματόφυρτα βέλη.

108. Quid nouũ, si hominib. perniciosus amor ignẽ spirãtes sagittas
Iaculatur, & lepidis oculis crebrò ridet?
Cuius mater amat quidem Martem, & coniux est
Vulcani communis & igni, & gladiis?
Matris verò non mater ventorum flagellis mare
Asperè reboat? Pater autem neque quis, neque cuius.
Iccirco Vulcani quidem habet flammam, fluctibus verò iram
Amauit æqualem, Martis verò sanguine cruenta tela.

Κῦμα τὸ πικρὸν ἔρωτος, ἀκοίμητοί τε πνέοντες
Ζῆλοι, καὶ κώμων χειμέριον πέλαγος,

Ποῖ φέρομαι; πάντῃ δὲ φρενῶν οἴακες ἀφεῖνται.
  Ἢ πάλι τὴν τρυφερὴν Σκύλλαν ἀποψόμεθα.

169. Fluctus acerbus amoris, & insopitæ spirantes
  Æmulationes, & lasciuiarum hybernum pelagus,
Quò feror. Vndique animorum claues obiiciuntur.
  An iterum teneram Scyllam videbimus?

Αἰεί μοι δινεῖ μὲν ἐν οὔασιν ἦχος ἔρωτος,
  Ὄμμα δὲ σῖγα πόθοις τὸ γλυκὺ δάκρυ φέρει.
Οὐδ᾽ ἡ νὺξ οὐ φέγγος ἐκοίμισεν, ἀλλ᾽ ὑπὸ φίλτρων
  Ἤδη που κραδίῃ γνωστὸς ἔνεστι τύπος.
Ὦ πτανοί, μὴ καί ποτ᾽ ἐφίπτασθαι μὲν ἔρωτες
  Οἴδατ᾽, ἀποπτῆναι δ᾽ οὐδ᾽ ὅσον ἰσχύετε;

110. Semper mihi resonat quidem in auribus sonus amoris,
  Oculus verò tacitè amoris dulcem lacrumam fert.
Neque nox neque lux me quietum reddit, sed ab amoribus
  Iam cordi notus inest typus.
O volucres, nunquid aduolare quidem amores
  Nouistis, auolare autem ne tantillum quidem potestis?

Καὐτὸς Ἔρως ὁ πτανὸς ἐν αἰθέρι δέσμιος ἥλω,
  Τοῖς σοῖς ἀγρευθεὶς ὄμμασι, Τιμάριον.

111. Et ipse amor volucris in æthere vinculis captus est,
  Tuis captus oculis, Timario.

Ὦ σοβαρὴ βαλανεῖτι, τί δή ποτέ μ᾽ ἔκπυρα λούεις;
  Πρὶν μ᾽ ἀποδύσασθαι, τοῦ πυρὸς αἰσθάνομαι.

112. O superba balneatrix, cur me igne feruidum lauas?
  Priusquam exuam vestes, ignem sentio.

Εἰ κάλλει καυχᾷ, γίγνωσχ᾽ ὅτι καὶ ῥόδον ἀνθεῖ·
  Ἀλλὰ μαρανθὲν ἄφνω, σὺν κοπρίοις ἐρίφη.
Ἄνθος γὰρ καὶ κάλλος ἴσον χρόνον ἐστὶ λαχόντα·
  Ταῦτα δ᾽ ὁμοῦ φθονέων ἐξεμάρανʼ ὁ χρόνος.

113. Si pulchritudine gloriaris, cognosce quòd rosa floret
  Sed marcescens subitò, cum stercoribus eiecta est.
Flos enim & pulchritudo æquale tempus consecuta:

Illa ſimul inuidum tabefacit tempus.

Εἰ μὲν γηράσκει τὸ καλόν, μετάδος πρὶν ἀπέλθῃ·
  Εἰ δὲ μένει, τί φοβῇ τοῦθ' ὃ μένει διδόναι;

114. Si ſe neſcit pulchritudo, communica priuſquam abeat:
  Si verò manet, quid times quod non manet dare?

Τὴν καταφλεξίπολιν Σθενελαΐδα, τὴν πολύμισθον,
  Τὴν τοῖς βουλομένοις χρυσὸν ἐρευγομένην,
Γυμνήν μοι διὰ νυκτὸς ὅλης παρέκλινεν ὄνειρος,
  Ἄχρι φίλης ἠοῦς, προῖκα χαριζομένην.
Οὐκ ἔτι γουνάσομαι τὴν βάρβαρον, οὐδ' ἐπ' ἐμαυτῷ
  Κλαύσομαι, ὕπνον ἔχων κεῖνο χαριζόμενον.

115. Vniuerſam vrbē incendentē Sthenelaida, precioſiſſimam,
  Et ſecupientibus aurum ingeminantem,
Nudam mihi per noctem totam acclinauit ſomnus,
  Vſque ad charam auroram, gratis gratificans.
Non amplius ſupplicabo barbaræ, neque ob meipſum
  Plorabo, ſomnum habens hoc mihi dantem.

ΑΣΚΛΗΠΙΑΔΟΥ. vſque ad epig. 118.

Αὐτοῦ μοι στέφανοι παρὰ δικλίσι ταῖσδε κρεμαστοὶ
  Μίμνετε, μὴ προπετῶς φύλλα τινασσόμενοι,
Οὓς δακρύοις κατέβρεξα· (κάτομβρα γὰρ ὄμματ' ἐρώντων)
  Ἀλλ' ὅτ' ἀνοιγομένης αὐτὸν ἴδητε θύρης,
Στάξαθ' ὑπὲρ κεφαλῆς ἐμὸν ὑετόν, ὡς ἂν ἄμεινον
  Ἡ ξανθή γε κόμη τἀμὰ δάκρυα πίῃ.

ASCLEPIADI. 116. vſque ad epigr. 118.

Hic mihi coronæ ad bifores has penſiles
  Manete, non ſubitò folia excutientes,
Quas lacrumis irrigaui (imbriferi enim oculi amnatum)
  Sed cum apertâ ipſum videtis ianuâ,
Stillate ſuper caput meum pluuiam, vt melius
  Flaua coma mea lacrumas bibat.

Λύχνε, σὲ γὰρ παρεοῦσα τρὶς ὤμοσεν Ἡράκλεια
  Ἥξειν· κοὐχ ἥκει· λύχνε, σὺ δ' εἰ θεὸς εἶ,

Τὴν δολίην ἐπάμυνον· ὅταν φίλον ἔνδον ἔχουσα
 Παίζῃ, ἀποσβεσθεὶς μηκέτι φῶς πάρεχε.

117. O Lychne, te enim præsens ter iurauit Heraclea
 Se venturam, nec venit. Lychne, tu si Deus es,
Dolosam vlciscere: quando amicum intus habens
 Luserit, extinctus non amplius lumen præbe.

Νεῖφε, χαλαζοβόλει, ποίει σκότος, αἶθε, κεραύνου·
 Πάντα τὰ πορφύροντ' ἐν χθονὶ σεῖε νέφη.
Ἢν γάρ με κτείνῃς, τότε παύσομαι· ἢν δέ μ' ἀφείης,
 Καὶ διαθῇς τούτων χείρονα, κωμάσομαι.
Ἕλκει γάρ μ' ὁ κρατῶν καὶ σοῦ θεὸς ᾧ ποτε πεισθεὶς,
 Ζεῦ, διὰ χαλκείων χρυσὸς ἔδυς θαλάμων.

118. Ninge, grandinem mitte, fac tenebras, vre, fulmina:
 Omnes nigricantes in terra concita nubes.
Si enim me occidas, tunc quiescam: si verò me relinquas,
 Et facies his peiora, ad lasciuiam ibo.
Trahit enim me qui tibi imperat deus: cui tu obediens,
 Iupiter, per ferreos aurum iuisti thalamos.

ΠΟΣΕΙΔΙΠΠΟΥ. & sequens.

Ἐν Παφίῃ Κυθέρεια παρ' ἠϊόνι εἶδε Κλέανδρος
 Νικοῦν ἐν χαροποῖς κύμασι νηχομένης·
Καιομένους δ' ὑπ' ἔρωτος ἐνὶ φρεσὶν ἄνθρακας ἀνὴρ
 Ξηροὺς ἐκ νοτερῆς παιδὸς ἐπεσπάσατο.
Χὼ μὲν ἐναυάγει γαίης ἔπι· τὴν δὲ, θαλάσσης
 Ψαύουσαν, πρηεῖς εἴχοσαν αἰγιαλοί.
Νῦν δ' ἴσος ἀμφοτέροις φιλίης πόθος. οὐκ ἀτελεῖς γὰρ
 Εὐχαὶ τὰς κείνης ηὔξατ' ἐπ' ἠϊόνος.

POSIDIPPI. 119. & sequens.

Vnam Paphia Venus faciem vidit Cleander
 Nicûs in gratiosis fluctibus natantis:
Ardentes verò ab amore in corde carbones vir
 Siccos ex humida puella attraxit.
Et hic quidem nauem frangebat in terrâ: mare autem

Tangentem mansueta tenebant litora.
Iam verò æqualis vtrisque amicitiæ cupido. Non irritas enim
Preces illo orauit in littore.

Δάκρυα καὶ κῶμοι, τί μ' ἐγείρετε πρὶν πόδας ἆρω
Ἐκ πυρὸς εἰς ἑτέρην Κύπριδος ἀνθρακιήν;
Λήγω δ' οὔποτ' ἔρωτος. ἀεὶ δέ μοι ἐξ Ἀφροδίτης
Ἄλγος, ὁ μὴ κρίνων κοινὸν ἄγει με πόθος.

120. Lacrumæ, & lasciuia, quid me excitatis, antequam pedes (tollo
Ex igne in aliud Veneris incendium?
Cesso autem nunquam ab amore. Sēper verò mihi ex Venere
Dolor, non iudicans commune ducenti amor.

ΡΟΥΦΟΥ δομεστίκου.

Πάντα σέθεν φιλέω· μοῦνον δὲ σὸν ἄκριτον ὄμμα
Ἐχθαίρω, στυγνοῖς ἀνδράσι τερπόμενον.

RVFI domestici. 121.

Omnia tua amo: solum verò tuum iudicio carentem oculum
Odi, hostilibus viris delectantem.

ΑΝΤΙΦΙΛΟΥ.

Εἶπον ἐγὼ καὶ πρόσθεν, ὅτ' ἦν ἔτι φίλτρα Τερείνης
Νήπια, συμφλέξει πάντας ἀεξομένη.
Οἱ δ' ἐγέλων τὸν μάντιν· ἴδ', ὁ χρόνος ὅν ποτ' ἐφώνουν,
Οὗτος. ἐγὼ δὲ πάλαι τραύματος ᾐσθανόμην.
Καὶ τί πάθω; λεύσσειν μὲν, ὅλαι φλόγες· ἢν δ' ἀπονεύσω,
Φροντίδες· ἢν δ' αἰτῶ, παρθένος. οἰχόμεθα.

ANTIPHILI. 122.

Dixi ego & prius, cùm essent adhuc amatoria Terenæ
Ludicra, combureret omnes maturior facta.
Illi verò ridebant vatem: en tempus quod olim dixi,
Hoc. ego verò iamdudum vulnus sentiebam.
Et quid patior? Intueri ipsam, totæ flammæ: si verò abnuam,
Curæ: si verò peto, virgo est: perimus.

ΛΟΥΚΙΛΛΙΟΥ.

Ἢ τὸ φιλεῖν περίγραψον ἔρως ὅλον, ἢ τὸ φιλεῖσθαι

Πρόσθες ἵν' ἢ λύσῃς τὸν πόθον ἢ κεράσῃς.

LVCILLII. 123.

Aut amare dele cupido totum, aut amari
Adde: vt aut soluas, aut coniungas.

ΡΟΥΦΙΝΟΥ. vsque ad epig. 151.

Παλλὰς ἐσαθρήσασα καὶ Ἥρη χρυσοπέδιλος
Μαιονίν, ἐκ κραδίης ἴαχον ἀμφότεραι,
Οὐκ ἔτι γυμνούμεσθα· κρίσις μία ποιμένος ἀρκεῖ·
Οὐ καλὸν ἡττᾶσθαι δὶς περὶ καλλοσύνης.

RVFINI. 124. vsque ad epigr. 151.

Pallas intuens & Iuno aurea talaria habens
Mæonin, ex corde vociferatæ sunt ambæ,
Non amplius denudemur: iudicium vnum pastoris sufficit:
Non pulchrum superari bis ob pulchritudinem.

Κάλλος ἔχεις Κύπριδος, Πειθοῦς στόμα, σῶμα καὶ ἀκμὴν
Εἰαρινῶν Ὡρῶν, φθέγμα δὲ Καλλιόπης,
Νοῦν καὶ σωφροσύνην Θέμιδος, καὶ χεῖρας Ἀθήνης·
Σὺν σοὶ δ' αἱ χάριτες τέσσαρές εἰσι, φίλη.

125. Pulchritudinē habes Veneris, suadæ os, corpus & ætatem
Vernarum Horarum, vocem verò Calliopes,
Mentem & prudentiam Themidis, & manus Mineruæ:
Cum te verò quatuor chārites sunt, amica.

Πέμπω σοὶ Ῥοδόκλεια τόδε στέφος, ἄνθεσι πλέξας,
Αὐτὸς ὑφ' ἡμετέραις δρεψάμενος παλάμαις.
Ἔστι κρίνον, ῥοδέη τε κάλυξ, νοτερή τ' ἀνεμώνη,
Καὶ νάρκισσος ὑγρὸς, καὶ κυαναυγὲς ἴον.
Ταῦτα στεψαμένη, λῆξον μεγάλαυχος ἐοῦσα.
Ἀνθεῖς, καὶ λήγεις καὶ σύ. καὶ ὁ στέφανος.

126. Mitto tibi Rhodoclea hanc coronam, floribus nectens,
Ipse meis decerpens manibus.
Est viola, & rosea bacca, nebulosáque anemone,
Et narcissus humida, & cærulea viola.
His ornata seda fastum remittens.

Flores, & desinis & tu & corona.

Γείτονα παρθένον εἶχον Ἀμυμώνην Ἀφροδίτην,
Ἥ μου τὴν ψυχὴν ἔφλεξεν οὐκ ὀλίγον.
Αὕτη μοι προσέπαιζε· καὶ εἴποτε καιρὸς, ἐτόλμα.
Ἠρυθρία. τί πλέον τὸν πόνον ἠσθάνετο.
Ἤνυσα πολλὰ καμὼν παρθενικὴν· νῦν δὲ τίκτει.
Ὥστε τί ποιούμενοι; φεύγωμεν, ἢ μένομεν;

127. Vicinam virginem habens Amymonam Venerem,
Quæ meum animum combussit non parum.
Hæc mecum ludebat, & si fortè occasio, audebam.
Erythria. quid plus amorem sentiebat.
Perfeci opus multa laborans: audiui nunc quòd pariet,
Itaque quid facimus? fugimus an manemus?

Αὕτη πρόσθεν ἔην ἐρατόχροος, εἰαρόμαζος,
Εὔσφυρος, εὐμήκης, εὔοφρυς, εὐπλόκαμος·
Ἠλλάχθη δὲ χρόνῳ καὶ γήραϊ καὶ πολιῇσι,
Καὶ νῦν τῶν προτέρων οὐδ' ὄναρ οὐδὲν ἔχει.

128. Hæc prius erat amabili corpore, vernantibus mamillis,
Pulchris pedum malleolis, prçlonga, pulchris superciliis, pulchris comis:
Mutata est verò tempore & senecture, & canis,
Et nunc ex prioribus insomnio quidem nil habet.

Ἀρνεῖται τὸν ἔρωτα Μελισσίας· ἀλλὰ τὸ σῶμα
Κέκραγεν ὡς βελέων δεξάμενον φαρέτρην·
Καὶ βάσις ἀστατέουσα, καὶ ἄστατος ἄσθματος ὁρμὴ,
Καὶ κοῖλαι βλεφάρων ἰοτυπεῖς βάσιες.
Ἀλλὰ πόθοι, πρὸς μητρὸς ἐϋστεφάνου Κυθερείης,
Φλέξατε τὴν ἀπιθῆ, μέχρις ἐρεῖ, φλέγομαι.

129. Recusat amorem Melissias: sed corpus
Clamat quòd telorum exceperit pharetram:
Et gressus instabilis, & instabilis anhelitus motus,
Et caua oculorum sagittis percussa fundamenta.
Sed cupidines per matrem benè coronatam Venerem,
Adurite inobedientem, donec dicat, vror.

Εἰ δυσὶν οὐκ ἴσχυσας ἴσην φλόγα πυρφόρε καῦσαι,
Τὴν ἑνὶ καιομένην ἢ σβέσον, ἢ μετάθες.

130. Si duobus nō potuisti æqualem flammā Cupido incēdere,
Vnā combustum aut integra, aut transfer.

Οὐκ ἔσθ' οὗτος ἔρως, εἴ τις καλὸν εἶδος ἔχουσαν
Βούλετ' ἔχειν, φρονίμοις ὄμμασι πειθόμενος,
Ἀλλ' ὅστις κακόμορφον ἰδὼν, πεφορημένος οἴστρῳ,
Στέργει μαινομένης ἐκ φρενὸς αἰθόμενος,
Οὗτος Ἔρως, πῦρ τοῦτο. τὰ γὰρ καλὰ πάντας ὁμοίως
Τέρπει τοὺς κρίνειν εἶδος ἐπισταμένους.

131. Non est hic amor si quis pulchram formam habentem
Velit habere prudentibus oculis obediens,
Sed quicunque deformem videns, abreptus furore,
Amat, insana ex mente combustus,
Hic amor, ignis hic. Pulchra enim omnes similiter
Delectant qui iudicare formam possunt.

Πέμπω σοι μύρον ἡδὺ, μύρῳ τὸ μύρον θεραπεύων,
Ὡς Βρομίῳ σπένδων νᾶμα τὸ τοῦ Βρομίου.

132. Mitto tibi suaue vnguentum, vnguento vnguentū reficiēs.
Tanquam Baccho sacrificans laticem Bacchi.

Ὑψοῦται Ῥοδόπη τῷ κάλλεϊ· κἤν ποτε χαῖρε
Εἴπω, ταῖς σοβαραῖς ὀφρύσιν ἠσπάσατο.
Ἤν ποτε καὶ στεφάνους περὶ θυρῶν ἐκκρεμάσωμαι,
Ὀργισθεῖσα πατεῖ τοῖς σοβαροῖς ἴχνεσιν.
Ὦ ῥυτίδες, καὶ γῆρας ἀνηλεὲς, ἔλθετε θᾶσσον,
Σπεύσατε· κἂν ὑμεῖς πείσατε τὴν Ῥοδόπην.

133. Superbit Rhodope pulchritudine: & si quando salue
Dico, superbis superciliis resalutat.
Si quando coronas etiam ante ianuas suspendo,
Irata conculcat superbis pedibus.
O rugæ, & senectus immisericors, venite citò,
Festinate, vos saltem persuadebitis Rhodopem.

Ὥπλισμαι πρὸς ἔρωτα περὶ στέρνοισι λογισμόν,

Οὐδέ

Οὐδέ με νικήσει, μοῦνος ἐὼν πρὸς ἕνα.
Θνατὸς δ᾽ ἀθανάτῳ συνελεύσομαι. ἢν δὲ βοηθὸν
Βάκχον ἔχῃ, τί μόνος πρὸς δύ᾽ ἐγὼ δύναμαι;
134. Armor contra amorem in pectore ratione,
Neque me vincet solus existens contra vnum.
Mortalis verò cũ immortali congrediar. Si verò auxiliatorem
Bacchum habuerit, quid solus ego contra duos possum?
Τέσσαρες αἱ Χάριτες, Παφίαι δύο, καὶ δέκα Μοῦσαι.
Δερκυλὶς ἐν πάσαις, μοῦσα, χάρις, παφίη.
135. Quatuor sunt gratiæ, Veneres duæ, & decem musæ.
Dercilis in cunctis, Gratia, musa, Venus.
Ὄμματ᾽ ἔχεις Ἥρης Μελίτη, τὰς χεῖρας Ἀθήνης,
Τοὺς μαζοὺς Παφίης, τὰ σφυρὰ τῆς Θέτιδος.
Εὐδαίμων ὁ βλέπων σε· τρισόλβιος ὅστις ἀκούει·
Ἡμίθεος δ᾽ ὁ φιλῶν· ἀθάνατος δ᾽ ὁ συνών.
136. Oculos habes Iunonis Melite, & manus Mineruæ,
Mamillas Veneris, & suras Thetidis.
Felix qui te videt. ter felix qui te audit:
Semideus qui osculatur: immortalis qui congreditur.
Ῥουφῖνος τῇ ᾽μῇ γλυκερωτάτῃ Ἐλπίδι πολλὰ
Χαίρειν. εἰ χαίρειν χωρὶς ἐμοῦ δύνασαι.
137. Rufinus meæ dulcissimæ spei multum
Saluere. Si gaudere sine me potest.
Οὐκ ἔτι παιδομανής, ὡς πρίν ποτε, νῦν δὲ καλοῦμαι
Θηλυμανής· καὶ νῦν δίσκος ἐμοὶ κρόταλον.
Ἀντὶ δέ μοι παίδων ἀδόλου χροὸς, ἤρεσε γύψου
Χρίσματα, καὶ φύκους ἄνθος ἐπεισόδιον.
Βοσκήσει δελφῖνας ὁ δενδροκόμης Ἐρύμανθος,
Καὶ πολιὸν πόντου κῦμα θοὰς ἐλάφους.
138. Non amplius puerorum amore insanio vt prius, iã v. dicor
Feminis insanus, iam discus mihi crotalum.
Pro puerorum non fucato corpore, placuere gypsi
Vnctiones, & fuci flos aduentitius.

Pascet Delphinas arbori comus Erymanthus;
Et canum maris flumen celeres ceruos.

Εἰ μὲν ἐπ᾽ ἀμφοτέροισιν ἔρως ἴσα τόξα τιταίνεις,
Εἶ θεός· εἰ δὲ ῥέπεις πρὸς μέρος, οὐ θεὸς εἶ.

139. Siquidem in vtrumque æquales amor sagittas tendis,
Es deus: si verò inclinas ad partem, non deus es.

Οὕτως ὑπνώσαις Κωνώπιον, ὡς ἐμὲ ποιεῖς
Κοιμᾶσθαι ψυχροῖς τοῖσδε παρὰ προθύροις.
Οὕτως ὑπνώσαις ἀδικωτάτη, ὡς τὸν ἐραστὴν
Κοιμίζεις· ἐλέου δ᾽ οὐδ᾽ ὄναρ ἠντίασας.
Γείτονες οἰκτείρουσι· σὺ δ᾽ οὐδ᾽ ὄναρ. ἡ πολιὴ δὲ
Αὐτίκ᾽ ἀναμνήσει ταῦτά σε πάντα κόμη.

140. Vtinam sic dormias Conopium, vt me facis
Dormire frigidas has ante ianuas:
Sic dormires iniustissima, vt amatorem
Dormire facis: misericordiæ autem nihil es particeps.
Vicini miserentur: tu verò nihil. cana verò
Subitò in memoriam reuocabit hæc tibi omnia coma.

Εἰ ταύτας ὁ κριτὴς ὁ θεῶν ἐθεάσατο κούρας,
Οὐκ ἔτ᾽ ἂν οὐδ᾽ ἐσιδεῖν ἤθελε τὰς προτέρας.

141. Si has iudex dearum vidisset puellas,
Non certè amplius videre vellet priores.

Ἤρισαν ἀλλήλαις, Ῥοδόπη, Μελίτη, Ῥοδόκλεια,
Τῶν τρισσῶν τίς ἔχει κάλλος ἀρειότερον.
Καί με κριτὴν εἵλοντο· καὶ ὡς θεαὶ αἱ περίβλεπτοι,
Ἔστησαν μουνῷ νέκταρι λειπόμεναι.
Ἀλλὰ σαφῶς ἃ πέπονθε Πάρις διὰ τὴν κρίσιν εἰδὼς,
Τὰς τρεῖς ἀθανάτους εὐθὺ συνεστεφάνουν.

142 Contenderunt inter se Rhodope, Melite, Rhodoclea,
Trium quæ haberet pulchritudinem meliorem.
Et me iudicem fecerunt: & vt deæ illustres,
Steterunt sola immortalitate carentes.
Verũ dilucidè quid passus sit Paris per hoc iudiciũ cognoscens,

Et tres immortales statim coronaui.

Λουσάμενοι, Προδίκη, πυκασώμεθα, καὶ τὸν ἄκρατον
 Ἕλκωμεν, κύλικας μείζονας αἰρόμενοι.
Βαιός ὁ χαιρόντων ἐστὶ βίος· εἶτα τὰ λοιπὰ
 Γῆρας κωλύσει· καὶ τὸ τέλος, θάνατος.

143. Lauantes Prodice coronemur, & merum
 Bibamus, calices maiores euacuantes.
Paruum lætantium est tempus: postea reliqua
 Senectus impedit, & finis, mors.

Εὐρώπης τὸ φίλημα, καὶ ἢν ἄχρι χείλεος ἔλθῃ,
 Ἡδὺ, κἂν ψαύῃ μοῦνον ἄχρι στόματος.
Ψαύει δ' οὐκ ἄκροις τοῖς χείλεσιν· ἀλλ' ἐρύσασα
 Τὸ στόμα, τὴν ψυχὴν ἐξ ὀνύχων ἀνάγει.

144. Europes osculũ, etiã quãuis ad summitatẽ labi perueniat,
 Delectat, etiam si tangat vsque ad os.
Tangit autem non in summis labris: sed trahens
 Os, animam etiam ex vnguibus extrahit.

Ποῦ νῦν Πραξιτέλης; ποῦ δ' αἱ χέρες αἱ Πολυκλείτου,
 Αἱ ταῖς πρόσθε τέχναις πνεῦμα χαριζόμεναι;
Τίς πλοκάμους Μελίτης εὐώδεας, ἢ πυρόεντα
 Ὄμματα καὶ δειρῆς φέγγος ἀποπλάσεται;
Ποῦ πλάσται; ποῦ δ' εἰσὶ λιθοξόοι. ἔπρεπε τῇδε
 Μορφῇ νηὸν ἔχειν, ὡς μακάρων ξόανον.

145. Vbi nunc Praxiteles? vbi verò manus Polycleti,
 Quæ prius artibus spiritum exhibebant?
Quis comas Melites bene fragrantes, & ignitos
 Oculos, & cutis fulgorem figurauit?
Vbi formatores, vbi sunt qui poliunt lapides? Fas erat huic
 Formę templum habere, vt sacrorum simulacrorum.

Οὐκ ἔλεγον Προδίκη· γηράσκομεν, οὐ προεφώνουν,
 Ἥξουσιν ταχέως αἱ διαλυσίφιλοι;
Νῦν ῥυτίδες, καὶ θρὶξ πολιὴ, καὶ σῶμα ῥακῶδες,
 Καὶ στόμα τὰς προτέρας οὐκ ἔτ' ἔχον χάριτας.

Μή τις σοι μετιόντι προσέρχεται, ἢ κόλακι βόων
Λίσσεται; ὡς δὲ τάφον, νῦν σε παρερχόμεθα.

146. Non dixi, Prodice, senescimus? non prædixi,
Veniunt citò qui soluunt amicos?
Iam rugæ, & capilli cani, & corpus lacerum,
Et os priores non habens gratias.
Nemo iam te superba accedit, nemo tibi adblandiens
Insanit? vt sepulcrum verò, iam te præterimus.

Σοί με λάτριν γλυκύδωρος Ἔρως παρέδωκε Βοῶπι,
Γαῦρον ὑποζεύξας εἰς πόθον αὐτόμολον,
Αὐτοθελῆ, πρόδουλον, ἐκούσιον, αὐτοκέλευστον,
Αἰτήσοντα πικρὴν μήποτ᾽ ἐλευθερίην,
Ἄχρι φίλης πολιῆς καὶ γήραος. ὄμμα βάλοι δὲ
Μήποτ᾽ ἐφ᾽ ἡμετέραις ἐλπίσι βασκανίη.

147. Tibi me famulam suauis munere Amor dedit Boopi,
Superbum subiugans in amorem transfugum,
Voluntarium, omnino seruum, vltroneum, sibi ipsi causam,
Petiturum acerbam nunquam libertatem.
Vsq; ad chará canitiem, & senectutem Oculum autẽ coniiciat
Nunquam in nostras spes inuidia.

Τίς γυμνὴν οὕτω σε καὶ ἐξέβαλεν καὶ ἔδειρεν;
Τίς ψυχὴν λιθίνην εἶχε, καὶ οὐκ ἔβλεπεν;
Μοιχὸν ἴσως εὕρηκεν ἀκαίρως κεῖνος ἐσελθών.
Γιγνόμενον πᾶσαι τοῦτο ποιοῦσι, τέκνον.
Πλὴν ἀπὸ νῦν, ὅταν ὅστις ἔσω, κεῖνος δ᾽ ὅταν ἔξω,
Τὸ πρόθυρον σφηνοῦ, μὴ πάλι ταὐτὸ πάθῃς.

148. Quis nudam sic te eiecit & denudauit?
Quis animam lapideam habuit, & non vidit?
Adulterum fortè inuenit intempestiuè ipse ingressus.
Vt fit. Omnes hoc faciunt filia:
Imposterum cùm est intus, ille verò cùm est extra,
Ianuam adacto cuneo claude, ne iterum hoc patiare.

Ἐκβάλλει γυμνήν τις, ἐπὴν εὕρῃ ποτὲ μοιχόν;
Ὡς μὴ μοιχεύσας; ὡς ἀπὸ Πυθαγόρου;

Εἶτα τέκνον κλαίουσα καταδρύψῃς τὸ πρόσωπον,
Καὶ παραμειγνύσῃς μαινομένου προθύροις.
Ἐκμάξαι, μὴ κλαῖε τέκνον· χ' εὑρήσομεν ἄλλον,
Μηκέτι δὲ βλέπειν εἰδότα καὶ τὸ δέρειν.

149. Eiicit nudam quis, cum inuenit aliquando mœchum?
Tanquam non mœchatus? tanquam Pythagoræ?
Postea filia flens lanias faciem,
Et algebis ad insani ianuam.
Abstergere, ne fleas filia: inueniemus alium,
Non amplius videre potentem, neque verberare.

Μέχρι τίνος Προδίκη παρακλαύσομαι; ἄχρι τίνος σε
Γουνάσομαι στερεή, μηδὲν ἀκουόμενος;
Ἤδη καὶ λευκαί σοι ἐπισκιρτῶσιν ἔθειραι,
Καί τάχα μοι δώσεις ὡς Ἑκάβη Πριάμῳ.

150. Quousque Prodice flebo? quousque tibi
Supplicabo rigida, nihil auditus?
Iam quippe cani tibi saltant capilli,
Et prope mihi dabis quod Hecuba Priamo.

Εὐκαίρως μονάσασαν ἰδὼν Προδίκην, ἱκέτευον·
Καὶ τῶν ἀμβροσίων ἁψάμενος γονάτων,
Σῶσον, ἔφην, ἄνθρωπον ἀπολλύμενον παρὰ μικρόν,
Καὶ φεῦγον ζωῆς πνεῦμα σύ μοι χάρισαι.
Ταῦτα λέγοντος, ἔκλαυσεν· ἀποψήσασα δ' δάκρυ,
Ταῖς τρυφεραῖς ἡμᾶς χερσὶν ὑπεξέβαλεν.

151. Tempestiuè solitariam videns Prodicam, supplicabam.
Ambrosia tangens genua.
Serua dixi hominem pereuntem minimo minus,
Et fugientem vitæ spiritum tu mihi largire.
Hæc dicente, flebat: abstergens verò lacrumam,
Delitiosis nos manibus eiecit.

ΔΙΟΝΥΣΙΟΥ σοφιστοῦ. & sequens.

Ἢ τὰ ῥόδα, ῥοδόεσσαν ἔχεις χάριν. ἀλλὰ τί πωλεῖς
Σαυτήν, ἢ τὰ ῥόδα, ἠὲ συναμφότερα;

DIONYSII Sophistæ. 152. & sequens.

Tu quæ rosas, roseam habes gratiam. Sed quid vendis
Teipsam, aut rosas, aut vtrumque?

Εἴθ' ἄνεμος γενόμην, σὺ δ' ἐπιστείχουσα παρ' αὐγάς,
Στήθεα γυμνώσαις, καί με πνέοντα λάβοις.
Εἴθε ῥόδον γενόμην ὑποπόρφυρον, ὄφρα με χερσὶν
Ἀραμένη, κομίσαις στήθεσι χιονέοις.
Εἴθε κρίνον γενόμην λευκόχροον, ὄφρα με χερσὶν
Ἀραμένη, μᾶλλον σῆς χροτιῆς κορέσῃς.

153. Vtinam ventus fiam, & tu incedens per æstum,
Pectus denudares, & me flantem exciperes.
Vtinam rosa fierem purpurea, vt me manibus
Tollens, feras pectore niueo.
Vtinam lilium fiam albo colore, vt me manibus
Tollens, magis tua cuticula saturares.

ΜΑΙΚΙΟΥ. vsque ad epig. 156.

Ὤμοσ' ἐγὼ δύο νύκτας ἀφ' Ἡδυλίου Κυθέρεια
Σῶν χαρίτων ἡσυχάσειν· ὡς δοκέω δέ, γελᾷς,
Τοὐμὸν ἐπισταμένη πάρτως κακόν. οὐ γὰρ ὑποίσω
Τὴν ἑτέρην. ὅρκους δ' εἰς ἀνέμους τίθεμαι.
Αἱροῦμαι δ' ἀσεβεῖν κείνης χάριν, ἢ τὰ σὰ τηρῶν
Ὅρκι', ἀποθνήσκειν πότνι' ὑπ' εὐσεβίης.

MÆCII. 154. vsque ad epigr. 156.

Iuraui ego duas noctes ab Hedylio Venus.
A tuo opere quiescere: vt censeo verò tu rides,
Meam cognoscens omnino impotentiam. Non enim fufferam
Aliam. Iuramenta verò in ventos pono.
Eligam autem impia agere illius gratia, quàm tua custodiens
Iuramenta, mori ô diua ob pietatem.

Τί συγνή; τί δὲ ταῦτα κόμης εἰκαῖα Φιλαινὶ
Σκύλματα, καὶ νοτερῶν σύγχυσις ὀμματίων;
Μὴ τὸν ἐραστὴν εἶδες ἔχονθ' ὑποκόλπιον ἄλλην;
Εἰπὸν ἐμοί· λύπης φάρμακ' ἐπιστάμεθα.

Δακρύεις; οὐ φῂς δ' μάτην ἀρνεῖσθ' ἐπιβάλλῃ·
  Ὀφθαλμοὶ γλώσσης ἀξιοπιστότεροι.

155. Quid triſtaris, quid a. hæc capillorũ temeraria, Philæni
  Laniatio, & humidorum confuſio oculorum?
Nunquid amatorem vidiſti habentem in ſinu aliam?
  Dic mihi: doloris remedia ſcimus.
Lacrumaris, non dicis verò. Fruſtra negare hoc tentas:
  Oculi ſunt linguâ digniores fide.

Θερμαίνει μ' ὁ καλὸς Κορνήλιος. ἀλλὰ φοβοῦμαι
  Τοῦτο τὸ φῶς, ἤδη πῦρ μέγα γιγνόμενον.
156. Calefacit me pulcher Cornelius: ſed metuo
  Hoc lumen, iam magnum ignen factum.

ΜΑΡΚΟΥ Ἀργενταρίου. vſque ad epig. 160.
Μήνη χρυσόκερως λεύσσεις τάδε, καὶ περιλαμπεῖς
  Ἀστέρες, οὓς κόλποις Ὠκεανὸς δέχεται;
Ὥς με μόνον προλιποῦσα μυρόπνοος ᾤχετ' Ἀρίστη·
  Ἑκταίην δ' εὑρεῖν τὴν μάγον οὐ δύναμαι.
Ἀλλ' ἔμπης αὐτὴν ζητήσομεν, ἢν ἐπιπέμψω
  Κύπριδος ἰχνευτὰς ἀργυρέους σκύλακας.
MARCI Argentarij. 157. vſque ad epigr. 160.
Luna aureis cornibus vides hæc, & circumlucentes
  Stellæ, quas ſinu Oceanus capit?
Quòd me ſolum relinquens vnguenta fragrans abiit Ariſte:
  Per ſex dies verò inuenire magicam non poſſum.
Sed tamen ipſam quæremus, ſi miſero
  Cypridis veſtigatores argenteos canes.
Τὴν ἰσχνὴν Διόκλειαν, ἀσαρκοτέρην Ἀφροδίτης
  Ὄψεαι, ἀλλὰ καλοῖς ἤθεσι τερπομένην.
Οὐ πολύ μοι τὸ μεταξὺ γενήσεται· ἐς δὲ ποθεινὰ
  Στέρνα πεσών, ψυχῆς κείσομαι ἐγγυτάτω.
158. Gracilem Diocleam graciliorem Venere
  Videbis, ſed pulchris moribus delectantem.
Non multum mihi intervallum fiet. ad deſiderabilia

Pectora lapsus animæ propior iacebo.

Εἶχει Λυσιδίκης κυάθους δέκα, τῆς δὲ ποθεινῆς
Εὐφράντης ἕνα μοι λάτρει δίδου κύαθον.
Φήσεις Λυσιδίκην με φιλεῖν πλέον. οὐ μὰ τὸν ἡδὺν
Βάκχον, ὃν ἐν ταύτῃ λαβροποτῶ κύλικι.
Ἀλλά μοι Εὐφράντη, μία πρὸς δέκα. καὶ γὰρ ἀπείρους
Ἀστέρας ἓν μήνης φέγγος ὑπερτίθεται.

159. Habet Lysidice decem cyathos, desiderabilis
Euphrantes vnum mihi famula da cyathum.
Dices Lysidicem me amare magis. Non per suauem
Bacchum, quem in hoc vorans poto calice:
Sed mihi Euphrante vna ad decem. Etenim infinitis
Stellis vnum lunæ lumen præponitur.

Παρθένον Ἀλκίππην ἐφίλουν μέγα· καί ποτε πείσας
Αὐτήν, λαθριδίως εἶχον ἐπὶ κλισίῃ·
Ἀμφοτέρων δὲ στέρνον ἐπάλλετο μή τις ἐπέλθῃ,
Μή τις ἴδῃ τὰ πόθων κρυπτὰ περισσότερον.
Μητέρα δ' οὐκ ἔλαθον κείνης λάλον· ἀλλ' ἐσιδοῦσα
Ἐξαπίνης, Ἑρμῆς κοινός, ἔφη, θύγατερ.

160. Virginē Alcippem amaui valde: & aliquando persuadens
Ipsam, clam habebam in lecto:
Vtriusq; verò pectus trepidabat, nequis superueniret,
Ne quis videret amorum occulta plus quàm par est.
Matrem verò non latuit eius loquacem: sed introspiciens
Repente, Mercurius communis, dicit, filia.

ΑΝΤΙΠΑΤΡΟΥ Θεσσαλονικέως. & quod sequitur.

Γαῖα καλῶς, τὸ γε μὲν χρυσῆν ἔτι τὴν Ἀφροδίτην,
Ἔξοχα καὶ πάντων εἶπεν ὁ Μαιονίδης.
Ἢν μὲν γὰρ τὸ χάραγμα φέρῃς φίλος, οὔτε θυρωρὸς
Ἐν ποσίν, οὔτε κύων ἐν προθύροις δέδεται·
Ἢν δ' ἑτέρως ἔλθῃς, καὶ ὁ Κέρβερος. ὦ πλεονέκται
Οἱ πλούτου, πενίην ὡς ἀδικεῖτε μόνοι.

Οἱ πλού-

ANTIPATRI Thessalonicensis. 161. & quod sequitur.

Omnia rectè. hoc tamen, auream adhuc Venerem,
 Optimè omnium dixit Homerus.
Siquidem notam auri feras amicus es, neque ianitor
 In pedibus, neque canis in vestibulo ligatus est:
Sin aliter veneris, vel Cerberus. O auari
 Diuitiarum, paupertatem quàm iniuria afficitis soli.

Ορθρος ἔβη Χρύσιλλα, πάλαι δ᾽ ἠῷος ἀλέκτωρ
 Κηρύσσων, φθονερὴν ἠριγένειαν ἄγει.
Ορνίθων ἔρροις φθονερώτατε, ὅς με διώκεις
 Οἴκοθεν εἰς πολλοὺς ἠϊθέων ὀάρους.
Γηράσκεις Τιθωνέ. τί γὰρ σὴν εὐνέτιν ἠῶ
 Οὕτως ὀρθριδίην ἤλασας ἐκ λεχέων;

162. Matutinum tēpus venit Chrysilla, dudū matutinus gallus
 Vociferans inuidam auroram adfert.
Auium pereas inuidissima, quæ me impellis
 E domo ad multa iuuenum colloquia.
Senescis Tithone. quid enim tuam coniugem Auroram
 Sic matutinis expulisti è lectis?

ΠΑΡΜΕΝΙΩΝΟΣ.

Εἰς Δανάην ἐρρύσαο Ὀλύμπιε χρυσός, ἵν᾽ ἡ παῖς
 Ὡς δώρῳ πεισθῇ, μὴ τρέσῃ ὡς Κρονίδην.

PARMENIONIS. 163. & sequens.

Ad Danaën fluxisti ô Iupiter aurum,
 Vt munere persuaderetur, ne tremeret vt Iouem.
Ὁ Ζεὺς τὴν Δανάην, χρυσοῦ· κἀγὼ δὲ σὲ χρυσοῦ.
 Πλείονα γὰρ δοῦναι τοῦ Διὸς οὐ δύναμαι.
164. Iupiter Danaën auro: ego verò te, auro.
 Plura verò dare Ioue non possum.

ΚΑΛΛΙΜΑΧΟΥ.

Ὤμοσε Καλλίγνωτος Ἰωνίδι μήποτ᾽ ἐκείνης
 Ἕξειν μήτε φίλον κρείσσονα μήτε φίλην.
Ὤμοσεν· ἀλλὰ λέγουσιν ἀληθέα, τοὺς ἐν ἔρωτι

Ορκους μὴ δύνειν οὔατ' ἐς ἀθανάτων.
Νῦν δ' ὁ μὲν ἄλλης δὴ θέρεται πυρί· τῆς δὲ ταλαίνης
Νύμφης (ὡς Μεγαρέων) οὐ λόγος οὐδ' ἀριθμός.

CALLIMACHI. 165.

Iurauit Callignotus Ionidi nunquam se illâ
Habiturum neque amicum meliorem neque amicam.
Iurauit: sed dicunt vera, in amore
Iuramenta non subire aures deorum.
Nunc quidem hic alterius calescit igne. Miseræ verò
Puellæ, tanquam Megarensium, neque sermo neq; numerus.

ΣΗΚΑΙΟΥ.

Εχθαίρω τὸν ἔρωτα. τί γὰρ βαρὺς οὐκ ἐπὶ θῆρας
Ορνυται, ἀλλ' ἐπ' ἐμὴν ἰοβολεῖ κραδίην;
Τί πλέον, εἰ θεὸς ἄνδρα καταφλέγει; ἢ τί τὸ σεμνὸν
Δηώσας, ἀπ' ἐμῆς ἆθλον ἔχει κεφαλῆς;

SECÆI. 166.

Odi amorem. Quid enim grauis non in feras
Impetum facit, sed in meum sagittas mittit cor?
Quid magnum si Deus hominē comburit, aut quid gloriosum,
Si hostiliter sequens, à meo præmium habet capite.

ΟΝΕΣΤΟΥ.

Ο ὔτε με παρθενικῆς τέρπει γάμος, οὔτε γεραιῆς·
Τὴν μὲν ἐποικτείρω, τὴν δὲ καταιδόμεθα.
Εἴη μήτ' ὄμφαξ, μήτ' ἀσαφὶς· ἡ δὲ πέπειρος
Ες Κύπριδος θαλάμους ὥρια καλλοσύνη.

ONESTI. 167.

Nec virginis delectant nuptiæ, neque vetulæ:
Hanc enim miseror, illam verò veneror.
Sit neque vua cruda, neque senex: excocta verò
In Veneris thalamos tempestiua pulchritudo.

ΝΙΚΑΡΧΟΥ. & hæc duo quæ sequuntur.

Οὐκ ἀποθνήσκειν δεῖ με; τί μοι μέλει ἤν τε ποδαγρὸς
Ην τε δρομεὺς γεγονὼς, εἰς ἀΐδην ὑπάγω;

Πολλοὶ γάρ μ' ἐρέουσιν, ἔα, χωλόν με γενέσθαι.
  Τῶνδε δ' ἕνεκεν γὰρ ἴσως οὔ ποτ' ἐωθιάσοις.

NICARCHI. 168. & hæc duo quæ ſequuntur.

Non mori oportet me? quid mihi curæ ſi læſus pede,
  Siue curſor factus, in infernum deſcendo?
Multi verò me dicent, ſine, claudum me factum eſſe:
  Horum autem cauſa fortè nunquã prætermittam choreas.
Πάντα λίθον κίνει, σαυτὴν τρέφε καὶ γράφε πρός με
  Εἰς ποίαν ἀκτὴν εὐφρόσυνον γέγονας.
Εὐτακτεῖν πειρῶ. τὸ ἐνοίκιον αἴ τι περισσὸν
  Γίγνηται, καὶ ἐμοὶ φρόντισον ἱμάτιον.
Ἢν ἐν γαστρὶ λάβῃς, λάβε καὶ τίκτε. μὴ θορυβηθῇς·
  Εὑρήσει πόθεν ἐστ' ἐλθὸν ἐς ἡλικίην.
169. Omnem lapidem moue, teipſum nutri, & ſcribe ad me
  Ad quod littus euphroſinon veneris.
Officium ſeruare nitere, quæſtus meritorius ſi quis ſum,
  Perſit & mihi cura veſtem.
Si verò conceperis, concipe, & gigne, ne perterrearis:
  Inueniet vnde ſit vbi ad pubertatem peruenerit.
Κάλλος ἄνευ χαρίτων, τέρπει μόνον· οὐ κατέχει δὲ,
  Ὡς ἅτερ ἀγκίστρου νηχόμενον δέλεαρ.
Ὁπλίζευ Κύπρι τόξα, καὶ εἰς σκοπὸν ἥσυχος ἐλθέ.
  Ἄλλον ἐγὼ γὰρ ἔχω τραύματος ὧδε τόπον.
170. Pulchritudo ſine Gratiis delectat tantum. Non detinet v.
  Tanquam ſine hamo natans eſca.
Expedi ô Venus arcum, & ad ſcopum quietus veni.
  Alium ego enim habeo vulneris hîc locum.

ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ἴσιας ἡδύπνοιε, καὶ εἰ δεκάκις μύροις ὄζεις,
  Ἔγρεο, καὶ δέξαι χερσὶ φίλαις στέφανον·
Ὃν νῦν μὲν θάλλοντα, μαραινόμενον δὲ πρὸς ἠῶ
  Ὄψεαι, ἡμετέρης σύμβολον ἡλικίης.

ARGENTARII. 171.

Isias ſuaue ſpirans,& ſi decies vnguentum dormis,
Excitare,& accipe manibus charis coronam:
Iam quidem florentem, marceſcentem verò ante auroram
Videbis, noſtræ indicium ætatis.

ΚΡΙΝΑΓΟΡΟΥ.

Κἢν ῥίψῃς ἐπὶ λαιά, καὶ ἢν ἐπὶ δεξιά ῥίψῃς,
Κριναγόρη, κενεὸν σαυτὸν ὑπὸ τὸ λέχος·
Εἰ μή σοι χαρίεσσα παρακλίνοιτο Γέμελλα,
Γνώσῃ κοιμηθεὶς οὐχ ὕπνον ἀλλὰ κόπον.

CRINAGORÆ. 17[?].

Etiamſi ieceris in læuam, aut in dexteram ieceris,
Crinagora, vacuum teipſum ſuper lectum:
Niſi tibi gratioſa accumbat Gemilla,
Cognoſces ſopitus non ſomnum ſed dolorem.

ΒΑΣΣΟΥ.

Οὐ μέλλω ῥεύσειν χρυσός ποτε· βοῦς δὲ γένοιτο
Ἄλλος, χὠ μελιθρεὺς κύκνος ἐπ᾽ ἠϊόνος.
Ζηνὶ φυλασσέσθω τάδε παίγνια. τῇ δὲ Κορίννῃ
Τοὺς ὀβολοὺς δώσω τοὺς δύο, κοὐ πέτομαι,

BASSI. 173.

Non fluam vt aurum vnquam. Bos verò fiat
Alius,& ſuauiter canens cycnus in littore.
Ioui ſeruentur hæc ludicra. Corinnæ autem
Obolos dabo hos duos,& non volabo.

Ἄδηλον ſicut & quæ ſequuntur vſque ad epig. 184.

Οὐκ ἔτι βαστάζω μὰ τὰ σ᾽ ὄμματα, τὴν φιλέρημον
Καὶ τὴν μουνολεχῆ σεῖο διαζυγίην,
Ἀλλ᾽ αἰεὶ δακρύοισι πεφυρμένος, ἢ ἐπιορκεῖν
Ἔρχομαι, ἢ μεγάλης νηὸν ἐς Ἀρτέμιδος
Αὔριον. ἀλλὰ πάτρη με δεδέξεται. ἐς δὲ σὸν ὄμμα
Πτήσομαι, ἐρρῶσθαι μυρία σ᾽ εὐχόμενος.

Incerti. 174. vſque ad epigr. 184.

Non amplius fero per tuos oculos deſerto gaudentem,

Et ſolam dormientem tuam diſiunctionem,
Sed ſemper lacrumis maculatus, vel iuro,
Venio vel magnæ templum in Artemidis
Cras. ſed patria me ſuſcipiet. Ad tuum autem oculum
Volabo, valere infinitum te optans.

Εἴτε σε κυανέῃσιν ἀποστίλβουσαν ἐθείραις,
Εἴτε πάλιν ξανθαῖς εἶδον ἄνασσα κόμαις,
Ἴση ἀπ' ἀμφοτέρων λάμπει χάρις. ἦ ῥά γε ταύταις
Θριξὶ συνοικήσει καὶ πολιῇσιν ἔρως.

175. Siue te nigris ſplendentem capillis,
Siue rurſus flauis video regina comis,
Similis ex vtriſque elucet gratia. Profecto his
Capillis inhabitat etiam canis gratia.

Ποῦ σοι κεῖνα μέλισσα τὰ χρύσεα καὶ περίοπτα
Τῆς πολυθρυλλήτου κάλλεα φαντασίης;
Ποῦ δ' ὀφρύες, καὶ γαῦρα φρονήματα, καὶ μέγας αὐχὴν,
Καὶ σοβαρῶν ταρσῶν χρυσοφόρος σπατάλη;
Νῦν πενιχρὴ ψαφαρή τε, κόμη τ' ἐπὶ πᾶσι βραχεῖα.
Ταῦτα τὰ τῶν σπαταλῶν τέρματα παλλακίδων.

176. Vbi tibi illa Meliſſa, aurea & circunſpecta
Famigeratæ ſunt decora pulchritudinis?
Vbi ſupercilia, & ſuperba faſtidia, & magna ceruix,
Et ſuperbarum plantarum auriferæ delitiæ?
Nunc pauper ſqualidáque, & coma in omnibus breuis.
Hic ſumptuoſarum finis meretricum.

Νῦν μοι χαῖρε λέγεις, ὅτε σου τὸ πρόσωπον ἀπῆλθεν
Κεῖνο τὸ τῆς λυγδοῦ βάσκανε λειότερον.
Νῦν μοι προσπαίζεις ὅτε τὰς τρίχας ἠφάνικάς σου,
Τὰς ἐπὶ τοῖς σοβαροῖς αὐχέσι πλαζομένας.
Μηκέτι μοι μετέωρε προσέρχεο, μηδὲ συνάντα·
Ἀντὶ ῥόδου γὰρ ἐγὼ τὴν βάτον οὐ δέχομαι.

177. Nunc mihi ſalue dicis, cùm tua facies abiit
Illa lydio lapide ô inuida, leuior.

Nunc mihi alludis cùm comas abſcondiſti tuas,
  In ſuperbis humeris vibratas.
Non amplius me ſuperba accedas, neque occurre:
  Pro roſa enim ego rubum non accipio.

Ἤδη φίλτατε λύχνε τρὶς ἔπταρες· ἦ τάχα τερπνὴν
  Ἐς θαλάμους ἥξειν Ἀντιγόνην προλέγεις.
Εἰ γὰρ ἄναξ εἴη τόδ' ἐτήτυμον, οἷος Ἀπόλλων,
  Θνητοῖς μάντις ἔσῃ καὶ σὺ παρὰ τρίποδι.

178. Iam cariſſima lucerna ter ſcintillaſti. An forte amabilem
  In thalamos venturam Antigonam prædicis.
Si enim erit verum, rex qualis Apollo,
  Mortalibus, vates eris & tu apud tripodem.

Γραῖα, φίλη θρέπτειρα, τί μου προσιόντος ὑλακτεῖς,
  Καὶ χαλεπὰς βάλλεις δὶς πόσον εἰς ὀδύνας;
Παρθενικὴν γὰρ ἄγεις περικαλλέα· τῆς ἐπιβαίνων
  Ἴχνεσι, τὴν ἰδίην οἶμον ἴδ' ὡς φέρομαι,
Εἶδος ἐσαυγάζων μοῦνον γλυκύ. τίς φθόνος ὄσσων
  Δύσμορε; καὶ μορφὰς ἀθανάτων βλέπομεν.

179. Anus amica nutrix, quid me accedente latras,
  Et graues conficis duplo maiores in dolores?
Virginem quidem ducis perpulchram: huius inſiſtens
  Veſtigiis, propriam viam vides vt ſequar,
Formam intuens ſolam dulcem: quæ inuidia oculorum
  Infelix? Et imagines deorum videmus.

Αἰετὸς ὁ Ζεὺς ἦλθεν ἐπ' ἀντίθεον Γανυμήδην,
  Κύκνος ἐπὶ ξανθὴν μητέρα τῆς Ἑλένης.
Οὕτως ἀμφότερ' ἐστὶν ἀσύγκριτα· τῶν δύο δ' αὐτῶν
  Ἄλλοις ἄλλο δοκεῖ κρεῖσσον, ἐμοὶ τὰ δύο.

185. Aquila Iuppiter venit ad diuinum Ganymedem,
  Cygnus ad flauam matrem Helenæ.
Adeo vtrumque eſt incomparabile: horum duorum verò
  Aliis aliud videtur, melius verò mihi duo illa: *id eſt vtrumque.*
Εἴ μοί τις μέμψοιτο, δαεὶς ὅτι λάτρις ἔρωτος

Φοιτῶ, θηρευτὴν ὄμμασιν ἰξὸν ἔχων·
Εἰδείη καὶ Ζῆνα, καὶ Ἀΐδα, τόν τε θαλάσσης
Σκηπτοῦχον, μαλερῶν δοῦλον ἐόντα πόθων.
Εἰ δὲ θεοὶ τοιοίδε, θεοῖς δ᾽ ἐπέοικεν ἕπεσθαι
Ἀνθρώπους, τί θεῶν ἔργα μαθὼν ἀδικῶ;

181. Si me quis reprehendat, sciens quòd famula amoris
Vagor, venatorem oculis viscum habens,
Sciat & Iouem, & Plutonem, & maris
Regem ardentium seruum existentem cupidinum.
Si verò dij tales, deos verò iubent sequi
Homines: quid deorum opera discens pecco?

[a]Χαῖρε κόρη. [b]καὶ δὴ σύ. [a]τίς ἡ προϊοῦσα; [b]τί πρὸς σε;
[a]Οὐκ ἀλόγως ζητῶ δεσπότις ἡμετέρη.
[a]Ἐλπίζειν ἔξεστι. [b]ζητεῖς δὲ τί; [a]νύκτα. [b]φέρεις τί;
[a]Χρυσίον. [b]εὐθύμει. καὶ πόσον; [a]οὐ δύναμαι.

182. [a]Salue puella. [b]Et tu. [a]Quæ præcedis? [b]quid ad te?
[a]Non sine ratione quæro, domina nostra.
[a]Sperare licet? [b]quid quæris? [a]Noctem. [b]Fers aliquid?
[a]Aurum [b]Sis bono animo. Sed an tantum? [a]Non possum.

Ἄλλος ὁ Μηνοφίλας λέγεται παρὰ μαχλάσι κόσμος,
Ἄλλος, ἐπεὶ πάσης γεύεται ἀκρασίης·
Ἀλλ᾽ ὅτι Χαλδαῖοι κείνης πέλας· ἦ γὰρ ὁ ταύτης
Οὐρανὸς ἐντὸς ἔχει καὶ κύνα καὶ διδύμους.

183. Alius Menophilæ dicitur apud meretrices mundus,
Alius, quoniam omnem gustauit lasciuiam:
Sed cùm Chaldæi ipsi vicini sunt. Certè illius
Cœlum intus habet, & canem, & geminos.

Γιγνώσκω χαρίεσσα φιλεῖν πάλιν τὸν φιλέοντα,
Καὶ πάλι γιγνώσκω τόν με δακόντα δακεῖν.
Μὴ λύπει με, λίην περ ἐόντα σε, μηδ᾽ ἐρέθιζε
Τὰς βαρυοργήτους μοῦσας πικρίδας.
Ταῦτ᾽ ἐβόων αἰεὶ, καὶ προὔλεγον· ἀλλ᾽ ἴσα πόντῳ
Ἰονίῳ μύθων ἔκλυες ἡμετέρων.

Τοιγὰρ νῦν σὺ μὲν ὧδε μέγα κλαίουσα βαΰζεις,
  Ημεῖς δ' ἐν κόλποις ἥμεθα ναϊάδος.
184. Scio ô gratiosa amare omnino amantem,
  Et rursus scio me mordentem mordere.
Ne me offendas nimis amantem te, neque irrita:
  Grauiter irascentes neque velis pieridas.
Hæc clamabam semper, & prædixi: sed æqualia ponto
  Ionio sermones audiuisti nostros.
Ob id nunc tu quidem sic valide clamans latras,
  Nos verò in sinu sedemus naïadis.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων Αἰγυπτίου.

Στέφος πλέκων ποθ', εὗρον
Εν τοῖς ῥόδοις Ερωτα·
Καὶ τῶν πτερῶν κατασχὼν,
Κατέδυσ' εἰς τὸν οἶνον.
Λαβὼν δ' ἔπιον αὐτόν.
Καὶ νῦν ἔσω μελῶν μου
Πτεροῖσι γαργαλίζει.

IVLIANI regum Ægyptij. 185.

Coronam plectens quondam, inueni
In rosis amorem:
Et pennas tenens,
Immersi in vinum.
Sumptum verò illud bibi:
Et nunc intus in membris meis
Pennas vibrat.

Αλλο.

Οὐ δύναμαί σ' ἐθέλων θέσθαι φίλον. οὔτε γὰρ αἰτεῖς,
  Οὔτ' αἰτοῦντι δίδως, οὔθ' ἃ δίδωμι δέχῃ.

Aliud. 186. & cætera vsque ad finem.

Non possum te volens facere amicum, neque enim petis,
  Neque petenti das, neque quæ do accipis.
Κῦρος κύριός ἐστι. τί μοι μέλει εἰ τὸ δὲ γράμμα;
  Οὐκ ἀναγινώσκω τὸ καλὸν, ἀλλὰ βλέπω.

187. Cyrus

Cyrus dominus est. quid mihi curæ si præter litteram?
Non dico pulchrum, sed video.

Ἄλλο.

Μαζοῖς ἔτ' ἐν κόλποισιν ὁ νήπιος ὀρθρινὰ παίζων
Ἀστραγάλοις, τοὐμὸν πνεῦμ' ἐκύβευσεν Ἔρως.

Aliud. 188.

Matris adhuc in sinu infans mane ludens
Astragalis, meum spiritum alea lucratus est Amor.

Ἄλλο.

Πῖν' Ἀσκληπιάδη. τί τὰ δάκρυα ταῦτα; τί πάσχεις;
Οὐ σὲ μόνον χαλεπὴ Κύπρις ἐλῄσατο,
Οὐδ' ἐπὶ σοὶ μούνῳ κατεθήκατο τόξα καὶ ἰοὺς
Πικρὸς ἔρως. τί ζῶν ἐν σποδιῇ τίθεσαι;
Πίνωμεν Βάκχου ζωρὸν πόμα· δάκτυλος ἀώς.
Ἦ πάλι κοιμιστὰν λύχνον ἰδεῖν μένομεν;

Aliud. 189.

Bibe Asclepiades. Quid lacrumæ hæ? quid pateris?
Non te solum grauis Venus prædata est,
Neque in te solum direxit arcum & sagittas
Acerbus amor. Quid viuus in cinerem poneris?
Bibamus Bacchi meracum poculum. Digitus est aurora.
An rursus sopitorem lychnum videre expectamus?

Ἄλλο.

Καλὸς ὁ παῖς, Ἀχελῷε, λίην καλός· εἰ δέ τις οὐχὶ
Φησίν, ἐπισταίμην μοῦνος ἐγὼ τὰ καλά.

Aliud. 190.

Pulcher puer Acheloe, nimis pulcher. Si vero quis non
Dicat, sciam solus ego pulchra.

Ἄλλο.

Ἦν ἐσίδω Θήρωνα, τὰ πάνθ' ὁρέω· ἢν δὲ τὰ πάντα
Βλέψω, τόνδε γε μή, τοὔμπαλιν οὐδὲν ὁρῶ.

Aliud. 191.

Quando intueor Theronem, omnia cerno. Cùm verò omnia

Videbo, illum verò non, rursus nihil video.

Ἄλλο.

Ἔσπευδον τὸν ἔρωτα φυγεῖν· ὁ δὲ, βαιὸν ἀνάψας
Φανίον ἐκ τέφρης, εὗρέ με κρυπτόμενον.
Κυκλώσας δ' οὐ τόξα, χερὸς δ' ἀκρώνυχα δισσά,
Κνίσμα πυρὸς θρύψας, πᾶς δὲ λαθὼν ἔβαλεν.
Ἐκ δὲ φλογὸς πάντη μοι ἐπέδραμεν. ὢ βαρὺ φέγγος
Λάμψαν ἐμοὶ, μέγα πῦρ φανίον ἐν κραδίῃ.

Aliud. 192.

Festinabam amorem effugere. Hic verò paruam incendens
Faculam in cinere, inuenit me absconditum.
Incuruans verò arcum, manus duas vnguium extremitates
Pruritum ignis frangens, illo latens percussit.
Ex flamma verò vndique mihi incurrit O grauem lucem
Illucentem mihi magnum ignem in corde.

Ἄλλο.

Κύπρι, τί μοι τρισσοὺς ἐφ' ἕνα σκοπὸν ἤλασας ἰούς,
Ἐν δὲ μιῇ ψυχῇ τρισσὰ πέπηγε βέλη;
Καὶ τῇ μὲν φλέγομαι, τῇ δ' ἕλκομαι· ἣν δ' ἀπονεύσω,
Διστάζω. λάβρῳ δ' ἐν πυρὶ πᾶς φλέγομαι.

Aliud. 193.

Venus, quid mihi tres ad vnum scopum impegisti sagittas,
In vna verò anima tria infixisti tela?
Et hac quidem vror, illa verò trahor. Si verò renuo
Distrahor: voraci in igne totus comburor.

Ἄλλο.

Οἶδα φιλεῖν φιλέοντας· ἐπίσταμαι, ἤν μ' ἀδικῇ τις,
Μισεῖν. ἀμφοτέρων εἰμὶ γὰρ οὐκ ἀδαής.

Aliud. 194.

Noui amare amantes: noui, si quis me iniuria afficiat,
Odisse. Vtriusque enim non sum ignarus.

Ἄλλο.

Οὐ μόνος ἔρως πατὴρ ἐμοὶ μενέτω μόνῳ· ἢν δὲ παρῇς ἄλλως.

Φοιτήσῃ, μισῶ κοινὸν ἔρωτα Κύπρι.

Aliud. 195.

Meus amor apud me maneat solùm. Si verò ad alios.
Abeat, odi communem amorem, Venus.

Ἄλλο.

Ὄρνιθες ψίθυροι, τί κεκράγατε, τί μ' ἀνιᾶτε,
Τὸν τρυφερῆς παρθένου χρωτὶ χλιαινόμενον,
Ἑζόμεναι πετάλοισιν ἀηδόνες. εἰ δὲ λάληθροι
Θῆλυ γένος, δέομαι μείνατ' ἐφ' ἡσυχίης.

Aliud. 196.

Aues garrulæ quid vociferamini, quid me læditis
Delicatæ virginis corpore calefactum,
Sedentes in frondibus lusciniæ. Si autem loquax
Muliebre genus, manete in taciturnitate.

Ἄλλο.

Εἰ μισεῖν πόνος ἐστὶ, φιλεῖν πόνος, ἐκ δύο λοιπὸν
Αἱρεῦμαι, χρηστῆς ἕλκος ἔχειν ὀδύνης.

Aliud. 197.

Si odisse labor est, amare labor. Ex duobus reliquum
Accipiam vtilis vulnus habere doloris.

Ἄλλο.

Πέντ' αἰτεῖς; δέκα δώσω· καὶ εἴκοσι δ' αὐτίκα ἕξεις.
Ἀρκεῖ σοι χρυσός; ἤρκεσε καὶ Δανάῃ.

Aliud. 198.

Quinque poscis, decem dabo: & viginti statim habebis.
Sufficit tibi aurum. Suffecit autem Danaæ.

Ἄλλο.

Εἰ τοὺς ἐν πελάγει σώζεις Κύπρι, κἀμὲ τὸν ἐν γᾷ
Ναυηγὸν φιλίης σῶσον ἀπολλύμενον.

Aliud. 199.

Si qui sunt in pelago seruas Venus, & me qui in terra
Naufragum amicitiæ serua pereuntem.

Ἄλλο.

Μισῶ τὴν ἀφελῆ, μισῶ τὴν σώφρονα λίαν·
  Ἡ μὲν γὰρ, βραδέως· ἡ δὲ, θέλει ταχέως.

Aliud. 200.

Odi ſimplicem, odi prudentem nimis:
  Hæc enim tardè, hæc verò vult celeriter.

Ἄλλο.

Ὄμματα μὲν χρύσεια, καὶ ὑαλόεσσα παρειή,
  Καὶ στόμα, πορφυρέης τερπνότερον κάλυκος·
Δειρὴ λυγδινέη, καὶ στήθεα μαρμαίροντα,
  Καὶ πόδες, ἀργυρέης λευκότεροι Θέτιδος.
Εἰ δέ τι καὶ πλοκάμοισι διαστίλβουσιν ἄκανθαι,
  Τῆς λευκῆς καλάμης οὐδὲν ἐπιστρέφομαι.

Aliud. 201.

Oculi aurei, & vitreæ genæ,
  Et os purpureâ gratioſius baccâ:
Cutis candida, & pectus rutilans.
  Et pedes argentea candidiores Thetide.
Si verò quid & capillis ſcintillant aculei,
  Alba ſtipula nihil moueor.

Ἄλλο.

Φεύγειν δεῖ τὸν ἔρωτα· κενὸς πόνος. οὐ γὰρ ἀλύξω
  Πεζὸς ὑπὸ πτηνοῦ πυκνὰ διωκόμενος.

Aliud. 202.

Fugere amorem vanus labor. Non enim euitabo
  Pedes ab alite ſæpe occupatus.

Ἄλλο.

Τῷ μήλῳ βάλλω σε· σὺ δ' εἰ μὲν ἑκοῦσα φιλεῖς με,
  Δεξαμένη, τῆς σῆς παρθενίης μετάδος·
Εἰ δ' ἄρ' ὃ μὴ γίγνοιτο νοεῖς, τοῦτ' αὐτὸ λαβοῦσα,
  Σκέψαι τὴν ὥρην ὡς ὀλιγοχρόνιος.

Aliud. 203.

Pomo peto te,tu verò si quidem sponte amas me
Accipiens,de tua virginitate mihi communica.
Si verò,quod non fiat,cogitas,hoc ipsum capiens,
Considera tempus quàm breue sit.

Ἄλλο.

Φείδῃ παρθενίης; καὶ τί πλέον; οὐ γὰρ ἐς ἅδην
Ἐλθοῦσ' εὑρήσεις τὸν φιλέοντα κόρη.
Ἐν ζωοῖσι τὰ τερπνὰ τὰ Κύπριδος· ἐν δ' Ἀχέροντι
Ὀστέα καὶ σποδιὴ παρθένε κεισόμεθα.

Aliud. 204.

Parcis virginitati:Quid tum postea?Non enim ad inferos
Veniens inuenies amantem puella.
In viuentibus voluptates Veneris: in verò Acheronte
Ossa & cinis virgo iacebimus.

Ἄλλο.

Πέμπω σοι μύρον ἡδὺ, μύρῳ παρέχων χάριν, οὐ σοί.
Αὐτὴ γὰρ μυρίσαι καὶ τὸ μύρον δύνασαι.

Aliud. 205.

Mitto tibi vnguentum suaue, exhibens gratiam,non tibi:
Ipsa enim inungere & vnguentum potes.

Ἄλλο.

Ἡδὺ θέρους διψῶντι χιὼν ποτὸν· ἡδὺ δὲ ναύταις
Ἐκ χειμῶνος ἰδεῖν εἰαρινὸν στέφανον·
Ἡδὺ δὲ καὶ ὁπόταν κρύψῃ μία τοὺς φιλέοντας
Χλαῖνα, καὶ αἰνῆται Κύπρις ὑπ' ἀμφοτέρων.

Aliud. 206.

Suaue in æstu sitienti aqua niualis pota.Suaue & nautis
Ex hyeme videre vernalem coronam:
Suaue etiam cùm abscondit vna amantes
Læna,& laudatur Venus ab vtrisque.

Ἄλλο.

Ὄμφαξ οὐκ ἐπένευσας ὅ τῇ σταφυλῇ παρέπεμψα·
Μὴ φθονέσῃς δοῦναι κἂν βραχὺ τῆς σταφίδος.

Aliud. 207.

Vua immatura non annuisti quod nubili ætati remittam:
Ne inuideas quamuis parum de maturitate tua.

Ἄλλο.

Κύρη τίς μ' ἐφίλησεν ἐφέσπερα χείλεσιν ὑγροῖς·
Νέκταρ ἔην τὸ φίλημα· τὸ γὰρ στόμα, νέκταρ ἔπνει.
Καὶ μεθύω τὸ φίλημα, πολὺν τὸν ἔρωτα πεπωκώς.

Aliud. 208.

Puella quædam me osculabatur vesperi labiis vdis:
Nectar erat osculum. Os enim nectar spirabat.
Et inebrior ex osculo, qui multum amorem ebiberim.

Ἄλλο.

Ἠράσθην, ἐφίλουν, ἔτυχον, κατέπραξ', ἀγαπῶμαι·
Τίς δὲ, καὶ ἧς, καὶ πῶς, ἡ θεὸς οἶδε μόνη.

Aliud. 209.

Amatus sum, deosculabar, potitus sum, perfeci, amor:
Quis autem, & à qua, & quomodo, Dea nouit.

Ἄλλο.

Ἐκμαίνει χείλη με ῥοδόχροα, ποικιλόμυθα,
Ψυχοτακῆ, στόματος νεκταρέου πρόθυρα,
Καὶ γλῆναι λασίοισιν ὑπ' ὀφρύσιν ἀστράπτουσαι,
Σπλάγχνων ἡμετέρων δίκτυα καὶ παγίδες,
Καὶ μαζοὶ γλαγόεντες, ἐΰζυγες, ἱμερόεντες,
Εὐφυέες, πάσης τερπνότεροι κάλυκος.
Ἀλλὰ τί μηνύω κυσὶν ὀστέα; μάρτυρές εἰσι
Τῆς ἀθυροστομίης οἱ Μίδεω κάλαμοι.

Aliud. 210.

Insanum reddunt me labia rosea, varia loquentia,
Animam liquefacientia, oris nectarei ianuæ,

Et oculi densis sub superciliis fulgurantes,
Viscerum nostrorum retia, & retinacula,
Et mamillæ lacte turgidulæ, bene coniunctæ, desiderabiles,
Solidæ, omni delectabiliores rosâ.
Sed quid demonstro canibus ossa? Testes sunt
Garrulitatis Midei calami.

Τέλος τοῦ ἑβδόμου τμήματος τῆς ἀνθολογίας
διαφόρων ἐπιγραμμάτων.

Finis septimæ sectionis Florilegij variorum
Epigrammatum.